ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

9

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ Α΄
(ΟΜΙΛΙΑΙ Α΄ - Κ΄)

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ


Ὑπὸ
ΙΓΝΑΤΙΟΥ ΣΑΚΑΛΗ, Φιλολόγου
καὶ
ΝΙΚΟΛΑΟΥ ΤΣΙΚΗ, Φιλολόγου

'Επόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, 'Υφηγητὴς Πανεπιστημίου

'Επιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, Π. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, Π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1978

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

9

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ Α'
(ΟΜΙΛΙΑΙ Α' - Κ')

ΕΙΣΑΓΩΓΗ

1. Ἡ ζωὴ καὶ τὸ ἔργον, ἡ ὅλη δρᾶσις τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, (345 - 407), ἀποτελεῖ ζωντανὸν παράδειγμα τοῦ τί εἶναι δυνατὸν νὰ πραγματοποιήσῃ ἕνας ἄνθρωπος, ὅταν καίεται ἀπὸ τὴν δίδυμον φλόγα τῆς πίστεως καὶ τῆς ἀγάπης.

Μικρόσωμος καὶ ἀσθενικός ὁ υἱὸς τῆς ὑποδειγματικῆς Ἀνθούσης ἐγέμισε τὴν ἐποχήν του καὶ ἐφώτισε τὰς μεταγενεστέρας ἐποχὰς μὲ τὴν δρᾶσιν καὶ τοὺς ἀγῶνας του, κατέκτησε πλήθη ἀμέτρητα ψυχῶν, ἐγαλούχησε πνευματικῶς γενεάς, συνεκλόνισε τὴν καρδίαν μιᾶς ἀπεράντου αὐτοκρατορίας, ἔλαβε πρωτεύουσαν θέσιν εἰς τὸν χορὸν τῶν πατέρων τοῦ Χριστιανισμοῦ καὶ ἄφησε διὰ μέσου τῶν αἰώνων τὴν ἰσχυρὰν ἐντύπωσιν ἑνὸς λαμπροῦ μετεώρου, τὸ ὁποῖον ἐδαπανήθη χάριν τοῦ Χριστοῦ. Ἦτο ὁ Ἰωάννης ὁ Χρυσόστομος ψυχὴ γενναία καὶ «διεγηγερμένη», ὅπως λέγει ὁ ἴδιος διὰ τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, ψυχὴ γενναία καὶ ἄγρυπνος. Καὶ ἡ ψυχὴ αὐτὴ «πανταχοῦ προπηδᾷ καὶ τὰ κείμενα ὑπερβαίνει σκάμματα», ρίπτεται εὐτόλμως εἰς δυσκόλους ἀγῶνας καὶ πραγματοποιεῖ κατακτήσεις ποὺ καταπλήσσουν.

2. Τοὺς κλονισμοὺς τῆς γενναίας αὐτῆς ψυχῆς παρακολουθοῦμεν μὲ θαυμασμὸν καὶ κατάπληξιν ἀκόμη καὶ σήμερον εἰς τὸ τεράστιον συγγραφικὸν ἔργον του, τὸ ὁποῖον ἀνέρχεται εἰς 1500 περίπου λόγους καὶ 250 ἐπιστολὰς καὶ καταλαμβάνει 18 ὀγκώδεις τόμους εἰς τὴν Ἑλληνικὴν σειρὰν τῆς Πατρολογίας τοῦ Migne. Καὶ εἶναι βεβαίως καταπληκτικόν, ἀλλ' ὄχι—ὡς ἐκ τῆς πράξεως ἀπεδείχθη—καὶ ἀκατόρθωτον

νὰ ἐκφωνηθοῦν τόσοι λόγοι εἰς τὸ διάστημα τῆς διακονίας ἑνὸς ἀνθρώπου. Ἀξιοθαύμαστον ὅμως εἶναι ποῦ εὑρέθη ὁ χρόνος νὰ ἀποκτηθῇ διὰ τῆς μελέτης, τῆς ἀφθόνου καὶ ἐνδελεχοῦς, τόσον ἀπίστευτον ποσὸν γνώσεων ἀπὸ τὰς Γραφὰς καὶ τὴν θύραθεν φιλολογίαν καὶ νὰ χρησιμοποιηθῇ μὲ τόσην ἄνεσιν εἰς τὸ τιτάνιον αὐτὸ κηρυκτικὸν ἔργον, τοῦ ὁποίου ἡ ἀξία καὶ ἡ βαθεῖα ἐπίδρασις ὄχι μόνον ἐπὶ τῶν συγχρόνων τοῦ Ἰωάννου, ἀλλὰ καὶ ἐπὶ τῶν μεταγενεστέρων καὶ τῆς διαμορφώσεως τῆς καθόλου Ὀρθοδόξου πίστεως εἶναι ἀνυπολόγιστος. Καὶ σήμερον τὸ ἔργον τοῦτο μελετᾶται καὶ θαυμάζεται καὶ θεωρεῖται καὶ εἶναι ἀπαραίτητος σύμβουλος παντός, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ εἰσδύσῃ εἰς τὸ βάθος καὶ νὰ κατανοήσῃ πλήρως καὶ ὀρθῶς τὴν ἁγίαν Γραφήν, νὰ ἀντλήσῃ ἐπιχειρήματα διὰ τὴν καταπολέμησιν πλανῶν καὶ αἱρέσεων, διὰ τὴν σταθεροποίησιν καὶ ἐνίσχυσιν τῆς πίστεως τῆς ἰδικῆς του καὶ τῶν ἄλλων.

3. Τοῦ συγγραφικοῦ καὶ ρητορικοῦ σταδίου τοῦ Χρυσοστόμου διακρίνονται τρεῖς φάσεις:

α) *Τῶν ἀσκητικῶν καὶ ἄλλων πραγματειῶν*, αἱ ὁποῖαι ἐγράφησαν κατὰ τὴν μέχρι τῆς χειροτονίας του εἰς πρεσβύτερον περίοδον, ἤτοι μέχρι τοῦ 386 μ.Χ.

β) *Τῶν ὁμιλιῶν* ἐν Ἀντιοχείᾳ κυρίως καὶ ἐν Κωνσταντινουπόλει, εἰς τῆς ὁποίας τὸν ἀρχιερατικὸν θρόνον ἀνῆλθε τὴν 5ην Δεκεμβρίου τοῦ 397.

γ) *Τῶν ἐπιστολῶν*, τὰς ὁποίας ἔγραψε κατὰ τὴν περίοδον τῶν μεγάλων ταλαιπωριῶν καὶ τῆς ἐξορίας του ἀπὸ τοῦ 404 μέχρι τοῦ θανάτου του (407) πλησίον τῶν Κομάνων τῆς Ἀρμενίας, ὅπου «ὡς ἥλιος ἔδυ» κατὰ Θεοδώρητον (Βλ. Φωτίου: Μυριόβιβλος 273).

4. Εἰς τὸ εὐρύτατον κηρυκτικὸν ἔργον τοῦ Ἰωάννου ἔχουν τὴν λαμπρὰν θέσιν των αἱ *ἑρμηνευτικαὶ ὁμιλίαι* αὐτοῦ, αἱ ὁποῖαι ἀναφέρονται:

α) Εἰς τὴν *Παλαιὰν Διαθήκην*. Εἰς αὐτὰς ἀνήκουν π.χ. αἱ ὁ-

μιλίαι εἰς τὴν Γένεσιν, τὸ πρῶτον βιβλίον τῆς Παλαιᾶς Διαθήκης, αἱ ὁποῖαι ἀνέρχονται εἰς 76 συνολικῶς.

β) Εἰς τὴν *Καινὴν Διαθήκην*. Εἰς αὐτὰς ἀνήκουν, ἐκτὸς ἄλλων, ἡ ἑρμηνεία εἰς τὸ τέταρτον, τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, (ὁμιλίαι 88, ἐκφωνηθεῖσαι περὶ τὸ 391), καὶ ἡ ἑρμηνεία εἰς τὸ πρῶτον, τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, ἡ ὁποία συγκροτεῖται ἐξ ἐνενήκοντα ὁμιλιῶν, ἐκ τῶν ὁποίων αἱ δέκα ἕξ πρῶται μὲ ἀπόδοσιν εἰς τὴν νέαν ἑλληνικὴν καὶ μὲ τὰς ἀπαραιτήτους σημειώσεις ἐκδίδονται εἰς τὸν ἀνὰ χεῖρας τόμον.

5. Ἀπὸ τὰ δύο προβλήματα, ποῦ δηλαδὴ καὶ πότε ἐξεφωνήθησαν αἱ ὁμιλίαι αὐταί, δυσκολώτερον εἶναι τὸ ἀναφερόμενον εἰς τὸν χρόνον. Ὁ Montfaucon εἰς τὸν 57ον τόμον τῆς Ἑλληνικῆς σειρᾶς τῆς Πατρολογίας τοῦ Migne (σελὶς 3 τῆς ἐκδόσεως τοῦ 1862) δέχεται διὰ τοὺς λόγους, τοὺς ὁποίους ἐκεῖ ἀναφέρει, ὅτι αἱ ὁμιλίαι συνετάχθησαν καὶ ἐξεφωνήθησαν ὄχι πρὸ τοῦ 390 καὶ ὄχι μετὰ τὸ 398. Πιθανώτατον εἶναι ὅτι ἐξεφωνήθησαν περὶ τὸ 390. Τὸν ε′ αἰῶνα μετεφράσθησαν εἰς τὴν Συριακὴν καὶ Ἀρμενικὴν καὶ ἀπὸ τοῦ ι′ αἰῶνος εἰς τὴν Ἀραβικὴν καὶ ἄλλας γλώσσας.

Ἡ ἐκφώνησις 90 ὁμιλιῶν καὶ μάλιστα σπουδαίων εἰς χρονικὸν διάστημα ἑνὸς περίπου ἔτους φαίνεται κάτι τὸ σχεδὸν ἀδύνατον, ἂν μάλιστα ληφθῇ ὑπ' ὄψιν ὅτι ὁ Ἰωάννης δὲν αὐτοσχεδιάζει οὔτε ὁμιλεῖ ἀνευθύνως. Μελετᾷ, σταθμίζει, κρίνει ὅ,τι θὰ ἐξέλθῃ ἀπὸ τὰ χείλη του, ἀνατρέχει συνεχῶς εἰς τὰς Γραφάς, ἐπιστρατεύει ἐπιχειρήματα ἐκ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, ἀναφέρεται ἐνίοτε εἰς τὴν ἀρχαίαν Ἑλληνικὴν Γραμματείαν χωρὶς βεβαίως νὰ ἀποφεύγῃ νὰ ὁμιλῇ καὶ περὶ τῆς καθημερινῆς ζωῆς, νὰ ἐξαίρῃ καὶ νὰ ἐπαινῇ ὅ,τι καλόν, νὰ ἐπικρίνῃ καὶ καυτηριάζῃ ὅ,τι κακὸν συναντᾷ εἰς αὐτήν. Ἂν λάβωμεν ὅμως ὑπ' ὄψιν τὴν ἀσφαλῆ πληροφορίαν ὅτι ὁ Ἰωάννης ὡμίλει δύο φορὰς τὴν ἑβδομάδα, ἑκάστην Κυριακὴν καὶ ἑκάστην Παρασκευήν, κατὰ δὲ τὰς Τεσσαρακοστὰς καὶ τὰς Διακαινησίμους καθημερινῶς, ὁ ἀριθμὸς τῶν ἐνενήκοντα

ὁμιλιῶν κατὰ τὸ χρονικὸν διάστημα ἑνὸς ἔτους ὑπερκαλύπτεται καὶ ὁδηγούμεθα εἰς τὸ συμπέρασμα ὅτι ἐκτὸς τῶν 90 ὁμιλιῶν, αἱ ὁποῖαι ἀποτελοῦν τὸ εἰς τὸ κατὰ Ματθαῖον ὑπόμνημα, ὁ Ἰωάννης θὰ ἐξεφώνησε κατὰ τὸν αὐτὸν χρόνον καὶ ἄλλας εὐκαιριακὰς ὁμιλίας, ἀσχέτους πρὸς τὴν ἑνιαῖον σύνολον ἀποτελοῦσαν σειρὰν ταύτην.

6. Πῶς συνθέτει τὰς ὁμιλίας του αὐτὰς ὁ Χρυσόστομος; Εἰς ἑκάστην ὁμιλίαν ἑρμηνεύει ὡρισμένον ἀριθμὸν στίχων, οἱ ὁποῖοι ἀποτελοῦν τὴν συνέχειαν τῶν κατὰ τὴν προηγουμένην ὁμιλίαν ἑρμηνευθέντων. Τοὺς στίχους αὐτοὺς ὑποδιαιρεῖ εἰς μικρότερα τμήματα, ἕκαστον τῶν ὁποίων ἐξετάζει κατὰ δύο τρόπους: Ἀφ᾽ ἑνὸς αἴρει τὰς ἀντιφάσεις, τὰς ὁποίας εἴτε ἡ καλοπροαίρετος μὲν ἀλλὰ ὄχι καὶ βαθέως εἰς τὸ νόημα εἰσχωροῦσα σκέψις μερικῶν νομίζει ὅτι ἀνευρίσκει, εἴτε ἡ κακόβουλος καὶ διαστρεβλωτικὴ μανία τῶν αἱρέσεων δημιουργεῖ. Ἀφ᾽ ἑτέρου προβάλλει πρακτικὰ διδάγματα, ἀπορρέοντα ἀπὸ τὴν ἔκθεσιν τοῦ Εὐαγγελιστοῦ, πρὸς ἠθικὸν καταρτισμὸν τῶν πιστῶν. Τελειώνει συνήθως μὲ τὴν ἔξαρσιν μεγάλης ἠθικῆς ἀληθείας, ὅπως εἶναι λ.χ. ἡ ἀδιαφορία ἔναντι τοῦ πλούτου, ἡ εὐεργετικὴ ἐπίδρασις τῆς θλίψεως ἐπὶ τῶν παντοίων ἐνεργειῶν μας κ.ἄ.

Κατὰ τὸν ἁπλοῦν αὐτὸν καὶ στιβαρὸν τρόπον δομοῦνται ὅλαι αἱ ὁμιλίαι.

Ἀπὸ τὰς ἄλλας διαφέρει ἡ πρώτη, ἡ ὁποία δὲν ἀναφέρεται εἰς συγκεριμένον τμῆμα τῆς ἀφηγήσεως τοῦ Εὐαγγελιστοῦ, ἀλλά, ἀποτελοῦσα τὴν εἰσαγωγὴν τῆς ὅλης σειρᾶς, διανοίγει τὰς προσβάσεις εἰς τὸ ἐπιβλητικὸν πνευματικὸν σύνολον τοῦ Ὑπομνήματος εἰς τὸν Ματθαῖον.

Εἰς αὐτὴν ἑρμηνεύονται μερικαὶ βασικαὶ ἰδέαι. Ποία λ.χ. εἶναι ἡ σημασία τῆς μελέτης τῆς Γραφῆς διὰ τὴν κατάρτισιν τοῦ πιστοῦ, ποία ἡ θέσις τῆς Κ.Δ. ἔναντι τῆς Παλαιᾶς καὶ ἔναντι τῆς Ἑλληνικῆς Φιλοσοφίας, διατί ὁ Ματθαῖος ὠνόμασε τὴν διήγησίν του Εὐαγγέλιον. Ἀναφέρονται τὰ προβλήματα,

τὰ ὁποῖα θὰ ἀντιμετωπίσῃ ὁ ὁμιλητὴς εἰς ὅλην τὴν σειράν, καυτηριάζεται ἡ ἀδιαφορία πρὸς τὸν λόγον τοῦ Θεοῦ ὑπερβαίνοντα εἰς ἀξίαν τὸ κατάφλεκτον ὅρος καὶ προετοιμάζονται οἱ ἀκροαταὶ νὰ δεχθοῦν τοὺς λόγους ποὺ θὰ ἀκολουθήσουν μὲ ἱερὰν προσδοκίαν καὶ «ὀρθίας ψυχάς».

7. Ὁ τόπος, εἰς τὸν ὁποῖον ἐξεφωνήθησαν αἱ ἀποτελέσασαι τὸ εἰς Ματθαῖον ὑπόμνημα ὁμιλίαι, εἶναι εὐκολώτερον νὰ καθορισθῇ ἐξ ἐσωτερικῶν κυρίως μαρτυριῶν, ἐκ τῶν ὁποίων προχείρως ἀναφέρομεν ὀλίγας.

α) Εἰς τὴν Ζ′ ὁμιλίαν ὑπάρχει σαφὴς ἀναφορὰ τῆς πόλεως, εἰς τὴν ὁποίαν τὸ πρῶτον οἱ πιστεύσαντες εἰς τὸν Χριστὸν ὠνομάσθησαν Χριστιανοί.

β) Ἀναφέρεται τὸ γεγονὸς τῆς ἐγκαταστάσεως πληθύος μοναχῶν εἰς τὸ πλησίον τῆς πόλεως ὅρος.

γ) Ἀσκεῖται πολλαχοῦ πολεμικὴ κατὰ τῆς ἑλληνικῆς σκέψεως. Τοῦτο σημαίνει ὅτι ὁ ἱερὸς ὁμιλητὴς ζῇ εἰς περιβάλλον, ὅπου ἀκμάζει τὸ ἑλληνικὸν πνεῦμα, ἔχει δὲ καὶ πολὺ πρόσφατον ἀκόμη τὴν προσωπικὴν ἀναστροφὴν μὲ τὴν ἑλληνικὴν πνευματικὴν δημιουργίαν.

Ὅλα αὐτὰ καὶ ἄλλα πολλά, ἐσωτερικὰ καὶ ἐξωτερικὰ στοιχεῖα, ὁδηγοῦν εἰς τὸ ἀσφαλὲς συμπέρασμα ὅτι αἱ ὁμιλίαι ἐξεφωνήθησαν εἰς τὴν Ἀντιόχειαν τῆς Συρίας. Ἴσως δὲν εἶναι ἑπομένως περιττὸν νὰ λεχθοῦν ὀλίγα περὶ αὐτῆς.

8. Ἡ Ἀντιόχεια ἦτο κατὰ τὴν ἐποχὴν ἐκείνην (τὸν δ′ αἰ. μ.Χ.) πόλις μεγάλη καὶ πολυάνθρωπος, μὲ 200.000 περίπου ἐλευθέρους κατοίκους, ἐκτὸς τῶν δούλων, οἱ ὁποῖοι ἀνήρχοντο κατά τινας εἰς 500.000.

Οἱ κάτοικοι προήρχοντο ἐξ Ἀθηνῶν κυρίως ἀλλὰ καὶ ἐκ Μακεδονίας, Κρήτης καὶ Κύπρου, ὄχι ὀλίγοι δὲ ἦσαν Ἰουδαῖοι, ἐκ τῶν ὁποίων ἄλλοι εἶχαν προσέλθει εἰς τὸν Χριστιανισμὸν καὶ ἄλλοι εἶχαν παραμείνει πιστοὶ εἰς τὴν πάτριον θρησκείαν καὶ προσεπάθουν νὰ ἐπηρεάσουν τοὺς πρώτους, μὲ

ἀποτέλεσμα νὰ νοθεύεται ἡ πίστις τῶν ἐξ Ἰουδαίων Χριστιανῶν ἐξ Ἰουδαϊκῶν θρησκευτικῶν ἀντιλήψεων.

Ἡ πλειονότης τοῦ ὅλου πληθυσμοῦ τῆς Ἀντιοχείας εἶχεν ἀσπασθῇ ἐνωρὶς τὸν Χριστιανισμόν. Ἤδη τὸ 362, ὅτε ὁ Ἰουλιανὸς ἐπεσκέφθη τὴν Ἀντιόχειαν, εὗρεν πολὺ ὀλίγους εἰδωλολάτρας, ὡς ὁ ἴδιος ἀναφέρει εἰς τὸ ἔργον του «Μισοπώγων».

Τὸν συμπαγῆ χριστιανικὸν πληθυσμὸν τῆς πόλεως ἐπηρέαζαν ἀκόμη ὄχι μόνον τὸ πρόσφατον εἰδωλολατρικὸν παρελθόν, ἀλλὰ καὶ αἱ διάφοροι αἱρέσεις, αἱ ὁποῖαι ἐνεφανίζοντο εἰς τὸν χῶρον κυρίως τῆς Ἀνατολῆς καὶ κατώρθωναν νὰ παρασύρουν πολλοὺς ἐκ τῶν πιστῶν καὶ νὰ ταράζουν τὴν Ἐκκλησίαν. Αἱ ἰουδαΐζουσαι αἱρέσεις συνέχεαν τὸν Χριστιανισμὸν μὲ τὸν Ἰουδαϊσμόν. Ὁ Μανιχαϊσμὸς ἀπέρριπτεν ἐντελῶς τὴν Παλαιὰν Διαθήκην καὶ ὁ ἱδρυτής του ὁ Μάνης ἢ Μανιχαῖος, ἐδίδασκεν ὅτι εἶναι ὁ Παράκλητος. Ὁ Ἀρειανισμός, τοῦ ὁποίου πηγὴ ἦτο ἡ Ἀντιόχεια, ἀφοῦ ἐκεῖ ἔδρασε καὶ ἐδίδαξεν ὁ ὁμώνυμος τοῦ γνωστοῦ ἀπὸ τοὺς Νεκρικοὺς διαλόγους του Λουκιανός, πολὺ μορφωμένος καὶ εὐφυής, τὸν ὁποῖον ὁ Harnack ἀποκαλεῖ «Ἄρειον πρὸ τοῦ Ἀρείου», ἐδίδασκεν ὅτι ὁ Θεὸς εἶναι κτίσμα τοῦ Θεοῦ καὶ ἑπομένως δὲν εἶναι «ὁμοούσιος τῷ Πατρί». Ἡ αἵρεσις τοῦ Νεστορίου, κατὰ τὴν ὁποίαν ἡ Παρθένος ἐγέννησε τὸν Χριστὸν (Χριστοτόκος) ἄνθρωπον. Ἡ αἵρεσις τοῦ Εὐτυχοῦς, πρεσβυτέρου εἰς τὴν Κωνσταντινούπολιν, ὁ ὁποῖος ἐδίδασκεν ὅτι ὁ Χριστὸς ἔχει μόνον μίαν φύσιν, τὴν θείαν, διότι ἡ ἀνθρωπίνη ἀπερροφήθη ὑπ' αὐτῆς.

9. Πρὸς ὅλα αὐτὰ καὶ ἄλλα κακὰ εἶχε νὰ παλαίσῃ ὁ Ἰωάννης. Τὸ ἀκροατήριόν του ἦτο εὐρὺ καὶ ἀπετελεῖτο κυριώτατα ἀπὸ ἄνδρας, ἐκ τῶν ὁποίων πολλοὶ εἶχον μετάσχει εἰς τοὺς πολέμους τῆς ἐποχῆς. Ἄλλως δὲν θὰ εἶχον νόημα αἱ συχναὶ προτροπαὶ τοῦ μεγάλου ρήτορος πρὸς τοὺς ἀκροατάς του νὰ ἀνακοινώνουν καὶ νὰ συζητοῦν μὲ τὰς συζύγους καὶ τὰ τέ-

ννα των τὰς ὁμιλίας ἢ ἡ παρατήρησις ὅτι, ἐνῷ τοὺς εἶναι εὐάρεστος πᾶσα περὶ πολέμου ἀφήγησις, δὲν συγκινοῦνται ἐπαρκῶς ἀπὸ τὴν ἀφήγησιν τοῦ πολέμου τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου.

Τὸ ἀκροατήριον τοῦτο καὶ δι αὐτοῦ ὅλον τὸν λαὸν τῆς Ἀντιοχείας ἐπεδίωκε μονίμως καὶ σταθερῶς νὰ ὁδηγήσῃ ὁ Ἰωάννης εἰς τὴν μόνην ὀρθὴν καὶ ἀληθῆ πίστιν, τῆς ὁποίας πιστὸς ἦτο ἐκεῖνος ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας, ἀλλὰ καὶ τοὺς πιστοὺς νὰ στηρίξῃ, νὰ βοηθήσῃ αὐτοὺς νὰ συνειδητοποιήσουν τὴν νέαν πίστιν των, νὰ κλονίσῃ καὶ ἐξαλείψῃ τὰς αἱρέσεις, αἱ ὁποῖαι καὶ πολλαὶ ἦσαν τότε καὶ μὲ φανατισμὸν προεβάλλοντο καὶ ὑπεστηρίζοντο ὑπὸ τῶν ἐμπνευστῶν καὶ τῶν ὀπαδῶν των, πρὸ πάντων ὅμως νὰ ζωοποιήσῃ τὸ γράμμα καὶ τὸν τύπον εἰς θερμὴν πίστιν καὶ αὐτὴν νὰ μεταβάλῃ εἰς πρᾶξιν.

Τὸν ἀγῶνα τοῦτον ἀνέλαβεν οἰκειοθελῶς καὶ αὐτοβούλως καὶ τὸν διεξήγαγεν ἄριστα, διότι ἐβοηθεῖτο ὄχι μόνον ἀπὸ τὴν μεγάλην μόρφωσίν του καὶ τὴν ἀναβλύζουσαν ρητορικήν του δεινότητα, ἀλλὰ καὶ ἀπὸ τὴν βαθεῖαν καὶ ἀκλόνητον πίστιν του, τὴν εὐρεῖαν γνῶσιν τῶν Γραφῶν, τὴν εὐγένειαν τοῦ ὕφους καὶ τοῦ χαρακτῆρος του, τὴν ἱκανότητά του νὰ εἰσέρχεται εἰς τὴν ψυχὴν τοῦ ἀκροατηρίου του καὶ τοῦ ὅλου πληρώματος τῆς ἐκκλησίας εὐρύτερον, τὴν πλουσίαν καὶ σαφῆ καὶ ἰσχυρὰν ἐπιχειρηματολογίαν του, τὸν ἀληθῶς χριστιανικὸν ἰδιωτικὸν καὶ δημόσιον βίον του. Δι' ὅλα αὐτὰ «ὁ λαὸς σφόδρα συνεκρότει καὶ ἠγάπα αὐτόν», κατὰ τὸν Σχολαστικὸν Σωκράτη (Ἐκκλ. Ἱστ. VI, 4, 8), τὸν ζήσαντα τὸν ε' μ.Χ. αἰῶνα.

Καὶ δὲν εἶναι μόνον αὐτὰ τὰ προσόντα τοῦ Ἰωάννου. Διέθετε ἐπὶ πλέον ἐξαιρετικὴν εὐχέρειαν νὰ ἐκφράζῃ διὰ λόγων ἁπλῶν καὶ εὐλήπτων ὑψηλὰ διδάγματα καὶ ἰδέας, νὰ μὴ εἶναι ποτὲ δυσπαρακολούθητος. Ὁ λόγος του εἶναι παντοῦ καὶ πάντοτε σαφής, ἡ γλῶσσα ρέουσα καὶ παραστατική. Χρησιμοποιεῖ ζωηροτάτας εἰκόνας, κάμνει λεπτὰς καὶ ἀκριβεῖς δια-

κρίσεις, ἐνίοτε ἐκσπᾷ εἰς λυρικοὺς ὕμνους, πάντοτε συναρπάζει. Γνωρίζει σαφῶς τὴν ζωὴν τῶν ἀκροατῶν του καὶ εἰς αὐτὴν συνεχῶς ἀναφέρεται πολλάκις μὲ γλῶσσαν δριμυτάτην, ἡ ὁποία τέμνει καὶ καίει. Ἀλλὰ καὶ ὅταν ἀκόμη καυτηριάζῃ, ἡ ἀγάπη διαφαίνεται διὰ μέσου κάθε λέξεως καὶ οἱ ἀκροαταί του τὴν διαισθάνονται ἀσφαλῶς. Γνωρίζουν καὶ ἐκεῖνοι τὸν διδάσκαλόν των. Ἀκούει αὐτὸς τὴν καρδίαν των καὶ αἰσθάνονται ἐκεῖνοι τὰ κινήματα τῆς ἰδικῆς του. Καμμία ψυχικὴ ἀπόστασις δὲν χωρίζει τὸν διδάσκαλον ἀπὸ τοὺς μαθητάς, τὸν ποιμένα ἀπὸ τὰ πρόβατα, τὸν πατέρα ἀπὸ τὰ τέκνα. Ἀκολουθοῦν κατὰ δύναμιν τὸν πνευματικὸν ἡγέτην, ὁ ὁποῖος παραμένει ἄκαμπτος εἰς τὰς ἰδέας καὶ τὰς πεποιθήσεις του, κηρύσσεται ἐχθρὸς κάθε συμβιβασμοῦ, κάθε ὑποχωρήσεως, κάθε ἀποκλίσεως ἀπὸ τὸ ὀρθὸν καὶ τὸ ἠθικὸν χωρὶς παραφορὰν καὶ μῖσος, εἶναι ἐπικριτὴς καὶ πολέμιος πάσης πλάνης, πάσης ἀνηθικότητος, πάσης παραβάσεως τῆς θείας τοῦ Χριστοῦ διδασκαλίας καὶ παρὰ τὸν πανύψηλον στόχον του οὐδέποτε ἀπογοητεύει, ἀλλ ἐμψυχώνει ἐξ ἐναντίας πάντοτε.

Καὶ τὸ ἀκροατήριον τοῦ γίγαντος τῆς Ὀρθοδοξίας τὸν ἀκολουθεῖ. Ἀκολουθεῖ ὅσον ἠμπορεῖ τὸν οἰκουμενικὸν διδάσκαλον, «τὴν ἐρίβρομον» σάλπιγγα τοῦ θείου λόγου. Κινεῖται καὶ ἵσταται μαζί του, βοᾷ καὶ σιωπᾷ, ὀρθώνεται καὶ γονατίζει, πίπτει καὶ ἀνεγείρεται καὶ πάντοτε ζῇ καὶ θὰ ζῇ καὶ πληθύνεται καὶ θὰ πληθύνεται μέχρι συντελείας τῶν αἰώνων καὶ θὰ ὁδεύῃ μετ᾽ αὐτοῦ πρὸς τὸν Ἀρχηγὸν καὶ Τελειωτὴν τῆς πίστεως, ζωντανὴ ἔκφρασις τοῦ ἀπεράντου πόθου τοῦ Ἰωάννου νὰ ἑνωθῇ μὲ τὸν Χριστόν.

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΤΘΑΙΟΝ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΤΗΝ

ΟΜΙΛΙΑ Α'

1. Ἔδει μὲν ἡμᾶς μηδὲ δεῖσθαι τῆς ἀπὸ τῶν γραμμάτων βοηθείας, ἀλλ' οὕτω βίον παρέχεσθαι καθαρόν, ὡς τοῦ Πνεύματος τὴν χάριν ἀντὶ βιβλίων γίνεσθαι ταῖς ἡμετέραις ψυχαῖς, καὶ καθάπερ ταῦτα διὰ μέλανος, οὕτω τὰς καρδίας τὰς ἡμετέρας διὰ Πνεύματος ἐγγεγράφθαι. Ἐπειδὴ δὲ ταύτην διεκρουσάμεθα τὴν χάριν, φέρε κἂν τὸν δεύτερον ἀσπασώμεθα πλοῦν. Ἐπεὶ ὅτι τὸ πρότερον ἄμεινον ἦν, καὶ δι' ὧν εἶπε, καὶ δι' ὧν ἐποίησεν, ἐδήλωσεν ὁ Θεός. Καὶ γὰρ τῷ Νῶε καὶ τῷ Ἀβραὰμ καὶ τοῖς ἐγγόνοις τοῖς ἐκείνου, καὶ τῷ Ἰὼβ καὶ τῷ Μωϋσεῖ δέ, οὐ διὰ γραμμάτων διελέγετο, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, καθαρὰν εὑρίσκων αὐτῶν τὴν διάνοιαν. Ἐπειδὴ δὲ εἰς αὐτὸν τῆς κακίας ἐνέπεσε τὸν πυθμένα ἅπας τῶν Ἑβραίων ὁ δῆμος, τότε λοιπὸν γράμματα καὶ πλάκες καὶ ἡ διὰ τούτων ὑπόμνησις. Καὶ τοῦτο οὐκ ἐπὶ τῶν ἐν τῇ Παλαιᾷ ἁγίων, ἀλλὰ καὶ ἐπὶ τῶν ἐν τῇ Καινῇ συμβὰν ἴδοι τις ἄν. Οὐδὲ γὰρ τοῖς ἀποστόλοις ἔδωκέ τι γραπτὸν ὁ Θεός, ἀλλ' ἀντὶ γραμμάτων τὴν τοῦ Πνεύματος ἐπηγγείλατο δώσειν χάριν. «Ἐκεῖνος γὰρ ὑμᾶς ἀναμνήσει», φησί, «πάντα». Καὶ ἵνα μάθῃς ὅτι τοῦτο πολὺ ἄμεινον ἦν, ἄκουσον διὰ τοῦ προφήτου τί φησι. «Διαθήσομαι ὑμῖν διαθήκην καινήν, διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας γράψω αὐτούς, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ». Καὶ ὁ Παῦλος δὲ

---

1. Ἀρχαία ἑλληνικὴ παροιμιακὴ ἔκφρασις, ἡ ὁποία ἐλέγετο διὰ δευτέραν ἀπόπειραν νὰ ἐπιτευχθῇ κάτι μετὰ τὴν ἀποτυχίαν τῆς πρώτης. Τὴν ἀναφέρουν διάφοροι ἀρχαῖοι Ἕλληνες συγγραφεῖς (Πλάτων, Ἀριστοτέλης κ.ἄ.).

2. Ἰω. 14,26

ΟΜΙΛΙΑ Α'

1. Ἔπρεπε βέβαια ἐμεῖς νὰ μὴ ἔχωμεν ἀνάγκην ἀπὸ τὴν βοήθειαν τῶν γραμμάτων ἀλλὰ νὰ παρουσιάζωμεν τόσον καθαρὸν βίον, ὥστε ἡ χάρις τοῦ Πνεύματος νὰ λαμβάνῃ τὴν θέσιν βιβλίων διὰ τὰς ψυχάς μας, καὶ ὅπως αὐτὰ ἔχουν γραφῇ μὲ μελάνην, ἔτσι καὶ αἱ καρδίαι μας νὰ ἔχουν γραφῇ μὲ τὸ Πνεῦμα. Ἀφοῦ ὅμως ἀπεκρούσαμεν τὴν χάριν αὐτήν, ἂς ἀποδεχθοῦμεν τοὐλάχιστον τὸ «δεύτερον ταξίδι»[1]. Ὅτι τὸ πρῶτον ἦτο καλύτερον, μᾶς τὸ ἐφανέρωσεν ὁ Θεὸς καὶ μὲ ὅσα εἶπε καὶ μὲ ὅσα ἔκαμε. Διότι καὶ μὲ τὸν Νῶε καὶ τὸν Ἀβραὰμ καὶ τοὺς ἀπογόνους ἐκείνου καὶ μὲ τὸν Ἰώβ, καὶ μὲ τὸν Μωϋσῆ ἀκόμη, δὲν ἐπεκοινωνοῦσε μὲ γράμματα ἀλλ' ὁ ἴδιος αὐτοπροσώπως, ἐπειδὴ εὕρισκε τὸν νοῦν των καθαρόν. Ὅταν ὅμως ὅλος ὁ Ἰουδαϊκὸς λαὸς ἔπεσεν εἰς τὸν πυθμένα κυριολεκτικὰ τῆς κακίας, τότε πλέον χρησιμοποιοῦνται τὰ γράμματα καὶ αἱ πλάκες καὶ ἡ ὑπενθύμισις ποὺ αὐτὰ παρέχουν. Τοῦτο ὄχι μόνον εἰς τοὺς ἁγίους τῆς Παλαιᾶς ἀλλὰ τὸ βλέπει κανεὶς νὰ γίνεται καὶ εἰς τοὺς ἁγίους τῆς Καινῆς. Ἀκόμη καὶ εἰς τοὺς ἀποστόλους δὲν ἔδωσε τίποτε γραπτὸν ὁ Θεὸς ἀλλὰ ὑπεσχέθη ὅτι θὰ δώσῃ εἰς αὐτοὺς τὴν χάριν τοῦ Πνεύματος καὶ ὄχι γραπτά. Λέγει· «Ἐκεῖνος γὰρ ἀναμνήσει ὑμᾶς ταῦτα»[2]. Καὶ διὰ νὰ ἐννοήσῃς ὅτι τοῦτο ἦτο πολὺ καλύτερον, ἄκουσε τί λέγει διὰ τοῦ στόματος τοῦ προφήτου. «Διαθήσομαι ὑμῖν διαθήκην καινήν, διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας γράψω αὐτούς, καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ»[3]. Καὶ ὁ Παῦλος

---

3. Ἰερ. 38, 31 - 33

ταύτην ἐνδεικνύμενος τὴν ὑπεροχήν, ἔλεγεν εἰληφέναι νόμον, «οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις». 'Επειδὴ δὲ τοῦ χρόνου προϊόντος ἐξώκειλαν, οἱ μὲν δογμάτων ἕνεκεν, οἱ δὲ βίου καὶ τρόπων, ἐδέησε πάλιν τῆς ἀπὸ τῶν γραμμάτων ὑπομνήσεως. 'Εννόησον οὖν ἡλίκον ἐστὶ κακόν, τοὺς οὕτως ὀφείλοντας ζῆν καθαρῶς, ὡς μηδὲ δεῖσθαι γραμμάτων, ἀλλ' ἀντὶ βιβλίων παρέχειν τὰς καρδίας τῷ Πνεύματι, ἐπειδὴ τὴν τιμὴν ἀπωλέσαμεν ἐκείνην, καὶ κατέστημεν εἰς τὴν τούτων χρείαν, μηδὲ τῷ δευτέρῳ πάλιν κεχρῆσθαι φαρμάκῳ εἰς δέον. Εἰ γὰρ ἔγκλημα τὸ γραμμάτων δεηθῆναι, καὶ μὴ τὴν τοῦ Πνεύματος ἐπισπάσασθαι χάριν, σκόπησον ἡλίκη κατηγορία, τὸ μηδὲ μετὰ τὴν βοήθειαν ταύτην ἐθέλειν κερδαίνειν, ἀλλ' ὡς εἰκῇ καὶ μάτην κείμενα τὰ γράμματα περιορᾶν, καὶ μείζονα ἐπισπᾶσθαι τὴν κόλασιν. Ὅπερ ἵνα μὴ γένηται, προσέχωμεν μετὰ ἀκριβείας τοῖς γεγραμμένοις καὶ μάθωμεν πῶς μὲν ὁ παλαιὸς ἐδόθη νόμος, πῶς δὲ ἡ Καινὴ Διαθήκη.

Πῶς οὖν ὁ νόμος ἐκεῖνος ἐδόθη τότε καὶ πότε καὶ ποῦ; Μετὰ τὸν τῶν Αἰγυπτίων ὄλεθρον, ἐπὶ τῆς ἐρήμου, ἐν τῷ ὄρει Σινᾶ, καπνοῦ καὶ πυρὸς ἀνιόντος ἀπὸ τοῦ ὄρους, σάλπιγγος ἠχούσης, βροντῶν καὶ ἀστραπῶν γινομένων, τοῦ Μωϋσέως εἰς αὐτὸν εἰσιόντος τὸν γνόφον. 'Εν τῇ Καινῇ δὲ οὐχ οὕτως· οὔτε ἐν ἐρήμῳ οὔτε ἐν ὄρει οὔτε μετὰ καπνοῦ καὶ σκότους καὶ γνόφου καὶ θυέλλης· ἀλλ' ἀρχομένης ἡμέρας, ἐν οἰκίᾳ πάντων συγκαθημένων, μετὰ πολλῆς τῆς ἡμερότητος πάντα ἐγίνετο. Τοῖς μὲν γὰρ ἀλογωτέροις καὶ δυσηνίοις σωματικῆς ἔσδει φαντασίας, οἷον ἐρημίας, ὄρους, καπνοῦ, σάλπιγγος ἠχῆς καὶ τῶν ἄλλων τῶν τοιούτων· τοῖς δὲ ὑψηλοτέροις καὶ καταπειθέσι καὶ τὴν τῶν σωμάτων ἔννοιαν ὑπεραναβεβηκόσιν οὐδενὸς ἦν τούτων χρεία. Εἰ

1. Β' Κορ. 3,3

2. 'Εννοεῖται ἐδῶ ἡ ἀχλὺς (= γνόφος) μέσα εἰς τὴν ὁποίαν ἐκδηλώνεται ἡ παρουσία τοῦ Θεοῦ. 'Η λέξις γνόφος εἶναι, δίπλα εἰς τὴν ἔννοιαν τοῦ φωτός, βασικὴ θεολογικὴ ἔννοια ἰδίως τῆς μυστικῆς θεολογίας (βλέπε τὴν λέξιν γνόφος εἰς Χριστ. καὶ Θρησκ. 'Εγκυκλοπαιδείαν).

θέλων νὰ δείξῃ αὐτὴν τὴν ὑπεροχὴν ἔλεγεν ὅτι «ἐλάβαμεν νόμους ὄχι εἰς λιθίνας πλάκας ἀλλὰ εἰς τὰς σαρκίνας πλάκας τῆς καρδίας»[1]. Ἐπειδὴ ὅμως μὲ τὸ πέρασμα τοῦ καιροῦ οἱ νόμοι ἔσβησαν ἄλλοι ἐξ αἰτίας ἀλλαγῆς πεποιθήσεων, ἄλλοι λόγῳ τρόπου ζωῆς, ἐχρειάσθη πάλιν ἡ ὑπόμνησις μὲ γράμματα. Στοχάσου λοιπὸν πόσον μέγα κακὸν εἶναι ἐμεῖς ποὺ ὠφείλαμεν νὰ ζοῦμεν βίον καθαρόν, ὥστε νὰ μὴν ἔχωμεν καμμίαν ἀνάγκην γραμμάτων ἀλλὰ νὰ προσφέρωμεν εἰς τὸ πνεῦμα ἀντὶ βιβλίων τὰς καρδίας μας, ἐμεῖς οἱ ἴδιοι, ἀφοῦ ἐχάσαμεν ἐκείνην τὴν τιμὴν καὶ ἤλθαμεν εἰς τὴν ἀνάγκην τῶν γραμμάτων, νὰ μὴ χρησιμοποιοῦμεν ὀρθῶς οὔτε αὐτὸ τὸ δεύτερον φάρμακον. Διότι ἂν ἦτο κατηγορία τὸ νὰ χρειασθοῦμεν τὰ γράμματα καὶ νὰ μὴ σύρωμεν εἰς ἡμᾶς τὴν χάριν τοῦ Πνεύματος, σκέψου πόσον μεγάλη κατηγορία εἶναι νὰ μὴ θέλωμεν νὰ ἐπωφεληθοῦμεν μήτε ἀπὸ τὴν βοήθειαν αὐτήν, ἀλλὰ νὰ περιφρονοῦμεν τὰ γράμματα, σὰν νὰ ἔχουν δοθῇ χωρὶς λόγον καὶ σκοπὸν καὶ νὰ ἐπισύρωμεν τὴν τιμωρίαν μεγαλυτέραν. Διὰ νὰ μὴ γίνῃ τοῦτο ἂς προσέχωμεν μὲ ἀκρίβειαν εἰς τὰς γραφὰς καὶ ἂς διδαχθοῦμεν πῶς ἐδόθη ὁ παλαιὸς νόμος καὶ πῶς ἡ Καινὴ Διαθήκη.

Πῶς λοιπὸν ἐδόθη τότε ὁ νόμος ἐκεῖνος καὶ πότε καὶ ποῦ; Ἔπειτα ἀπὸ τὴν καταστροφὴν τῶν Αἰγυπτίων εἰς τὴν ἔρημον, ἐπάνω εἰς τὸ ὄρος Σινᾶ, ἐνῷ ἀνυψώνετο ἀπὸ τὸ ὄρος καπνὸς καὶ πῦρ, ἠχοῦσεν ἡ σάλπιγγα, ἐξεσποῦσαν βρονταὶ καὶ ἀστραπαὶ καὶ ὁ Μωϋσῆς εἰσήρχετο εἰς αὐτὸν τὸν γνόφον[2]. Δὲν συνέβη ἔτσι εἰς τὴν Καινὴν Διαθήκην. Μήτε εἰς τὴν ἔρημον ἐδόθη, μήτε εἰς τὸ ὄρος οὔτε μὲ καπνὸν καὶ σκότος καὶ ἀχλὺν καὶ θύελλαν. Ἀλλὰ μέσα εἰς τὸ σπίτι ἐνῷ ἤρχιζε ἡ ἡμέρα καὶ ἦσαν ὅλοι καθισμένοι μαζί, συνέβησαν τὰ πάντα μὲ πολλὴν ἡμερότητα. Δι' ὅσους ἔχουν ἀκαλλιέργητον λογικὴν καὶ εἶναι δυσάγωγοι ἐχρειάζετο κάποια ἱκανοποίησις τῶν αἰσθήσεων μὲ τὴν ἔρημον, τὸ ὄρος, τὸν καπνόν, τὸν ἦχον τῆς σάλπιγγος καὶ τὰ ἄλλα ὅμοια. Ἐνῷ διὰ τοὺς προχωρημένους καὶ πειθηνίους, ἂν ἔχουν ὑπερνικήσει τὴν δύναμιν τοῦ σώμα-

δὲ καὶ ἐπ' αὐτῶν ἦχος ἐγένετο, οὐ διὰ τοὺς ἀποστόλους, ἀλλὰ διὰ τοὺς παρόντας Ἰουδαίους, δι' οὓς καὶ αἱ τοῦ πυρὸς ὤφθησαν γλῶσσαι. Εἰ γὰρ καὶ μετὰ τοῦτο ἔλεγον, ὅτι «Γλεύκους μεμεστωμένοι εἰσί», πολλῷ μᾶλλον, εἰ μηδὲν τούτων εἶδον, ταῦτα ἂν εἶπον.

Καὶ ἐπὶ μὲν τῆς Παλαιᾶς, Μωυσέως ἀναβάντος, οὕτως ὁ Θεὸς κατέβη· ἐνταῦθα δὲ τῆς φύσεως τῆς ἡμετέρας εἰς τὸν οὐρανόν, μᾶλλον δὲ εἰς τὸν θρόνον τὸν βασιλικὸν ἀνενεχθείσης, οὕτω τὸ Πνεῦμα κάτεισιν. Εἰ δὲ τὸ Πνεῦμα ἔλαττον, οὐκ ἂν μείζονα ἦν τὰ γενόμενα καὶ θαυμαστότερα. Καὶ γὰρ αἱ πλάκες αὗται πολλῷ βελτίους καὶ τὰ κατορθώματα λαμπρότερα. Οὐ γὰρ ἐξ ὄρους κατήεσαν στήλας φέροντες λιθίνας ἐπὶ τῶν χειρῶν οἱ ἀπόστολοι, καθάπερ Μωϋσῆς· ἀλλὰ τὸ Πνεῦμα ἐν τῇ διανοίᾳ περιφέροντες, καὶ θησαυρόν τινα καὶ πηγὴν δογμάτων καὶ χαρισμάτων καὶ πάντων τῶν ἀγαθῶν ἀναβλύζοντες, οὕτω πανταχοῦ περιήεσαν, βιβλία καὶ νόμοι γινόμενοι διὰ τῆς χάριτος ἔμψυχοι. Οὕτω τοὺς τρισχιλίους, οὕτω τοὺς πεντακισχιλίους, οὕτω τοὺς τῆς οἰκουμένης ἐπεσπάσαντο δήμους, τοῦ Θεοῦ διὰ τῆς ἐκείνων γλώττης τοῖς προσιοῦσιν ἅπασι διαλεγομένου. Ἀφ' οὗ καὶ ὁ Ματθαῖος τοῦ Πνεύματος ἐμπλησθεὶς ἔγραψεν ἅπερ ἔγραψε· Ματθαῖος ὁ τελώνης· οὐ γὰρ αἰσχύνομαι καλῶν αὐτὸν ἀπὸ τῆς τέχνης, οὔτε τοῦτον, οὔτε τοὺς ἄλλους. Τοῦτο γὰρ μάλιστα δείκνυσι καὶ τὴν τοῦ Πνεύματος χάριν καὶ τὴν ἐκείνων ἀρετήν.

2. Εὐαγγέλιον δὲ αὐτοῦ τὴν πραγματείαν εἰκότως ἐκάλεσε. Καὶ γὰρ κολάσεως ἀναίρεσιν καὶ ἁμαρτημάτων λύσιν καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν καὶ υἱοθεσίαν καὶ κληρονομίαν τῶν οὐρανῶν καὶ συγγένειαν πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ πᾶσιν ἦλθεν ἀπαγγέλλων, τοῖς ἐχθροῖς, τοῖς ἀγνώμοσι, τοῖς ἐν σκότῳ καθημένοις. Τί ποτ' οὖν τῶν εὐαγγελίων τούτων ἴσον γένοιτ' ἄν; Θεὸς ἐπὶ γῆς, ἄνθρωπος ἐν οὐρανῷ· καὶ πάντα ἀνα-

1. Πράξ. 2,13.
2. Πράξ. 2,41 καὶ 4,4

τος, δὲν ὑπάρχει χρεία κανενὸς ἀπὸ αὐτά. Ἐὰν τώρα καὶ εἰς τὴν συγκέντρωσιν αὐτὴν ἠκούσθη ἦχος, τοῦτο δὲν ἔγινε διὰ τοὺς ἀποστόλους ἀλλὰ διὰ τοὺς παρισταμένους Ἰουδαίους, χάριν τῶν ὁποίων ἐφάνησαν καὶ αἱ γλῶσσαι τοῦ πυρός. Ἂν καὶ ἔπειτα ἀπὸ αὐτὸ ἔλεγαν ὅτι «Γλεύκους μεμεστωμένοι εἰσί»[1], θὰ ἔλεγαν περισσότερα, ἂν δὲν ἔβλεπαν τίποτε ἀπὸ αὐτά.

Καὶ εἰς μὲν τὴν Παλαιὰν Διαθήκην ὅταν ἀνέβη ὁ Μωϋσῆς, κατέβη ὁ Θεός. Ἐδῶ ὅμως, ἀφοῦ ἡ ἰδική μας φύσις ἀνυψώθη εἰς τὸν οὐρανὸν ἢ μᾶλλον εἰς τὸν θρόνον τοῦ βασιλέως, τότε κατέρχεται τὸ Πνεῦμα. Καὶ ἂν τὸ Πνεῦμα ἦτο ὀλιγώτερον, δὲν θὰ ἦσαν ὅσα συνέβησαν μεγαλύτερα καὶ πλέον θαυμαστά. Διότι αἱ νεώτεραι πλάκες εἶναι πολὺ ἀνώτεραι καὶ λαμπρότερα τὰ ἔργα. Δὲν κατέβαιναν οἱ ἀπόστολοι ἀπὸ τὸ ὄρος ἔχοντες εἰς τὰ χέρια των στήλας ἀπὸ λίθον, ὅπως ὁ Μωϋσῆς. Εἶχαν εἰς τὸν νοῦν των τὸ Πνεῦμα καὶ ξεχειλίζοντες ἀπὸ κάποιον θησαυρὸν καὶ ἀπὸ κάποιαν πηγὴν διδαχῆς καὶ χαρισμάτων καὶ ὅλων τῶν ἀγαθῶν περιήρχοντο ὅλα τὰ μέρη, καὶ ἦσαν οἱ ἴδιοι μὲ τὴν δύναμιν τῆς χάριτος βιβλία ζωντανὰ καὶ νόμοι ἔμψυχοι. Κατ' αὐτὸν τὸν τρόπον ἐκέρδισαν τὰς τρεῖς καὶ τὰς πέντε χιλιάδας καὶ τὰ πλήθη τῆς γῆς, ἐπειδὴ ἦτο ὁ Θεὸς ποὺ ὡμιλοῦσεν εἰς ὅλους τοὺς προσερχομένους μὲ τὸ στόμα ἐκείνων[2]. Ἀφοῦ καὶ ὁ Ματθαῖος ἀκόμη, γεμᾶτος ἀπὸ τὸ Πνεῦμα, ἔγραψεν ὅσα ἔγραψεν· ὁ Ματθαῖος ὁ τελώνης. Δὲν ἐντρέπομαι ποὺ τὸν ἀποκαλῶ ἀπὸ τὸ ἐπάγγελμά του, οὔτε αὐτὸν οὔτε τοὺς ἄλλους. Διότι αὐτὰ ἀποδεικνύουν καλύτερα καὶ τὴν χάριν τοῦ Πνεύματος ἀλλὰ καὶ τὴν ἀρετὴν ἐκείνων.

2. Δικαιολογημένα τὴν συγγραφὴν του αὐτὴν τὴν ἐκάλεσεν εὐαγγέλιον. Ἦλθε καὶ ἐκήρυττεν εἰς ὅλους τὴν κατάργησιν τῆς κολάσεως, τὴν διάλυσιν τῶν ἁμαρτιῶν, τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὴν ἀπολύτρωσιν, τὴν υἱοθεσίαν, τὴν κληρονομίαν τῶν οὐρανῶν, τὴν συγγένειαν πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ, εἰς τοὺς ἐχθρούς, τοὺς ἀγνώμονας, εἰς αὐτοὺς ποὺ κάθηνται εἰς τὸ σκότος. Τί ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ τὰ εὐαγγέλια αὐτά; Θεὸς ἐπάνω εἰς τὴν γῆν, ἄνθρωπος εἰς τὸν οὐρανόν·

μὶξ ἐγένετο, ἄγγελοι συνεχόρευον ἀνθρώποις, ἄνθρωποι τοῖς ἀγγέλοις ἐκοινώνουν καὶ ταῖς ἄλλαις ταῖς ἄνω δυνάμεσι· καὶ ἦν ἰδεῖν τὸν χρόνον λυθέντα πόλεμον καὶ καταλλαγὰς Θεοῦ πρὸς τὴν ἡμετέραν γεγενημένας φύσιν, διάβολον αἰσχυνόμενον, δαίμονας δραπετεύοντας, θάνατον λελυμένον, παράδεισον ἀνοιγόμενον, κατάραν ἠφανισμένην, ἁμαρτίαν ἐκποδὼν γεγενημένην, πλάνην ἀπεληλαμένην, ἀλήθειαν ἐπανελθοῦσαν, τῆς εὐσεβείας τὸν λόγον πανταχοῦ κατασπειρόμενον καὶ κομῶντα, τὴν τῶν ἄνω πολιτείαν ἐπὶ τῆς γῆς πεφυτευμένην, μετὰ ἀδείας τὰς δυνάμεις ἐκείνας ὁμιλούσας ἡμῖν καὶ τῇ γῇ συνεχῶς ἀγγέλους ἐπιχωριάζοντας καὶ πολλὴν ὑπὲρ τῶν μελλόντων τὴν ἐλπίδα οὖσαν.

Διὰ τοῦτο Εὐαγγέλιον τὴν ἱστορίαν ἐκάλεσεν, ὡς τά γε ἄλλα πάντα ῥήματα μόνον ἐστὶ πραγμάτων ἔρημα, οἷον χρημάτων περιουσία, δυναστείας μέγεθος, καὶ ἀρχαὶ καὶ δόξαι καὶ τιμαὶ καὶ τὰ ἄλλα, ὅσα παρὰ ἀνθρώποις ἀγαθὰ εἶναι νομίζεται. Τὰ δὲ παρὰ τῶν ἁλιέων ἀπαγγελθέντα γνησίως τε καὶ κυρίως εὐαγγέλια ἂν καλοῖτο· οὐκ ἐπειδὴ βέβαια καὶ ἀκίνητα μόνον ἐστὶν ἀγαθὰ καὶ ὑπὲρ τὴν ἀξίαν τὴν ἡμετέραν, ἀλλ' ὅτι καὶ μετ' εὐκολίας ἁπάσης ἡμῖν ἐδόθη. Οὐδὲ γὰρ πονήσαντες καὶ ἱδρώσαντες, οὐ καμόντες καὶ ταλαιπωρηθέντες, ἀλλ' ἀγαπηθέντες παρὰ τοῦ Θεοῦ μόνον, ἐλάβομεν ἅπερ ἐλάβομεν.

Καὶ τί δήποτε τοσούτων ὄντων τῶν μαθητῶν, δύο γράφουσιν ἐκ τῶν ἀποστόλων μόνοι καὶ δύο ἐκ τῶν τούτοις ἀκολούθων;

Ὁ μὲν γὰρ Παύλου, ὁ δὲ Πέτρου μαθητὴς ὤν, μετὰ Ἰωάννου καὶ Ματθαίου τὰ Εὐαγγέλια ἔγραψαν. Ὅτι οὐδὲν πρὸς φιλοτιμίαν ἐποίουν, ἀλλὰ πάντα πρὸς χρείαν.

Καὶ ὅλα ἔχουν ἀναμιχθῆ, οἱ ἄγγελοι ἐχόρευαν μαζὶ μὲ τοὺς ἀνθρώπους καὶ οἱ ἄνθρωποι ἐσυντρόφευαν τοὺς ἀγγέλους καὶ τὰς ἄλλας δυνάμεις τοῦ οὐρανοῦ. Καὶ ἦτο δυνατὸν νὰ ἰδῇς εἰρηνευμένον τὸν πολυχρόνιον πόλεμον, τὴν συμφιλίωσιν τοῦ Θεοῦ μὲ ἡμᾶς τοὺς ἀνθρώπους, ἐξηυτελισμένον τὸν διάβολον, τοὺς δαίμονας νὰ δραπετεύουν, τὸν θάνατον νὰ ἔχῃ καταργηθῆ, τὸν παράδεισον νὰ ἀνοίγεται, τὴν κατάραν νὰ ἐξαφανίζεται, τὴν ἁμαρτίαν ἐξωρισμένην, τὴν πλάνην νὰ ἔχῃ ἐκδιωχθῆ, τὴν ἀλήθειαν νὰ ἔχῃ ἐπανέλθει, τὸν λόγον τῆς εὐσεβείας νὰ σπείρεται παντοῦ καὶ νὰ κυματίζῃ, τὴν πολιτείαν τοῦ οὐρανοῦ νὰ φυτεύεται εἰς τὴν γῆν, νὰ ὁμιλοῦν μὲ ἐλευθερίαν αἱ δυνάμεις ἐκεῖναι μὲ ἡμᾶς, νὰ ἐπισκέπτωνται συνεχῶς οἱ ἄγγελοι τὴν γῆν καὶ νὰ ὑπάρχῃ πολλὴ ἐλπίδα γιὰ τὴν μέλλουσαν ζωήν.

Διὰ τοῦτο ἐκάλεσε τὴν ἱερὰν αὐτὴν ἱστορίαν Εὐαγγέλιον. Διότι ὅλα τὰ ἄλλα εἶναι λέξεις μόνον κεναὶ ἀπὸ πραγματικὸν περιεχόμενον, ἤτοι ὁ πλοῦτος τῶν ὑλικῶν ἀγαθῶν, τὸ μέγεθος τῆς ἐξουσίας, τὰ ἀξιώματα, αἱ δόξαι καὶ αἱ τιμαὶ καὶ ὅλα ὅσα θεωροῦνται ἀγαθὰ ἀπὸ τοὺς ἀνθρώπους. Τὰ κηρύγματα ὅμως τῶν ἁλιέων θὰ ἠμποροῦσαν ἀληθινὰ καὶ κυριοτεκτικὰ νὰ ἀποκληθοῦν εὐαγγέλια. Ὄχι μόνον ἐπειδὴ εἶναι σταθερὰ καὶ ἀκλόνητα ἀγαθὰ καὶ ἀνώτερα ἀπὸ τὴν ἰδικήν μας ἀξίαν ἀλλὰ καὶ διότι μᾶς ἐδόθησαν μὲ ὅλην τὴν εὐκολίαν. Διότι οὔτε ἐκοπιάσαμεν οὔτε ἱδρώσαμεν, δὲν ἐκουρασθήκαμεν καὶ δὲν ἐταλαιπωρήθημεν ἀλλὰ μόνον ἐπειδὴ ἠγαπήθημεν ἀπὸ τὸν Θεόν, ἐλάβαμεν αὐτὰ ποὺ ἐλάβαμεν.

Καὶ διατί τάχα ἐνῷ ἦσαν τόσον πολλοὶ οἱ μαθηταί, γράφουν μόνον δύο ἀπὸ τοὺς ἀποστόλους καὶ δύο ἀπὸ τοὺς ἀκολούθους των;

Διότι ὁ ἕνας ἦτο μαθητὴς τοῦ Παύλου καὶ ὁ ἄλλος τοῦ Πέτρου καὶ μαζὶ μὲ τὸν Ἰωάννην καὶ τὸν Ματθαῖον ἔγραψαν τὰ Εὐαγγέλια. Ἐπειδὴ τίποτε δὲν ἔκαναν διὰ νὰ δοξασθοῦν ἀλλὰ διὰ νὰ ἐξυπηρετήσουν μίαν ἀνάγκην.

Τί οὖν; Οὐκ ἤρκει εἷς εὐαγγελιστὴς πάντα εἰπεῖν;

Ἤρκει μέν· ἀλλὰ κἂν τέσσαρες ὦσιν οἱ γράφοντες, μήτε κατὰ τοὺς αὐτοὺς καιροὺς μήτε ἐν τοῖς αὐτοῖς τόποις μήτε συνελθόντες καὶ διαλεχθέντες ἀλλήλοις, εἶτα ὥσπερ ἀφ' ἑνὸς στόματος πάντα φθέγγωνται, μεγίστη τῆς ἀληθείας ἀπόδειξις τοῦτο γίνεται.

Καὶ μὴν τοὐναντίον συνέβη, φησί· πολλαχοῦ γὰρ διαφωνοῦντες ἐλέγχονται.

Αὐτὸ μὲν οὖν τοῦτο μέγιστον δεῖγμα τῆς ἀληθείας ἐστίν. Εἰ γὰρ πάντα συνεφώνησαν μετὰ ἀκριβείας, καὶ μέχρι καιροῦ καὶ μέχρι τόπου καὶ μέχρι ῥημάτων αὐτῶν, οὐδεὶς ἂν ἐπίστευσε τῶν ἐχθρῶν ὅτι μὴ συνελθόντες ἀπὸ συνθήκης τινὸς ἀνθρωπίνης ἔγραψαν ἅπερ ἔγραψαν· οὐ γὰρ εἶναι τῆς ἁπλότητος τὴν τοσαύτην συμφωνίαν. Νυνὶ δὲ καὶ ἡ δοκοῦσα ἐν μικροῖς εἶναι διαφωνία πάσης ἀπαλλάττει αὐτοὺς ὑποψίας καὶ λαμπρῶς ὑπὲρ τοῦ τρόπου τῶν γραψάντων ἀπολογεῖται. Εἰ δέ τι περὶ καιρῶν ἢ τόπων διαφόρως ἀπήγγειλαν, τοῦτο οὐδὲν βλάπτει τῶν εἰρημένων τὴν ἀλήθειαν.

Καὶ ταῦτα δέ, ὡς ἂν ὁ Θεὸς παρέχῃ, πειρασόμεθα προϊόντες ἀποδεῖξαι, ἐκεῖνο μετὰ τῶν εἰρημένων ἀξιοῦντες ὑμᾶς παρατηρεῖν, ὅτι ἐν τοῖς κεφαλαίοις καὶ συνέχουσιν ἡμῶν τὴν ζωὴν καὶ τὸ κήρυγμα συγκροτοῦσιν οὐδαμοῦ τις αὐτῶν οὐδὲ μικρὸν διαφωνήσας εὑρίσκεται. Τίνα δὲ ταῦτά ἐστιν; Οἷον, ὅτι ὁ Θεὸς ἄνθρωπος ἐγένετο, ὅτι θαύματα ἐποίησεν, ὅτι ἐσταυρώθη, ὅτι ἐτάφη, ὅτι ἀνέστη, ὅτι ἀνῆλθεν, ὅτι μέλλει κρίνειν, ὅτι ἔδωκε σωτηριώδεις ἐντολάς, ὅτι οὐκ ἐναντίον τῇ Παλαιᾷ νόμον εἰσήνεγκεν, ὅτι Υἱός, ὅτι Μονογενής, ὅτι γνήσιος, ὅτι τῆς αὐτῆς οὐσίας τῷ Πατρὶ καὶ ὅσα τοιαῦτα· περὶ γὰρ ταῦτα πολλὴν εὑρήσομεν οὖσαν αὐτοῖς συμφωνίαν. Εἰ δὲ ἐν τοῖς θαύμασι μὴ πάντες πάντα εἶπον, ἀλλ' ὁ μὲν ταῦτα, ὁ δὲ ἐκεῖνα, τοῦτό σε μὴ θορυβείτω· εἴτε γὰρ εἷς πάντα εἶπε, περισσὸς ἦν τῶν λοιπῶν ἀριθ-

Καὶ λοιπὸν δὲν ἔφθανεν ἕνας εὐαγγελιστὴς νὰ τὰ ἐξιστορήση ὅλα;

Βεβαίως ἔφθανεν. Ἂν ὅμως πάλιν αὐτοὶ ποὺ γράφουν εἶναι τέσσαρες ἐνῷ δὲν γράφουν κατὰ τὸν ἴδιον χρόνον, οὔτε εἰς τοὺς αὐτοὺς τόπους οὔτε ἔπειτα ἀπὸ συνάντησιν καὶ συνομιλίαν, ἐν τούτοις ὁμιλοῦν δι' ὅλα σὰν ἀπὸ ἕνα στόμα, γίνεται τότε αὐτὸ ἡ μεγίστη ἀπόδειξις τῆς ἀληθείας.

Ναί, ἀλλὰ συνέβη τὸ ἀντίθετον, παρατηρεῖ· εἰς πολλὰ σημεῖα συλλαμβάνονται νὰ διαφωνοῦν.

Ἀκριβῶς αὐτὸ εἶναι ἡ μεγαλυτέρα ἀπόδειξις τῆς ἀληθείας. Ἂν δηλαδὴ εἶχαν συμφωνήσει δι' ὅλα μὲ τὴν μεγαλυτέραν ἀκρίβειαν καὶ διὰ τὸν χρόνον καὶ διὰ τὸν τόπον καὶ διὰ τὰς λέξεις τὰς ἰδίας, κανεὶς ἀπὸ τοὺς ἐχθροὺς δὲν θὰ ἐπίστευεν ὅτι χωρὶς συνάντησιν καὶ συμφωνίαν ἀνθρωπίνην ἔγραψαν ὅσα ἔγραψαν· δὲν εἶναι δεῖγμα εἰλικρινείας τόσον μεγάλη συμφωνία. Τώρα ὅμως καὶ ἡ φαινομενική εἰς τὰς λεπτομερείας διαφωνία τοὺς ἀπαλλάσσει ἀπὸ κάθε ὑποψίαν καὶ ὑπεραμύνεται θαυμάσια τοῦ τρόπου τῶν συγγραφέων. Ἐὰν ὡμίλησαν διαφορετικὰ διὰ τὸν χρόνον καὶ τὸν τόπον, τοῦτο δὲν ζημιώνει καθόλου τὴν ἀλήθειαν τῶν λόγων των.

Ἀλλὰ καὶ αὐτὰ ὅμως, καθόσον μᾶς παραχωρήσει ὁ Θεός, θὰ προσπαθήσωμεν προχωροῦντες νὰ τὰ διαλευκάνωμεν καὶ ἔχομεν τὴν ἀξίωσιν μαζὶ μὲ τὰ λεχθέντα νὰ προσέξετε καὶ ἐκεῖνο· ὅτι εἰς τὰ κεφαλαιώδη, ποὺ συγκρατοῦν τὴν ζωήν μας καὶ συνθέτουν τὸ κήρυγμα, πουθενὰ δὲν εὑρίσκεται κανένας ἀπὸ αὐτοὺς νὰ διαφωνῇ. Ποῖα εἶναι αὐτά; Ὅτι ὁ Θεὸς λόγου χάριν ἔγινεν ἄνθρωπος, ὅτι ἔκαμε θαύματα, ὅτι ἐσταυρώθη, ἐτάφη, ἀνέστη, ἀνελήφθη, ὅτι πρόκειται νὰ κρίνῃ, ὅτι ἔδωκε σωστικὰς ἐντολάς, ὅτι δὲν εἰσήγαγε νόμον ἀντίθετον πρὸς τὴν Παλαιὰν Διαθήκην, ὅτι εἶναι Υἱός, Μονογενής, γνήσιος, ὅτι εἶναι τῆς ἰδίας οὐσίας μὲ τὸν Πατέρα καὶ ὅσα ὅμοια. Εἰς αὐτὰ θὰ εὕρωμεν ὅτι συμφωνοῦν ἀπολύτως. Ἐνῷ ὡς πρὸς τὰ θαύματα, ἂν δὲν τὰ ἀνέφεραν ὅλοι ὅλα, ἀλλὰ ὁ ἕνας αὐτὰ καὶ ὁ ἄλλος ἐκεῖνα, τοῦτο ἂς μὴ σὲ ἀνησυχῇ. Ἂν τὰ ἀνέφερεν

μός· εἴτε πάντα ἐξηλλαγμένα καὶ καινὰ πρὸς ἀλλήλους ἔγραψαν, οὐκ ἂν ἐφάνη τῆς συμφωνίας ἡ ἀπόδειξις. Διὰ τοῦτο καὶ κοινῇ πολλὰ διελέχθησαν, καὶ ἕκαστος αὐτῶν ἴδιόν τι λαβὼν εἶπε, ἵνα μήτε περισσὸς εἶναι δόξῃ καὶ προσεῤῥῖφθαι ἁπλῶς, καὶ τῆς ἀληθείας τῶν λεγομένων ἀκριβῆ παράσχηται τὴν βάσανον ἡμῖν.

3. Ὁ μὲν οὖν Λουκᾶς καὶ τὴν αἰτίαν φησί, δι' ἣν ἐπὶ τὸ γράφειν ἔρχεται. «Ἵνα ἔχῃς» γάρ, φησί, «περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν»· τουτέστιν, ἵνα συνεχῶς ὑπομιμνῃσκόμενος τὴν ἀσφάλειαν ἔχῃς καὶ ἐν ἀσφαλείᾳ μένῃς. Ὁ δὲ Ἰωάννης αὐτὸς μὲν ἐσίγησε τὴν αἰτίαν, ὡς γὰρ λόγος φησίν ἄνωθεν καὶ ἐκ πατέρων εἰς ἡμᾶς καταβάς, οὐδὲ αὐτὸς ἁπλῶς ἐπὶ τὸ γράφειν ἦλθεν· ἀλλ' ἐπειδὴ τοῖς τρισὶν ἡ σπουδὴ γέγονε τῷ τῆς οἰκονομίας ἐνδιατρῖψαι λόγῳ καὶ τὰ τῆς θεότητος ἐκινδύνευεν ἀποσιωπᾶσθαι δόγματα, τοῦ Χριστοῦ κινήσαντος αὐτὸν λοιπόν, οὕτως ἦλθεν ἐπὶ τὴν εὐαγγελικὴν συγγραφήν. Καὶ τοῦτο δῆλον καὶ ἐξ αὐτῆς τῆς ἱστορίας, καὶ τῶν τοῦ Εὐαγγελίου προοιμίων. Οὐδὲ γὰρ ὁμοίως τοῖς λοιποῖς κάτωθεν ἄρχεται, ἀλλ' ἄνωθεν, πρὸς ὅπερ ἠπείγετο, καὶ διὰ τοῦτο τὸ πᾶν βιβλίον συνέθηκεν. Οὐκ ἐν τοῖς προοιμίοις δὲ μόνον, ἀλλὰ καὶ διὰ παντὸς τοῦ Εὐαγγελίου τῶν ἄλλων ἐστὶν ὑψηλότερος. Λέγεται δὲ καὶ Ματθαῖος, τῶν ἐξ Ἰουδαίων πιστευσάντων προσελθόντων αὐτῷ καὶ παρακαλεσάντων, ἅπερ εἶπε διὰ ῥημάτων, ταῦτα ἀφεῖναι διὰ γραμμάτων αὐτοῖς, καὶ τῇ τῶν Ἑβραίων φωνῇ συνθεῖναι τὸ Εὐαγγέλιον· καὶ Μᾶρκος δὲ ἐν τῇ Αἰγύπτῳ, τῶν μαθητῶν παρακαλεσάντων, αὐτὸ τοῦτο ποιῆσαι.

Διὰ δὴ τοῦτο ὁ μὲν Ματθαῖος, ἅτε Ἑβραίοις γράφων, οὐδὲν πλέον ἐζήτησε δεῖξαι ἢ ὅτι ἀπὸ Ἀβραὰμ καὶ Δαυὶδ ἦν.

1. Λουκ. 1, 4.

ἕνας ὅλα, οἱ ἄλλοι ἦσαν περιττοί· ἄν πάλιν τὰ ἀνέφεραν ὅλοι διαφορετικὰ ἀπὸ τοὺς ἄλλους καὶ μόνον αὐτοί, δὲν θὰ ὑπῆρχεν ἀπόδειξις τῆς συμφωνίας. Διὰ τοῦτον τὸν λόγον καὶ ἀπὸ κοινοῦ ὡμίλησαν διὰ πολλὰ καὶ καθένας ἀπὸ αὐτοὺς ἐπῆρε καὶ μᾶς διηγεῖται κάτι τὸ ἰδιαίτερον. Ἔτσι οὔτε περιττὸς θὰ φανῇ καὶ ὅτι συμμετέχει εἰς τὴν ἐξιστόρησιν χωρὶς λόγον ἀλλὰ καὶ κριτήριον ἀκριβὲς θὰ προσφέρῃ διὰ τὴν ἀλήθειαν τῶν λεγομένων.

3. Ὁ Λουκᾶς λοιπὸν παραθέτει καὶ τὴν αἰτίαν, ἡ ὁποία τὸν ὤθησεν εἰς τὴν συγγραφήν. Λέγει· «Ἵνα ἔχῃς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν» [1]. Δηλαδή, διὰ νὰ εἶσαι ἀσφαλισμένος μὲ τὴν διαρκῆ ὑπόμνησιν καὶ νὰ παραμένῃς ἀσφαλής. Ὁ Ἰωάννης ἀπὸ τὴν ἄλλην ἀπεσιώπησε τὴν αἰτίαν. Διότι ὑπάρχει παράδοσις ποὺ ἔφθασε μέχρις ἡμῶν ἀπὸ παλαιά, ἀπὸ τὴν ἐποχὴν τῶν πατέρων μας, ὅτι μήτε ὁ Ἰωάννης δὲν ἤρχισε νὰ γράφῃ χωρὶς λόγον. Ἀλλὰ ἐπειδὴ οἱ τρεῖς ἠθέλησαν ν' ἀσχοληθοῦν μὲ τὴν ἀφήγησιν τῆς θείας οἰκονομίας καὶ παρ' ὀλίγον ν' ἀποσιωπηθῇ ἡ διδασκαλία περὶ θεότητος, τὸν ἐφώτισεν ὁ Θεὸς καὶ ἔτσι ἤρχισε τὴν συγγραφὴν τοῦ εὐαγγελίου του. Τοῦτο γίνεται φανερὸν καὶ ἀπὸ αὐτὴν τὴν διήγησιν ἀλλὰ καὶ ἀπὸ τὸ προοίμιον τοῦ εὐαγγελίου. Δὲν ἀρχίζει ἀπὸ τὴν γῆν κάτω ὅμοια μὲ τοὺς ἄλλους ἀλλὰ ἀπὸ τὸν οὐρανὸν ὑψηλά, ὅπου ἐβιάζετο νὰ φτάσῃ καὶ χάριν τοῦ ὁποίου ἔχει συνθέσει τὸ βιβλίον του ὅλον· καὶ ὄχι μόνον εἰς τὸ προοίμιον ἀλλὰ καὶ ἀπ' ἀρχῆς μέχρι τέλους τοῦ εὐαγγελίου του εἶναι ὑψηλότερος ἀπὸ τοὺς ἄλλους. Ἐπίσης λέγεται ὅτι καὶ ὁ Ματθαῖος, ἀφοῦ ἦλθαν καὶ τὸν παρεκάλεσαν, ἄφησε γραπτὰ εἰς τοὺς Ἰουδαίους ποὺ ἐπίστευσαν ὅσα ἐδίδαξε προφορικὰ καὶ ὅτι συνέγραψε τὸ εὐαγγέλιόν του εἰς τὴν ἑβραϊκὴν γλῶσσαν. Ἀλλὰ καὶ ὁ Μᾶρκος εἰς τὴν Αἴγυπτον ἔκαμε τὸ ἴδιο ἔπειτα ἀπὸ παράκλησιν τῶν μαθητῶν.

Διὰ τοῦτο λοιπὸν ὁ μὲν Ματθαῖος, ἐπειδὴ γράφει πρὸς Ἑβραίους, δὲν ἠθέλησε νὰ δείξῃ τίποτε περισσότερον παρὰ ὅτι κατήγετο ἀπὸ τὸν Ἀβραὰμ καὶ τὸν Δαυίδ, ὁ δὲ Λουκᾶς

Ὁ δὲ Λουκᾶς, ἅτε καινῇ πᾶσι διαλεγόμενος, καὶ ἀνωτέρω τὸν λόγον ἀνάγει, μέχρι τοῦ Ἀδὰμ προϊών. Καὶ ὁ μὲν ἀπὸ τῆς γενέσεως ἄρχεται· οὐδὲν γὰρ οὕτως ἀνέπαυε τὸν Ἰουδαῖον, ὡς τὸ μαθεῖν αὐτὸν ὅτι τοῦ Ἀβραὰμ καὶ τοῦ Δαυὶδ ἔγγονος ἦν ὁ Χριστός· ὁ δὲ οὐχ οὕτως, ἀλλ' ἑτέρων πλειόνων μέμνηται πραγμάτων, καὶ τότε ἐπὶ τὴν γενεαλογίαν πρόεισι.

Τὴν δὲ συμφωνίαν αὐτῶν καὶ ἀπὸ τῆς οἰκουμένης παραστήσομεν τῆς δεξαμένης τὰ εἰρημένα, καὶ ἀπ' αὐτῶν τῶν τῆς ἀληθείας ἐχθρῶν. Καὶ γὰρ πολλαὶ μετ' ἐκείνους αἱρέσεις ἐτέχθησαν, ἐναντία δοξάζουσαι τοῖς εἰρημένοις· καὶ αἱ μὲν πάντα κατεδέξαντο τὰ λεχθέντα, αἱ δὲ μέρη τῶν εἰρημένων ἀποκόψασαι τῶν λοιπῶν, οὕτω παρ' ἑαυτοῖς ἔχουσιν. Εἰ δὲ μάχη τις ἦν τοῖς εἰρημένοις, οὔτ' ἂν αἱ τἀναντία λέγουσαι ἅπαντα ἂν ἐδέξαντο ἀλλὰ μέρος, τὸ δοκοῦν αὐταῖς συνᾴδειν· οὔτ' ἂν αἱ μέρος ἀπολαβοῦσαι διηλέγχθησαν ἀπὸ τοῦ μέρους, ὡς μηδὲ τὰ κόμματα αὐτὰ λανθάνειν, ἀλλὰ βοᾶν τὴν πρὸς τὸ ὅλον σῶμα συγγένειαν. Καὶ καθάπερ ἂν ἀπὸ πλευρᾶς λάβῃς τι μέρος, καὶ ἐν τῷ μέρει τὰ πάντα εὑρήσεις, ἀφ' ὧν τὸ ὅλον ζῶον συνέστηκε, καὶ νεῦρα καὶ φλέβας καὶ ὀστᾶ καὶ ἀρτηρίας καὶ αἷμα καὶ ὁλοκλήρου, ὡς ἂν εἴποι τις, τοῦ φυράματος δεῖγμα· οὕτω καὶ ἐπὶ τῶν Γραφῶν ἔστιν ἰδεῖν ἑκάστῳ τῶν εἰρημένων μέρει τὴν τοῦ παντὸς συγγένειαν διαφαινομένην. Εἰ δὲ διεφώνουν, οὔτ' ἂν τοῦτο ἐδείχθη, καὶ αὐτὸ πάλαι ἂν διελύθη τὸ δόγμα. «Πᾶσα γὰρ βασιλεία», φησίν, «ἐφ' ἑαυτῆς μερισθεῖσα οὐ σταθήσεται». Νῦν δὲ κἂν τούτῳ τοῦ Πνεύματος ἡ ἰσχὺς λάμπει, πείσασα τοὺς ἀνθρώπους, περὶ τὰ ἀναγκαιότατα καὶ κατεπείγοντα γινομένους, μηδὲν ἀπὸ τῶν μικρῶν τούτων παραβλάπτεσθαι.

4. Ἔνθα μὲν οὖν ἕκαστος διατρίβων ἔγραψεν, οὐ σφόδρα

---

1. Λουκ. 11, 17.

2. Ὁ συλλογισμὸς αὐτός, ὅπως ἀναπτύσσεται ἐδῶ, νομίζουν πολλοὶ ὅτι γίνεται αἰτία δυσκολιῶν, σημειώνεται εἰς τὴν ἔκδοσιν Migne.

ἐπειδὴ ἀπευθύνεται εἰς ὅλους τοὺς ἀνθρώπους ἀπὸ κοινοῦ, ὁδηγεῖ τὸν λόγον πιὸ πέρα καὶ προχωρεῖ μέχρι τοῦ 'Αδάμ. Καὶ ὁ ἕνας ἀρχίζει ἀπὸ τὴν καταγωγήν· ἐπειδὴ τίποτε δὲν ἱκανοποιοῦσε τόσον τὸν 'Ιουδαῖον, ὅσον νὰ μάθῃ ὅτι ὁ Χριστὸς ἦτο ἀπόγονος τοῦ 'Αβραὰμ καὶ τοῦ Δαυίδ. 'Ο τρόπος αὐτὸς δὲν εἶναι καὶ τοῦ ἄλλου· ἀναφέρει πρῶτον πολλὰ ἄλλα πράγματα καὶ τότε προχωρεῖ εἰς τὴν γενεαλόγησιν.

Τὴν συμφωνίαν των θὰ τὴν δείξωμεν καὶ ἀπὸ τὴν οἰκουμένην ποὺ ἐδέχθη τὸ κήρυγμα ἀλλὰ καὶ ἀπὸ τοὺς ἰδίους τοὺς ἐχθροὺς τῆς ἀληθείας. Διότι ἔπειτα ἀπὸ αὐτοὺς ἐγεννήθησαν πολλαὶ αἱρέσεις μὲ ἀντιθέτους δοξασίας πρὸς τὰ κηρυχθέντα καὶ ἄλλαι μὲν ἀπὸ αὐτὰς ἐδέχθησαν ὅλα τὰ λεχθέντα, ἄλλαι ὅμως ἀπέσπασαν καὶ πρεσβεύουν ὡρισμένας ἀπόψεις τῆς διδασκαλίας. 'Εὰν ὅμως ὑπάρχῃ κάποια ἀντίθεσις εἰς τὰ λεχθέντα, οὔτε ὅσαι διδάσκουν τὰ ἀντίθετα θὰ τὰ ἐδέχοντο εἰς τὸ σύνολόν των ἀλλ' ἕνα μέρος μόνον ποὺ θὰ ἐσυμφωνοῦσε μὲ αὐτάς· οὔτε πάλιν ὅσαι ἀπέσπασαν ἕνα μέρος μόνον θὰ ἠλέγχοντο ἀπὸ τὸ μέρος αὐτό, ὥστε μήτε τὰ ἴδια τὰ ἀποκόμματα αὐτὰ νὰ μένουν ἀπαρατήρητα ἀλλὰ νὰ βοοῦν τὴν συγγένειαν πρὸς ὅλον τὸ σῶμα. Καὶ ὅπως, ὅταν πάρῃς ἕνα μέρος ἀπὸ πλευράν, θὰ ἔχῃς τὰ πάντα εἰς τὸ μέρος αὐτὸ ἀπὸ ὅσα εἶναι συγκροτημένον τὸ ζῶον, καὶ νεῦρα δηλαδὴ καὶ φλέβας, καὶ ὀστᾶ καὶ ἀρτηρίας καὶ αἷμα καὶ θὰ ἔλεγε κανεὶς θὰ ἔχῃς ἕνα δεῖγμα ἀπὸ ὁλόκληρον τὴν ζύμην, ἔτσι καὶ προκειμένου διὰ τὰς Γραφάς, εἰς ἕκαστον σημεῖον τῶν λεχθέντων εἶναι δυνατὸν νὰ διακρίνῃς φανερὰν τὴν συγγένειαν μὲ τὸ σύνολον. Ἂν ὅμως ἦσαν διαφορετικά, οὔτε ἡ συγγένεια θὰ ἐφαίνετο ἀλλὰ καὶ ἡ διδασκαλία ἡ ἰδία θὰ εἶχε πρὸ πολλοῦ διαλυθῆ. «Πᾶσα γὰρ βασιλεία», λέγει, «ἐφ' ἑαυτῆς μερισθεῖσα οὐ σταθήσεται»[1]. Τώρα ὅμως καὶ εἰς αὐτὸ τὸ σημεῖον λάμπει ἡ ἰσχὺς τοῦ Πνεύματος· ἔπεισε τοὺς ἀνθρώπους νὰ ἀσχολοῦνται μὲ τὰ πλέον ἀπαραίτητα καὶ κατεπείγοντα πράγματα ἀλλὰ καὶ ἀπὸ τὰ μικρὰ αὐτὰ νὰ μὴ ζημιώνεται καθόλου[2].

4. Δὲν πρέπει νὰ ἐπιμείνωμεν ὑπερβολικὰ εἰς ὅσα ὁ καθεὶς

ἡμῖν δεῖ ἰσχυρίσασθαι· ὅτι δὲ οὐ κατ' ἀλλήλων ἔστησαν, τοῦτο διὰ πάσης τῆς πραγματείας πειρασόμεθα ἀποδεῖξαι.

Σὺ δὲ ταὐτὸν ποιεῖς, διαφωνίαν αἰτώμενος, ὥσπερ ἂν εἰ καὶ ῥήματα τὰ αὐτὰ ἐκέλευες εἰπεῖν καὶ τρόπους λέξεων. Καὶ οὔπω λέγω ὅτι καὶ οἱ μέγα ἐπὶ ῥητορικῇ καὶ φιλοσοφίᾳ κομπάζοντες, πολλοὶ πολλὰ βιβλία γράψαντες περὶ τῶν αὐτῶν πραγμάτων, οὐ μόνον ἁπλῶς διεφώνησαν, ἀλλὰ καὶ ἐναντίως ἀλλήλοις εἶπον. Καὶ γὰρ ἕτερόν ἐστι διαφόρως εἰπεῖν καὶ μαχομένους εἰπεῖν.

Οὐδὲν τούτων λέγω μή μοι γένοιτο ἐκ τῆς ἐκείνων παρανοίας συνθεῖναι τὴν ἀπολογίαν· οὐδὲ γὰρ ἀπὸ τοῦ ψεύδους τὴν ἀλήθειαν συστήσασθαι βούλομαι. Ἀλλ' ἐκεῖνο ἡδέως ἂν ἐροίμην; Πῶς ἐπιστεύθη τὰ διαφωνοῦντα; Πῶς ἐκράτησε; Πῶς ἐναντία λέγοντες ἐθαυμάζοντο, ἐπιστεύοντο, ἀνεκηρύττοντο πανταχοῦ τῆς οἰκουμένης; Καίτοι πολλοὶ οἱ μάρτυρες τῶν λεγομένων ἦσαν, πολλοὶ δὲ καὶ οἱ ἐχθροὶ καὶ πολέμιοι. Οὐ γὰρ ἐν γωνίᾳ μιᾷ γράψαντες αὐτὰ κατώρυξαν, ἀλλὰ πανταχοῦ γῆς καὶ θαλάττης ἥπλωσαν ὑπὸ ταῖς πάντων ἀκοαῖς· καὶ ἐχθρῶν παρόντων ταῦτα ἀνεγινώσκετο, καθάπερ καὶ νῦν, καὶ οὐδένα οὐδὲν τῶν εἰρημένων ἐσκανδάλισε. Καὶ μάλα εἰκότως· θεία γὰρ δύναμις ἦν ἡ πάντα ἐπιοῦσα καὶ κατορθοῦσα παρὰ πᾶσιν. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, πῶς ὁ τελώνης καὶ ὁ ἁλιεὺς καὶ ὁ ἀγράμματος τοιαῦτα ἐφιλοσόφει; Ἃ γὰρ οὐδὲ ὄναρ οἱ ἔξωθεν φαντασθῆναι ἠδυνήθησάν ποτε, ταῦτα οὗτοι μετὰ πολλῆς τῆς πληροφορίας καὶ ἀπαγγέλλουσι καὶ πείθουσι· καὶ οὐχὶ ζῶντες μόνον, ἀλλὰ καὶ τελευτήσαντες· οὐδὲ δύο καὶ εἴκοσιν ἀνθρώπους, οὐδὲ ἑκατὸν καὶ χιλίους καὶ μυρίους, ἀλλὰ πόλεις καὶ ἔθνη καὶ δήμους, καὶ γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ βάρβαρον, καὶ τὴν οἰκουμένην καὶ τὴν ἀοίκη-

ἔγραψεν ἰδιατέρως. Ἀλλ' ὅτι δὲν ἐστάθησαν ἀντιμέτωποι, τοῦτο θὰ προσπαθήσωμεν νὰ ἀποδείξωμεν μὲ ὅλην τὴν ἀνάπτυξίν μας.

Σὺ ὅταν κατηγορῇς τὴν διαφωνίαν των, κάμνεις τὸ ἴδιο ὅπως ἂν διέταζες νὰ χρησιμοποιήσουν τὰς ἰδίας λέξεις καὶ τὴν ἰδίαν σύνταξιν. Δὲν σοῦ ἀντιτάσσω ἀκόμη ὅτι καὶ ὅσοι κομπάζουν πολὺ διὰ τὴν ρητορικὴν καὶ τὴν φιλοσοφίαν των, μολονότι εἶναι πολλοὶ καὶ ἔγραψαν πολλὰ βιβλία διὰ τὰ ἴδια πράγματα, ὄχι μόνον διεφώνησαν ἀλλὰ καὶ εἶπαν μεταξύ των τὰ ἀντίθετα. Εἶναι διαφορετικὸν πρᾶγμα ἡ διαφωνία ἀπὸ τὴν ἀντίθεσιν.

Δὲν ἀναφέρω τίποτε ἀπὸ αὐτά. Ἂς μὴ μοῦ τύχῃ ἀπὸ τὴν παράκρουσιν ἐκείνων καὶ συνθέσω ἐγὼ τὴν ὑπεράσπισίν μου· οὔτε ἐπιθυμῶ νὰ συγκροτήσω τὴν ἀλήθειαν ἀπὸ τὸ ψεῦδος. Θὰ ἐρωτήσω ὅμως εὐχαρίστως ἐκεῖνο· πῶς ἔγιναν πιστευτὰ τὰ συγκρουόμενα; Πῶς ἐπεκράτησαν; Πῶς μολονότι ἔλεγαν πράγματα ἀντίθετα, ἐθαυμάζοντο, ἐγίνοντο πιστευτοὶ καὶ διελαλοῦντο εἰς ὅλην τὴν οἰκουμένην; Ὑπῆρχον ἐν τούτοις πολλοὶ μάρτυρες τῶν λεγομένων, καθὼς ἐπίσης πολλοὶ ἐχθροὶ καὶ ἀντίπαλοι. Διότι βέβαια, ἀφοῦ ἔγραψαν τὰ γραπτά των δὲν τὰ ἔχωσαν εἰς μίαν γωνίαν ἀλλὰ τὰ διέδωσαν εἰς κάθε σημεῖον γῆς καὶ θαλάσσης, εἰς τὰς ἀκοὰς ὅλων. Τὰ ἐδιάβαζαν ἐπὶ παρουσίᾳ τῶν ἐχθρῶν των, ὅπως καὶ τώρα, καὶ κανένα σημεῖον τῶν λεχθέντων δὲν ἐσκανδάλισε κανένα καὶ πολὺ εὐλόγως. Διότι ἡ θεία δύναμις ἦτο ἐκείνη ποὺ ἤρχετο καὶ ἐπετύγχανε τὰ πάντα εἰς αὐτούς. Ἂν δὲν συνέβαινε τοῦτο, πῶς ὁ τελώνης, ὁ ἁλιεύς, ὁ ἀγράμματος διετύπωνε τὰς σκέψεις αὐτάς; Ὅσα οἱ ἔξω σοφοὶ μήτε νὰ τὰ φαντασθοῦν δὲν ἠμπόρεσαν ποτέ, αὐτοὶ μὲ πολλὴν ἐνημέρωσιν τὰ κηρύττουν καὶ πείθουν εἰς αὐτά· καὶ ὄχι μόνον ὅσον ἦσαν ἐν τῇ ζωῇ ἀλλὰ καὶ μετὰ θάνατον· καὶ ὄχι πέντε ἢ δέκα ἀνθρώπους, οὔτε ἑκατὸ καὶ χιλίους ἢ δέκα χιλιάδας ἀλλὰ ὁλοκλήρους πόλεις, φυλὰς καὶ λαούς, τὴν γῆν καὶ τὴν θάλασσαν, τὴν Ἑλλάδα καὶ τὴν βαρβαρικήν, τὴν κατοικημένην καὶ τὴν ἀκατοίκητον, καὶ μάλιστα

τον· καὶ περὶ πραγμάτων σφόδρα τὴν ἡμετέραν ὑπερβαινόντων φύσιν. Τὴν γὰρ γῆν ἀφέντες, πάντα περὶ τῶν ἐν οὐρανοῖς διαλέγονται, ἑτέραν ἡμῖν ζωὴν εἰσάγοντες καὶ βίον ἄλλον, καὶ πλοῦτον καὶ πενίαν, καὶ ἐλευθερίαν καὶ δουλείαν, καὶ ζωὴν καὶ θάνατον, καὶ κόσμον καὶ πολιτείαν, πάντα ἐξηλλαγμένα. Οὐ καθάπερ Πλάτων, ὁ τὴν καταγέλαστον ἐκείνην πολιτείαν συνθείς, καὶ Ζήνων καὶ εἴ τις ἕτερος πολιτείαν ἔγραψεν ἢ νόμους συνέθηκε. Καὶ γὰρ αὐτόθεν ἅπαντες ἐδείκνυντο οὗτοι, ἐπὶ πνεῦμα πονηρὸν καὶ δαίμων τις ἄγριος πολεμῶν ἡμῶν τῇ φύσει καὶ σωφροσύνης ἐχθρὸς καὶ εὐταξίας πολέμιος, πάντα ἄνω καὶ κάτω ποιῶν, ἐνήχησεν αὐτῶν τῇ ψυχῇ. Ὅταν γὰρ κοινὰς πᾶσι τὰς γυναῖκας ποιῶσι, καὶ παρθένους γυμνώσαντες ἐπὶ τῆς παλαίστρας ἄγωσιν ἐπὶ θέαν ἀνθρώπων, καὶ λαθραίους κατασκευάζωσι γάμους, πάντα ὁμοῦ μιγνύντες καὶ συνταράττοντες, καὶ τοὺς ὅρους τῆς φύσεως ἀνατρέποντες, τί ἕτερον ἔστιν εἰπεῖν; Ὅτι γὰρ δαιμόνων ἐκεῖνα ἅπαντα εὑρήματα καὶ παρὰ φύσιν τὰ λεγόμενα, καὶ αὐτὴ μαρτυρήσειεν ἂν ἡμῖν ἡ φύσις, οὐκ ἀνασχομένη τῶν εἰρημένων· καὶ ταῦτα οὐ μετὰ διωγμῶν, οὐ μετὰ κινδύνων, οὐ μετὰ πολέμων, ἀλλὰ μετὰ ἀδείας καὶ ἐλευθερίας ἁπάσης γραφόντων, καὶ πολλοῖς πολλαχόθεν καλλωπιζόντων. Τὰ δὲ τῶν ἁλιέων, ἐλαυνομένων, μαστιζομένων, κινδυνευόντων, καὶ ἰδιῶται καὶ σοφοί, καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ βασιλεῖς καὶ στρατιῶται, καὶ βάρβαροι καὶ Ἕλληνες, μετὰ πάσης ἐδέξαντο τῆς εὐνοίας.

5. Καὶ οὐκ ἂν ἔχοις εἰπεῖν, ὅτι διὰ τὸ μικρὰ εἶναι ταῦτα καὶ χαμαίζηλα, εὐπαράδεκτα γέγονεν ἅπασι· καὶ γὰρ πολλῷ ταῦτα ἐκείνων ὑψηλότερα. Παρθενείας μὲν γὰρ ἐκεῖνοι οὐδὲ ὄναρ οὐδὲ

---

1. Ὁ Πλάτων (427 - 347) χαρακτηρίζεται ὡς «ὁ πνευματικὸς ἀρχηγέτης τῶν αἰώνων». Μεταξὺ ἄλλων ἐπιβλητικὸν σύγγραμμα τῆς ἀκμῆς του ἀποτελεῖ ἡ «Πολιτεία» του, ὅπου σχεδιάζει τὸ καλύτερον κατὰ τὴν γνώμην του πολίτευμα. Πρόκειται περὶ γενναίου πνευματικοῦ κατορθώματος.

2. Ὁ Ζήνων (334 - 262) εἶναι ὁ γνωστὸς ἱδρυτὴς τῆς στωϊκῆς φιλο-

ὁμιλοῦντες διὰ πράγματα ποὺ ὑπερβαίνουν κατὰ πολὺ τὴν φύσιν μας. Διότι ἄφησαν τὴν γῆν καὶ ὁμιλοῦν διὰ τὰ οὐράνια καὶ μᾶς προτείνουν μίαν ἄλλην ζωὴν καὶ ἕναν ἄλλον βίον καὶ πλοῦτον καὶ πτωχείαν καὶ ἐλευθερίαν καὶ δουλείαν καὶ ζωὴν καὶ θάνατον καὶ κόσμον καὶ πολιτείαν ὅλα διαφοροποιημένα. Ὄχι ὅπως ὁ Πλάτων [1], ποὺ συνέθεσε τὴν καταγέλαστον ἐκείνην πολιτείαν καὶ ὁ Ζήνων [2] καὶ ὅποιος ἄλλος συνέγραψε πολιτείαν καὶ συνέθεσε νόμους. Διότι μόνοι των ἔδειξαν ὅλοι αὐτοί, ὅτι ἕνα πονηρὸν πνεῦμα καὶ ἕνας ἄγριος δαίμων ποὺ μάχεται τὴν φύσιν μας, καὶ εἶναι ἐχθρὸς τῆς σωφροσύνης καὶ πολέμιος τῆς κοσμιότητος, ἔκαμε τὰ πάντα ἄνω κάτω καὶ ἐξέσπασε μέσα εἰς τὴν ψυχήν των. Διότι ὅταν κάμνουν τὰς γυναῖκας κοινὰς εἰς ὅλους, καὶ ὁδηγοῦν τὰς νέας, ἀφοῦ τὰς γυμνώσουν, εἰς τὰς παλαίστρας εἰς τὴν θέαν τῶν ἀνθρώπων, ὅταν θεσπίζουν κρυφοὺς γάμους καὶ ἀναμειγνύουν καὶ συγκινοῦν τὰ πάντα μαζὶ καὶ ἀνατρέπουν τοὺς ὅρους τῆς φύσεως, τί ἄλλο ἠμποροῦμεν νὰ εἰποῦμεν; Ὅτι ὅλα αὐτὰ τὰ λεγόμενα εἶναι δαιμονικὰ καὶ παρὰ φύσιν ἐφευρήματα, θὰ τὸ μαρτυρήσῃ καὶ ἡ ἰδία ἡ φύσις μας, ποὺ δὲν ἠνέχθη τὰ λεχθέντα. Καὶ μάλιστα ἐνῷ ἔγραψαν ὄχι μὲ τὴν βίαν τῶν διωγμῶν, ὄχι μὲ κινδύνους καὶ πολέμους, ἀλλὰ μὲ κάθε εὐχέρειαν καὶ ἐλευθερίαν καὶ ἐνῷ ἐστόλιζαν τὰ γραφόμενά των μὲ λογῆς σχήματα. Τὰ κηρύγματα τώρα τῶν ἁλιέων, ἂν καὶ τοὺς κατεδίωκαν, τοὺς ἐκτυποῦσαν, ἂν καὶ ἐκινδύνευαν ὅλοι, καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ βασιλεῖς καὶ στρατιῶται, καὶ βάρβαροι καὶ Ἕλληνες, ὅλοι μὲ κάθε προθυμίαν τὰ ἐδέχθησαν.

5. Καὶ δὲν ἠμπορεῖς νὰ εἴπῃς ὅτι ἐπειδὴ αὐτὰ εἶναι μικρὰ καὶ χαμαίζηλα δι' αὐτὸ καὶ γίνονται ἀπὸ ὅλους εὔκολα παραδεκτά. Διότι αὐτὰ εἶναι πολὺ περισσότερον ὑψηλὰ ἀπὸ ἐκεῖ-

---

σοφίας ἀπὸ τὸ Κίτιον τῆς Κύπρου. Ἔγραψε καὶ αὐτὸς περὶ Πολιτείας. Εἰς τὸ βιβλίον αὐτὸ καταργεῖ τὰ κρατικὰ σύνορα καὶ θέλει καὶ ὅλους τοὺς ἀνθρώπους νὰ τοὺς λογαριάζωμεν διὰ συνδημότας καὶ συμπολίτας μας καὶ μία ζωὴ καὶ ὀργάνωσις νὰ ὑπάρχῃ, ὅπως λέγει ὁ Πλούταρχος.

ὄνομα ἐφαντάσθησαν, οὐδὲ ἀκτημοσύνης οὐδὲ νηστείας οὐδέ τινος ἄλλου τῶν ὑψηλῶν. Οἱ δὲ παρ' ἡμῖν οὐκ ἐπιθυμίαν ἐξορίζουσι μόνον οὐδὲ πρᾶξιν κολάζουσιν, ἀλλὰ καὶ ὄψιν ἀκόλαστον καὶ ῥήματα ὑβριστικὰ καὶ γέλωτα ἄτακτον καὶ σχῆμα καὶ βάδισμα καὶ κραυγὴν καὶ μέχρι τῶν μικροτάτων προάγουσι τὴν ἀκρίβειαν, καὶ τὴν οἰκουμένην ἅπασαν τοῦ τῆς παρθενείας ἐνέπλησαν φυτοῦ. Καὶ περὶ Θεοῦ δὲ ταῦτα φιλοσοφεῖν πείθουσι καὶ τῶν ἐν οὐρανοῖς πραγμάτων, ἃ μηδεὶς μηδέποτε ἐκείνων μηδὲ εἰς νοῦν λαβεῖν ἴσχυσε. Πῶς γάρ, οἱ κνωδάλων καὶ θηρίων χαμαὶ ἑρπόντων καὶ ἑτέρων ἀτιμοτέρων εἰκόνας θεοποιήσαντες; Ἀλλ' ὅμως καὶ ἐδέχθη καὶ ἐπιστεύθη τὰ ὑψηλὰ ταῦτα δόγματα, καὶ καθ' ἑκάστην οἴχεται καὶ ἀπόλωλεν, ἀραχνίων εὐκολώτερον ἀφανισθέντα. Καὶ μάλα εἰκότως· δαίμονες γὰρ ταῦτα διηγόρευον. Διὸ μετὰ τῆς ἀσελγείας καὶ πολὺν ἔχει τὸν ζόφον καὶ πλείω τὸν πόνον.

Τί γὰρ ἂν γένοιτο καταγελαστότερον τῆς πολιτείας ἐκείνης, ἐν ᾗ μετὰ τῶν εἰρημένων μυρίους ἀναλώσας στίχους ὁ φιλόσοφος, ὥστε δυνηθῆναι δεῖξαι τί ποτέ ἐστι τὸ δίκαιον, μετὰ τῆς μακρηγορίας, καὶ ἀσαφείας πολλῆς τὰ εἰρημένα ἐνέπλησεν; Ὅπερ εἰ καί τι συμφέρον εἶχε, σφόδρα ἄχρηστον ἔμελλεν εἶναι τῷ τῶν ἀνθρώπων βίῳ. Εἰ γὰρ ὁ γεωργὸς καὶ ὁ χαλκοτύπος καὶ ὁ οἰκοδόμος καὶ ὁ κυβερνήτης καὶ ἕκαστος ἀπὸ τῆς τῶν χειρῶν τρεφόμενος ἐργασίας μέλλοι τῆς τέχνης μὲν ἀφίστασθαι καὶ τῶν δικαίων πόνων, ἀναλίσκειν δὲ ἔτη τόσα καὶ τόσα, ὥστε μαθεῖν τί ποτέ ἐστι τὸ δίκαιον· καὶ πρὶν ἢ μαθεῖν πολλάκις φθάσει λιμῷ διαφθαρείς, καὶ ἀπελεύσεται διὰ τὸ δίκαιον τοῦτο, μήτε τῶν ἄλλων τῶν χρησίμων μηδὲν μαθών, καὶ βιαίῳ θανάτῳ καταλύσας τὸν βίον. Ἀλλ' οὐ τὰ ἡμέ-

να. Τῆς παρθενίας - νὰ εἰποῦμεν - ἐκεῖνοι οὔτε εἰς τὸ ὄνειρόν των δὲν ἐφαντάσθησαν τὸ ὄνομα· οὔτε τῆς ἀκτημοσύνης, οὔτε τῆς νηστείας, οὔτε κάποιο ἄλλο ἀπὸ τὰ ὑψηλά. Ἐνῷ οἱ ἰδικοί μας δὲν ἐξορίζουν μόνον τὴν ἐπιθυμίαν , δὲν τιμωροῦν τὴν πρᾶξιν μόνον ἀλλὰ καὶ τὴν ἀκόλαστον θέαν, καὶ τοὺς ὑβριστικοὺς λόγους καὶ τὸ ἄκαιρον γέλοιο καὶ τὴν ἐξωτερικὴν ἐμφάνισιν καὶ τὸ βάδισμα καὶ τὴν φωνὴν καὶ ἐκτείνουν τὴν προσοχὴν ἕως τὰ πιὸ μικρὰ καὶ ἐγέμισαν μὲ τὸ φυτὸν τῆς παρθενίας ὅλην τὴν οἰκουμένην. Κάμνουν ἀκόμη νὰ ἀσχολοῦνται σχετικῶς μὲ τὸν Θεὸν καὶ τὰ οὐράνια πράγματα μὲ σκέψεις τὰς ὁποίας οὐδέποτε κανεὶς ἀπὸ αὐτοὺς μήτε εἰς τὸν νοῦν του δὲν συνέλαβε. Καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ γίνῃ τοῦτο ἀπὸ αὐτοὺς ποὺ ἐθεοποίησαν τὰς εἰκόνας τῶν θηρίων καὶ τῶν ἑρπετῶν καὶ ἄλλων ἀκόμη χειροτέρων; Ἀλλὰ τὰ ὑψηλὰ ἰδικά μας διδάγματα ἔγιναν δεκτὰ καὶ πιστευτὰ καὶ καθημερινῶς ἀνθοῦν καὶ προκόπτουν, ἐνῷ τὰ ἰδικά των ἐχάθησαν ἐντελῶς καὶ ἐξηφανίσθησαν εὐκολώτερον ἀπὸ ἀράχνας· καὶ ἦτο πολὺ φυσικὸν ἀφοῦ τὰ διεκήρυτταν δαίμονες. Διὰ τοῦτο ἐκτὸς ἀπὸ τὴν ἁμαρτίαν ἔχουν πολλὴν ἀσάφειαν καὶ περισσότερον κόπον.

Διότι βέβαια τί περισσότερον καταγέλαστον θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀπὸ τὴν πολιτείαν ἐκείνην εἰς τὴν ὁποίαν ἐκτὸς τῶν ἄλλων ποὺ εἴπαμεν, ἀφοῦ ὁ φιλόσοφος δαπανήσῃ ἀμετρήτους γραμμάς, διὰ νὰ ἐπιτύχῃ νὰ δείξῃ τί εἶναι τέλος πάντων τὸ δίκαιον, ἐκτὸς ἀπὸ τὴν φλυαρίαν γεμίζει τοὺς λόγους του καὶ μὲ πολλὴν ἀσάφειαν; Τοῦτο, ἀκόμη καὶ κάτι ὠφέλιμον ἂν περιεῖχεν, ἐπρόκειτο βέβαια νὰ εἶναι ἐντελῶς ἄχρηστον διὰ τὴν ζωὴν τῶν ἀνθρώπων. Ἂν δηλαδὴ ὁ γεωργὸς καὶ ὁ σιδηρουργὸς καὶ ὁ κτίστης καὶ ὁ πλοίαρχος καὶ κάθε ἕνας ἀποχειροβίοτος εἶναι νὰ ἐγκαταλείψῃ τὴν τέχνην του καὶ τοὺς δικαίους κόπους καὶ νὰ ἐξοδεύσῃ τόσα καὶ τόσα ἔτη, διὰ νὰ μάθῃ τί εἶναι δίκαιον καὶ προτοῦ τὸ μάθῃ νὰ κινδυνεύσῃ συχνὰ ἀπὸ τὴν πεῖναν καὶ τελικῶς νὰ ἀποθάνῃ διὰ τὸ δίκαιον τοῦτο, χωρὶς νὰ μάθῃ κανένα ἀπὸ τὰ ἄλλα χρήσιμα, ἀλλὰ ἐπιπροσθέτως θέσῃ καὶ βίαιον τέλος εἰς τὴν ζωήν του, ἂν γίνε-

τερα τοιαῦτα· ἀλλὰ καὶ τὸ δίκαιον καὶ τὸ πρέπον καὶ τὸ συμφέρον καὶ πᾶσαν ἁπλῶς τὴν ἀρετὴν ἐν βραχέσι καὶ σαφέσι συλλαβὼν ῥήμασιν, ἐδίδαξεν ἡμᾶς ὁ Χριστός· ποτὲ μὲν λέγων, ὅτι «ἐν δυσὶν ἐντολαῖς ὁ νόμος καὶ οἱ προφῆται κρέμανται», τουτέστι, τῇ τοῦ Θεοῦ ἀγάπῃ καὶ τῇ τοῦ πλησίον· ποτὲ δὲ λέγων, «Ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται». Ἅπερ καὶ γηπόνῳ καὶ οἰκέτῃ καὶ γυναικὶ χήρᾳ καὶ παιδὶ αὐτῷ καὶ τῷ σφόδρα ἀνοήτῳ εἶναι, πάντα εὐσύνοπτα καὶ ῥᾴδια καταμαθεῖν.

Τοιαῦτα γὰρ τὰ τῆς ἀληθείας· καὶ μαρτυρεῖ τῶν πραγμάτων τὸ τέλος. Πάντες γοῦν ἔμαθον τὰ πρακτέα· καὶ οὐκ ἔμαθον μόνον, ἀλλὰ καὶ ἐζήλωσαν· καὶ οὐκ ἐν ταῖς πόλεσι μόνον, οὐδὲ ἐν μέσαις ταῖς ἀγοραῖς, ἀλλὰ καὶ ἐν ταῖς κορυφαῖς τῶν ὀρῶν. Καὶ γὰρ ἐκεῖ πολλὴν ὄψει τὴν φιλοσοφίαν οὖσαν καὶ χοροὺς ἀγγέλων ἐν ἀνθρωπίνῳ σώματι λάμποντας καὶ τὴν τῶν οὐρανῶν πολιτείαν ἐνταῦθα φαινομένην. Καὶ γὰρ πολιτείαν ἔγραψαν ἡμῖν οἱ ἁλιεῖς, οὐκ ἀπὸ παίδων κελεύσαντες λαμβάνεσθαι, καθάπερ ἐκεῖνοι, οὐδὲ τόσων καὶ τόσων ἐτῶν νομοθετοῦντες εἶναι τὸν ἐνάρετον· ἀλλ' ἁπλῶς πάσῃ διαλεγόμενοι ἡλικίᾳ. Ἐκεῖνα μὲν γάρ, παίδων παίγνια· ταῦτα δέ, πραγμάτων ἀλήθεια. Καὶ τόπον δὲ ἀπέδωκαν τῇ πολιτείᾳ ταύτῃ τὸν οὐρανόν, καὶ τεχνίτην αὐτῆς τὸν Θεὸν εἰσήγαγον, καὶ νομοθέτην τῶν ἐκεῖ κειμένων νόμων· ὥσπερ οὖν καὶ ἐχρῆν. Τὰ δὲ ἔπαθλα τῆς πολιτείας, οὐ φύλλα δάφνης, οὐδὲ κότινος, οὐδὲ ἡ ἐν πρυτανείῳ σίτησις, οὐδὲ εἰκόνες χαλκαῖ, τὰ ψυχρὰ ταῦτα καὶ εὐτελῆ· ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα, καὶ τὸ Θεοῦ γενέσθαι παῖδας, καὶ τὸ μετ' ἀγγέλων

1. Ματθ., 22, 40.

2. Ματθ. 7, 12.

3. Ὁμιλεῖ βεβαίως ὁ Πλάτων περὶ «ὑπερουρανίου τόπου» εἰς τὸν Φαῖδρον (247c), ὅπου τοποθετεῖ τὰς ἰδέας, τὰ ἀθάνατα πρότυπα τοῦ αἰσθητοῦ κόσμου, τὴν Πολιτείαν του ὅμως ἤθελε διακαῶς νὰ ἐφαρμόσῃ εἰς τὴν γῆν, πρᾶγμα ποὺ μὲ ἐπιμονὴν ἐπεδίωξεν.

4. Τὸ δημόσιον καθίδρυμα εἰς τὰς ἀρχαίας Ἀθήνας, ὅπου ἐσιτίζοντο δωρεὰν οἱ καθ' οἱονδήποτε τρόπον εὐεργετήσαντες. Εἶναι γνωστὸν ἀπὸ τὴν Ἀπολογίαν τοῦ Σωκράτους ὅτι αὐτὴν τὴν δωρεὰν εἰς τὸ Πρυτα-

ται έτσι εἰς αὐτούς, δὲν συμβαίνει τὸ ἴδιο μὲ ἡμᾶς. Ἀλλὰ καὶ τὸ δίκαιον καὶ τὸ πρέπον καὶ τὸ συμφέρον καὶ ὅλην γενικῶς τὴν ἀρετὴν τὴν περιέλαβεν ὁ Χριστὸς εἰς λόγους σαφεῖς καὶ τὴν ἐδίδαξεν εἰς ἡμᾶς. Εἴτε μὲ τοὺς λόγους ὅτι «ἐν δυσὶν ἐντολαῖς ὁ νόμος καὶ οἱ προφῆται κρέμανται»[1], δηλαδὴ τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τοῦ πλησίον. Εἴτε μὲ τοὺς λόγους, «Ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται»[2]. Αὐτὰ καὶ ὁ γεωργὸς καὶ ὁ ὑπηρέτης καὶ ἡ χήρα καὶ τὸ παιδὶ τὸ ἴδιο, ἀκόμα καὶ κάποιος ποὺ θεωρεῖται πολὺ ἀνόητος εἶναι ὅλα ἁπλᾶ καὶ εὔκολα νὰ τὰ μάθῃ καλῶς.

Ἔτσι εἶναι ἡ ἀλήθεια καὶ τὸ ἀποδεικνύει ἡ ἔκτασις τῶν πραγμάτων. Ὅλοι ἔμαθαν λοιπὸν τὸ τί πρέπει νὰ πράττουν. Καὶ δὲν τὸ ἔμαθαν μόνον ἀλλὰ τοὺς ἐδημιουργήθη καὶ ὁ ζῆλος, καὶ ὄχι μόνον εἰς τὰς πόλεις ἀλλὰ καὶ εἰς τὸ μέσον τῆς ἀγορᾶς καὶ εἰς τῶν βουνῶν τὰς κορυφάς. Διότι καὶ ἐκεῖ θὰ εὕρῃς νὰ ὑπάρχῃ πολλὴ φιλοσοφία καὶ νὰ ἀστράπτουν χοροὶ ἀγγέλων μὲ ἀνθρώπινα σώματα καὶ τὴν θείαν πολιτείαν νὰ παρουσιάζεται ἐδῶ. Μᾶς ὥρισαν βεβαίως πολιτείαν οἱ ἁλιεῖς, δὲν μᾶς διέταξαν ὅμως νὰ τὴν διδασκώμεθα ἀπὸ τῆς παιδικῆς ἡλικίας, ὅπως ἐκεῖνοι, οὔτε ἐνομοθέτησαν ὅτι ὁ ἐνάρετος πρέπει νὰ εἶναι τόσων ἢ τόσων ἐτῶν· ὁμιλοῦν ἁπλῶς διὰ κάθε ἡλικίαν. Καὶ ἡ συμπεριφορὰ ἐκείνων εἶναι παιγνίδια παιδικά, ἐνῷ ἡμεῖς διαθέτομεν τὴν πραγματικὴν ἀλήθειαν. Καὶ ὡς τόπον διὰ τὴν πολιτείαν των καθώρισαν τὸν οὐρανὸν[3] καὶ ἐδίδαξαν ὅτι τεχνίτης της εἶναι ὁ Θεός, καὶ νομοθέτης τῶν νόμων της, ὅπως ἦτο καὶ τὸ ὀρθόν. Ἀλλὰ τὰ βραβεῖα τῆς πολιτείας δὲν εἶναι φύλλα δάφνης, οὔτε κότινος, οὔτε καὶ ἡ σίτησις εἰς τὸ πρυτανεῖον[4], οὔτε χάλκινοι ἀνδριάντες, βραβεῖα ἄχρηστα καὶ μηδαμινά. Βραβεῖα εἶναι ἡ ζωὴ ποὺ δὲν ἔχει τέλος, ἡ ἀνάδειξίς μας εἰς τέκνα Θεοῦ, ἡ συγχόρευσις μὲ τοὺς ἀγγέλους, ἡ παράστασίς μας εἰς

νεῖον σίτισιν ἐζήτησεν ὁ δαιμόνιος φιλόσοφος τῶν Ἀθηνῶν ἀντὶ ἄλλης ποινῆς κατὰ τὴν περίφημον δίκην του, διότι εἶχε προσφέρει μεγίστην ὑπηρεσίαν εἰς τὴν πατρίδα του διατηρῶν αὐτὴν εἰς πνευματικὴν ἐγρήγορσιν, ὡς ἐπίστευεν ὄχι ἄδικα.

χορεύειν, καὶ τῷ θρόνῳ παρεστάναι τῷ βασιλικῷ, καὶ διηνεκῶς εἶναι μετὰ Χριστοῦ.

6. Δημαγωγοὶ δὲ τῆς πολιτείας εἰσὶ ταύτης τελῶναι, καὶ ἁλιεῖς, καὶ σκηνοποιοί, οὐκ ἐν χρόνῳ ζήσαντες ὀλίγῳ, ἀλλὰ διὰ παντὸς ζῶντες. Διὰ τοῦτο καὶ μετὰ τελευτὴν τοὺς πολιτευομένους τὰ μέγιστα ὀνῆσαι δύναιντ' ἄν. Ταύτῃ τῇ πολιτείᾳ πόλεμος οὐ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς δαίμονας καὶ τὰς ἀσωμάτους δυνάμεις ἐκείνας ἐστί. Διὸ καὶ στρατηγὸς αὐτοῖς οὐκ ἀνθρώπων, οὐδὲ ἀγγέλων οὐδείς, ἀλλ' αὐτὸς ὁ Θεός. Καὶ τὰ ὅπλα δὲ τῶν στρατιωτῶν τούτων μιμεῖται τοῦ πολέμου τὴν φύσιν· οὐ γὰρ ἀπὸ δέρματος καὶ σιδήρου κατεσκευασμένα εἰσίν, ἀλλ' ἐξ ἀληθείας καὶ δικαιοσύνης καὶ πίστεως καὶ φιλοσοφίας ἁπάσης. Ἐπεὶ οὖν περὶ τῆς πολιτείας ταύτης καὶ τὸ βιβλίον τοῦτο γέγραπται, καὶ ἡμῖν πρόκειται νῦν εἰπεῖν, προσέχωμεν ἀκριβῶς τῷ Ματθαίῳ περὶ ταύτης τρανῶς διαλεγομένῳ. Οὐ γὰρ αὐτοῦ, ἀλλὰ τοῦ τὴν πολιτείαν νομοθετήσαντος Χριστοῦ πάντα ἐστὶ τὰ λεγόμενα. Προσέχωμεν δέ, ἵνα καὶ ἐγγραφῆναι δυνηθῶμεν εἰς αὐτήν, καὶ λάμψαι μετὰ τῶν ἤδη πολιτευσαμένων καὶ τοὺς ἀμαράντους ἐκείνους ἐκδεχομένων στεφάνους. Καίτοιγε πολλοῖς εὔκολος ὁ λόγος οὗτος εἶναι δοκεῖ, τὰ δὲ τῶν προφητῶν δυσκολίαν ἔχειν. Ἀλλὰ καὶ τοῦτο ἀγνοούντων ἐστὶ τὸ βάθος τῶν ἐναποκειμένων αὐτῷ νοημάτων. Διὸ παρακαλῶ, μετὰ πολλῆς ἡμῖν ἕπεσθαι τῆς σπουδῆς, ὥστε εἰς αὐτὸ τὸ πέλαγος τῶν γεγραμμένων εἰσελθεῖν, τοῦ Χριστοῦ προηγουμένου ταύτης ἡμῖν τῆς εἰσόδου. Ὥστε δὲ εὐμαθέστερον γενέσθαι τὸν λόγον δεόμεθα καὶ παρακαλοῦμεν (ὅπερ καὶ ἐπὶ τῶν ἄλλων Γραφῶν πεποιήκαμεν), προλαμβάνειν τὴν περικοπὴν τῆς Γραφῆς, ἣν ἂν μέλλωμεν ἐξηγεῖσθαι, ἵνα τῇ γνώσει ἡ ἀνάγνωσις προοδο-

---

1. Δίπλα εἰς τὰς συγγραφὰς περὶ πολιτείας ποὺ ἀνεφέρθησαν, αἱ ὁποῖαι ἐπροξένησαν μεγίστην ἐντύπωσιν εἰς τὴν ψυχὴν τοῦ ἱ. Χρυσοστόμου, φιλοδοξεῖ μὲ τὴν σειρὰν αὐτὴν τῶν ὁμιλιῶν του νὰ συγκροτήσῃ καὶ ὁ ἴδιος τὴν ἰδικήν του πολιτείαν, ποὺ θὰ εἶναι ἡ μόνη ἀληθὴς ὡς πολιτεία τοῦ Χριστοῦ. Ἡ διατύπωσις ἐνθυμίζει τὸ περίφημον ἔργον τοῦ μεγάλου δυτι-

τὸν βασιλικὸν θρόνον καὶ ἡ ἀτελεύτητος συναναστροφὴ μὲ τὸν Χριστόν.

6. Ἀρχηγοὶ τῆς πολιτείας αὐτῆς εἶναι τελῶναι καὶ ἁλιεῖς καὶ σκηνοποιοί, ποὺ δὲν ἔζησαν ὀλίγα ἔτη ἀλλὰ ζοῦν εἰς τοὺς αἰῶνας. Διὰ τοῦτο καὶ μετὰ τὴν κοίμησίν των θὰ ἠμποροῦσαν νὰ ὠφελήσουν τοὺς ζῶντας. Διότι εἰς τὴν πολιτείαν αὐτὴν δὲν διεξάγεται πόλεμος ἐναντίον ἀνθρώπων ἀλλὰ ἐναντίον δαιμόνων καὶ ἐναντίον ἐκείνων τῶν ἀσωμάτων δυνάμεων. Διὰ τοῦτο καὶ εἰς τὸν πόλεμον αὐτὸν στρατηγὸς δὲν εἶναι κάποιος ἀπὸ τοὺς ἀνθρώπους ἢ τοὺς ἀγγέλους ἀλλὰ ὁ ἴδιος ὁ Θεός. Ἀλλὰ καὶ τὰ ὅπλα τῶν στρατιωτῶν τούτων εἶναι ἀνάλογα πρὸς τὴν φύσιν τοῦ πολέμου· δὲν εἶναι κατεσκευασμένα ἀπὸ δέρμα καὶ σίδηρον ἀλλὰ ἀπὸ ἀλήθειαν καὶ δικαιοσύνην καὶ πίστιν καὶ κάθε ἀρετήν. Ἐπειδὴ λοιπὸν διὰ τὴν πολιτείαν [1] αὐτὴν ἔχει γραφῆ καὶ τὸ βιβλίον τοῦτο καὶ δι᾽ αὐτὴν πρόκειται καὶ ἡμεῖς τώρα νὰ ὁμιλήσωμεν, ἂς δώσωμεν ἰδιαιτέραν προσοχὴν εἰς τὸν Ματθαῖον ποὺ ὁμιλεῖ μεγαλοφώνως δι᾽ αὐτήν. Διότι ὅλα αὐτὰ ποὺ λέγονται δὲν εἶναι τοῦ Ματθαίου ἀλλὰ τοῦ Χριστοῦ, ποὺ ἔθεσε τοὺς νόμους τῆς πολιτείας. Ἂς προσέχωμεν δέ, διὰ νὰ ἠμπορέσωμεν ἢ νὰ ἐγγραφῶμεν εἰς αὐτὴν ἢ νὰ λάμψωμεν μαζὶ μὲ ἐκείνους ποὺ ἔχουν προηγηθῆ καὶ ἔχουν δεχθῆ τοὺς ἀμαράντους ἐκείνους στεφάνους. Μολονότι εἰς πολλοὺς φαίνεται ὅτι ὁ λόγος αὐτὸς εἶναι εὔκολος καὶ ὅτι τὴν δυσκολίαν ἔχουν οἱ λόγοι τῶν προφητῶν. Ἀλλὰ καὶ τὸ λάθος αὐτὸ τὸ διαπράττουν ἐκεῖνοι ποὺ ἀγνοοῦν τὸ βάθος τῶν νοημάτων ποὺ περιέχει. Διὰ τοῦτο παρακαλῶ νὰ ἀκολουθῆτε μὲ πολλὴν προθυμίαν, ὥστε νὰ εἰσέλθωμεν εἰς τὸ ἴδιο τὸ πέλαγος τῶν γεγραμμένων, μὲ προηγητὴν εἰς τὴν εἴσοδόν μας αὐτὴν τὸν Χριστόν. Καὶ διὰ νὰ γίνῃ ὁ λόγος εὐκολώτερον προσιτός, σᾶς θερμοπαρακαλῶ, ὅπως ἀκριβῶς ἐκάμαμεν καὶ διὰ τὰ ἄλλα ἀναγνώσματα, ἂς διαβάζωμεν ἐκ τῶν προτέρων τὴν περικοπὴν τῆς πράξεως ποὺ πρόκειται νὰ ἀναγνώσωμεν, διὰ νὰ ἀνοίγῃ ἡ ἀνάγνωσις τὸν δρόμον εἰς τὴν

κοῦ θεολόγου Αὐγουστίνου. De Civitate Dei.

ποιοῦσα ᾖ, ὃ καὶ ἐπὶ τοῦ εὐνούχου γέγονε, καὶ πολλὴν παράσχῃ τὴν εὐκολίαν ἡμῖν. Καὶ γὰρ τὰ ζητούμενα πολλὰ καὶ ἐπάλληλα.

Ὅρα γοῦν εὐθέως ἐν προοιμίοις τοῦ Εὐαγγελίου αὐτοῦ, πόσα ἄν τις ἐπαπορήσειε. Πρῶτον μέν, τίνος ἕνεκεν ὁ Ἰωσὴφ γενεαλογεῖται, οὐκ ὢν τοῦ Χριστοῦ πατήρ. Δεύτερον δέ, πόθεν ἔστε δῆλος ἡμῖν ἀπὸ τοῦ Δαυὶδ κατάγων τὸ γένος τῆς Μαρίας, ἀφ' ἧς ἐτέχθη, τῶν προγόνων ἀγνοουμένων· οὐδὲ γὰρ ἐγενεαλογήθη ἡ Παρθένος. Τρίτον, τίνος ἕνεκεν ὁ μὲν Ἰωσήφ, ὁ μηδὲν συντελῶν πρὸς τὴν γέννησιν, γενεαλογεῖται· ἡ δὲ Παρθένος, ἡ καὶ μήτηρ γενομένη, οὐ δείκνυται τίνων πατέρων καὶ πάππων καὶ προγόνων ἐστί.

Μετὰ τούτων ἄξιον κἀκεῖνο ζητῆσαι, τί δήποτε διὰ τῶν ἀνδρῶν προάγων τὴν γενεαλογίαν, ἐμνήσθη καὶ γυναικῶν. Καὶ ἐπειδὴ τοῦτο αὐτῷ ἔδοξεν, οὐδὲ πάσας τέθεικε τὰς γυναῖκας, ἀλλὰ τὰς εὐδοκίμους παραδραμών, οἷον τὴν Σάῤῥαν, τὴν Ῥεβέκκαν καὶ ὅσαι τοιαῦται, τὰς ἐπὶ κακίᾳ βεβοημένας, ταύτας εἰς μέσον ἤγαγε μόνον· οἷον εἴ τις πόρνη καὶ μοιχαλίς, εἴ τις ἐκ παρανόμων γάμων, εἴ τις ἀλλόφυλος καὶ βάρβαρος ἦν. Καὶ γὰρ τῆς τοῦ Οὐρίου καὶ τῆς Θάμαρ καὶ τῆς Ῥαὰβ καὶ τῆς Ῥοὺθ ἐμνημόνευσεν· ὧν ἡ μὲν ἀλλογενὴς ἦν, ἡ δὲ πόρνη, ἡ δὲ τῷ κηδεστῇ προσεφθάρη, καὶ οὐδὲ τούτῳ νόμῳ γάμου, ἀλλὰ κλέψασα τὴν μῖξιν, καὶ πόρνης περιθεμένη προσωπεῖον ἑαυτῇ· καὶ τὴν τοῦ Οὐρίου δὲ οὐδεὶς ἀγνοεῖ διὰ τὴν περιφάνειαν τοῦ τολμήματος. Ἀλλ' ὅμως πάσας τὰς ἄλλας ἀφεὶς ὁ εὐαγγελιστής, ταύτας ἐνέθηκε τῇ γενεαλογίᾳ μόνας. Καίτοι εἰ μνησθῆναι γυναικῶν ἔδει, πασῶν ἐχρῆν· εἰ δὲ μὴ πασῶν, ἀλλ'

---

1. Ὁ ἱ. Χρυσόστομος συνιστᾷ νὰ διαβάζουν οἱ ἀκροαταί του εἰς τὸ σπίτι τὴν περικοπὴν περὶ ἧς θὰ ὡμιλοῦσε. Τοῦτο μαρτυρεῖ ὅτι τὸ ἀκροατήριόν του ἦτο ἀρκετὰ καλλιεργημένον καὶ συνειδητόν.

2. Σύζυγος τοῦ Χετταίου στρατηγοῦ Οὐρίου ἦτο ἡ Βηθσαβεὲ (Β' Βασ. κεφ. 11). Τὰ περὶ τῆς Θάμαρ, νύμφης τοῦ Ἰούδα, υἱοῦ Ἰακώβ, ἀνάγνωσε εἰς Γένεσιν, κεφ. 38. Ἡ ἱστορία τῆς πόρνης Ραὰβ ἀπὸ τὴν Ἱεριχὼ δεχθείσης τοὺς κατασκόπους τοῦ Ἰησοῦ τοῦ Ναυῆ καὶ τιμωμένης ἀπὸ τοὺς Ἑβραίους

γνῶσιν - ὅπως ἔγινε καὶ εἰς τὸν εὐνοῦχον - καὶ ἔτσι θὰ μᾶς διευκολύνῃ πολύ [1]. Διότι ἀνακύπτουν πολλαὶ καὶ ἀλλεπάλληλοι δυσκολίαι.

Ἀμέσως, ἀπὸ τὴν ἀρχὴν τοῦ Εὐαγγελίου του, πρόσεξε πόσαι ἀπορίαι γεννῶνται. Κατὰ πρῶτον, διὰ ποῖον λόγον ἐκτίθεται ἡ γεννεαλογία τοῦ Ἰωσήφ, ἐνῷ δὲν ἦτο πατὴρ τοῦ Χριστοῦ. Δεύτερον, πῶς θὰ γίνῃ φανερὸν εἰς ἡμᾶς ὅτι κατάγεται ἀπὸ τὸν Δαυίδ, ἀφοῦ ἀγνοοῦνται οἱ πρόγονοι τῆς Μαρίας ἀπὸ τὴν ὁποίαν ἐγεννήθη· διότι δὲν ἀνεφέρθησαν οἱ πρόγονοι τῆς Παρθένου. Τρίτον, διὰ ποῖον λόγον γενεαλογεῖται ὁ Ἰωσήφ, ποὺ δὲν συνετέλεσε καθόλου εἰς τὴν γέννησιν, ἐνῷ δὲν παρουσιάζεται καθόλου ποίους γονεῖς καὶ πάππους καὶ προγόνους εἶχεν ἡ παρθένος, ἡ ὁποία ἔγινε καὶ μητέρα του.

Ἔπειτα ἀπὸ αὐτὰ ἀξίζει νὰ ἐρευνηθῇ καὶ τοῦτο· διατί ἐνῷ προχωρεῖ εἰς γεναλογίαν διὰ τῶν ἀνδρῶν, ἀνέφερε καὶ ὡρισμένας γυναῖκας. Καὶ ἀφοῦ τοῦ ἐφάνη ἔτσι καλόν, δὲν ἀνέφερεν ὅλας τὰς γυναῖκας· παρέλειψε τὰς τιμημένας, ὅπως ἡ Σάρρα, ἡ Ρεβέκκα καὶ ἄλλαι καὶ ἔφερεν εἰς τὴν μέσην τὰς διαβοήτους διὰ τὴν κακίαν των, ὅποια π.χ. ἦτο πόρνη καὶ μοιχαλίς, ὅποια προήρχετο ἀπὸ παρανόμους γάμους, ὅποια ἦτο ἀλλόφυλος καὶ βάρβαρος. Διότι ἐμνημόνευσε τὴν γυναῖκα τοῦ Οὐρίου, τὴν Θάμαρ, τὴν Ραὰβ καὶ τὴν Ρούθ [2], ἀπὸ τὰς ὁποίας ἡ μία ἦτο ἀλλόφυλος, ἄλλη πόρνη καὶ ἄλλη ἐπλάγιασε μὲ τὸν πεθερόν της καὶ ὄχι ἔπειτα ἀπὸ νόμιμον γάμον τοὐλάχιστον ἀλλὰ ἀφοῦ ἐπέτυχε μὲ δόλον τὴν συνεύρεσιν καὶ ἐκαλύφθη μὲ τὸ προσωπεῖον τῆς πόρνης. Κανεὶς ἐπίσης δὲν ἀγνοεῖ τὴν γυναῖκα τοῦ Οὐρίου, ἐπειδὴ τὸ τόλμημα ἦτο πρωτοφανές. Ὁ εὐαγγελιστὴς ὅμως ἄφησεν ὅλας τὰς ἄλλας καὶ περιέλαβε μόνον αὐτὰς εἰς τὴν γενεαλογίαν του. Ἐνῷ βεβαίως ἂν ἔπρεπε νὰ ἀναφερθοῦν γυναῖκες, ἔπρεπε νὰ ἀναφερθοῦν ὅλαι καὶ ἂν ὄχι ὅλαι ἀλλὰ μερι-

---

διὰ τὸν λόγον αὐτόν. Ἡ συγκινητικὴ περίπτωσις τῆς Ρούθ περιέχεται εἰς τὸ ἀφιερωμένον εἰς αὐτὴν βιβλίον τῆς Π.Δ.

ἐνίων, τῶν ἐν ἀρετῇ, οὐ τῶν ἐν ἁμαρτήμασι βεβοημένων.

Εἴδετε πόσης ἡμῖν δεῖ προσοχῆς ἐν τοῖς προοιμίοις εὐθέως. Καίτοιγε δοκεῖ σαφέστερον εἶναι τῶν ἄλλων τὸ προοίμιον, τάχα δὲ πολλοῖς καὶ περισσόν, διὰ τῶν ὀνομάτων ἀριθμὸν εἶναι μόνον.

Μετὰ τοῦτο κἀκεῖνο ἄξιον ζητῆσαι, τίνος ἕνεκεν τρεῖς παρέδραμε βασιλεῖς. Εἰ γὰρ ὡς σφόδρα ἀσεβῶν ἀπεσιώπησε τὴν προσηγορίαν, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων μνησθῆναι ἔδει.

Καὶ γὰρ καὶ τοῦτο ἕτερόν ἐστι ζήτημα. Δεκατέσσαρας γὰρ εἰπὼν γενεάς, ἐν τῇ τρίτῃ μερίδι τὸν ἀριθμὸν οὐ διέσωσε. Καὶ τίνος ἕνεκεν ὁ μὲν Λουκᾶς ἑτέρων ἐμνημόνευσεν ὀνομάτων, καὶ οὐ μόνον οὐ τῶν αὐτῶν ἁπάντων, ἀλλὰ καὶ πολλῷ πλειόνων· ὁ δὲ Ματθαῖος καὶ ἐλαττόνων καὶ ἑτέρων, καίτοιγε εἰς τὸν Ἰωσὴφ καὶ αὐτὸς τελευτήσας, εἰς ὃν καὶ ὁ Λουκᾶς κατέληξεν;

Ὁρᾶτε ὅσης ἀγρυπνίας ἡμῖν χρεία, οὐκ εἰς τὸ λῦσαι μόνον, ἀλλὰ καὶ εἰς τὸ μαθεῖν τίνα χρὴ λῦσαι. Οὐδὲ γὰρ τοῦτο μικρόν, τὸ τὰ διαπορούμενα δυνηθῆναι εὑρεῖν· καὶ γὰρ καὶ ἐκεῖνο ἄπορον, πῶς ἡ Ἐλισάβετ ἀπὸ τῆς Λευϊτικῆς φυλῆς οὖσα, συγγενὴς ἦν τῆς Μαρίας;

7. Ἀλλ' ἵνα μὴ καταχώσωμεν ὑμῶν τὴν μνήμην πολλὰ συνείροντες, ἐνταῦθα τέως τὸν λόγον στήσωμεν. Ἀρκεῖ γὰρ ὑμῖν εἰς τὸ διεγερθῆναι καὶ τὸ τὰ ζητούμενα μόνον μαθεῖν. Εἰ δὲ καὶ τῆς λύσεως ὁρᾶτε, καὶ τούτου πρὸ τῶν λόγων τῶν ἡμετέρων ὑμεῖς κύριοι. Ἂν μὲν γὰρ ἴδω διεγερθέντας καὶ ἐπιθυμοῦντας μαθεῖν, πειράσομαι καὶ τὴν λύσιν ἐπαγαγεῖν· ἂν δὲ χασμωμένους καὶ μὴ προσέχοντας, ἀποκρύψομαι καὶ τὰ ζητήματα καὶ τὴν λύσιν, θείῳ νόμῳ πειθόμενος. «Μὴ δῶτε» γάρ, φησί, «τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπρο-

---

1. Πρωτότυπος ἀληθινὰ τρόπος, διὰ νὰ κερδίσῃ ἕνας ρήτωρ τὴν εὔνοιαν τοῦ ἀκροατηρίου του, τὴν ὁποίαν ὅλοι προσπαθοῦν νὰ ἐπιτύχουν ἀλλὰ διὰ φιλοφρονήσεων μᾶλλον.

καί, ἔπρεπε νὰ ἀναφερθοῦν αἱ φημισμέναι διὰ ἀρετὴν καὶ ὄχι διὰ ἁμαρτήματα.

Εἴδατε πόση προσοχὴ χρειάζεται εὐθὺς ἀπὸ τὸ προοίμιον. Μολονότι φαίνεται ὅτι τὸ προοίμιον εἶναι σαφέστερον ἀπὸ τὰ ἄλλα, καὶ διὰ πολλοὺς ἴσως καὶ περιττόν, ἐπειδὴ εἶναι μόνον ἀρίθμησις ὀνομάτων.

Ἔπειτα ἀπὸ αὐτὸ εἶναι ἄξιον ζητήσεως καὶ ἐκεῖνο· διὰ ποῖον λόγον παρέτρεξε τρεῖς βασιλεῖς. Ἂν ἀπεσιώπησε τὴν ὀνομασίαν των ἐπειδὴ ἦσαν πολὺ ἀσεβεῖς, δὲν ἔπρεπεν οὔτε τοὺς ἄλλους νὰ ἀναφέρῃ τοὺς ὁμοίους των.

Ἕνα ἄλλο ζήτημα εἶναι καὶ τοῦτο. Ἐνῷ ὡμίλησε διὰ δεκατέσσαρας γενεάς, δὲν ἐτήρησε τὸν ἀριθμὸν εἰς τὴν τρίτην ὁμάδα. Ἀκόμη, διὰ ποῖον λόγον ὁ Λουκᾶς ἀνέφερεν ἄλλα ὀνόματα καὶ ὄχι μόνον δὲν ἀνέφερεν αὐτὰ τὰ ἴδια ἀλλὰ καὶ πολὺ περισσότερα. Ἐνῷ ὁ Ματθαῖος καὶ ὀλιγώτερα καὶ διάφορα, μολονότι καταλήγει καὶ αὐτὸς εἰς τὸν Ἰωσήφ, ὅπου ἐσταμάτησε καὶ ὁ Λουκᾶς.

Βλέπετε πόση προσοχὴ μᾶς χρειάζεται ὄχι διὰ νὰ διελευκάνωμεν μόνον τὰ ζητήματα ἀλλὰ καὶ διὰ νὰ ἐπισημάνωμεν αὐτὰ ποὺ πρέπει νὰ μᾶς ἀπασχολήσουν. Καὶ δὲν εἶναι βεβαίως τοῦτο μικρόν, νὰ ἠμπορέσωμεν νὰ ἐπισημάνωμεν ἀμφισβητούμενα. Ἀκόμη καὶ τοῦτο προκαλεῖ ἀπορίαν· πῶς ἡ Ἐλισάβετ ἦτο συγγενὴς τῆς Μαρίας, ἐνῷ κατήγετο ἀπὸ τὴν Λευϊτικὴν φυλήν.

7. Ἀλλὰ διὰ νὰ μὴν κατασκεπάσωμεν τὴν μνήμην μας συμπλέκοντες πολλά, ἂς σταματήσωμεν τὸν λόγον ἐνῷ εἶναι ἀρκετὸν διὰ σᾶς νὰ δείξετε ἐνδιαφέρον καὶ νὰ μάθετε ἁπλῶς ποῖα ἀποτελοῦν ζήτημα. Ἂν ὅμως ἐπιθυμῆτε καὶ τὴν λύσιν, καὶ τοῦτο παρὰ τοὺς λόγους μου ἐξαρτᾶται ἀπὸ σᾶς. Ἂν σᾶς ἰδῶ δηλαδὴ νὰ ἐνδιαφέρεσθε καὶ νὰ ἐπιθυμῆτε νὰ μάθετε, θὰ προσπαθήσω νὰ σᾶς δώσω καὶ τὴν λύσιν. Ἂν ὅμως χασμᾶσθε [1] καὶ δὲν προσέχετε, θὰ ἀποσιωπήσω καὶ τὰ ζητήματα καὶ τὴν λύσιν των, τηρῶν τὴν ἐντολὴν τοῦ Θεοῦ· διότι μᾶς λέγει, «Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμ-

σθεν τῶν χοίρων, ἵνα μὴ καταπατήσωσι τοῖς ποσὶν αὐτῶν». Τίς δέ ἐστιν ὁ καταπατῶν; Ὁ μὴ τίμια ταῦτα ἡγούμενος καὶ σεμνά.

Καὶ τίς οὕτως ἄθλιος, φησίν, ὡς μὴ σεμνὰ ταῦτα καὶ πάντων ἡγεῖσθαι τιμιώτερα;

Ὁ μηδὲ τοσαύτην παρέχων αὐτοῖς σχολήν, ὅσην ταῖς πόρναις γυναιξὶν ἐν τοῖς σατανικοῖς θεάτροις. Ἐκεῖ μὲν γὰρ καὶ διημερεύουσιν οἱ πολλοί, καὶ πολλὰ τῶν ἐπὶ τῆς οἰκίας προδιδόασι διὰ τὴν ἄκαιρον ἀσχολίαν ταύτην, καὶ μετὰ ἀκριβείας ὅπερ ἂν ἀκούσωσι κατέχουσι, καὶ ταῦτα ἐπὶ λύμῃ τῆς ἑαυτῶν ψυχῆς φυλάττοντες. Ἐνταῦθα δὲ τοῦ Θεοῦ φθεγγομένου, οὐδὲ μικρὸν ἀνέχονται παραμεῖναι χρόνον. Διά τοι τοῦτο οὐδὲν κοινὸν ἔχομεν πρὸς τὸν οὐρανόν, ἀλλὰ μέχρι ῥημάτων ἡμῖν ἡ πολιτεία. Καίτοιγε καὶ γέενναν διὰ τοῦτο ἠπείλησεν ὁ Θεός, οὐχ ἵνα ἐμβάλῃ, ἀλλ' ἵνα πείσῃ φυγεῖν τὴν χαλεπὴν τυραννίδα ταύτην. Ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν, καὶ καθ' ἑκάστην ἡμέραν πρὸς τὴν ἐκεῖ φέρουσαν ὁδὸν τρέχομεν· καὶ τοῦ Θεοῦ κελεύοντος μὴ μόνον ἀκούειν, ἀλλὰ καὶ ποιεῖν τὰ λεγόμενα, οὐδὲ ἀκοῦσαι ἀνεχόμεθα.

Πότε οὖν πράξομεν, εἰπέ μοι, τὰ κελευόμενα, καὶ τῶν ἔργων ἀψόμεθα, ὅταν μηδὲ τοὺς ὑπὲρ τούτων λόγους ἀκούειν ἀνεχώμεθα, ἀλλὰ ἀσχάλλωμεν καὶ ἀλύωμεν πρὸς τὴν ἐνταῦθα διατριβήν, καίτοι βραχεῖαν οὖσαν σφόδρα; Εἶτα ἡμεῖς μὲν περὶ ψυχρῶν διαλεγόμενοι πραγμάτων, ἂν τοὺς συγκαθημένους μὴ προσέχοντας ἴδωμεν, ὕβριν τὸ πρᾶγμά φαμεν. Τὸν Θεὸν δὲ οὐχ ἡγούμεθα παροξύνειν, ὅταν αὐτοῦ περὶ τοιούτων διαλεγομένου, καταφρονήσαντες τῶν λεγομένων, ἑτέρωσε βλέπωμεν; Ἀλλ' ὁ μὲν γεγηρακὼς καὶ πολλὴν ἐπελθὼν γῆν, καὶ σταδίων ἀριθμόν, καὶ πόλεων θέσεις καὶ σχήματα καὶ λιμένας καὶ ἀγο-

1. Ματθ. 7, 6.

2. Μέτρον μήκους εἰς τὴν ἀρχαίαν Ἑλλάδα συγκείμενον ἀπὸ 186 μέτρα περίπου. Τὸ μῆκος του ἐποίκιλλε κατὰ πόλιν ἀναλόγως πρὸς τὸ μῆκος τοῦ ποδός.

προσθεν τῶν χοίρων, ἵνα μὴ καταπατήσωσι τοῖς ποσὶν αὐτῶν»[1]. Ποῖος εἶναι αὐτὸς ποὺ καταπατεῖ; Αὐτὸς ποὺ δὲν τὰ θεωρεῖ πολύτιμα καὶ ἄξια σεβασμοῦ.

Καὶ ποῖος εἶναι τόσον ἄθλιος, ἐρωτᾷ, ὥστε νὰ μὴ τὰ θεωρῇ ἄξια σεβασμοῦ καὶ πολυτιμότερα ἀπὸ ὁ,τιδήποτε ἄλλο;

Αὐτὸς ποὺ δὲν τοὺς ἀφιερώνει μήτε τόσην ὥραν ὅσην εἰς τὰς πόρνας εἰς τὰ σατανικὰ θέατρα. Ἐκεῖ οἱ περισσότεροι περνοῦν καὶ ὁλόκληρον τὴν ἡμέραν των καὶ παραμελοῦν πολλὰ οἰκογενειακὰ ζητήματα, διὰ τὴν ἄκαιρον αὐτὴν ἀπασχόλησιν, διατηροῦν προσεκτικὰ ὅ,τι ἀκούουν, μολονότι ἡ διατήρησις αὐτὴ βλάπτει τὴν ψυχήν των. Ἐνῷ ἐδῶ ποὺ ὁμιλεῖ ὁ Θεός, δὲν κάμνουν ὑπομονὴν νὰ παραμείνουν οὔτε δι' ὀλίγον χρόνον. Διὰ τοῦτο δὲν ἔχομεν καμμίαν σχέσιν μὲ τὸν οὐρανὸν ἀλλὰ ἡ πολιτεία μας περιορίζεται μόνον εἰς τοὺς λόγους. Μολονότι δι' αὐτὸ ὁ Θεὸς μᾶς ἔχει ἀπειλήσει καὶ μὲ τὴν γέενναν, ὄχι βέβαια διὰ νὰ μᾶς ρίψῃ εἰς αὐτὴν ἀλλὰ νὰ μᾶς πείσῃ νὰ διαφύγωμεν τὴν βαρεῖαν αὐτὴν τυραννίαν. Ἡμεῖς ὅμως πράττομεν τὸ ἀντίθετον καὶ καθημερινῶς ἀκολουθοῦμεν τρέχοντες τὸν δρόμον ποὺ ὁδηγεῖ πρὸς τὰ ἐκεῖ· καὶ ἐνῷ ὁ Θεὸς μᾶς προστάζει ὄχι μόνον νὰ ἀκούωμεν ἀλλὰ καὶ νὰ ἐκτελοῦμεν τοὺς λόγους του, δὲν θέλομεν μήτε νὰ ἀκούσωμεν.

Πότε λοιπόν, εἰπέ μου, θὰ ἐκτελέσωμεν τὰς ἐντολὰς καὶ θὰ τὰς κάμωμεν πράξεις, ὅταν δὲν ἔχωμεν ὑπομονὴν μήτε τοὺς λόγους νὰ ἀκούσωμεν, μὲ τοὺς ὁποίους διατυπώνονται, ἀλλὰ θυμώνομεν καὶ ἀγανακτοῦμεν μὲ τὴν ἐδῶ παραμονήν μας, μολονότι εἶναι ἐξαιρετικὰ σύντομος; Ἔπειτα, ὅταν ἡμεῖς ὁμιλοῦμεν διὰ πράγματα ἀδιάφορα, ἂν ἰδοῦμεν ὅτι οἱ συνομιληταί μας δὲν μᾶς προσέχουν, θεωροῦμεν τὸ πρᾶγμα ὡς περιφρόνησιν. Νομίζομεν ὅμως ὅτι ὁ Θεὸς δὲν θυμώνει, ὅταν αὐτὸς μᾶς ὁμιλῇ διὰ τόσον σοβαρὰ πράγματα καὶ ἡμεῖς περιφρονοῦμεν τοὺς λόγους του καὶ βλέπομεν ἀλλοῦ; Ἀλλ' ὅποιος ἔχει γηράσει καὶ ἐπισκεφθῆ πολλὰς χώρας, μπορεῖ καὶ τὸν ἀριθμὸν τῶν σταδίων[2] καὶ τὴν θέσιν τῶν πόλεων καὶ τὰ σχήματα καὶ τοὺς λι-

ρὰς μετὰ ἀκριβείας ἡμῖν ἀπαγγέλλει πάσης· αὐτοὶ δὲ οὐδὲ ὅσον ἀπέχομεν τῆς ἐν τοῖς οὐρανοῖς πόλεως ἴσμεν· ἦ γὰρ ἂν καὶ ἐσπουδάσαμεν ἐπιτεμεῖν τὸ μῆκος, εἰς τὸ διάστημα ἔγνωμεν. Οὐ γὰρ τοσοῦτον ἡμῶν ἀφέστηκεν ἡ πόλις ἐκείνη, ὅσον οὐρανοῦ πρὸς τὴν γῆν τὸ μέσον, ἀλλὰ καὶ πολλῷ πλέον, ἐὰν ἀμελῶμεν· ὥσπερ οὖν ἂν σπουδάζωμεν, καὶ ἐν ἀκαρεῖ χρόνῳ ἐπὶ τὰς πύλας αὐτῆς ἥξομεν. Οὐ γὰρ μήκει τόπων, ἀλλὰ γνώμῃ τρόπων τὰ διαστήματα ταῦτα ὥρισται.

8. Σὺ δὲ τὰ μὲν τοῦ βίου πράγματα μετὰ ἀκριβείας οἶδας καὶ τὰ νέα καὶ τὰ ἀρχαῖα καὶ τὰ παλαιά, καὶ ἄρχοντας ἀριθμεῖν δύνασαι, οἷς ἐστρατεύσω τὸν ἔμπροσθεν χρόνον, καὶ ἀγωνοθέτην καὶ ἀθλοφόρους καὶ στρατηγούς, τὰ μηδέν σοι διαφέροντα· τίς δὲ ἄρχων ἐν τῇ πόλει ταύτῃ γέγονεν ἢ πρῶτος, ἢ δεύτερος, ἢ τρίτος, ἢ πόσον ἕκαστος χρόνον, ἢ τί κατορθώσας καὶ ἐργασάμενος, οὐδὲ ὄναρ ἐφαντάσθης ποτέ. Νόμων δὲ τῶν ἐν τῇ πόλει ταύτῃ κειμένων, οὐδὲ ἑτέρων λεγόντων ἀκοῦσαι καὶ προσέχειν ὑπομένεις. Πῶς οὖν, εἰπέ μοι, προσδοκᾷς τεύξασθαι τῶν ἐπηγγελμένων ἀγαθῶν, μηδὲ τοῖς λεγομένοις προσέχων; Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν τοῦτο ποιῶμεν. Καὶ γὰρ εἰς πόλιν μέλλομεν εἰσιέναι, ἐὰν ὁ Θεὸς ἐπιτρέπῃ χρυσῆν, καὶ χρυσοῦ παντὸς τιμιωτέραν. Καταμάθωμεν οὖν αὐτῆς τὰ θεμέλια, τὰς πύλας τὰς ἀπὸ σαπφείρου καὶ μαργαριτῶν συγκειμένας· καὶ γὰρ ἔχομεν χειραγωγὸν τὸν Ματθαῖον.

Διὰ γὰρ τῆς αὐτοῦ πύλης εἴσιμεν νῦν, καὶ δεῖ πολλῆς ἡμῖν τῆς σπουδῆς. Ἂν γὰρ ἴδῃ τινὰ μὴ προσέχοντα, ἐκβάλλει τῆς πόλεως. Καὶ γάρ ἐστι βασιλικωτάτη ἡ πόλις καὶ περι-

---

1. Θαλλοφόροι, γέροντες φέροντες κλάδους ἐλαίας καὶ μάλιστα κατὰ τὴν ἑορτὴν τῶν Παναθηναίων. Τιμὴ δηλοῦσα ὅτι τὸ κάλλος δὲν εἶναι ἄσχετον ἀπὸ τὴν γεροντικὴν ἡλικίαν.

μένας καὶ τὰς ἀγορὰς νὰ μᾶς ἀναφέρῃ μὲ κάθε ἀκρίβειαν· ἡμεῖς ὅμως δὲν γνωρίζομεν οὔτε πόσον ἀπέχομεν ἀπὸ τὴν οὐρανίαν πόλιν. Διότι βεβαίως θὰ ἐνδιαφερόμεθα νὰ βραχύνωμεν τὴν ἀπόστασιν, ἂν ἐγνωρίζαμεν τὸ μῆκος της. Ἡ πόλις ἐκείνη δηλονότι δὲν ἀπέχει ἀπὸ ἡμᾶς ὅσον ὁ οὐρανὸς ἀπὸ τὴν γῆν ἀλλὰ καὶ πολὺ περισσότερον, ἂν ἐπιδείξωμεν ἀδιαφορίαν· ἐνῷ, ἀντίθετα, ἂν δείξωμεν ἐνδιαφέρον, θὰ φθάσωμεν ἀκαριαῖα εἰς τὰς πύλας της. Διότι δὲν καθωρίσθησαν αἱ ἀποστάσεις αὐταὶ ἀπὸ τὸ μάκρος τῶν πόλεων ἀλλὰ ἀπὸ τὴν διάθεσιν τῆς συμπεριφορᾶς.

8. Σύ, Κύριε, γνωρίζεις μὲ ἀκρίβειαν ὅλα τὰ βιοτικὰ πράγματα καὶ τὰ νέα καὶ τὰ ἀρχαῖα καὶ τὰ παλαιὰ καὶ ἠμπορεῖς καὶ τοὺς ἄρχοντας νὰ ἀριθμῇς ὑπὸ τοὺς ὁποίους ἐξεστράτευσες κατὰ τὸ παρελθόν, τὸν ἀγωνοθέτην, τοὺς θαλλοφόρους [1], τοὺς στρατηγούς, ποὺ δὲν σὲ ὠφελοῦν καθόλου. Ποῖος ὅμως ἄρχων ἔχει γίνει εἰς τὴν πόλιν αὐτήν, ποῖος πρῶτος καὶ δεύτερος καὶ τρίτος καὶ πόσον χρόνον ὁ καθεὶς καὶ ποῖα τὰ ἔργα καὶ τὰ κατορθώματά του δὲν τὰ ἐφαντάσθης οὔτε εἰς τὰ ὄνειρά σου. Ἀλλὰ καὶ διὰ τοὺς νόμους ἐπίσης ποὺ ἰσχύουν εἰς τὴν πόλιν αὐτήν, δὲν ἔχεις ὑπομονὴν νὰ ἀκούσῃς καὶ νὰ προσέξῃς οὔτε καὶ τοὺς λόγους ἄλλων. Πῶς λοιπὸν ἔχεις τὴν προσδοκίαν ὅτι θὰ ἐπιτύχῃς τὰ ἐπηγγελμένα ἀγαθά, ἂν δὲν προσέχῃς οὔτε εἰς τοὺς λόγους; Ἀλλ' ὅμως ἂν δὲν τὸ ἐπράξαμεν αὐτὸ εἰς τὸ παρελθόν, ἂς τὸ πράξωμεν τοὐλάχιστον τώρα. Διότι βεβαίως πρόκειται νὰ εἰσέλθωμεν, ἂν ἐπιτρέψῃ ὁ Θεός, εἰς μίαν πόλιν χρυσῆν καὶ ἀπὸ κάθε χρυσὸν πολυτιμοτέραν. Ἂς γνωρίσωμεν λοιπὸν τὰ θεμέλιά της, τὰς πύλας της ποὺ εἶναι ἀπὸ σάπφειρον καὶ μαργαριτάρια· ὁδηγὸν ἄριστον ἔχομεν τὸν Ματθαῖον.

Εἰσερχόμεθα λοιπὸν τώρα ἀπὸ τὴν πύλην ποὺ μᾶς ἀνοίγει καὶ ἔχομεν ἀνάγκην ἀπὸ βίαν πολλήν. Διότι ἂν παρατηρήσῃ κάποιον νὰ μὴ προσέχῃ, τὸν ἐκδιώκει ἀπὸ τὴν πόλιν. Διότι ἡ πόλις ἔχει χαρακτῆρα βασιλικώτατον καὶ περίλαμπρον καὶ δὲν εἶναι ὅπως αἱ ἰδικαί μας χωρισμένη εἰς ἀγορὰν

φανής· οὐχ ὥσπερ αἱ παρ' ἡμῖν, εἰς ἀγορὰν καὶ βασίλεια διῃρημένη, ἀλλὰ πάντα βασίλεια τὰ ἐκεῖ. Ἀναπετάσωμεν τοίνυν τὰς πύλας τῆς διανοίας, ἀναπετάσωμεν τὴν ἀκοήν, καὶ μετὰ φρίκης πολλῆς μέλλοντες ἐπιβαίνειν τῶν προθύρων, προσκυνήσωμεν τὸν ἐν αὐτῇ βασιλέα· καὶ γὰρ εὐθέως ἡ πρώτη προβολὴ καταπλῆξαι δύναται τὸν θεατήν.

Κεκλεισμέναι μὲν νῦν εἰσιν ἡμῖν αἱ πύλαι· ὅταν δὲ ἴδωμεν αὐτὰς ἀναπετασθείσας (τοῦτο γάρ ἐστιν ἡ τῶν ζητημάτων λύσις), τότε ὀψόμεθα πολλὴν ἔνδον τὴν ἀστραπήν. Καὶ γὰρ τοῖς τοῦ πνεύματος ὁδηγούμενος ὀφθαλμοῖς, πάντα σοι ἐπαγγέλλεται δεικνύναι ὁ τελώνης οὗτος· ποῦ μὲν ὁ βασιλεὺς κάθηται· καὶ τίνες αὐτῷ τῶν στρατευμάτων παρεστήκασι· καὶ ποῦ μὲν ἄγγελοι, ποῦ δὲ ἀρχάγγελοι· καὶ τίς τοῖς νέοις πολίταις ἐν τῇ πόλει ταύτῃ τόπος ἀφώρισται, καὶ ποία ἡ ἐκεῖ φέρουσα ὁδός· καὶ τίνα ἔλαβον λῆξιν οἱ πρῶτον πολιτευσάμενοι ἐκεῖ, καὶ οἱ μετ' ἐκείνους, καὶ οἱ μετὰ τούτους· καὶ ὅσα τῶν δήμων ἐκείνων τὰ τάγματα, καὶ ὅση τῆς βουλῆς, καὶ πόσαι ἀξιωμάτων διαφοραί.

Μὴ τοίνυν μετὰ θορύβου καὶ ταραχῆς εἰσίωμεν, ἀλλὰ μετὰ σιγῆς μυστικῆς. Εἰ γὰρ ἐπὶ θεάτρου σιγῆς πολλῆς γενομένης, τότε τὰ τοῦ βασιλέως ἀναγινώσκεται γράμματα, πολλῷ μᾶλλον ἐπὶ τῆς πόλεως ταύτης ἅπαντας δεῖ κατεστάλθαι, καὶ ὀρθαῖς ταῖς ψυχαῖς καὶ ταῖς ἀκοαῖς ἑστάναι. Οὐ γὰρ ἐπιγείου τινός, ἀλλὰ τοῦ τῶν ἀγγέλων Δεσπότου τὰ γράμματα ἀναγινώσκεσθαι μέλλει. Ἂν οὕτως ἑαυτοὺς ῥυθμίσωμεν, καὶ αὐτὴ τοῦ Πνεύματος ἡ χάρις ὁδηγήσει μετὰ πολλῆς ἀκριβείας ἡμᾶς, καὶ πρὸς αὐτὸν ἥξομεν τὸν θρόνον τὸν βασιλικόν, καὶ πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ ἀνάκτορα, ἀλλὰ ἐκεῖ ὅλα εἶναι ἀνάκτορα. Ἂς ἀνοίξωμεν λοιπὸν διάπλατα τὰς πύλας τῆς διανοίας μας, ἂς ἀνοίξωμεν τὴν ἀκοὴν καὶ μὲ πολλὴν φρίκην, καθὼς πρόκειται νὰ πατήσωμεν τὰ πρόθυρά της, ἂς προσκυνήσωμεν τὸν βασιλέα της, ἐπειδὴ τὸ πρῶτον ἀντίκρυσμα διὰ μιᾶς ἠμπορεῖ νὰ καταπλήξῃ τὸν θεατήν.

Τώρα βεβαίως εἶναι κλεισταὶ δι' ἡμᾶς αἱ πύλαι. Ὅταν ὅμως τὰς ἴδοῦμεν νὰ ἀνοίγωνται—τοῦτο σημαίνει ἡ λύσις τῶν ἀποριῶν—τότε θὰ ἀντικρύσωμεν μέσα πολλὴν λάμψιν. Διότι καθοδηγούμενος ἀπὸ τοὺς ὀφθαλμοὺς τοῦ πνεύματος ὁ τελώνης αὐτός, ὑπόσχεται νὰ σοῦ δείξῃ τὰ πάντα· ποῦ κάθεται ὁ βασιλεύς, ποῖοι παραστέκονται εἰς αὐτὸν ἀπὸ τὰ στρατεύματα τοῦ οὐρανοῦ, ποῦ εἶναι οἱ ἄγγελοι καὶ ποῦ οἱ ἀρχάγγελοι, ποῖος τόπος ἔχει ὁρισθῆ διὰ τοὺς νέους πολίτας μέσα εἰς τὴν πόλιν αὐτήν, ποῖος δρόμος ὁδηγεῖ εἰς αὐτήν, τί κλῆρον ἔλαβαν ἐκεῖ οἱ πρῶτοι πολῖται της καὶ οἱ ἔπειτα ἀπὸ αὐτοὺς καὶ οἱ ἔπειτα ἀπὸ τούτους, πόσαι εἶναι αἱ τάξεις τοῦ λαοῦ ἐκείνου καὶ τῆς βουλῆς καὶ πόσαι αἱ διαφοραὶ τῶν ἀξιωμάτων.

Ἂς μὴ εἰσέλθωμεν μὲ θόρυβον καὶ ἀταξίαν ἀλλὰ μὲ σιγὴν μυστικήν. Ἂν μέσα εἰς τὸ θέατρον γίνεται πολλὴ σιωπὴ καὶ τότε διαβάζωνται τὰ διατάγματα τοῦ βασιλέως, πολὺ περισσότερον πρέπει νὰ ἔχωμεν ὅλοι συστολὴν μέσα εἰς αὐτὴν τὴν πόλιν καὶ νὰ στεκώμεθα μὲ ὀρθίας τὰς ψυχὰς καὶ τὰς ἀκοάς. Διότι πρόκειται νὰ διαβασθοῦν ὄχι κάποιου ἐπιγείου ἄρχοντος ἀλλὰ τὰ διατάγματα τοῦ κυρίου τῶν ἀγγέλων. Ἂν ἔτσι προετοιμάσωμεν τοὺς ἑαυτούς μας, θὰ μᾶς ὁδηγήσῃ μὲ ἀκρίβειαν μεγάλην ἡ ἰδία ἡ χάρις τοῦ πνεύματος, εἰς αὐτὸν τὸν βασιλικὸν θρόνον· θὰ φθάσωμεν καὶ θὰ ἐπιτύχωμεν ὅλα τὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις μαζὶ μὲ τὸν πατέρα καὶ τὸ ἅγιον Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β'

«Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ, υἱοῦ Ἀβραάμ».

1. Ἆρα μέμνησθε τῆς παραγγελίας, ἣν πρώτην ἐποιησάμεθα πρὸς ὑμᾶς, παρακαλοῦντες μετὰ σιγῆς ἁπάσης καὶ μυστικῆς ἡσυχίας ἀκούειν τῶν λεγομένων ἁπάντων; Καὶ γὰρ μέλλομεν τῶν ἱερῶν σήμερον ἐπιβαίνειν προθύρων· διὸ καὶ τῆς παραγγελίας ἀνέμνησα. Εἰ γὰρ Ἰουδαῖοι κεκαυμένῳ ὄρει καὶ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ προσιέναι μέλλοντες, μᾶλλον δὲ οὐδὲ προσιέναι, ἀλλὰ πόῤῥωθεν ταῦτα καὶ ὁρᾶν καὶ ἀκούειν, πρὸ τριῶν ἡμερῶν ἐκελεύοντο γυναικὸς ἀπέχεσθαι καὶ τὰ ἱμάτια ἀποπλῦναι, καὶ ἐν τρόμῳ ἦσαν καὶ φόβῳ καὶ αὐτοὶ καὶ μετ' ἐκείνων Μωϋσῆς, πολλῷ μᾶλλον ἡμᾶς τοιούτων μέλλοντας ἀκούσεσθαι λόγων, καὶ οὐ πόῤῥω ὄρους ἑστάναι καπνιζομένου, ἀλλ' εἰς αὐτὸν εἰσιέναι τὸν οὐρανόν, πλείονα χρὴ ἐπιδείκνυσθαι φιλοσοφίαν, οὐχ ἱμάτια ἀποπλύνοντας, ἀλλὰ τὴν στολὴν τῆς ψυχῆς ἀποσμήχοντας, καὶ πάσης βιωτικῆς ἀπαλλαττομένους μίξεως. Οὐ γὰρ γνόφον ὄψεσθε οὐδὲ καπνὸν οὐδὲ θύελλαν· ἀλλ' αὐτὸν τὸν Βασιλέα καθήμενον ἐπὶ τοῦ θρόνου τῆς ἀποῤῥήτου δόξης ἐκείνης, καὶ ἀγγέλους καὶ ἀρχαγγέλους παρεστῶτας αὐτῷ, καὶ τοὺς δήμους τῶν ἁγίων μετὰ ἀπείρων μυριάδων ἐκείνων. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ πόλις, τὴν Ἐκκλησίαν ἔχουσα τῶν πρωτοτόκων, τὰ πνεύματα τῶν δικαίων, τὴν πανήγυ-

1. Ἡ προηγουμένη ὁμιλία (Α') εἶναι ἀκριβῶς ἡ εἰσαγωγικὴ τῆς ὅλης σειρᾶς. Ὁ σύνδεσμος τῶν ἄλλων ὁμιλιῶν μεταξύ των εἶναι ἀκόμη στενώτερος, διότι τὸ ἑρμηνευόμενον τμῆμα τοῦ εὐαγγελίου εἰς ἑκάστην ἀποτελεῖ συνέχειαν τοῦ εἰς τὴν προηγουμένην ἑρμηνευθέντος.

2. Ἐκκλησία τῶν πρωτοτόκων εἶναι ἡ εἰς τοὺς οὐρανοὺς πόλις τοῦ ζῶντος Θεοῦ, ἡ ἐπουράνιος Ἱερουσαλήμ. Ἡ ἐκκλησία αὐτὴ ὑπῆρχε πρὶν ἀπὸ

ΟΜΙΛΙΑ Β'

«Βίβλος γενέσεως Ἰησοῦ Χρηστοῦ, υἱοῦ Δαυΐδ, υἱοῦ Ἀβραάμ».

1. Ἔχετε τάχα εἰς τὸν νοῦν σας τὴν παραγγελίαν, ποὺ σᾶς ἀπευθύναμεν εἰς τὴν προηγουμένην ὁμιλίαν [1]; Σᾶς ἐπροτρέψαμεν, μὲ ὅλην τὴν σιωπὴν καὶ τὴν μυστικὴν ἡσυχίαν ν' ἀκούετε ὅλα τὰ λεγόμενα. Πρόκειται σήμερα νὰ πατήσωμεν τὰ ἱερὰ πρόθυρα καὶ διὰ τοῦτο σᾶς ὑπενθύμισα τὴν παραγγελίαν. Ὅταν ἐπρόκειτο οἱ Ἰουδαῖοι νὰ προσέλθουν εἰς τὸ κατάφλεκτον ὄρος, εἰς τὴν φωτιάν, τὸν γνόφον, τὸ σκότος καὶ τὴν θύελλαν καὶ μάλιστα ὄχι νὰ προσέλθουν ἀλλὰ ἀπὸ μακριὰ νὰ τὰ βλέπουν αὐτὰ καὶ νὰ τὰ ἀκούουν, ἔλαβαν τὴν ἐντολὴν νὰ ἀπέχουν ἀπὸ γυναῖκα ἐπὶ τρεῖς ἡμέρας καὶ νὰ πλύνουν τὰ ἐνδύματά των· εὑρέθησαν εἰς κατάστασιν φόβου καὶ τρόμου καὶ αὐτοὶ καὶ ὁ Μωϋσῆς. Πολὺ περισσότερον ἡμεῖς ποὺ πρόκειται νὰ ἀκούσωμεν τέτοιους λόγους, ὄχι νὰ σταθοῦμεν ἀπὸ μακριὰ εἰς τὸ ὄρος τὸ γεμᾶτο καπνοὺς ἀλλὰ νὰ εἰσέλθωμεν εἰς τὸ ἴδιον τὸν οὐρανόν, πρέπει νὰ ἐπιδείξωμεν περισσοτέραν εὐλάβειαν. Ὄχι νὰ πλύνωμεν τὰ ἐνδύματά μας ἀλλὰ νὰ καθαρίσωμεν τὴν στολὴν τῆς ψυχῆς καὶ νὰ ἀπαλλαγοῦμεν ἀπὸ κάθε σχέσιν μὲ τὰ βιοτικά. Διότι δὲν θὰ ἰδῆτε ἀχλὺν οὔτε καπνὸν οὔτε θύελλαν ἀλλὰ τὸν ἴδιον τὸν βασιλέα καθισμένον εἰς τὸν θρόνον ἐκείνης τῆς ἀπορρήτου δόξης, τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους νὰ παραστέκωνται εἰς αὐτὸν καὶ τὰ πλήθη τῶν ἁγίων μαζὶ μὲ τὰς ἀπείρους μυριάδας αὐτάς. Αὐτὴ εἶναι ἡ πόλις τοῦ Θεοῦ· περιέχει τὴν ἐκκλησίαν τῶν πρωτοτόκων [2],

---

τὴν καταβολὴν τοῦ ὁρατοῦ κόσμου καὶ ἀπετελεῖτο ἀπὸ τὰς στρατιὰς τῶν ἀγγέλων. Ἡ ἐπίγειος ἐκκλησία, ποὺ ἱδρύθη ἀπὸ τὸν Χριστόν, ἀποτελεῖ ἑνότητα μὲ ἐκείνην.

ριν τῶν ἀγγέλων, τὸ αἷμα τοῦ ραντισμοῦ, δι' οὗ τὰ πάντα συνήφθη, καὶ ὁ οὐρανὸς ἐδέξατο τὰ ἀπὸ γῆς, καὶ γῆ τὰ ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἡ πάλαι ποθουμένη καὶ ἀγγέλοις καὶ ἁγίοις παραγέγονεν εἰρήνη. Ἐν ταύτῃ τὸ τρόπαιον ἔστη τοῦ οὐρανοῦ τὸ λαμπρὸν καὶ περιφανές, τὰ λάφυρα τοῦ Χριστοῦ, τὰ ἀκροθίνια τῆς φύσεως τῆς ἡμετέρας, τὰ σκῦλα τοῦ Βασιλέως ἡμῶν· ταῦτα γὰρ ἅπαντα ἀπὸ τῶν Εὐαγγελίων εἰσόμεθα μετὰ ἀκριβείας. Κἂν ἀκολουθῇς μετὰ ἡσυχίας τῆς προσηκούσης, δυνησόμεθά σε περιαγαγεῖν πανταχοῦ καὶ δεῖξαι ποῦ μὲν ὁ θάνατος ἀνεσκολοπισμένος κεῖται ποῦ δὲ ἡ ἁμαρτία κρεμαμένη, ποῦ δὲ τὰ πολλὰ καὶ παράδοξα ἀπὸ τοῦ πολέμου τούτου, ἀπὸ τῆς μάχης ταύτης ἀναθήματα. Ὄψει καὶ τὸν τύραννον ἐνταῦθα δεδεμένον, καὶ τῶν αἰχμαλώτων τὸ πλῆθος ἑπόμενον, καὶ τὴν ἀκρόπολιν, ἀφ' ἧς ὁ μιαρὸς δαίμων ἐκεῖνος ἅπαντα κατέδραμε τὸν ἔμπροσθεν χρόνον· ὄψει τοῦ ληστοῦ τὰς καταδύσεις καὶ τὰ σπήλαια διεῤῥωγότα λοιπὸν καὶ ἀναπεπταμένα· καὶ γὰρ καὶ ἐκεῖ παρεγένετο ὁ Βασιλεύς.

Ἀλλὰ μὴ ἀποκάμῃς, ἀγαπητέ· οὐδὲ γὰρ εἰ πόλεμόν τις αἰσθητὸν διηγεῖτο καὶ τρόπαια καὶ νίκας, κόρον ἔλαβες ἄν, ἀλλ' οὐδὲ σιτίον οὐδὲ ποτὸν πρὸ ταύτης ἂν ἔθου τῆς ἱστορίας. Εἰ δὲ ἐκείνη ποθητὴ ἡ διήγησις, πολλῷ μᾶλλον αὕτη. Ἐννόησον γὰρ ἡλίκον ἐστὶν ἀκοῦσαι, πῶς μὲν ἐκ τῶν οὐρανῶν καὶ τῶν θρόνων ἀναστὰς τῶν βασιλικῶν, καὶ εἰς τὴν γῆν, καὶ εἰς αὐτὸν τὸν ᾅδην ἥλατο ὁ Θεός, καὶ ἐπὶ τῆς παρατάξεως ἔστη· πῶς δὲ ἀντιπαρετάξατο ὁ διάβολος, μᾶλλον δὲ οὐ Θεῷ γυμνῷ, ἀλλὰ Θεῷ ἀνθρωπίνῃ κρυπτομένῳ φύσει. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι θανάτῳ θάνατον ὄψει λυόμενον, καὶ κατάραν ἀφανιζομένην κατάρᾳ, καὶ δι' ὧν ἴσχυσεν ὁ διάβολος, διὰ τούτων αὐτοῦ καταλυομένην τὴν τυραννίδα.

---

1. Νὰ ὑποθέσῃ κανεὶς ὅτι ἀπὸ τὸ σημεῖον αὐτὸ προέρχεται ὁ τίτλος τοῦ ὀνομαστοῦ συγγράμματος τοῦ ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου «ὁ ἀόρατος πόλεμος»; Διότι εἰς αὐτὸν ἀκριβῶς τὸν ἀόρατον πόλεμον ἀναφέρεται ὁ ἱερὸς Χρυσόστομος.

τὰ πνεύματα τῶν δικαίων, τὴν ὁλικὴν συνάθροισιν τῶν ἀγγέλων, τὸ αἷμα τοῦ ραντισμοῦ, μὲ τὸ ὁποῖον συνηνώθησαν τὰ πάντα, ὁ οὐρανὸς ἐδέχθη τὰ γήινα καὶ ἡ γῆ τὰ οὐράνια καὶ ἔφθασεν ἡ ἀπὸ παλαιὰ ποθουμένη εἰρήνη καὶ ἀπὸ τοὺς ἀγγέλους καὶ τοὺς ἁγίους. Εἰς αὐτὴν ὑψώθη τὸ τρόπαιον τοῦ σταυροῦ τὸ λαμπρὸν καὶ περίβλεπτον, τὰ λάφυρα ποὺ ἔλαβεν ὁ Χριστός, οἱ ἐκλεκτοὶ τῆς ἀνθρωπίνης φύσεως, ἡ λεία τοῦ βασιλέως μας. Ὅλα αὐτὰ θὰ τὰ γνωρίσωμεν μὲ ἀκρίβειαν ἀπὸ τὰ Εὐαγγέλια. Καὶ ἂν ἀκολουθῇς μὲ τὴν πρέπουσαν ἡσυχίαν θὰ ἠμπορέσωμεν νὰ σὲ ὁδηγήσωμεν παντοῦ καὶ νὰ σοῦ δείξωμεν ποῦ κοίτεται ἀνεσκολοπισμένος ὁ θάνατος, ποῦ ἔχει κρεμασθῆ ἡ ἁμαρτία, ποῦ εὑρίσκονται τὰ πολλὰ καὶ παράδοξα ἀναθήματα ἀπὸ τὴν μάχην καὶ τὸν πόλεμον αὐτόν. Θὰ ἰδῇς ἐδῶ καὶ τὸν τύραννον δεμένον, τὸ πλῆθος τῶν αἰχμαλώτων ν' ἀκολουθῇ καὶ τὴν ἀκρόπολιν, ἀπὸ τὴν ὁποίαν ὁ βρωμερὸς ἐκεῖνος δαίμων ἔκαμε τὰς ἐπιδρομάς του καθ' ὅλον τὸν χρόνον ποὺ ἐπέρασε. Θὰ ἰδῇς τὰ ἄντρα καὶ τὰ σπήλαια τοῦ ληστοῦ νὰ ἔχουν διαρραγῆ πλέον καὶ νὰ εἶναι ἀνοικτά· διότι καὶ ἐκεῖ ἔφθασεν ὁ βασιλεύς.

Μὴ κουρασθῇς ὅμως, ἀγαπητέ μου. Διότι καὶ ἂν σοῦ διηγεῖτο κάποιος ἕνα πόλεμον ὁρατὸν [1] καὶ τρόπαια καὶ νίκας, δὲν θὰ ἐχόρταινες οὔτε θὰ ἐπροτιμοῦσες ἀπὸ τὴν ἐξιστόρησιν αὐτὴν φαγητὸν ἢ ποτόν. Ἂν λοιπὸν εἶναι τόσον ἐνδιαφέρουσα ἡ διήγησις ἐκείνη, αὐτὴ ἐδῶ εἶναι πολὺ περισσότερον. Στοχάσου πόσον σημαντικὸν εἶναι νὰ ἀκούσῃ κανεὶς πῶς, ἀφοῦ ἐσηκώθη ἀπὸ τοὺς οὐρανίους βασιλικοὺς θρόνους, ἐπήδησεν ὁ Θεὸς ἐναντίον τοῦ ἰδίου τοῦ ᾅδου καὶ ἐστάθη ἐπὶ κεφαλῆς τῆς παρατάξεώς του καὶ πῶς ἀντιπαρετάχθη εἰς αὐτὸν ὁ διάβολος, ὄχι κατ' εὐθεῖαν εἰς τὸν Θεὸν ἀλλὰ κρυπτόμενος μέσα εἰς τὴν ἀνθρωπίνην φύσιν. Καὶ τὸ θαυμαστόν, ὅτι θὰ ἰδῇς τὸν θάνατον νὰ καταργῆται διὰ τοῦ θανάτου, τὴν κατάραν νὰ ἀφανίζεται διὰ τῆς κατάρας καὶ τὸ κράτος τοῦ διαβόλου νὰ καταλύεται μὲ τοὺς ἰδίους τρόπους τῆς δυνάμεώς του.

Διαναστῶμεν τοίνυν, καὶ μὴ καθεύδωμεν· ἰδοὺ γὰρ ὁρῶ τὰς πύλας ἡμῖν ἀνοιγομένας· ἀλλ' εἰσίωμεν μετὰ εὐταξίας ἁπάσης καὶ τρόμου, καὶ προθύρων αὐτῶν εὐθέως ἐπιβαίνοντες. Τίνα δέ ἐστι ταῦτα τὰ πρόθυρα; «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυΐδ, υἱοῦ Ἀβραάμ».

Τί λέγεις; Περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ διαλέξεσθαι ἐπηγγείλω, καὶ τοῦ Δαυὶδ μνημονεύεις, ἀνθρώπου μετὰ μυρίας γενεὰς γενομένου, καὶ αὐτὸν εἶναι φῄς καὶ πατέρα καὶ πρόγονον;

Ἐπίσχες, καὶ μὴ πάντα ἀθρόως ζήτει μαθεῖν ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Ἐν γὰρ τοῖς προθύροις ἕστηκας ἔτι παρ' αὐτὰ τὰ προπύλαια· τί τοίνυν σπεύδεις πρὸς τὰ ἄδυτα; Οὔπω τὰ ἔξω καλῶς κατώπτευσας ἅπαντα. Οὐδὲ γὰρ ἐκείνην σοι τέως διηγοῦμαι τὴν γέννησιν· μᾶλλον δὲ οὐδὲ τὴν μετὰ ταῦτα· ἀνέκφραστος γὰρ καὶ ἀπόρρητος. Καὶ πρὸ ἐμοῦ σοι τοῦτο ὁ προφήτης εἶπεν Ἡσαΐας· ἀνακηρύττων γὰρ αὐτοῦ τὸ πάθος καὶ τὴν πολλὴν ὑπὲρ τῆς οἰκουμένης κηδεμονίαν, καὶ ἐκπληττόμενος τίς ὢν τί γέγονε, καὶ ποῦ κατέβη, ἀνεβόησε μέγα καὶ λαμπρὸν οὕτω λέγων. «Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;».

2. Οὐ τοίνυν περὶ ἐκείνης ἡμῖν ὁ λόγος νῦν, ἀλλὰ περὶ ταύτης τῆς κάτω, τῆς ἐν τῇ γῇ γενομένης, τῆς μετὰ μυρίων μαρτύρων. Καὶ περὶ ταύτης δέ, ὡς ἡμῖν δυνατὸν εἰπεῖν δεξαμένοις τὴν τοῦ Πνεύματος χάριν, οὕτω διηγησόμεθα. Οὐδὲ γὰρ ταύτην μετὰ σαφηνείας πάσης παραστῆσαι ἔνι· ἐπεὶ καὶ αὕτη φρικωδεστάτη.

Μὴ τοίνυν μικρὰ νομίσῃς ἀκούειν, ταύτην ἀκούων τὴν γέννησιν· ἀλλ' ἀνάστησόν σου τὴν διάνοιαν, καὶ εὐθέως φρῖξον, ἀκούσας ὅτι Θεὸς ἐπὶ γῆς ἦλθεν. Οὕτω γὰρ τοῦτο θαυμαστὸν καὶ

---

1. Οἱ ἁπλούστεροι ἀπὸ τοὺς ἀνθρώπους ἀρκοῦνται εἰς ἕνα - δύο βασικὰ νοήματα, ἐνῷ αἱ μακραὶ ὁπωσοῦν ἀναπτύξεις τοὺς προκαλοῦν ἀνίαν καὶ ἀδημονίαν. Ἐπειδὴ ὅμως τὰ νοήματα χρειάζονται ἀπόδειξιν, διασάφησιν, ἐπέκτασιν καὶ ἀξιολόγησιν, διὰ νὰ ἐπιτευχθῇ ἡ εἰς βάθος καλλιέργεια

Ἂς σηκωθοῦμεν λοιπὸν καὶ μὴ κοιμώμεθα. Ἰδοὺ βλέπω νὰ ἀνοίγωνται αἱ πύλαι εἰς ἡμᾶς. Ἀλλ' ἂς εἰσέλθωμεν μὲ ὅλην τὴν κοσμιότητα καὶ τὸν τρόμον, ἀφοῦ σταθοῦμεν ἀμέσως εἰς τὰ ἴδια τὰ πρόθυρα· ποῖα εἶναι αὐτὰ τὰ πρόθυρα; «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ, υἱοῦ Ἀβραάμ».

Τί μᾶς λέγεις; Μᾶς ἔχεις ὑποσχεθῆ ὅτι θὰ μᾶς ὁμιλήσης διὰ τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ καὶ μᾶς ἀναφέρεις τὸν Δαυίδ, ἕναν ἄνθρωπον ποὺ ἔζησεν ἀπείρους γενεὰς ἔπειτα καὶ μᾶς λέγεις ὅτι αὐτὸς εἶναι καὶ πατέρας καὶ πρόγονος;

Κρατήσου καὶ μὴ ζητᾷς νὰ τὰ μάθῃς ὅλα μαζὶ ἀλλὰ ἤσυχα καὶ κατ' ὀλίγον. Στέκεσαι ἀκόμη εἰς τὰ πρόθυρα, κοντὰ εἰς τὰ προπύλαια. Διατί λοιπὸν βιάζεσαι νὰ εἰσέλθῃς εἰς τὰ ἄδυτα [1]; Ἀκόμη δὲν παρετήρησες καλῶς ὅλον τὸ ἐξωτερικόν. Διότι δὲν σοῦ διηγοῦμαι ἀκόμη ἐκείνην τὴν γέννησιν—ἀλλὰ οὔτε καὶ τὴν μετέπειτα—διότι εἶναι ἀνέκφραστος καὶ ἀπόρρητος. Πρὶν ἀπὸ ἐμέ, σοῦ τὸ εἶπεν αὐτὸ ὁ Ἠσαΐας. Διότι προφητεύων διὰ τὸ πάθος καὶ τὸ μεγάλον ἐνδιαφέρον του διὰ τὴν οἰκουμένην, γεμᾶτος ἔκπληξιν διὰ τὸ τί ἦτο καὶ τί ἔγινε καὶ ποῦ κατέβη, ἀνεφώνησε μέγαν καὶ λαμπρὸν λόγον· «τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;» [2].

2. Δὲν ὁμιλοῦμεν τώρα δι' ἐκείνην ἀλλὰ δι' αὐτὴν τὴν κάτω, ποὺ ἐπραγματοποιήθη εἰς τὴν γῆν καὶ ἔχει ἀπείρους μάρτυρας καὶ δι' αὐτήν, ἔτσι ὅπως εἶναι δυνατὸν εἰς ἡμᾶς ποὺ ἐδέχθημεν τὴν χάριν τοῦ Πνεύματος, θὰ ὁμιλήσωμεν. Διότι καὶ αὐτὴν δὲν εἶναι δυνατὸν νὰ τὴν παραστήσωμεν μὲ κάθε σαφήνειαν· εἶναι καὶ αὐτὴ φρικωδεστάτη.

Μὴ νομίσῃς λοιπὸν ὅτι πρόκειται διὰ κάτι μικρόν, ὅταν ἀκούῃς τὴν γέννησιν αὐτήν. Σήκωσε ἀπὸ τὸν ὕπνον τὸν νοῦν σου, δοκίμασε ἀμέσως φρίκην εἰς τὸ ἄκουσμα ὅτι ὁ Θεὸς ἦλθεν ἐπάνω εἰς τὴν γῆν. Τοῦτο ἦτο τόσον θαυμαστὸν καὶ παράδο-

---

τῶν πιστῶν, ὁ μέγας ρήτωρ χρησιμοποιεῖ τὴν ἀνεξάντλητον καὶ ἀκαταμάχητον ρητορείαν του.

2. Ἠσ. 53, 8.

παράδοξον ἦν, ὡς καὶ τοὺς ἀγγέλους χορὸν ὑπὲρ τούτων στήσαντες τὴν ὑπὲρ τῆς οἰκουμένης ἐπὶ τούτοις ἀναφέρειν εὐφημίαν, καὶ τοὺς προφήτας ἄνωθεν τοῦτο ἐκπλήττεσθαι, ὅτι «Ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Καὶ γὰρ σφόδρα παράδοξον ἀκοῦσαι, ὅτι ὁ Θεὸς ὁ ἀπόῤῥητος καὶ ἀνέκφραστος καὶ ἀπερινόητος καὶ τῷ Πατρὶ ἴσος διὰ μήτρας ἦλθε παρθενικῆς, καὶ γενέσθαι ἐκ γυναικὸς κατεδέξατο, καὶ σχεῖν προγόνους τὸν Δαυὶδ καὶ τὸν Ἀβραάμ. Καὶ τί λέγω τὸν Δαυὶδ καὶ τὸν Ἀβραάμ. Τὸ γὰρ δὴ φρικωδέστερον, τὰς γυναῖκας ἐκείνας, ὧν ἀρτίως ἐμνήσθημεν.

Ταῦτα ἀκούων ἀνάστηθι, καὶ μηδὲν ταπεινὸν ὑποπτεύσῃς, ἀλλὰ καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαύμασον, ὅτι Υἱὸς ὢν τοῦ ἀνάρχου Θεοῦ, καὶ γνήσιος Υἱός, ἠνέσχετο ἀκοῦσαι καὶ Δαυὶδ υἱός, ἵνα σὲ ποιήσῃ υἱὸν Θεοῦ· ἠνέσχετο πατέρα αὐτῷ γενέσθαι δοῦλον, ἵνα σοὶ τῷ δούλῳ Πατέρα ποιήσῃ τὸν Δεσπότην.

Εἶδες ἐκ προοιμίων εὐθέως οἷα τὰ εὐαγγέλια; Εἰ δὲ ἀμφιβάλλεις περὶ τῶν σῶν, ἀπὸ τῶν ἐκείνου καὶ ταῦτα πίστευε. Πολὺ γὰρ δυσκολώτερον, ὅσον εἰς ἀνθρώπινον λογισμόν, Θεὸν ἄνθρωπον γενέσθαι, ἢ ἄνθρωπον υἱὸν Θεοῦ χρηματίσαι. Ὅταν οὖν ἀκούσῃς, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ υἱὸς τοῦ Δαυίδ ἐστι καὶ τοῦ Ἀβραάμ, μὴ ἀμφίβαλλε λοιπόν, ὅτι καὶ σύ, ὁ υἱὸς τοῦ Ἀδάμ, υἱὸς ἔσῃ τοῦ Θεοῦ. Οὐδὲ γὰρ εἰκῇ καὶ μάτην τοσοῦτον ἑαυτὸν ἐταπείνωσεν, εἰ μὴ ἔμελλεν ἡμᾶς ἀνυψοῦν. Ἐγεννήθη γὰρ κατὰ σάρκα, ἵνα σὺ γεννηθῇς κατὰ πνεῦμα· ἐγεννήθη ἐκ γυναικός, ἵνα σὺ παύσῃ γυναικὸς ὢν υἱός. Διὰ τοῦτο διπλῆ γέγονεν ἡ γέννησις καὶ ἐοικυῖα ἡμῖν, καὶ ὑπερβαίνουσα τὴν ἡμετέραν. Τὸ μὲν γὰρ ἐκ γυναικὸς γεννηθῆναι ἡμῖν συνέβαινε· τὸ δὲ μὴ ἐξ αἵματος, μηδὲ ἐκ θελήματος σαρκὸς ἢ ἀνδρός, ἀλλ' ἐκ Πνεύματος ἁγίου, τὴν ὑπερ-

---

1. Βαρούχ. 3, 8.

2. Βλέπε τὴν σημείωσιν 10 εἰς τὴν Α' ὁμιλίαν. Περισσότερα ἠμπορεῖ νὰ εὕρῃ κανεὶς εἰς τὴν μελέτην τοῦ Μάρκου Σιώτου. Αἱ γυναῖκες τῆς κατὰ

ξον, ὥστε καὶ οἱ ἄγγελοι ἔστησαν δι' αὐτὰ χορὸν καὶ ὑμνολογοῦν δι' αὐτὰ τὴν οἰκουμένην καὶ οἱ προφῆται ἐκδηλώνουν ἀπὸ τὸν οὐρανὸν τὴν ἔκπληξίν των, διότι «ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συναναστράφη»[1]. Διότι εἶναι βεβαίως πολὺ παράδοξον νὰ ἀκούσῃ κανείς, ὅτι ὁ ἀπροσπέλαστος καὶ ἀνέκφραστος Θεός, ποὺ δὲν χωρεῖ εἰς τὴν σκέψιν καὶ εἶναι ἴσος μὲ τὸν Πατέρα ἐπέρασε ἀπὸ παρθενικὰ σπλάχνα, κατεδέχθη νὰ γεννηθῇ ἀπὸ γυναῖκα καὶ νὰ λάβῃ ὡς προγόνους τὸν Δαυὶδ καὶ τὸν Ἀβραάμ, καὶ τὸ ἀκόμη φρικτότερον, τὰς γυναῖκας ἐκείνας[2] ποὺ ἀνεφέραμεν πρὸ ὀλίγου.

Ἄκουσέ τα αὐτὰ καὶ σηκώσου χωρὶς καμμίαν ταπεινὴν ὑποψίαν, ἀλλὰ αὐτὸ ἀκριβῶς νὰ θαυμάσῃς, ὅτι ἐνῷ εἶναι Υἱὸς τοῦ ἀνάρχου Θεοῦ καὶ μάλιστα Υἱὸς γνήσιος, κατεδέχθη νὰ ὀνομασθῇ καὶ υἱὸς τοῦ Δαυίδ, διὰ νὰ κάμῃ ἐσὲ υἱὸν τοῦ Θεοῦ· κατεδέχθη νὰ κάμῃ αὐτὸς πατέρα του δοῦλον, διὰ νὰ κάμῃ εἰς σέ, τὸν δοῦλον, πατέρα τὸν Κύριον.

Εἶδες ποία εἶναι ἀμέσως ἀπὸ τὰ προοίμια ἡ καλὴ ἀγγελία; Ἂν ἀμφιβάλλῃς δι' ὅ,τι σὲ ἀφορᾷ, πίστευσέ το ἀπὸ ὅ,τι ἀφορᾷ ἐκεῖνον. Διότι εἶναι βέβαια πολὺ δυσκολώτερον διὰ τὸν ἀνθρώπινον λογισμὸν νὰ γίνῃ ὁ Θεὸς ἄνθρωπος, παρὰ νὰ ὑπάρξῃ ὁ ἄνθρωπος υἱὸς τοῦ Θεοῦ. Ὅταν ἀκούσῃς λοιπὸν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ εἶναι υἱὸς τοῦ Δαυὶδ καὶ τοῦ Ἀβραάμ, νὰ μὴ ἀμφιβάλλῃς τότε, ὅτι καὶ σύ, ὁ υἱὸς τοῦ Ἀδάμ, θὰ γίνῃς υἱὸς τοῦ Θεοῦ. Διότι δὲν ἐταπείνωσε βέβαια τόσον πολὺ τὸν ἑαυτόν του ἀδίκως καὶ παραλόγως, ἂν δὲν ἐσκόπευε νὰ μᾶς ἀνυψώσῃ. Ἐγεννήθη κατὰ σάρκα, διὰ νὰ γεννηθῇς σὺ πνευματικῶς· ἐγεννήθη ἀπὸ γυναῖκα, διὰ νὰ παύσῃς σὺ νὰ εἶσαι υἱὸς γυναικός. Διὰ τοῦτο ἡ γέννησις ἔγινε δύο εἰδῶν· ὁμοία μὲ τὴν ἰδικήν μας ἀλλὰ καὶ ὑπερβαίνουσα τὴν ἰδικήν μας. Τὸ νὰ γεννηθῶμεν ἀπὸ γυναίκα ἦτο σύμφωνον μὲ τὴν φύσιν μας· τὸ νὰ γεννηθῶμεν ὅμως ὄχι ἀπὸ αἷμα, μήτε ἀπὸ θέλημα σαρκὸς καὶ ἀνδρὸς ἀλλὰ ἀπὸ Πνεῦμα ἅγιον, προεμήνυε τὴν μελλοντικὴν

Ματθαῖον γενεαλογίας, εἰς τὸ περιοδ. Θεολογία, 1949, σελ. 158 - 9.

βαίνουσαν ἡμᾶς καὶ τὴν μέλλουσαν προανεφώνει γέννησιν, ἣν ἡμῖν ἔμελλεν ἐκ Πνεύματος χαρίζεσθαι. Καὶ πάντα δὲ τὰ ἄλλα τοιαῦτα ἦν. Καὶ γὰρ τὸ λουτρὸν τοιοῦτον· εἶχε γάρ τι τοῦ παλαιοῦ, εἶχέ τι καὶ τοῦ καινοῦ. Τὸ μὲν γὰρ ὑπὸ τοῦ προφήτου βαπτισθῆναι, τὸ παλαιὸν ἐδείκνυ· τὸ δὲ Πνεῦμα κατελθεῖν, τὸ νέον ὑπέγραψε. Καὶ καθάπερ τις ἐν μεταιχμίῳ στάς, δύο τινῶν ἀλλήλων διεστηκότων, ἀμφοτέρας ἁπλώσας τὰς χεῖρας ἑκατέρωθεν λαβὼν συνάψειεν· οὕτω καὶ αὐτὸς ἐποίησε, τὴν παλαιὰν τῇ καινῇ συνάπτων, τὴν θείαν φύσιν τῇ ἀνθρωπίνῃ, τὰ αὐτοῦ τοῖς ἡμετέροις.

Εἶδες τὴν ἀστραπὴν τῆς πόλεως, ὅση σε ἐκ προοιμίων κατηύγασε τῇ λαμπηδόνι πῶς σοι τὸν Βασιλέα εὐθέως ἔδειξεν ἐν τῷ σῷ σχήματι, ὡσανεὶ ἐν στρατοπέδῳ; Οὐδὲ γὰρ ἐκεῖ τὴν οἰκείαν ἀξίαν φαίνεται ἔχων διηνεκῶς ὁ βασιλεύς, ἀλλὰ τὴν ἁλουργίδα ἀφεὶς καὶ τὸ διάδημα στρατιώτου σχῆμα ὑπέδυ πολλάκις. Ἀλλ' ἐκεῖ μέν, ἵνα μὴ γνώριμος γενόμενος ἀφ' ἑαυτὸν ἑλκύσῃ τοὺς πολεμίους· ἐνταῦθα δὲ τοὐναντίον, ἵνα μὴ γνώριμος γενόμενος, φυγεῖν παρασκευάσῃ τῆς πρὸς αὐτὸν συμπλοκῆς τὸν ἐχθρόν, καὶ τοὺς οἰκείους διαταράξῃ πάντας· σῶσαι γάρ, οὐκ ἐκπλῆξαι, ἐσπούδασε.

Διὰ τοῦτο καὶ εὐθέως αὐτὸν ἀπὸ ταύτης ἐκάλεσε τῆς προσηγορίας, Ἰησοῦν προσειπών. Τὸ γὰρ Ἰησοῦς τοῦτο ὄνομα οὐκ ἔστιν Ἑλληνικόν, ἀλλὰ τῇ Ἑβραίων φωνῇ οὕτω λέγεται Ἰησοῦς· ὅ ἐστιν εἰς τὴν Ἑλλάδα γλῶτταν ἑρμηνευόμενον, Σωτήρ· Σωτὴρ δέ, ἀπὸ τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ.

3. Εἶδες πῶς ἀνεπτέρωσε τὸν ἀκροατήν, τά τε ἐν συνηθείᾳ φθεγξάμενος, καὶ δι' αὐτῶν τὰ ὑπὲρ ἐλπίδα πᾶσιν ἡμῖν ἐμφήνας; Καὶ γὰρ ἀμφοτέρων τῶν ὀνομάτων τούτων πολλὴ ἡ γνῶσις παρὰ τοῖς Ἰουδαίοις ἦν. Ἐπειδὴ γὰρ παράδοξα ἦν τὰ μέλλοντα γί-

---

1. Θαυμάσατε τὴν παραστατικότητα τῆς εἰκόνος καὶ τὴν συγκεκριμενοποίησιν τῆς ἰδέας τῆς συμφιλιώσεως τοῦ παλαιοῦ νόμου μὲ τὸν νέον. Αἱ ἀνοικταὶ χεῖρες τοῦ Χριστοῦ εἰς σχῆμα σταυροῦ ὑπαινίσσονται καὶ τὸ

γέννησίν μας πού μᾶς ὑπερβαίνει καὶ πού ἐσκόπευε νὰ μᾶς χαρίσῃ μέσῳ τοῦ Πνεύματος. Τὸ αὐτὸ νόημα εἶχαν καὶ ὅλα τὰ ἄλλα. Τέτοιο ἦτο τὸ βάπτισμα· εἶχε κάτι ἀπὸ τὸ παλαιὸν καὶ κάτι ἀπὸ τὸ νέον. Τὸ παλαιὸν τὸ ἐφανέρωνε τὸ ὅτι ἐβαπτίσθη ἀπὸ τὸν προφήτην, ἡ κάθοδος τοῦ Πνεύματος ὑπεγράμμισε τὸ νέον. Καὶ ὅπως κάποιος πού στέκεται [1] εἰς τὸ μεταίχμιον δύο πραγμάτων πού ἀπέχουν τὸ ἕνα ἀπὸ τὸ ἄλλο, τὰ ἑνώνει, ἂν ἁπλώσῃ τὰς χεῖρας του ἀπὸ τὸ ἕνα καὶ τὸ ἄλλο μέρος, ἔτσι ἔκαμε καὶ αὐτός· ἥνωσε τὴν παλαιὰν μὲ τὴν νέαν, τὴν θείαν μὲ τὴν ἀνθρωπίνην, τὰ ἰδικά του μὲ τὰ ἰδικά μας.

Εἶδες τὴν ἀστραπὴν τῆς πόλεως, μὲ πόσην φεγγοβολὴν σὲ περιέλαμψεν ἀπὸ τὴν ἀρχήν; Πῶς σοῦ ἔδειξεν ἀμέσως τὸν βασιλέα εἰς τὴν ἰδικήν σου μορφήν, ὡσὰν νὰ εἴσθε εἰς στρατόπεδον; Διότι ἐκεῖ ὁ βασιλεὺς δὲν ἐπιδεικνύει φανερὰ πάντοτε τὸ ἀξίωμά του ἀλλὰ ἀφήνει τὴν πορφύραν καὶ τὸ στέμμα, καὶ ἐνδύεται συχνὰ τὴν στολὴν τοῦ στρατιώτου. Καὶ ἐκεῖ μὲν διὰ νὰ μὴ ἀναγνωρισθῇ καὶ προσελκύσῃ πρὸς τὸν ἑαυτόν του τοὺς ἐχθρούς, ἐνῷ ἐδῶ τὸ ἀντίθετον, διὰ νὰ μὴ ἀναγνωρισθῇ καὶ κάμῃ τὸν ἐχθρὸν νὰ ἀποφύγῃ τὴν συμπλοκὴν μαζί του καὶ προκαλέσῃ τὴν ταραχὴν ὅλων τῶν ἰδικῶν του. Διότι ἀποβλέπει εἰς τὴν σωτηρίαν καὶ ὄχι εἰς τὸν τρόμον.

Διὰ τοῦτο καὶ ἔδωσε εἰς τὸν ἑαυτόν του τὸ ὄνομα Ἰησοῦς. Τὸ ὄνομα Ἰησοῦς δὲν εἶναι βεβαίως ἑλληνικόν. Ὑπάρχει εἰς τὴν Ἑβραϊκὴν γλῶσσαν καὶ εἰς τὴν ἑλληνικὴν ἐξηγεῖται Σωτήρ. Καὶ Σωτὴρ ἀπὸ τὸ ὅτι ἔσωσε τὸν λαόν του.

3. Εἶδες πῶς ἔδωσε πτερὰ εἰς τὸν ἀκροατήν; Ἐνῷ ὡμίλησε διὰ τὰ συνηθισμένα, μὲ αὐτὰ ἐφανέρωσε συνάμα εἰς ὅλους ἡμᾶς τὰ πέρα ἀπὸ προσδοκίαν. Καὶ τὰ δύο αὐτὰ ὀνόματα εἶχαν μεγάλην διάδοσιν μεταξὺ τῶν Ἰουδαίων. Ἐπειδὴ τὰ μέλλοντα νὰ συμβοῦν ἦσαν παράδοξα, ἐπρότρεξαν οἱ τύποι τῶν

βαρύτατον τίμημα πού κατέβαλε διὰ τὴν συμφιλίωσιν αὐτὴν ἐπάνω εἰς τὸ ξύλον τῆς ἀτιμίας.

νεσθαι, καὶ οἱ τῶν ὀνομάτων προέδραμον τύποι· ὥστε ἄνωθεν πάντα καινοτομίας προαναιρεθῆναι θόρυβον.

Καὶ γὰρ Ἰησοῦς ὁ μετὰ Μωυσέα εἰσαγαγὼν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας λέγεται. Εἶδες τὸν τύπον; Βλέπε τὴν ἀλήθειαν. Ἐκεῖνος εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὗτος εἰς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ἐκεῖνος μετὰ τὸ τελευτῆσαι Μωυσέα, οὗτος μετὰ τὸ παύσασθαι τὸν νόμον· ἐκεῖνος ὡς δημαγωγός, οὗτος ὡς βασιλεύς. Ἀλλ' ἵνα μὴ Ἰησοῦν ἀκούσας διὰ τὴν ὁμωνυμίαν πλανηθῇς, ἐπήγαγεν· «Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυΐδ». Ἐκεῖνος δὲ οὐκ ἦν τοῦ Δαυΐδ, ἀλλ' ἑτέρας φυλῆς.

Τίνος δὲ ἕνεκεν Βίβλον αὐτὴν γενέσεως καλεῖ Ἰησοῦ Χριστοῦ; Καίτοιγε οὐ τοῦτο ἔχει μόνον τὴν γέννησιν, ἀλλὰ πᾶσαν τὴν οἰκονομίαν. Ὅτι πάσης τῆς οἰκονομίας τὸ κεφάλαιον τοῦτο, καὶ ἀρχὴ καὶ ῥίζα πάντων ἡμῖν τῶν ἀγαθῶν γίνεται. Ὥσπερ οὖν βιβλίον οὐρανοῦ καὶ γῆς καλεῖ Μωυσῆς, καίτοιγε οὐ περὶ οὐρανοῦ καὶ γῆς διαλεχθεὶς μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐν μέσῳ πάντων· οὕτω καὶ οὗτος ἀπὸ τοῦ κεφαλαίου τῶν κατορθωμάτων τὸ βιβλίον ἐκάλεσε. Τὸ γὰρ ἐκπλήξεως γέμον καὶ ὑπὲρ ἐλπίδα καὶ προσδοκίαν ἅπασιν, ἄνθρωπον γενέσθαι Θεόν· τούτου δὲ γενομένου, τὰ μετὰ ταῦτα ἅπαντα κατὰ λόγον καὶ ἀκολουθίαν ἕπεται.

Τίνος δὲ ἕνεκεν οὐκ εἶπεν, Υἱοῦ Ἀβραάμ, καὶ τότε, Υἱοῦ Δαυΐδ; Οὐχ ὥς τινες οἴονται, κάτωθεν ἄνω βουλόμενος ἐλθεῖν· ἐπεὶ ἐποίησεν ἄν, ὅπερ καὶ ὁ Λουκᾶς· νῦν δὲ τοὐναντίον ποιεῖ. Τίνος οὖν ἕνεκεν τοῦ Δαυΐδ ἐμνημόνευσεν; Ἐν τοῖς πάντων στόμασιν ὁ ἄνθρωπος ἦν, ἀπό τε τῆς περιφανείας, ἀπό τε τοῦ χρόνου· οὐ γὰρ πάλαι ἦν τετελευτηκώς, ὥσπερ ὁ Ἀβραάμ. Εἰ δὲ ἀμφοτέροις ἐπηγγείλατο ὁ Θεός, ἀλλ' ὅμως ἐκεῖνο μέν, ὡς παλαιόν, ἐ-

---

1. Εἰς τοὺς Ἀριθμούς, τέταρτον βιβλίον τῆς Π.Δ. (13, 17) μανθάνομεν ὅτι ὁ Ἰησοῦς τοῦ Ναυῆ ἐκαλεῖτο προηγουμένως Αὐσῆ. Εἰς Ἰησοῦν τὸν μετωνόμασεν ὁ Μωυσῆς μετὰ τὴν ἀποστολήν του μαζὶ μὲ ἄλλους ἕνδεκα ἐκπροσώπους τῶν φυλῶν πρὸς κατασκόπευσιν τῆς γῆς Χαναάν. Διάβασε τὸ σχόλιον τοῦ Ι. Χρυσοστόμου εἰς τὸ τέλος τῆς § 2 τῆς αὐτῆς ὁμιλίας.

ὀνομάτων, ὥστε ἀπὸ τὸν οὐρανὸν νὰ διαλυθῇ κάθε θόρυβος διὰ μίαν καινοτομίαν.

Ὡς γνωστὸν Ἰησοῦς [1] λέγεται ἐκεῖνος ποὺ διεδέχθη τὸν Μωϋσῆν καὶ εἰσήγαγεν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Εἶδες τὸν τύπον; πρόσεξε τὴν ἀλήθειαν. Ἐκεῖνος τὸν ἔφερεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, αὐτὸς εἰς τὸν οὐρανὸν καὶ εἰς τὰ οὐράνια ἀγαθά. Ἐκεῖνος μετὰ τὸν θάνατον τοῦ Μωϋσέως, αὐτὸς μετὰ τὴν παῦσιν τῆς ἰσχύος τοῦ νόμου. Ἐκεῖνος ὡς ἡγέτης τοῦ λαοῦ, αὐτὸς ὡς βασιλεύς. Καὶ διὰ νὰ μὴ ἀκούσῃς Ἰησοῦς καὶ ἕνεκα τῆς ὁμωνυμίας παραπλανηθῇς, ἐπρόσθεσεν. «Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ Δαυίδ». Ἐκεῖνος δὲν προήρχετο ἀπὸ τὴν γενεὰν τοῦ Δαυὶδ ἀλλ' ἀπὸ ἄλλην φυλήν.

Καὶ διὰ ποῖον λόγον τὴν ἀποκαλεῖ Βίβλον γενέσεως τοῦ Ἰησοῦ Χριστοῦ, ἂν καὶ δὲν περιέχει τοῦτο μόνον τὴν γέννησιν ἀλλὰ ὅλην τὴν οἰκονομίαν. Διότι πράγματι ἐδῶ ὑπάρχει ἡ συγκεφαλαίωσις ὅλης τῆς οἰκονομίας καὶ ἀποβαίνει δι' ἡμᾶς ἡ ἀρχὴ καὶ τὸ τέλος ὅλων τῶν ἀγαθῶν. Ὅπως λοιπὸν ὁ Μωϋσῆς δίδει τὸν τίτλον Βιβλίον οὐρανοῦ καὶ γῆς, μολονότι δὲν ὡμίλησε περὶ οὐρανοῦ καὶ γῆς μόνον ἀλλὰ καὶ περὶ ὅλων τῶν ἐνδιαμέσων, ὁμοίως καὶ αὐτὸς ἐκάλεσε τὸ βιβλίον ἀπὸ τὸ σημαντικώτερον γεγονός. Διότι βέβαια αὐτὸ ποὺ εἶναι γεμᾶτο ἀπὸ ἔκπληξιν καὶ ὑπερβαίνει κάθε ἐλπίδα καὶ κάθε προσδοκίαν εἶναι τὸ ὅτι ὁ Θεὸς ἔγινεν ἄνθρωπος καὶ ὅταν ἐπραγματοποιήθη τοῦτο, ἐπακολουθοῦν ὅλα τὰ ἄλλα μὲ λογικὴν ἀκολουθίαν.

Καὶ διατὶ δὲν εἶπεν υἱοῦ τοῦ Ἀβραὰμ καὶ ἐν συνεχείᾳ υἱοῦ τοῦ Δαυίδ; Ὄχι ὅπως νομίζουν μερικοί, διότι ἤθελε νὰ ἔλθῃ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω. Ἐν τοιαύτῃ περιπτώσει θὰ ἔκαμνεν ὅ,τι καὶ ὁ Λουκᾶς. Ἐνῷ τώρα κάμνει τὸ ἀντίθετον. Διὰ ποῖον λόγον λοιπὸν ἀνέφερε τὸν Δαυίδ; Ὁ ἄνθρωπος ἐφέρετο εἰς τὰ στόματα ὅλων καὶ λόγῳ τῆς λαμπρότητός του καὶ λόγῳ τοῦ ὄχι μακρινοῦ χρόνου. Διότι δὲν εἶχεν ἀποθάνει πρὸ τόσον πολλῶν ἐτῶν ὅσον ὁ Ἀβραάμ· ἐξ ἄλλου ὁ Θεὸς εἶχε δώσει ὑποσχέσεις καὶ εἰς τοὺς δύο, ἀλλὰ τὸ ἕνα γεγονὸς ὡς πολὺ πα-

σιγᾶτο· τοῦτο δέ, ὡς πρόσφατον καὶ νέον, ὑπὸ πάντων περιεφέρετο. Αὐτοὶ γοῦν λέγουσιν. «Οὐκ ἐκ τοῦ σπέρματος Δαυῒδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυῒδ, ἔρχεται ὁ Χριστός;». Καὶ οὐδεὶς αὐτὸν υἱὸν Ἀβραάμ, ἀλλὰ πάντες υἱὸν Δαυῒδ ἐκάλουν· καὶ γὰρ καὶ διὰ τὸν χρόνον, ὡς ἔφθην εἰπών, καὶ διὰ τὴν βασιλείαν, μᾶλλον ἐν μνήμῃ πᾶσιν οὗτος ἦν.

Οὕτω γοῦν καὶ οὓς ἐτίμων βασιλέας μετ' ἐκεῖνον ἐξ ἐκείνου ἅπαντας ἐκάλουν, καὶ αὐτοὶ καὶ ὁ Θεός. Καὶ γὰρ καὶ Ἰεζεκιὴλ, καὶ ἕτεροι προφῆται λέγουσιν αὐτοῖς παραγίνεσθαι Δαυῒδ καὶ ἀνίστασθαι, οὐ περὶ ἐκείνου λέγοντες τοῦ τετελευτηκότος, ἀλλὰ τῶν ζηλούντων τὴν ἀρετὴν τὴν ἐκείνου. Καὶ τῷ Ἐζεκίᾳ φησίν· «Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαυῒδ τὸν παῖδά μου». Καὶ τῷ Σολομῶνι δὲ ἔλεγεν ὅτι διὰ Δαυῒδ οὐ διέῤῥηξε ζῶντος αὐτοῦ τὴν βασιλείαν. Πολλὴ γὰρ ἡ δόξα τοῦ ἀνδρὸς ἦν καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις. Διὰ τοῦτο εὐθέως ἐκ τοῦ γνωριμωτέρου τὴν ἀρχὴν ποιεῖται, καὶ τότε περὶ τὸν πατέρα ἀνατρέχει, περιττὸν ἡγούμενος, ὅσον πρὸς Ἰουδαίους, ἀνωτέρω τὸν λόγον ἀναγεῖν. Οὗτοι γὰρ μάλιστα ἦσαν οἱ θαυμαζόμενοι· ὁ μέν, ὡς προφήτης καὶ βασιλεύς· ὁ δέ, ὡς πατριάρχης καὶ προφήτης.

Καὶ πόθεν δῆλον ὅτι ἐκ τοῦ Δαυῒδ ἐστι; φησίν.

Εἰ γὰρ ἐξ ἀνδρὸς οὐκ ἐγεννήθη, ἀλλ' ἀπὸ γυναικὸς μόνον, ἡ δὲ Παρθένος οὐ γενεαλογεῖται, πῶς εἰσόμεθα ὅτι τοῦ Δαυῒδ ἔκγονος ἦν;

Δύο γάρ ἐστι τὰ ζητούμενα· τίνος τε ἕνεκεν ἡ μήτηρ οὐ γενεαλογεῖται, καὶ τί δήποτε ὁ Ἰωσήφ, ὁ μηδὲν συντελῶν πρὸς τὴν γέννησιν, μνημονεύεται παρ' αὐτῶν· δοκεῖ γὰρ τὸ μὲν περιττὸν εἶναι, τὸ δὲ ἐνδεές. Ποῖον οὖν πρότερον ἀναγκαῖον εἰπεῖν; Πῶς ἐκ τοῦ Δαυὶδ ἡ Παρθένος. Πῶς οὖν εἰσόμεθα ὅτι ἐκ τοῦ Δαυίδ; Ἄκουσον τοῦ Θεοῦ λέγοντος τῷ Γαβριὴλ ἀπελθεῖν «Πρὸς παρθέ-

1. Ἰω. 7, 42
2. Δ', Βασ. 19, 34.
3. Γ', Βασ. 11, 34.

λαιὸν ἀπεσιωπᾶτο, ἐνῷ τὸ ἄλλο ὡς πολὺ πρόσφατον καὶ νέον ἐπανελαμβάνετο ὑπὸ ὅλων. Αὐτοὶ λοιπὸν ὑποστηρίζουν «Οὐκ ἐκ τοῦ σπέρματος Δαυὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυίδ, ἔρχεται ὁ Χριστός»[1]. Ἐν τούτοις κανεὶς δὲν τὸν ὀνομάζει υἱὸν τοῦ Ἀβραὰμ ἀλλὰ ὅλοι υἱὸν τοῦ Δαυίδ. Διότι ὅπως εἶπα προηγουμένως καὶ ἐξ αἰτίας τοῦ ὀλίγου σχετικῶς χρόνου καὶ διὰ τὸ βασιλικὸν ἀξίωμα ἔζη εἰς τὴν μνήμην ὅλων.

Διὰ τοῦτο ἀκριβῶς καὶ ὅσους ἐτιμοῦσαν ὡς βασιλεῖς ἔπειτα ἀπὸ αὐτὸν ἔδιδαν εἰς αὐτοὺς τὸ ὄνομά του καὶ αὐτοὶ καὶ ὁ Θεός. Καὶ ὁ Ἰεζεκιὴλ ὡς γνωστὸν ἀλλὰ καὶ ἄλλοι προφῆται ἔλεγαν ὅτι θὰ ἔλθῃ καὶ θὰ ἀναστῇ πρὸς χάριν τοῦ Δαυίδ. Δὲν ἐννοοῦσαν ἐκεῖνον ποὺ εἶχε ἀποθάνει ἀλλὰ τοὺς ζηλωτὰς τῆς ἀρετῆς ἐκείνου. Ἀλλὰ καὶ ὁ Θεὸς λέγει εἰς τὸν Ἐζεκίαν. «Ὑπερασπιῶ τὴν πόλιν ταύτην δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν παῖδά μου» [2] ἔλεγε καὶ εἰς τὸν Σολομῶντα ἐπίσης, ὅτι «διὰ Δαυὶδ οὐ διέρρηξε ζῶντος αὐτοῦ τὴν βασιλείαν»[3]. Εἶχε μεγάλην δόξαν ὁ ἄνθρωπος καὶ πλησίον τοῦ Θεοῦ καὶ μεταξὺ τῶν ἀνθρώπων. Διὰ τοῦτο ἀρχίζει ἀμέσως ἀπὸ τὸν πιὸ γνωστὸν καὶ ἀνατρέχει εἰς τὸν πατέρα· ἐθεώρησε περιττὸν νὰ ἀναφερθῇ εἰς ἀπώτερον χρόνον ἀπευθυνόμενος πρὸς Ἰουδαίους. Αὐτοί οἱ δύο ἐθαυμάζοντο περισσότερον ὁ ἕνας ὡς προφήτης καὶ βασιλεύς, ὁ ἄλλος ὡς πατριάρχης καὶ προφήτης.

Καὶ πόθεν εἶναι φανερὸν ὅτι κατάγεται ἀπὸ τὸν Δαυίδ; παρατηρεῖ.

Ἐὰν δὲν ἐγεννήθη ἀπὸ ἄνδρα ἀλλὰ μόνον ἀπὸ γυναῖκα, πῶς θὰ συμπεράνωμεν ὅτι εἶναι ἀπόγονος τοῦ Δαυίδ, ἀφοῦ ἡ Παρθένος δὲν ἔχει θέσιν εἰς τὴν γενεαλογίαν;

Τὰ ἐρωτήματα εἶναι δύο· διὰ ποῖον λόγον ἡ Παρθένος δὲν ἔχει θέσιν εἰς τὴν γενεαλογίαν καὶ διατί μνημονεύεται ὁ Ἰωσήφ, ποὺ δὲν συντελεῖ καθόλου εἰς τὴν γέννησιν. Φαίνεται ὅτι τὸ ἕνα εἶναι περιττὸν ἐνῷ τὸ ἄλλο ἐλλιπές. Ποῖον λοιπὸν εἶναι ἀπαραίτητον νὰ ἀναφέρωμεν; Τὸ πῶς προῆλθεν ἡ Παρθένος ἀπὸ τὸν Δαυίδ. Καὶ πῶς θὰ μάθωμεν ὅτι προῆλθεν ἀπὸ τὸν Δαυίδ; Ἄκουσε τὸν Θεὸν νὰ λέγῃ εἰς τὸν Γαβριὴλ

νον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ». Τί τοίνυν βούλει τούτου σαφέστερον, ὅταν ἀκούσῃς ὅτι ἐξ οἴκου καὶ πατριᾶς Δαυὶδ ἦν ἡ Παρθένος;

4. Ὅθεν δῆλον, ὅτι καὶ ὁ Ἰωσὴφ ἐκεῖθεν ἦν. Καὶ γὰρ νόμος ἦν ὁ κελεύων μὴ ἐξεῖναι γαμεῖν ἄλλοθεν, ἀλλ' ἢ ἐκ τῆς αὐτῆς φυλῆς. Καὶ ὁ πατριάρχης δὲ Ἰακὼβ ἀπὸ τῆς Ἰούδα φυλῆς ἀναστήσεσθαι αὐτὸν προὔλεγεν, οὕτω λέγων· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν».

Ἡ γὰρ προφητεία αὕτη ὅτι μὲν ἐκ τῆς φυλῆς Ἰούδα γέγονε, δηλοῖ· ὅτι δὲ καὶ τοῦ γένους Δαυίδ, οὐκέτι. Ἆρα οὖν τῇ φυλῇ Ἰούδα οὐχὶ γένος ἓν ἦν μόνον, τὸ τοῦ Δαυίδ, ἀλλὰ καὶ πολλὰ ἕτερα, καὶ συνέβαινε τῆς μὲν φυλῆς εἶναι τοῦ Ἰούδα, οὐκέτι δὲ καὶ τοῦ γένους Δαυίδ; Ἀλλ' ἵνα μὴ τοῦτο λέγῃς, ἀνεῖλέ σου τὴν ὑπόνοιαν ταύτην ὁ εὐαγγελιστής, εἰπὼν ὅτι ἐξ οἴκου καὶ πατριᾶς ἦν Δαυΐδ.

Εἰ δὲ καὶ ἑτέρωθεν βούλει τοῦτο μαθεῖν, οὐδὲ ἑτέρας ἀπορήσομεν ἀποδείξεως· οὐ γὰρ δὴ μόνον ἀπὸ φυλῆς οὐκ ἐξῆν ἑτέρας, ἀλλ' οὐδὲ ἀπὸ πατριᾶς ἑτέρας, τουτέστι συγγενείας γαμεῖν. Ὥστε ἄν τε τῇ Παρθένῳ, τὸ ἐξ οἴκου καὶ πατριᾶς Δαυὶδ ἁρμόσωμεν, ἕστηκε τὸ εἰρημένον· ἄν τε τῷ Ἰωσήφ, δι' ἐκείνου καὶ τοῦτο κατασκευάζεται. Εἰ γὰρ ἐξ οἴκου Δαυὶδ καὶ πατριᾶς ἦν (ὁ Ἰωσήφ), οὐκ ἂν ἄλλοθεν ἔλαβε τὴν γυναῖκα ἢ ὅθεν καὶ αὐτὸς ἦν. Τί οὖν εἰ παρέβη τὸν νόμον; φησί.

Διὰ γὰρ τοῦτο προλαβὼν ἐμαρτύρησεν, ὅτι δίκαιος ἦν ὁ Ἰωσήφ, ἵνα μὴ τοῦτο λέγῃς, ἀλλὰ μαθὼν αὐτοῦ τὴν ἀρετὴν κἀκεῖνο εἰδῇς, ὅτι οὐκ ἂν παρέβη τὸν νόμον. Ὁ γὰρ οὕτω φιλάνθρω-

---

1. Λουκᾶ 1,27
2. Γέν. 49, 10.

νὰ μεταβῇ «πρὸς παρθένον μεμνηστευμένην ἀνδρός, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ»[1]. Τί θέλεις λοιπὸν νὰ μάθῃς σαφέστερον ἀπὸ αὐτό, ὅταν ἀκούσῃς ὅτι ἡ παρθένος ἦτο ἀπὸ τὸν οἶκον καὶ τὴν πατριὰν τοῦ Δαυίδ;

4. Ἀπὸ αὐτὸ γίνεται φανερὸν ὅτι καὶ ὁ Ἰωσὴφ προήρχετο ἀπὸ ἐκεῖ. Διότι ὑπῆρχε νόμος καὶ ἔθιμον νὰ μὴ ἐπιτρέπεται ὁ γάμος ἀπὸ ἄλλην φυλὴν ἀλλὰ ἀπὸ τὴν ἰδίαν. Ἀλλὰ καὶ ὁ πατριάρχης Ἰακὼβ προέλεγεν ὅτι αὐτὸς θὰ ἀναστῇ ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα μὲ τοὺς ἑξῆς λόγους· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν» [2].

Ἡ προφητεία αὐτὴ δηλώνει τὸ γεγονὸς ὅτι προῆλθεν ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα· ὄχι ὅμως ὅτι κατάγεται ἀπὸ τὸ γένος τοῦ Δαυίδ. Ἄρα λοιπὸν εἰς τὴν φυλὴν Ἰούδα δὲν ἦτο μοναδικὸν τὸ γένος τοῦ Δαυίδ, ὑπῆρχαν καὶ ἄλλα πολλὰ καὶ συνέβαινε νὰ εἶναι μὲν ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα ὄχι ὅμως καὶ ἀπὸ τὸ γένος τοῦ Δαυίδ. Διὰ νὰ μὴ τὸ προβάλλῃς ὅμως αὐτό, σοῦ ἀφήρεσε τὴν ὑποψίαν αὐτὴν ὁ Εὐαγγελιστὴς προσθέσας τοὺς λόγους «ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ».

Ἂν ὅμως θέλῃς καὶ κάτι ἄλλο διὰ νὰ βεβαιωθῇς, δὲν θὰ μᾶς λείψῃ καὶ ἄλλη ἀπόδειξις. Ὄχι μόνον δηλαδὴ δὲν ἐπετρέπετο ὁ γάμος ἀπὸ ἄλλην φυλὴν ἀλλὰ οὔτε καὶ ἀπὸ πατριὰν δηλ. ἀπὸ γένος ἄλλο. Ὥστε εἴτε εἰς τὴν παρθένον ἀποδώσωμεν τὸ «ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ», ὁ λόγος εὐσταθεῖ· εἴτε εἰς τὸν Ἰωσήφ· διότι ἀπὸ τὸ πρῶτον ἀποκτᾷ ἰσχὺν καὶ τὸ δεύτερον. Διότι ἐὰν ὁ Ἰωσὴφ ἦτο ἀπὸ τὸν οἶκον καὶ τὸ γένος τοῦ Δαυίδ, δὲν ἠμποροῦσε νὰ λάβῃ γυναῖκα ἀπὸ ἀλλοῦ παρὰ ἀπὸ ὅπου προήρχετο καὶ ὁ ἴδιος. Ἂν ὅμως ἔχῃ καταπατήσει τὸν νόμον; ἀντιπροτείνει.

Διὰ τοῦτο ἀκριβῶς ἔδωσεν ἐκ τῶν προτέρων τὴν πληροφορίαν ὅτι ὁ Ἰωσὴφ ἦτο δίκαιος, διὰ νὰ μὴ κάμῃς αὐτὴν τὴν ἐρώτησιν. Πληροφορούμενος τὴν ἀρετήν του νὰ μάθῃς καὶ ἐκεῖνο, ὅτι δηλ. δὲν ἠμποροῦσε νὰ παραβῇ τὸν νόμον· καὶ εἶναι φυσικόν. Αὐτὸς ὁ φιλάνθρωπος καὶ τόσον ἀνεπηρέαστος

πος καὶ πάθους ἐκτός, ὡς μηδὲ ὑποψίας ἀναγκαζούσης βουληθῆναι ἐπιχειρῆσαι κολάσαι τὴν Παρθένον, πῶς ἂν δι' ἡδονὴν παρέβη τὸν νόμον; Ὁ γὰρ ὑπὲρ νόμον φιλοσοφήσας (καὶ γὰρ τὸ ἀφεῖναι καὶ λάθρα ἀφεῖναι, ὑπὲρ νόμον φιλοσοφοῦντος ἦν), πῶς ἂν παρὰ νόμον ἔπραξέ τι, καὶ ταῦτα οὐδεμιᾶς ἀναγκαζούσης αἰτίας;

Ἀλλ' ὅτι μὲν ἐκ τοῦ γένους τοῦ Δαυὶδ ἦν ἡ Παρθένος, ἐκ τούτων δῆλον.

Τίνος δὲ ἕνεκεν αὐτὴν οὐκ ἐγενεαλόγησεν, ἀλλὰ τὸν Ἰωσήφ, ἀναγκαῖον εἰπεῖν. Τίνος οὖν ἕνεκεν; Οὐκ ἦν νόμος παρὰ Ἰουδαίοις γενεαλογεῖσθαι γυναῖκας. Ἵν' οὖν καὶ τὸ ἔθος φυλάξῃ καὶ μὴ δόξῃ παραχαράττειν ἐκ προοιμίων, καὶ τὴν κόρην ἡμῖν γνωρίσῃ, διὰ τοῦτο τοὺς προγόνους αὐτῆς σιγήσας, τὸν Ἰωσὴφ ἐγενεαλόγησεν. Εἴτε γὰρ ἐπὶ τῆς Παρθένου τοῦτο ἐποίησεν, ἔδοξεν ἂν καινοτομεῖν· εἴτε τὸν Ἰωσὴφ ἐσίγησεν, οὐκ ἂν ἔγνωμεν τῆς Παρθένου τοὺς προγόνους. Ἵν' οὖν μάθωμεν τὴν Μαρίαν, τίς ἦν καὶ πόθεν, καὶ τὰ τῶν νόμων ἀκίνητα μείνῃ, τὸν μνηστῆρα αὐτῆς ἐγενεαλόγησε, καὶ ἔδειξεν ὄντα ἐκ τῆς οἰκίας Δαυίδ. Τούτου γὰρ ἀποδειχθέντος, κἀκεῖνο συναποδέδεικται, τὸ καὶ τὴν Παρθένον ἐκεῖθεν εἶναι, διὰ τὸ τὸν δίκαιον τοῦτον, καθάπερ ἔφθην εἰπών, μὴ ἀνασχέσθαι ἑτέρωθεν ἀγαγέσθαι γυναῖκα.

Ἔστι δὲ καὶ ἕτερον λόγον εἰπεῖν μυστικώτερον, δι' ὃν ἐσιγήθησαν οἱ τῆς Παρθένου πρόγονοι, ὅνπερ οὐκ εὔκαιρον νῦν ἐκκαλύψαι διὰ τὸ πολλὰ εἶναι τὰ εἰρημένα. Διόπερ ἐνταῦθα στήσαντες τὸν περὶ τῶν ζητημάτων λόγον, κατέχωμεν τέως μετὰ ἀκριβείας

ἀπὸ πάθος, ὥστε, μολονότι ἡ ὑποψία τὸν ἐβασάνιζε, δὲν ἠθέλησε νὰ ἐπιδιώξῃ τιμωρίαν τῆς παρθένου, πῶς θὰ ἦτο δυνατὸν νὰ παραβῇ τὸν νόμον χάριν τῆς ἡδονῆς; Αὐτὸς ποὺ ἔδειξε πνευματικότητα ἀνωτέραν ἀπὸ ὅ,τι ἐπέβαλλεν ὁ νόμος —καὶ ἦτο ἀνωτέρα πνευματικότης τὸ νὰ ζητήσῃ νὰ τὴν ἀφήσῃ καὶ μάλιστα κρυφίως—πῶς θὰ ἔπραττε κάτι παρὰ τὸν νόμον καὶ μάλιστα χωρὶς νὰ τὸν ἀναγκάζῃ καμμία αἰτία;

Εἶναι φανερὸν ἀπὸ αὐτά, ὅτι ἡ παρθένος προήρχετο ἀπὸ τὸ γένος τοῦ Δαυίδ.

Εἶναι ἀνάγκη ὅμως νὰ ἐκθέσωμεν διὰ ποῖον λόγον δὲν συμπεριέλαβεν αὐτὴν εἰς τὴν γενεαλόγησιν ἀλλὰ τὸν Ἰωσήφ. Διὰ ποῖον λόγον; Δὲν ἦτο συνήθεια εἰς τοὺς Ἰουδαίους νὰ συμπεριλαμβάνουν εἰς τὰς γενεαλογίας τὰς γυναῖκας. Διὰ νὰ φυλάξῃ λοιπὸν ἀφ' ἑνὸς τὴν συνήθειαν καὶ νὰ μὴ φανῇ ὅτι ἀπὸ τὸ προοίμιον τῆς ἐξιστορήσεώς του τὴν παραβαίνει καὶ διὰ νὰ μᾶς κάμῃ ἐξ ἄλλου γνωστὴν τὴν κόρην, διὰ τοῦτο ἀπεσιώπησε τοὺς προγόνους της καὶ συμπεριέλαβεν εἰς τὴν γενεαλόγησιν τὸν Ἰωσήφ. Ἂν ἔκαμεν ἔτσι μὲ τὴν παρθένον, θὰ ἐθεωρεῖτο ὅτι καινοτομεῖ· ἂν ἀπεσιωποῦσε τὸν Ἰωσήφ, δὲν θὰ ἐγνωρίζαμεν τοὺς προγόνους τῆς παρθένου. Διὰ νὰ πληροφορηθῶμεν λοιπὸν ἀφ' ἑνὸς τὰ σχετικὰ μὲ τὴν Μαρίαν, ποία ἦτο καὶ ἀπὸ ποῦ κατήγετο, καὶ διὰ νὰ μείνουν ἀφ' ἑτέρου αἱ συνήθειαι ἀμετακίνητοι, περιέλαβεν εἰς τὴν γενεαλόγησιν τὸν μνηστῆρά της καὶ μᾶς ἔδειξεν ὅτι προέρχεται ἀπὸ τὸ γένος τοῦ Δαυίδ. Καὶ ἀφοῦ ἐδείχθη τοῦτο, ἔχει ἀποδειχθῆ καὶ ἐκεῖνο, ὅτι δηλαδὴ ἡ παρθένος προήρχετο ἀπ' ἐκεῖ διὰ τὸν λόγον ποὺ εἶπα προηγουμένως, ὅτι ὁ δίκαιος αὐτὸς δὲν θὰ ἐδέχετο ποτὲ νὰ λάβῃ γυναῖκα ἀπὸ ἀλλοῦ.

Εἶναι δυνατὸν νὰ ἀναφέρωμεν καὶ ἄλλον λόγον περισσότερον μυστικόν, διὰ τοῦ ὁποίου ἀπεσιωπήθησαν οἱ πρόγονοι τῆς παρθένου. Τὴν αἰτίαν αὐτὴν δὲν εἶναι ὥρα νὰ τὴν ἀποκαλύψωμεν, ἐπειδὴ εἶναι πολλὰ τὰ λεχθέντα. Διὰ τοῦτο, ἂς σταματήσωμεν ἐδῶ τὸν λόγον διὰ τὰ ζητήματα αὐτὰ καὶ ἂς κρατήσωμεν εἰς τὸ ἑξῆς μὲ ἀκρίβειαν ὅσα ἀπεκαλύψαμεν

τὰ ἐκκαλυφθέντα ἡμῖν· οἷον, διατί τοῦ Δαυὶδ ἐμνήσθη πρῶτον, διατί τὸ βιβλίον, γενέσεως ἐκάλεσε Βίβλον, διατί εἶπεν, «Ἰησοῦ Χριστοῦ», πῶς ἡ γέννησις κοινὴ καὶ οὐ κοινή· πόθεν ὅτι ἡ Μαρία τοῦ Δαυὶδ οὖσα ἐδείχθη· καὶ τίνος ἕνεκεν ὁ Ἰωσὴφ ἐγενεαλογήθη, σιγηθέντων τῶν ἐκείνης προγόνων.

Ἂν μὲν γὰρ φυλάττητε ταῦτα, προθυμοτέρους ἡμᾶς καὶ πρὸς τὰ μέλλοντα ἐργάσεσθε· ἂν δὲ ἀποπτύσητε καὶ ἐκβάλητε αὐτὰ τῆς ψυχῆς, καὶ πρὸς τὰ λοιπὰ ὀκνηρότερον διακεισόμεθα. Οὐδὲ γὰρ γῆς τὰ πρότερα διαφθειράσης σπέρματα ἕλοιτ᾽ ἂν ἐπιμελεῖσθαι γεωργός. Διὸ παρακαλῶ ταῦτα στρέφειν. Ἀπὸ γὰρ τοῦ τὰ τοιαῦτα μεριμνᾶν, μέγα τι τῇ ψυχῇ καὶ σωτήριον ἐγγίγνεται ἀγαθόν. Καὶ γὰρ καὶ τῷ Θεῷ δυνησόμεθα ἀρέσαι, ταῦτα φροντίζοντες, καὶ ὕβρεων καὶ αἰσχρολογίας καὶ λοιδοριῶν τὰ στόματα καθαρὰ ἔσται, πνευματικὰ μελετῶντα ῥήματα.

Καὶ δαίμοσιν ἐσόμεθα φοβεροὶ καθοπλίζοντες ἡμῶν τὴν γλῶτταν τοιούτοις ῥήμασι· καὶ τοῦ Θεοῦ τὴν χάριν ἐπισπασόμεθα μᾶλλον, καὶ διορατικώτερον ἡμῖν ἐργάσεται τὸ ὄμμα. Καὶ γὰρ καὶ ὀφθαλμούς, καὶ στόμα, καὶ ἀκοὴν διὰ τοῦτο ἡμῖν ἐνέθηκεν, ἵνα αὐτῷ πάντα δουλεύῃ τὰ μέλη· ἵνα τὰ αὐτοῦ φθεγγώμεθα, ἵνα τὰ αὐτοῦ πράττωμεν, ἵνα ᾄδωμεν αὐτῷ ὕμνους διηνεκεῖς, ἵνα εὐχαριστίας ἀναπέμπωμεν, καὶ διὰ τούτων τὸ συνειδὸς ἑαυτῶν ἐκκαθαίρωμεν. Ὥσπερ γὰρ σῶμα ἀέρος ἀπολαῦον καθαροῦ ὑγιεινότερον ἔσται, οὕτω καὶ ψυχὴ φιλοσοφωτέρα τοιαύταις ἐντρεφομένη μελέταις.

5. Οὐχ ὁρᾷς καὶ τοὺς τοῦ σώματος ὀφθαλμούς, ὅταν μὲν ἐν καπνῷ διατρίβωσι, διαπαντὸς δακρύοντας, ὅταν δὲ ἐν ἀέρι λεπτῷ καὶ λειμῶνι καὶ πηγαῖς καὶ παραδείσοις, ὀξυτέρους τεγινομένους καὶ ὑγιεινοτέρους; Τοιοῦτος καὶ ὁ τῆς ψυχῆς ὀφθαλμός·

εἰς σᾶς. Τὸ διατί π.χ. ἐμνημόνευσε τὸν Δαυὶδ πρῶτον, διατί ἐκάλεσε τὴν συγγραφήν του Βίβλον γενέσεως, διατί εἶπε τοῦ Ἰησοῦ Χριστοῦ, πῶς ἡ γέννησις εἶναι ἀλλὰ καὶ δὲν εἶναι κοινή, ἀπὸ ποῦ ἐφάνη ὅτι ἡ Μαρία προέρχεται ἀπὸ τὸ γένος τοῦ Δαυὶδ καὶ διὰ ποῖον λόγον περιελήφθη εἰς τὴν γενεαλόγησιν τοῦ Ἰωσήφ, ἐνῷ ἀπεσιωπήθησαν οἱ πρόγονοι ἐκείνης.

Ἂν τηρῆτε αὐτά, θὰ μᾶς κάμετε προθυμοτέρους καὶ διὰ τὰ ἑπόμενα. Ἂν ὅμως αὐτὰ τὰ περιφρονήσετε καὶ τὰ ἀποβάλετε ἀπὸ τὴν ψυχήν σας, θὰ γίνωμεν διστακτικώτεροι διὰ τὰ ὑπόλοιπα. Ὁμοίως καὶ ὁ γεωργός, δὲν θὰ ἤθελε νὰ καλλιεργήσῃ τὴν γῆν ποὺ τοῦ κατέστρεψε τὸν πρῶτον σπόρον. Διὰ τοῦτο παρακαλῶ νὰ τὰ διατηρῆτε αὐτὰ εἰς τὸν νοῦν σας. Διότι ἀπὸ τὴν φροντίδα δι' αὐτά δημιουργεῖται εἰς τὴν ψυχὴν ἕνα μεγάλο καὶ σωτήριον ἀγαθόν. Καὶ εἰς τὸν Θεὸν δηλαδὴ θὰ γίνωμεν ἀρεστοί, ἂν ἀσχολούμεθα μὲ αὐτά, καὶ τὰ στόματά μας θὰ μείνουν καθαρὰ ἀπὸ ὕβρεις καὶ αἰσχρολογίας καὶ χλευασμούς, ἂν μελετοῦν λόγους πνευματικούς.

Ἀκόμη, θὰ γίνωμεν φοβεροὶ καὶ εἰς τοὺς δαίμονας ἐξοπλίζοντες τὴν γλῶσσαν μας μὲ τέτοιους λόγους, θὰ ἐπισπάσωμεν διὰ τὸν ἑαυτόν μας περισσοτέραν τὴν χάριν τοῦ Θεοῦ καὶ ὁ ὀφθαλμὸς τῆς ψυχῆς θὰ γίνῃ πιὸ ὀξυδερκής. Διότι καὶ τὰ μάτια καὶ τὸ στόμα καὶ τὴν ἀκοὴν δι' αὐτὸ μᾶς τὰ παρεχώρησε, διὰ νὰ ἐργάζωνται ὅλα τὰ μέλη μας διὰ λογαριασμόν του. Νὰ λέγωμεν τοὺς λόγους του, νὰ ἐκτελοῦμεν τὰ θελήματά του, νὰ ψάλλωμεν εἰς αὐτὸν ὕμνους ἀτελειώτους, νὰ τοῦ ἀναπέμπωμεν τὰς εὐχαριστίας μας καὶ μὲ ὅλα αὐτὰ νὰ καθιστοῦμεν καθαρὰν τὴν συνείδησίν μας. Διότι ὅπως τὸ σῶμα γίνεται ὑγιέστερον, ὅταν ἀπολαμβάνῃ τὸν καθαρὸν ἀέρα, ἔτσι καὶ ἡ ψυχή μας γίνεται περισσότερον πνευματική, ὅταν τρέφεται μὲ τὰς μελέτας τοῦ εἴδους αὐτοῦ.

5. Δὲν βλέπεις καὶ τὰ μάτια τοῦ σώματος; Ὅταν τὰ προσβάλλῃ καπνός, δακρύζουν συνεχῶς. Ὅταν ὅμως ὑπάρχῃ καθαρὰ ἀτμόσφαιρα εἰς λειβάδια καὶ πηγὰς καὶ κήπους, γίνονται ὀξύτερα καὶ πιὸ ὑγιῆ. Ἔτσι εἶναι καὶ τὰ μάτια τῆς ψυ-

ἂν μὲν γὰρ ἐν τῷ λειμῶνι τῶν πνευματικῶν βόσκηται λογίων, καθαρὸς ἔσται καὶ διαυγὴς καὶ ὀξυδορκῶν· ἂν δὲ εἰς τὸν καπνὸν τῶν βιωτικῶν ἀπίῃ πραγμάτων, δακρύσεται μυρία καὶ κλαύσεται, καὶ νῦν καὶ τότε. Καὶ γὰρ καπνῷ ἔοικε τὰ ἀνθρώπινα πράγματα. Διὰ τοῦτο καί τις ἔλεγεν· «Ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου». Ἀλλ' ἐκεῖνος μὲν πρὸς τὸ ὀλιγοχρόνιον καὶ ἀνυπόστατον· ἐγὼ δὲ οὐκ εἰς τοῦτο μόνον, ἀλλὰ καὶ εἰς τὸ ταραχῶδες εἴποιμι ἂν δεῖν ἐκλαμβάνειν τὰ εἰρημένα. Οὐδὲν γὰρ οὕτω λυπεῖ ψυχῆς ὀφθαλμὸν καὶ θολοῖ, ὡς ὁ τῶν βιωτικῶν φροντίδων ὄχλος, καὶ ὁ τῶν ἐπιθυμιῶν ἑσμός· ταῦτα γὰρ τοῦ καπνοῦ τούτου τὰ ξύλα. Καὶ καθάπερ τὸ πῦρ, ὅταν ὑγρᾶς καὶ διαβρόχου τινὸς ἐπιλάβηται ὕλης, πολὺν ἀνάπτει τὸν καπνόν· οὕτω καὶ ἡ ἐπιθυμία ἡ σφοδρὴ αὕτη καὶ φλογώδης, ὅταν ὑγρᾶς τινος καὶ διαλελυμένης ἐπιλάβηται ψυχῆς, πολὺν καὶ αὐτὴ τίκτει τὸν καπνόν. Διὰ τοῦτο χρεία τῆς δρόσου τοῦ Πνεύματος, καὶ τῆς αὔρας ἐκείνης, ἵνα τὸ πῦρ σβέσῃ, καὶ τὸν καπνὸν διαχέῃ, καὶ πτηνὸν ποιήσῃ ἡμῖν τὸν λογισμόν.

Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τοσούτοις βαρυνόμενον κακοῖς πρὸς τὸν οὐρανὸν ἀναπτῆσαι· ἀλλ' ἀγαπητόν, εὐζώνους ἡμᾶς ὄντας δυνηθῆναι ταύτην τεμεῖν τὴν ὁδόν· μᾶλλον δὲ οὐδὲ οὕτω δυνατόν, ἂν μὴ τοῦ Πνεύματος λάβωμεν τὸ πτερόν. Εἰ τοίνυν καὶ κούφης διανοίας καὶ πνευματικῆς χάριτος δεῖ, ἵνα ἀναβῶμεν εἰς τὸ ὕψος ἐκεῖνο, ὅταν μηδὲν τούτων, ἀλλὰ καὶ τὰ ἐναντία πάντα ἐφελκώμεθα καὶ βάρος σατανικόν, πῶς δυνησόμεθα ἀναπτῆναι, τοσούτῳ βάρει καθελκόμενοι; Καὶ γὰρ εἴ τις ὥσπερ ἐν δικαίοις σταθμοῖς τοὺς λόγους ἡμῶν στῆσαι ἐπιχειρήσειεν, ἐν μυρίοις ταλάντοις βιωτικῶν λόγων μόλις εὑρήσει δηνάρια ἑκατὸν ῥημάτων πνευματικῶν· μᾶλλον δὲ οὐδὲ ὀβολοὺς δέκα. Ἆρ' οὖν οὐκ αἰσχύνη καὶ γέλως ἔσχατος, οἰκέτην μὲν ἔχοντας, τὰ πλείονα εἰς τὰ ἀναγκαῖα κεχρῆσθαι αὐτῷ πράγματα, στόμα δὲ κεκτημένους, μηδὲ οἰκέτῃ ὁμοίως προσφέρεσθαι τῷ μέλει τῷ

1. Ψαλμ. 101, 4.

χῆς. Ἂν κινοῦνται εἰς τὸ λειβάδι τῶν πνευματικῶν λόγων, θὰ εἶναι καθαρὰ καὶ λαμπρὰ καὶ δυνατά. Ἂν ὅμως πλανῶνται εἰς τὸν καπνὸν τῶν βιοτικῶν πραγμάτων θὰ πλημμυρίζουν ἀπὸ δάκρυα καὶ κλάματα καὶ τώρα καὶ τότε. Διότι τὰ ἀνθρώπινα ὁμοιάζουν μὲ καπνόν. Διὰ τοῦτο καὶ κάποιος ἔλεγε· «Ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου» [1]. Ἐκεῖνος ὅμως ἀναφέρεται εἰς τὴν βραχύτητα τῆς ζωῆς καὶ τὸ τέλος της, ἐνῷ ἐγὼ θὰ ἔλεγα ὅτι πρέπει συγχρόνως νὰ λαμβάνωμεν ὑπ' ὄψιν καὶ τὴν ταραχώδη πλευρά των. Διότι τὸν ὀφθαλμὸν τῆς ψυχῆς δὲν τὸν στενοχωρεῖ καὶ δὲν τὸν θολώνει τίποτε, ὅσον τὸ πλῆθος τῶν φροντίδων τῆς ζωῆς καὶ ἡ συμμορία τῶν ἐπιθυμιῶν. Αὐτὰ εἶναι τὰ ξύλα τοῦ καπνοῦ τούτου. Ὅπως ἀκριβῶς γίνεται καὶ μὲ τὴν φωτιάν. Ὅταν εὕρῃ ὑγρὰ καὶ μουσκεμένα ξύλα προκαλεῖ πολὺν καπνόν· ἔτσι καὶ ἡ ἐπιθυμία μὲ τὴν ὄψιν τῆς ὁρμητικῆς φλογός, ὅταν συλλάβῃ κάποιαν ὑγρὰν καὶ χαλαρωμένην ψυχήν, δημιουργεῖ αὐτὴ πολὺν καπνόν. Διὰ τοῦτο μᾶς χρειάζεται ἡ δροσιὰ τοῦ πνεύματος καὶ ἡ αὔρα ἐκείνη, νὰ σβήσῃ τὴν φωτιάν, καὶ νὰ σκορπίσῃ τὸν καπνὸν καὶ νὰ πτερώσῃ τὸν λογισμόν μας.

Δὲν εἶναι δυνατόν, ὄχι, μὲ τὸ βάρος τόσων δεινῶν νὰ ὑψωθοῦμεν εἰς τὸν οὐρανόν. Ἂς ἱκανοποιηθοῦμεν, ἂν ἠμπορέσωμεν νὰ πάρωμεν τὸν δρόμον αὐτὸν ἐλευθερωμένοι ἀπὸ ἀποσκευάς. Μολονότι καὶ ἔτσι δὲν εἶναι δυνατόν, ἂν δὲν λάβωμεν τὰ πτερὰ τοῦ Πνεύματος. Ἂν λοιπὸν χρειάζεται ἐλαφρὰ ψυχὴ καὶ πνευματικὴ δωρεά, διὰ νὰ ἀνέλθωμεν εἰς ἐκεῖνο τὸ ὕψος, ὅταν μήτε τὸ ἕνα δὲν ἔχωμεν μήτε τὸ ἄλλο, ἀλλὰ φορτωνώμεθα ὅλα τὰ ἀντίθετα καὶ τὸ σατανικὸν φορτίον, πῶς θὰ ἠμπορέσωμεν νὰ πετάξωμεν, ἐνῷ τόσον βάρος μᾶς σύρει πρὸς τὰ κάτω; Δυστυχῶς. Ὅταν ζυγίσῃ κανεὶς μὲ ἀκριβῆ σταθμὰ τοὺς λόγους μας, μόλις θὰ εὕρῃ ἑκατὸν δηνάρια πνευματικῶν λόγων ἢ μᾶλλον δὲν θὰ μετρήσῃ οὔτε δέκα πενταροδεκάρες. Δὲν εἶναι λοιπὸν ἐντροπὴ καὶ κοροϊδία ἀπέραντος νὰ χρησιμοποιοῦμεν τὸν ὑπηρέτην μας διὰ τὰς ἀπαραιτήτους ἐργασίας, τὸ δὲ στόμα μας ποὺ εἶναι μέλος τοῦ σώματός μας, νὰ μὴν τὸ

ἡμετέρῳ, ἀλλ' ἀντιστρόφως εἰς ἄχρηστα καὶ παρέλκοντα πράγματα; Καὶ εἴθε εἰς παρέλκοντα μόνον· νῦν δὲ εἰς ἐναντία καὶ βλαβερά, καὶ εἰς οὐδὲν ἡμῖν χρήσιμα. Εἰ γὰρ ἦν ἡμῖν χρήσιμα ἃ ἐφθεγγόμεθα, καὶ τῷ Θεῷ πάντως φίλα ἦν τὰ λεγόμενα.

Νυνὶ δὲ ἅπερ ἂν ὁ διάβολος ὑποβάλλῃ, πάντα φθεγγόμεθα· νῦν μὲν γελῶντες, νῦν δὲ ἀστεῖα λέγοντες· νῦν μὲν καταρώμενοι καὶ ὑβρίζοντες, νῦν δὲ ὀμνύοντες καὶ ψευδόμενοι καὶ ἐπιορκοῦντες· καὶ νῦν μὲν ἀποδυσπετοῦντες, νῦν δὲ βαττολογοῦντες, καὶ γραϊδίων ληροῦντες πλέον, τὰ μηδὲν πρὸς ἡμᾶς πάντα εἰς μέσον φέροντες.

Τίς γὰρ ὑμῶν, εἰπέ μοι, τῶν ἐνταῦθα ἑστηκότων, ψαλμὸν ἕνα ἀπαιτηθεὶς εἰπεῖν δύναιτ' ἂν ἢ ἄλλο τι μέρος τῶν θείων Γραφῶν; Οὐκ ἔστιν οὐδείς. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι πρὸς τὰ πνευματικὰ ἀναπεπτωκότες οὕτω, πρὸς τὰ σατανικὰ πυρός ἐστε σφοδρότεροι. Καὶ γὰρ εἰ βουληθείη τις ὑμᾶς ᾠδὰς ἐξετάσαι διαβολικάς, καὶ πορνικὰ καὶ κατακεκλασμένα μέλη, πολλοὺς εὑρήσει μετὰ ἀκριβείας ταῦτα εἰδότας, καὶ μετὰ πολλῆς αὐτὰ ἀπαγγέλλοντας τῆς ἡδονῆς.

'Αλλὰ τίς ἡ ἀπολογία τῶν ἐγκλημάτων;

Οὐκ εἰμί, φησί, τῶν μοναχῶν, ἀλλὰ καὶ γυναῖκα ἔχω καὶ παιδία, καὶ οἰκίας ἐπιμελοῦμαι.

Τοῦτο γάρ ἐστιν ὃ πάντα ἐλυμήνατο, ὅτι ἐκείνοις μόνοις νομίζετε προσήκειν τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν, πολλῷ πλέον ἐκείνων ὑμεῖς δεόμενοι. Τοῖς γὰρ ἐν μέσῳ στρεφομένοις, καὶ καθ' ἑκάστην ἡμέραν τραύματα δεχομένοις, τούτοις μάλιστα δεῖ φραμάκων. Ὥστε τοῦ μὴ ἀναγινώσκειν πολλῷ χεῖρον τὸ καὶ περιττὸν εἶναι τὸ πρᾶγμα νομίζειν· ταῦτα γὰρ σατανικῆς μελέτης τὰ ῥήματα.

χρησιμοποιοῦμεν οὔτε ὡς ὑπηρέτην, ἀλλ' ἀντιθέτως νὰ τὸ ὠθοῦμεν εἰς πράγματα ἄχρηστα καὶ ἀνωφελῆ; Καὶ μακάρι νὰ ἦτο εἰς ἀνωφελῆ μόνον, ἀλλὰ τὸ ὠθοῦμεν καὶ εἰς ἀντίθετα καὶ βλαβερὰ καὶ εἰς πράγματα ποὺ δὲν χρησιμεύουν πουθενά. Διότι ἂν ἦσαν χρήσιμα δι' ἡμᾶς ὅσα λέγομεν, θὰ ἦσαν ἐν πάσῃ περιπτώσει ἀρεστὰ καὶ εἰς τὸν Θεόν.

Τώρα ὅμως λέγομεν ὅλα ὅσα μᾶς ὑποβάλλει ὁ διάβολος· ἄλλοτε γελῶντες, ἄλλοτε λέγοντες γελοῖα πράγματα, ἄλλοτε μὲ κατάρας καὶ ὕβρεις, ἄλλοτε ψευδορκοῦντες καὶ ἐπιορκοῦντες. Καὶ πότε ἀποδυσπετοῦμεν καὶ πότε περιττολογοῦμεν καὶ φλυαροῦμεν περισσότερον ἀπὸ γραΐδια, ἀνακινοῦντες ὅλα ὅσα εἶναι ἄσχετα πρὸς ἡμᾶς.

Εἰπέτε μου, ποῖος ἀπὸ σᾶς ποὺ στέκεσθε ἐδῶ, ἂν τοῦ ζητήσωμεν νὰ μᾶς ψάλῃ ἕνα ψαλμὸν καὶ νὰ μᾶς εἰπῇ ἕνα ἄλλο ἀπόσπασμα ἀπὸ τὰς θείας Γραφάς, θὰ ἠμπορέσῃ; Δὲν ὑπάρχει κανείς. Καὶ δὲν εἶναι αὐτὸ τὸ κακὸν μόνον ἀλλὰ καὶ τοῦτο· ἐνῷ εἶσθε τόσον ἀδιάφοροι πρὸς τὰ πνευματικά, εἶσθε πρὸς τὰ σατανικὰ ὁρμητικώτεροι ἀπὸ τὴν φωτιά. Ἂν θελήσῃ κάποιος νὰ σᾶς ἐξετάσῃ εἰς τὰ διαβολικὰ τραγούδια, εἰς τὰ πορνικὰ καὶ ἀνήθικα ᾄσματα, θὰ εὕρῃ πολλοὺς νὰ τὰ γνωρίζουν μὲ ἀκρίβειαν καὶ νὰ τὰ τραγουδοῦν μὲ πολλὴν εὐχαρίστησιν.

Καὶ ἡ δικαιολογία διὰ τὰς παρεκτροπάς;

Δὲν εἶμαι, δικαιολογεῖται, κανεὶς μοναχός, ἀλλὰ καὶ γυναῖκα ἔχω καὶ παιδιὰ καὶ ἔχω φροντίδα σπιτιοῦ.

Αὐτὸ εἶναι ποὺ κατέστρεψε τὰ πάντα· νομίζετε ὅτι ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν εἶναι μόνον δι' ἐκείνους, ἐνῷ σεῖς ἔχετε τὴν ἀνάγκην της περισσότερον. Ὅποιοι ἀγωνίζονται εἰς τὸ κέντρον τοῦ σταδίου καὶ δέχονται τραύματα καθημερινῶς, αὐτοὶ ἔχουν μεγαλυτέραν ἀνάγκην ἀπὸ φάρμακα. Ὥστε ἀπὸ τὸ νὰ μὴ διαβάζετε εἶναι πολὺ χειρότερον νὰ θεωρῆτε τὴν ἀνάγνωσιν περιττὸν πρᾶγμα. Αὐτοὶ οἱ λόγοι προέρχονται ἀπὸ σατανικὴν παρακίνησιν.

6. Οὐκ ἀκούετε Παύλου λέγοντος, ὅτι «Πρὸς νουθεσίαν ἡμῶν ταῦτα πάντα ἐγράφη»; Σὺ δέ, ἂν μὲν Εὐαγγέλιον δέξασθαι δέῃ, χερσὶν ἀνίπτοις οὐκ ἂν ἕλοιο τοῦτο ποιῆσαι· τὰ δὲ ἔνδον ἐγκείμενα οὐχ ἡγῇ σφόδρα ἀναγκαῖα εἶναι; Διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. Εἰ γὰρ βούλει μαθεῖν ὅσον τῶν Γραφῶν τὸ κέρδος, ἐξέτασον σεαυτόν, τίς μὲν γίνῃ ψαλμῶν ἀκούων, τίς δὲ σατανικῆς ᾠδῆς· καὶ πῶς διάκεισαι ἐν ἐκκλησίᾳ διατρίβων, καὶ πῶς ἐν θεάτρῳ καθήμενος· καὶ ὄψει πολὺ τὸ μέσον ταύτης κἀκείνης τῆς ψυχῆς, καίτοιγε μιᾶς οὔσης. Διὰ τοῦτο Παῦλος ἔλεγε· «Φθείρουσι ἤθη χρηστὰ ὁμιλίαι κακαί».

Διὰ τοῦτο συνεχῶν ἡμῖν δεῖ τῶν ἀπὸ τοῦ Πνεύματος ἐπῳδῶν. Καὶ γὰρ τοῦτό ἐστιν ᾧ τῶν ἀλόγων πλεονεκτοῦμεν, ὡς τῶν γε ἄλλων ἕνεκεν καὶ σφόδρα αὐτῶν ἐλαττούμεθα. Τοῦτό ἐστι τροφὴ ψυχῆς, τοῦτο κόσμος, τοῦτο ἀσφάλεια, ὥσπερ οὖν τὸ μὴ ἀκούειν λιμὸς καὶ φθορά. Δώσω γάρ, φησίν, αὐτοῖς, «Οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου». Τί γένοιτ' ἂν οὖν ἀθλιώτερον, ὅταν ὅπερ ὁ Θεὸς ἐν τάξει κολάσεως ἀπειλῇ, τοῦτο αὐτομάτως σὺ κατὰ τῆς σαυτοῦ κεφαλῆς ἕλκῃς τὸ κακόν, λιμόν τινα χαλεπὸν ἐπεισάγων τῇ ψυχῇ καὶ πάντων αὐτὴν ἀσθενεστέραν ποιῶν; Ἀπὸ γὰρ λόγων καὶ φθείρεσθαι καὶ σῴζεσθαι πέφυκε. Καὶ γὰρ εἰς ὀργὴν τοῦτο αὐτὴν ἐξάγει, καὶ πραΰνει τὸ αὐτὸ τοῦτο πάλιν· καὶ πρὸς ἐπιθυμίαν ἐξῆψε ῥῆμα αἰσχρόν, καὶ εἰς σωφροσύνην ἤγαγε λόγος σεμνότητος γέμων. Εἰ δὲ λόγος ἁπλῶς τοσαύτην ἔχει τὴν ἰσχύν, πῶς τῶν Γραφῶν καταφρονεῖς; Εἰπέ μοι. Εἰ γὰρ παραίνεσις τοσαῦτα δύναται, πολλῷ μᾶλλον ὅταν μετὰ Πνεύματος ὦσιν αἱ παραινέσεις. Καὶ γὰρ πυρὸς μᾶλλον τὴν πεπωρωμένην μαλάττει ψυχὴν

1. Α' Κορ. 10, 11.

2. Α' Κορ. 15, 33. Τὸ γνωμικὸν τοῦτο ποὺ ἔγινε παροιμία γνωστοτάτη ὀφείλεται εἰς τὸν ἐξαίρετον κωμῳδιογράφον Μένανδρον, τὸν ποιητὴν τῆς νέας κωμῳδίας (342 - 293 περίπου).

3. Ἀμὼς 8, 11.

6. Δὲν ἀκοῦτε τὸν Παῦλον νὰ λέγῃ ὅτι «πρὸς νουθεσίαν ἡμῶν ταῦτα πάντα ἐγράφη» [1]. Σὺ ὅμως, ἂν πρέπει νὰ κρατήσῃς τὸ Εὐαγγέλιον, δὲν θὰ ἤθελες νὰ τὸ κάμῃς τοῦτο μὲ ἄπλυτα χέρια. Ἐκεῖνα ὅμως ποὺ περιέχονται εἰς αὐτὸ δὲν τὰ θεωρεῖς ὡς ἐντελῶς ἀπαραίτητα. Διὰ τοῦτο ἔχουν γίνει ὅλα ἄνω κάτω. Ἂν θέλῃς νὰ μάθῃς πόσον κέρδος προέρχεται ἀπὸ τὰς Γραφάς, ἐξέτασε τὸν ἑαυτόν σου, ποῖος γίνεσαι, ὅταν ἀκούῃς ψαλμούς, καὶ ποῖος, ὅταν διαβολικὸ τραγούδι, ποία ἡ κατάστασίς σου, ὅταν εὑρίσκεσαι εἰς τὴν ἐκκλησίαν, καὶ ποία, ὅταν κάθεσαι εἰς τὸ θέατρον. Θὰ διαπιστώσῃς τότε μεγάλην ἀπόστασιν ἀνάμεσα εἰς αὐτὴν καὶ ἐκείνην τὴν ψυχήν, μολονότι εἶναι ἡ ἰδία. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί» [2].

Διὰ τοῦτο ἔχομεν ἀνάγκην ἀπὸ συνεχεῖς ἐξορκιστικοὺς ὕμνους τοῦ Πνεύματος. Ἐπειδὴ κατὰ τοῦτο πλεονεκτοῦμεν ἔναντι τῶν ἀλόγων ζώων, ὅπως ἐξ αἰτίας τῶν ἄλλων μειονεκτοῦμεν καὶ μάλιστα πολύ. Τοῦτο τὸ πρᾶγμα εἶναι τροφὴ τῆς ψυχῆς, στολισμός της, ἀσφάλειά της, καθὼς καὶ τὸ νὰ μὴ ἀκούωμεν τοὺς ὕμνους αὐτοὺς εἶναι πεῖνα καὶ θάνατος. Θὰ τοὺς δώσω λέγει· «Οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου [3]. Ὑπάρχει χειρότερον πρᾶγμα ἀπὸ αὐτὸ τὸ κακὸν ποὺ ὁ Θεὸς σοῦ τὸ ἐπισείει ὡς τιμωρίαν νὰ τὸ σύρῃς σὺ μόνος σου κατὰ τῆς κεφαλῆς σου, νὰ εἰσάγῃς μίαν βαρυτάτην πεῖναν μέσα εἰς τὴν ψυχήν σου καὶ νὰ τὴν κάμνῃς τὸ ἀσθενέστερον πρᾶγμα; Διότι ἡ φύσις τῆς ψυχῆς εἶναι νὰ καταστρέφεται καὶ νὰ σώζεται ἐξ αἰτίας τῶν λόγων. Ὁ λόγος τὴν ἐξωθεῖ εἰς τὴν ὁρμὴν καὶ αὐτὸς πάλιν τὴν πραΰνει· μία αἰσχρὰ λέξις τῆς ἀνάπτει τὴν ἐπιθυμίαν καὶ πάλιν ἕνας λόγος γεμᾶτος σεμνότητα τὴν φέρει εἰς τὴν σωφροσύνην. Καὶ ἂν ὁ ἁπλοῦς λόγος ἔχει τόσην δύναμιν, εἰπέ μου, πῶς περιφρονεῖς τὰς Γραφάς; Ἐὰν ἐπιτυγχάνῃ τὸ ἀποτέλεσμα αὐτό, ἡ παραίνεσις θὰ εἶναι ἀκόμη μεγαλυτέρα, ὅταν αὐτὴ συνοδεύεται ἀπὸ τὴν χάριν τοῦ Πνεύματος. Μαλακώνει περισσότερον ἀπὸ ὅ,τι ἡ φωτιὰ τὴν πεπωρωμένην ψυχὴν καὶ

καὶ πρὸς ἅπαντα ἐπιτηδείαν κατασκευάζει τὰ καλά, λόγος ἀπὸ τῶν θείων ἐνηχούμενος Γραφῶν.

Οὕτω καὶ Κορινθίους πεφυσιωμένους λαβὼν ὁ Παῦλος καὶ φλεγμαίνοντας, κατέστειλε καὶ ἐπιεικεστέρους ἐποίησε. Καὶ γὰρ ἐφ' οἷς αἰσχύνεσθαι ἔδει καὶ ἐγκαλύπτεσθαι, ἐπὶ τούτοις μέγα ἐφρόνουν. 'Αλλ' ἐπειδὴ τὴν 'Επιστολὴν ἐδέξαντο, ἄκουσον τὴν μεταβολήν, ἣν αὐτὸς ὁ διδάσκαλος αὐτοῖς ἐμαρτύρησεν οὕτω λέγων. «Αὐτὸ γὰρ τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην εἰργάσατο ἐν ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν».

Οὕτω καὶ οἰκέτας καὶ παῖδας καὶ γυναῖκας καὶ φίλους ῥυθμίζομεν, καὶ τοὺς ἐχθροὺς φίλους ποιοῦμεν. Οὕτω καὶ οἱ μεγάλοι ἄνδρες καὶ τῷ Θεῷ φίλοι, βελτίους ἐγένοντο. Καὶ γὰρ ὁ Δαυὶδ μετὰ τὴν ἁμαρτίαν, ἐπειδὴ λόγων ἀπήλαυσε, τότε εἰς τὴν καλλίστην ἐκείνων ἦλθε μετάνοιαν· καὶ οἱ ἀπόστολοι δὲ οὕτω γεγόνασιν, ὅπερ γεγόνασι, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπεσπάσαντο.

Καὶ τί τὸ κέρδος, φησίν, ὅταν ἀκούῃ τις, καὶ μὴ ποιῇ τὰ λεγόμενα;

Οὐ μικρὸν μὲν καὶ ἀπὸ τῆς ἀκροάσεως ἔσται τὸ κέρδος. Καὶ γὰρ καταγνώσεται ἑαυτοῦ καὶ στενάξει, καὶ ἥξει ποτὲ καὶ ἐπὶ τὸ ποιεῖν τὰ λεγόμενα. 'Ο δὲ μηδ' ὅτι ἥμαρτεν εἰδώς, πότε ἀποστήσεται τοῦ πλημμελεῖν; πότε καταγνώσεται ἑαυτοῦ;

Μὴ τοίνυν καταφρονῶμεν τῆς ἀκροάσεως τῶν θείων Γραφῶν. Σατανικῆς γὰρ ταῦτα διανοίας οὐκ ἀφιείσης τὸν θησαυρὸν ἰδεῖν, ἵνα μὴ τὸν πλοῦτον κερδάνωμεν. Διὰ τοῦτο οὐδὲν εἶναί φησι τὴν ἀκρόασιν τῶν θείων νόμων, ἵνα μὴ τὴν πρᾶξιν ἀπὸ τῆς ἀκροάσεως ἴδῃ προσγενομένην ἡμῖν.

Εἰδότες τοίνυν τὴν πονηρὰν ταύτην αὐτοῦ τέχνην, πάντοθεν

---

1. Β' Κορ. 7, 11.

πρὸς ὅλα τὰ καλὰ τὴν κάμνει ἐπιτηδείαν, ὁ λόγος ποὺ ἀντηχεῖ μέσα της ἀπὸ τὰς θείας Γραφάς.

Μὲ αὐτὸν τὸν τρόπον καὶ ὁ Παῦλος τοὺς φουσκωμένους καὶ ἀκαταδέκτους Κορινθίους τοὺς συνέφερε καὶ τοὺς ἐμαλάκωσε. Διότι ἐμεγαλοφρονοῦσαν δι' αὐτὰ ποὺ ἔπρεπε νὰ ἐντρέπωνται καὶ νὰ κρύπτωνται. Ἀφοῦ ὅμως ἐδέχθησαν τὴν ἐπιστολήν, ἀκούσατε τὴν ἀλλαγήν των, τὴν ὁποίαν ἀνεγνώρισεν ὁ ἴδιος ὁ διδάσκαλός των μὲ τοὺς ἑξῆς λόγους· «Αὐτὸ γὰρ τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην εἰργάσατο ἐν ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν» [1].

Ἔτσι διορθώνομεν καὶ τοὺς ὑπηρέτας μας καὶ τὰ παιδιά μας καὶ τὰς γυναῖκας μας καὶ τοὺς φίλους μας καὶ μεταβάλλομεν εἰς φίλους τοὺς ἐχθρούς. Ἔτσι καὶ οἱ μεγάλοι ἄνδρες καὶ φίλοι τοῦ Θεοῦ, ἔγιναν καλύτεροι. Διότι, ὡς γνωστόν, καὶ ὁ Δαυὶδ μετὰ τὸ ἁμάρτημά του, ἀφοῦ ἤκουσεν εὐεργετικοὺς λόγους, τότε ἔφθασεν εἰς τὴν ὡραιοτάτην ἐκείνην μετάνοιάν του. Μὲ αὐτὸν τὸν τρόπον καὶ οἱ ἀπόστολοι ἔγιναν ὅ,τι ἔγιναν καὶ ἐκέρδισαν ὅλην τὴν οἰκουμένην.

Καὶ τί τὸ ὄφελος, λέγει, ὅταν ἀκούῃ κανείς, δὲν ἐκτελεῖ ὅμως τὰ λεγόμενα;

Καὶ ἀπὸ τὴν ἁπλῆν ἀκρόασιν τὸ κέρδος δὲν εἶναι μικρόν. Θὰ καταδικάσῃ τὸν ἑαυτόν του, θὰ στενάξῃ καὶ εἰς μίαν στιγμὴν θὰ φθάσῃ καὶ εἰς τὴν ἐκτέλεσιν τῶν λόγων. Ἐνῷ ἐκεῖνος ποὺ δὲν γνωρίζει οὔτε ὅτι ἡμάρτησε, πότε θὰ παύσῃ νὰ ἁμαρτάνῃ; Πότε θὰ καταδικάσῃ τὸν ἑαυτόν του;

Ἂς μὴ περιφρονοῦμεν λοιπὸν τὴν ἀκρόασιν τῶν θείων Γραφῶν. Αὐτὰ προδίδουν σατανικὴν διάνοιαν, ποὺ δὲν ἀφήνει νὰ ἰδοῦμεν τὸ θησαυροφυλάκιον, διὰ νὰ μὴν κερδίσωμεν τὸν πλοῦτον. Διὰ τοῦτο λέγει ὅτι δὲν εἶναι τίποτε ἡ ἀκρόασις τῶν θείων νόμων, διὰ νὰ μὴν ἰδῇ νὰ ἐπακολουθῇ εἰς τὴν ἀκρόασιν ἡ πρᾶξις.

Γνωρίζοντες λοιπὸν αὐτὴν τὴν πονηρὰν τέχνην του, ἂς

ἑαυτοὺς ἀποτειχίζωμεν, ἵνα τοῖς ὅπλοις τούτοις φραξάμενοι αὐτοί τε ἀνάλωτοι μένωμεν καὶ τὴν ἐκείνου βάλωμεν κεφαλήν· καὶ οὕτω λαμπρὰ τὰ νικητήρια ἀναδησάμενοι, τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

περιτειχίσωμεν ἀπὸ ὅλας τὰς πλευράς τὸν ἑαυτόν μας. Προφυλαγμένοι μὲ τὰ ὅπλα αὐτά, καὶ ἡμεῖς οἱ ἴδιοι ἂς μὴ αἰχμαλωτισθοῦμε καὶ τὴν κεφαλὴν ἐκείνου ἂς κτυπήσωμεν. Καὶ ἀφοῦ φορέσωμεν ἕνα τέτοιον λαμπρὸν νικητήριον στέφανον, ἂς ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Γ'
Ματθ. 1, 1-16

«Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ, υἱοῦ Ἀβραάμ».

1. Ἰδοὺ τρίτη διάλεξις καὶ τὰ ἐν προοιμίοις οὐδέπω διελυσάμεθα. Οὐκ ἄρα μάτην ἔλγον ὅτι πολὺ τὸ βάθος ἔχει τῶν νοημάτων τούτων ἡ φύσις. Φέρε δὴ τὰ λειπόμενα σήμερον εἴπωμεν.

Τί ποτ' οὖν ἐστι τὸ ζητούμενον νῦν; Τίνος ἕνεκεν ὁ Ἰωσὴφ γενεαλογεῖται, οὐδὲν πρὸς τὴν γέννησιν συντελῶν. Καὶ μίαν μὲν αἰτίαν εἰρήκαμεν ἤδη· ἀναγκαῖον δὲ καὶ τὴν ἑτέραν εἰπεῖν, τὴν μυστικωτέραν καὶ ἀποῤῥητοτέραν ἐκείνης. Τίς οὖν ἐστιν αὕτη; Οὐκ ἐβούλετο τοῖς Ἰουδαίοις εἶναι δῆλον παρὰ τὸν τῶν ὠδίνων καιρόν, ὅτι ἐκ Παρθένου γεγέννηται ὁ Χριστός. Ἀλλὰ μὴ θορυβεῖσθε πρὸς τὸ παράδοξον τοῦ λεγομένου. Οὐ γὰρ ἐμὸς ὁ λόγος, ἀλλὰ Πατέρων ἡμετέρων, θαυμαστῶν καὶ ἐπισήμων ἀνδρῶν. Εἰ γὰρ πολλὰ συνεσκίασεν ἐξ ἀρχῆς, Υἱὸν ἀνθρώπου καλῶν ἑαυτόν, καὶ οὐδὲ τὴν πρὸς τὸν Πατέρα ἰσότητα πανταχοῦ σαφῶς ἡμῖν ἐξεκάλυψε· τί θαυμάζεις, εἰ καὶ τοῦτο συνεσκίασε τέως, θαυμαστόν τι καὶ μέγα οἰκονομῶν;

Καὶ ποῖον θαυμαστόν; φησί.

Τὸ διασωθῆναι τὴν Παρθένον καὶ ὑποψίας ἀπαλλαγῆναι πονηρᾶς. Εἰ γὰρ τοῦτο ἐξ ἀρχῆς τοῖς Ἰουδαίοις γέγονε κατάδηλον, κἂν κατέλευσαν τὴν Παρθένον κακουργοῦντες τῷ λεγομέ-

---

1. Βλέπε ὁμιλίαν Β', παράγρ. δ'.

2. Ἀποστολικοὶ Πατέρες ὀνομάζονται ἱστορικῶς καὶ γραμματολογικῶς οἱ ἐκκλησιαστικοὶ συγγραφεῖς τοῦ 2ου μ.Χ. αἰῶνος Βαρνάβας, Κλήμης ὁ Ρώμης, Ἰγνάτιος, Πολύκαρπος, ὁ Ἑρμᾶς καὶ ὁ Παπίας. Ἔζησαν καὶ ἔδρασαν εὐθὺς μετὰ τοὺς Ἀποστόλους, ἤτοι κατὰ τὰ τέλη τοῦ πρώτου αἰῶνος καὶ τὸ πρῶτον ἥμισυ τοῦ δευτέρου.

ΟΜΙΛΙΑ Γ'
Ματθ. 1, 1—16

«Βίβλος γενέσεως Ιησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ, υἱοῦ Αβραάμ».

1. Εὑρισκόμεθα εἰς τὴν τρίτην ὁμιλίαν τῆς σειρᾶς αὐτῆς καὶ δὲν κατωρθώσαμεν ἀκόμη νὰ ὁλοκληρώσωμεν τὴν ἐξέτασιν τοῦ προοιμίου. Δὲν ἔκαμνα ἑπομένως σφάλμα, ὅταν ἔλεγα ὅτι τὸ περιεχόμενόν του εἶναι ἀπὸ τὴν φύσιν του πολὺ βαθύ. Ἐμπρὸς λοιπόν, ἂς ἀσχοληθῶμεν σήμερα μὲ τὰ ἀμέσως ἑπόμενα.

Τί εἶναι λοιπὸν ἐκεῖνο, ποὺ θὰ ἐξετάσωμεν τώρα; Διατί περιλαμβάνεται εἰς τὸ γενεαλογικὸν δένδρον τοῦ Χριστοῦ ὁ Ἰωσήφ, ἀφοῦ δὲν συνέβαλε καθόλου εἰς τὴν γέννησιν. Εἰς προηγουμένην ὁμιλίαν [1] ἀνεφέραμεν μίαν αἰτίαν. Εἶναι ὅμως ἀνάγκη νὰ εἴπουμεν καὶ τὴν ἄλλην, ποὺ εἶναι περισσότερον μυστηριακὴ καὶ ἀπόρρητη. Ποία εἶναι λοιπὸν αὐτή; Δὲν ἤθελε νὰ γνωρίζουν οἱ Ἰουδαῖοι κατὰ τὸν χρόνον τῆς γεννήσεως ὅτι ὁ Χριστὸς ἐγεννήθη ἀπὸ Παρθένον. Ἀλλὰ ἂς μὴ σᾶς ἐκπλήσσουν τὰ παράξενα αὐτὰ λόγια. Διότι δὲν εἶναι ἰδικά μου, ἀλλὰ τῶν ἀποστολικῶν Πατέρων [2], τῶν θαυμαστῶν καὶ σπουδαίων ἐκείνων ἀνδρῶν. Διότι, ἀφοῦ ἐκάλυψε μὲ πυκνὴν σκιὰν πολλὰ ἀπὸ τὴν ἀρχὴν καὶ ὠνόμαζε τὸν ἑαυτόν του Υἱὸν τοῦ ἀνθρώπου, καὶ δὲν μᾶς ἀπεκάλυψε καθαρὰ τὴν ἰσότητά του καθ' ὅλα πρὸς τὸν Πατέρα, διατί ἐκπλήσσεσαι ἐπειδὴ ἐκάλυψε μέχρις ὡρισμένου σημείου καὶ τοῦτο, ἐπειδὴ ἤθελε νὰ ρυθμίσῃ κάτι τὸ σπουδαῖον καὶ ἀξιοθαύμαστον;

Ἀλλὰ ποῖον εἶναι, λέγει, αὐτὸ τὸ ἀξιοθαύμαστον;

Νὰ διασωθῇ ἡ Παρθένος καὶ νὰ ἀπαλλαγῇ ἀπὸ κάθε ἀνήθικον ὑπόνοιαν. Διότι, ἐὰν ἦτο γνωστὸν αὐτὸ ἀπὸ τὴν ἀρχὴν εἰς τοὺς Ἰουδαίους, καὶ θὰ ἐθανάτωναν μὲ λιθοβολισμὸν

νῳ, καὶ μοιχείας αὐτὴν ἔκριναν ἄν. Εἰ γὰρ ὑπὲρ τῶν ἄλλων, ὧν πολλάκις καὶ ὑποδείγματα εἶχον ἐν τῇ Παλαιᾷ, φανερῶς ἠναισχύντουν (καὶ γὰρ ἐπειδὴ δαίμονας ἐξέβαλε, δαιμονῶντα ἐκάλουν, καὶ ἐπειδὴ ἐν Σαββάτῳ ἐθεράπευσεν, ἀντίθεον εἶναι ἐνόμιζον, καίτοιγε πολλάκις καὶ πρότερον ἐλύθη τὸ Σάββατον), τί οὐκ ἂν εἶπον τούτου λεχθέντος; Καὶ γὰρ εἶχον πάντα τὸν πρὸ τούτου συναγωνιζόμενον αὐτοῖς καιρόν, οὐδέποτέ τι τοιοῦτον ἐνεγκόντα. Εἰ γὰρ μετὰ τοσαῦτα σημεῖα ἔτι αὐτὸν τοῦ Ἰωσὴφ ἐκάλουν υἱόν, πῶς ἂν πρὸ τῶν σημείων ἐπίστευσαν, ὅτι ἐκ Παρθένου ἦν; Διὰ δὴ τοῦτο καὶ γενεαλογεῖται, καὶ μνηστεύεται τὴν Παρθένον. Ὅπου γὰρ ὁ Ἰωσήφ, καὶ δίκαιος ὢν καὶ θαυμαστὸς ἀνήρ, πολλῶν ἐδεήθη ὥστε δέξασθαι τὸ γεγενημένον, καὶ ἀγγέλου, καὶ τῆς δι᾽ ὀνειράτων ὄψεως, καὶ τῆς τῶν προφητῶν μαρτυρίας, πῶς ἂν οἱ Ἰουδαῖοι, καὶ σκαιοὶ ὄντες καὶ διεφθαρμένοι, καὶ πολεμίως οὕτω πρὸς αὐτὸν ἔχοντες, ταύτην ἂν παρεδέξαντο τὴν ὑπόνοιαν; Σφόδρα γὰρ αὐτοὺς ἔμελλε θορυβεῖν τὸ ξένον καὶ καινὸν καὶ τὸ μηδέποτέ τι τοιοῦτον μηδὲ ἀκοῇ παραδέξασθαι ἐπὶ τῶν προγόνων συμβεβηκός. Ὁ μὲν γὰρ ἅπαξ πεισθεὶς ὅτι τοῦ Θεοῦ Υἱός ἐστιν, οὐδὲ περὶ τούτου λοιπὸν ἀμφισβητεῖν εἶχεν· ὁ δὲ καὶ πλάνον καὶ ἀντίθεον αὐτὸν εἶναι νομίζων πῶς οὐκ ἂν ἀπὸ τούτου καὶ ἐσκανδαλίσθη μειζόνως καὶ πρὸς ἐκείνην ὡδηγήθη τὴν ὑπόνοιαν; Διὰ τοῦτο οὐδὲ οἱ ἀπόστολοι παρὰ τὴν ἀρχὴν εὐθέως τοῦτο λέγουσιν· ἀλλ᾽ ὑπὲρ μὲν τῆς ἀναστάσεως πολλὰ διαλέγονται καὶ πολλάκις, ἐπειδὴ ταύτης ὑποδείγματα ἦν ἐν τοῖς ἔμπροσθεν χρόνοις, εἰ καὶ μὴ τοιαῦτα·

τὴν Παρθένον, διαπράττοντες τὸ κακούργημα μὲ πρόφασιν τὰ λεγόμενα, καὶ θὰ τὴν κατεδίκαζαν διὰ μοιχείαν. Διότι, ἀφοῦ ἐνεργοῦσαν μὲ φανερὰν ἀναισχυντίαν εἰς ἄλλας περιπτώσεις, ἂν καὶ ὑπῆρχαν πολλὲς φορὲς τὰ πρότυπά των εἰς τὴν Παλαιὰν Διαθήκην (ἔτσι π.χ. ἔλεγαν δαιμονισμένον τὸν Χριστὸν ἐπειδὴ ἔδιωχνε τὰ δαιμόνια, καὶ τὸν ἐθεωροῦσαν ἐχθρὸν τοῦ Θεοῦ, ἐπειδὴ ἐθεράπευσε τὴν ἡμέραν τοῦ Σαββάτου, ἂν καὶ δὲν ἐτηρήθη πολλὲς φορὲς καὶ κατὰ τὸ παρελθὸν ἡ ἀργία τοῦ Σαββάτου), τί δὲν θὰ ἔλεγαν ἂν διεδίδετο αὐτὴ ἡ πληροφορία; Διότι εἶχαν σύμμαχόν των ὅλον τὸν περασμένον χρόνον, ὁ ὁποῖος δὲν ἐπρόσφερε κανένα ὅμοιον παράδειγμα. Ἀφοῦ, λοιπόν, καὶ μετὰ ἀπὸ τὰ τόσα θαύματα, τὸν ἐθεωροῦσαν ἀκόμη υἱὸν τοῦ Ἰωσήφ, πῶς θὰ ἐπίστευαν πρὶν ἀπὸ αὐτὰ ὅτι ἐγεννήθη ἀπὸ Παρθένον; Διὰ τοῦτο περιελήφθη εἰς τὸ γενεαλογικὸν δένδρον καὶ ἐμνηστεύθη τὴν Παρθένον ὁ Ἰωσήφ. Ἀφοῦ ὁ ἴδιος ὁ Ἰωσήφ, ποὺ ἦτο καὶ εὐσεβὴς καὶ ἀξιοθαύμαστος ἄνθρωπος, ἐχρειάσθη πολλὰς ἀποδείξεις διὰ νὰ πιστεύσῃ αὐτὸ ποὺ συνέβη, ὅπως π.χ. νὰ τοῦ τὸ εἴπῃ ἄγγελος καὶ νὰ τὸ ἴδῃ εἰς τὸ ὄνειρόν του καὶ τὰς μαρτυρίας τῶν προφητῶν, πῶς ἦτο δυνατὸν νὰ παραδεχθοῦν αὐτὴν τὴν δυσκολοπίστευτον πληροφορίαν οἱ Ἰουδαῖοι, οἱ ὁποῖοι ἦσαν σκληροτράχηλοι καὶ κακῆς πίστεως ἄνθρωποι καὶ φανατικοὶ ἐχθροί του; Διότι θὰ τοὺς συνετάρασσε πολὺ τὸ παράξενον καὶ πρωτοφανὲς γεγονός, ποὺ ὅμοιόν του οὔτε κἂν εἶχεν ἀκουσθῆ ὅτι ἔγινε κατὰ τὸ παρελθόν. Ἐκεῖνοι βεβαίως ποὺ ἐπίστευσαν ἀπολύτως ὅτι εἶναι Υἱὸς τοῦ Θεοῦ, ἦτο ἑπόμενον νὰ μὴ τὸ ἀμφισβητοῦν. Ἐκεῖνοι ὅμως ποὺ τὸν ἐθεωροῦσαν πλάνον καὶ ἀρνητὴν τοῦ Θεοῦ, δὲν θὰ ἔνοιωθαν μεγαλυτέραν ταραχὴν ἕνεκα αὐτῆς τῆς εἰδήσεως καὶ δὲν θὰ ὡδηγοῦντο εἰς αὐτὴν τὴν δυσπιστίαν; Διὰ τοῦτο, εἰς τὴν ἀρχὴν δὲν τὸ λέγουν ἀπ' εὐθείας οὔτε οἱ Ἀπόστολοι, ἀλλὰ διὰ μὲν τὴν ἀνάστασιν λέγουν πολλὲς φορὲς πολλά, ἐπειδὴ δι' αὐτὴν ὑπῆρχαν πολλὰ παραδείγματα ἀπὸ τὸ παρελθόν, ἂν καὶ ὄχι ὅμοια. Δὲν λέγουν ὅμως συχνὰ ὅτι ἐγεννήθη

ὅτι δὲ ἐκ Παρθένου γέγονεν, οὐ συνεχῶς λέγουσιν· ἀλλ᾽ οὐδὲ αὐτὴ ἡ μήτηρ ἐξενεγκεῖν τοῦτο ἐτόλμησεν. Ὅρα γοῦν καὶ πρὸς αὐτὸν τί φησιν ἡ Παρθένος· «Ἰδοὺ ἐγὼ καὶ ὁ πατήρ σου ἐζητοῦμέν σε». Εἰ γὰρ τοῦτο ὑπωπτεύθη, οὐδ᾽ ἂν τοῦ Δαυὶδ λοιπὸν ἐνομίσθη εἶναι υἱός· τούτου δὲ μὴ νομισθέντος, πολλὰ ἂν ἐτέχθη καὶ ἕτερα κακά. Διὰ τοῦτο οὐδὲ οἱ ἄγγελοι πᾶσι ταῦτα λέγουσιν, ἀλλὰ τῇ Μαρίᾳ μόνῃ καὶ τῷ Ἰωσήφ· τοῖς δὲ ποιμέσιν εὐαγγελιζόμενοι τὸ γεγενημένον, οὐκέτι τοῦτο προσέθηκαν.

Τίνος δὲ ἕνεκεν μνησθεὶς τοῦ Ἀβραάμ, καὶ εἰπὼν Ἐγέννησε τὸν Ἰσαάκ, καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ οὐ μνημονεύσας τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτε εἰς τὸν Ἰακὼβ ἦλθε, καὶ τοῦ Ἰούδα καὶ τῶν ἀδελφῶν τῶν τούτου μέμνηται;

2. Τινὲς μὲν οὖν φασι διὰ τὸ δύστροπον τοῦ Ἡσαῦ καὶ τῶν ἄλλων τῶν προτέρων· ἐγὼ δὲ οὐκ ἂν τοῦτο φαίην. Εἰ γὰρ τοῦτο ἦν, πῶς μικρὸν ὕστερον τοιούτων μέμνηται γυναικῶν; Ἀπὸ γὰρ τῶν ἐναντίων ἐνταῦθα ἡ δόξα αὐτοῦ φαίνεται· οὐκ ἀπὸ τοῦ μεγάλους ἔχει προγόνους, ἀλλ᾽ ἀπὸ τοῦ μικροὺς καὶ εὐτελεῖς. Τῷ γὰρ ὑψηλῷ δόξα πολλή, τὸ δυνηθῆναι ταπεινωθῆναι σφοδρῶς.

Τίνος οὖν ἕνεκεν οὐκ ἐμνημόνευσεν; Ἐπειδὴ κοινὸν οὐδὲν εἶχον πρὸς τὸ τῶν Ἰσραηλιτῶν γένος Σαρακηνοὶ καὶ Ἰσμαηλῖται καὶ Ἄραβες καὶ ὅσοι γεγόνασιν ἐκ τῶν προγόνων ἐκείνων. Διὰ δὴ τοῦτο ἐκείνους μὲν ἐσίγησεν, ἐπείγεται δὲ πρὸς τοὺς αὐτοῦ προγόνους καὶ τοῦ δήμου τοῦ Ἰουδαϊκοῦ. Διό φησιν· «Ἰα-

---

1. Λουκᾶ 2,48

2. Ὅπως π.χ. ἐκεῖνο, τὸ ὁποῖον ἀναφέρει ὁ Εὐαγγελιστής· «Ἄλλοι ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; Οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυὶδ ὁ Χριστὸς ἔρχεται; (Ἰω. 7, 42)

3. Ἀδελφοὶ τοῦ Ἀβραὰμ ἦσαν ὁ Ναχὼρ καὶ ὁ Ἀρρών, τοῦ δὲ Ἰακὼβ ὁ κατωτέρω ἀναφερόμενος Ἡσαῦ.

ἀπὸ Παρθένον· καὶ δὲν ἐτόλμησε νὰ τὸ εἰπῇ οὔτε ἡ ἰδία ἡ μητέρα. Πρόσεξε π.χ. τί εἶπεν ἡ Παρθένος πρὸς τὸν ἴδιον· «Ἰδοὺ ἐγὼ καὶ ὁ πατήρ σου ἐζητοῦμέν σε»[1]. Καὶ ἂν δὲν ἐγίνετο πιστευτὸν αὐτό, δὲν θὰ ἐγίνετο βεβαίως πιστευτὸν καὶ ὅτι εἶναι ἀπόγονος τοῦ Δαυίδ. Καὶ ἂν δὲν ἐγίνετο πιστευτὸν καὶ αὐτό, θὰ ἐπακολουθοῦσαν καὶ πολλὰ ἄλλα κακά [2]. Διὰ τοῦτο καὶ οἱ ἄγγελοι δὲν τὸ εἶπαν εἰς ὅλους, ἀλλὰ μόνον εἰς τὴν Μαρίαν καὶ εἰς τὸν Ἰωσήφ. Καὶ ὅταν ἀνήγγειλαν εἰς τοὺς ποιμένας τὴν γέννησιν, δὲν ἤθελαν ἀκόμη νὰ τοὺς πληροφορήσουν καὶ δι' αὐτό.

Ἀλλὰ διατί ἐνῷ ὅταν ἀνέφερε τὸν Ἀβραὰμ καὶ εἶπεν ὅτι ἐγέννησε τὸν Ἰσαὰκ καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, δὲν ἀνέφερε καὶ τοὺς ἀδελφούς του[3], ὅταν ἔφθασεν εἰς τὸν Ἰακώβ, ἀναφέρει τὸν Ἰούδα καὶ τοὺς ἀδελφούς του;

2. Μερικοί, ὅπως εἶναι γνωστόν, ἀπαντοῦν ὅτι αἰτία εἶναι ὁ κακὸς χαρακτήρας τοῦ Ἡσαῦ καὶ τῶν ἄλλων, τῶν παλαιοτέρων του. Ἐγὼ ὅμως δὲν θὰ τὸ ἐδεχόμουν. Διότι, ἂν συνέβαινεν αὐτό, πῶς ἀναφέρει ὀλίγον παρακάτω κακὰς γυναῖκας; Ἡ δόξα του φαίνεται ἐδῶ ἀπὸ τὴν ἀντίθεσιν. Ὄχι ἀπὸ τοὺς σπουδαίους, ἀλλὰ ἀπὸ τοὺς μικροὺς καὶ ἀσημάντους προγόνους του. Διότι εἶναι μεγάλη ἡ δόξα τοῦ σπουδαίου, ἂν ἠμπορέσῃ νὰ ταπεινωθῇ πολύ.

Διατί λοιπὸν δὲν τοὺς ἀνέφερε; Διότι δὲν εἶχαν καμμίαν σχέσιν μὲ τοὺς Ἰσραηλίτας [4] οἱ Σαρακηνοὶ καὶ οἱ Ἰσμαηλῖται καὶ οἱ Ἄραβες καὶ ὅσοι κατάγονται ἀπὸ αὐτούς. Διὰ τοῦτο δὲν ἀναφέρει ἐκείνους, ἀλλὰ σπεύδει νὰ ἀναφέρῃ τοὺς προγόνους τοῦ Χριστοῦ καὶ τοῦ Ἰουδαϊκοῦ λαοῦ. Διὰ τοῦτο λέ-

---

4. Ἰσραὴλ εἶναι τὸ δεύτερον ὄνομα τοῦ Ἰακώβ, ἐξ αὐτοῦ ὠνομάσθησαν Ἰσραηλῖται οἱ ἀπόγονοί του. Ἰσμαηλῖται εἶναι οἱ ἀπόγονοι τοῦ Ἰσμαήλ, νόθου υἱοῦ τοῦ Ἀβραὰμ καὶ τῆς Αἰγυπτίας δούλης του Ἄγαρ (βλ. Γεν. 17, 15-27). Ἀργότερον ὠνομάσθησαν Ἄραβες καὶ κατὰ τοὺς μέσους χρόνους Σαρακηνοί.

κὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ». Ἐνταῦθα γὰρ τὸ τῶν Ἰουδαίων λοιπὸν χαρακτηρίζεται γένος. «Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ».

Τί ποιεῖς, ἄνθρωπε, ἱστορίας ἡμᾶς ἀναμιμνήσκων παράνομον μίξιν ἐχούσης; Καὶ τί τοῦτο; φησίν.

Εἰ μὲν γὰρ ἀνθρώπου καταλέγομεν γένος ψιλοῦ, εἰκότως ἂν τις ταῦτα ἐσίγησεν· εἰ δὲ Θεοῦ σαρκωθέντος, οὐ μόνον οὐ σιγᾶν, ἀλλὰ καὶ ἐκπομπεύειν αὐτὰ χρή, δεικνύντας αὐτοῦ τὴν κηδεμονίαν καὶ τὴν δύναμιν. Διὰ γὰρ τοῦτο ἦλθεν, οὐχ ἵνα φύγῃ τὰ ὀνείδη τὰ ἡμέτερα, ἀλλ' ἵνα αὐτὰ ἀνέλῃ. Ὥσπερ οὖν οὐκ ἐπειδὴ ἐπέθανεν, ἀλλ' ἐπειδὴ καὶ ἐσταυρώθη, μᾶλλον θαυμάζεται (καίτοι ἐπονείδιστον τὸ πρᾶγμα, ἀλλ' ὅσῳ ἐπονείδιστον, τοσούτῳ φιλάνθρωπον αὐτὸν δείκνυσιν)· οὕτω καὶ ἐπὶ τῆς γεννήσεως ἔστιν εἰπεῖν· οὐκ ἐπειδὴ σάρκα ἀνέλαβε, καὶ ἄνθρωπος ἐγένετο, θαυμάζειν αὐτὸν δίκαιον μόνον, ἀλλ' ὅτι καὶ τοιούτους συγγενεῖς κατηξίωσεν ἔχειν, οὐδαμοῦ τὰ ἡμέτερα ἐπαισχυνόμενος κακά. Καὶ τοῦτο ἐξ αὐτῶν τῆς γεννήσεως ἐκήρυττε τῶν προοιμίων, ὅτι οὐδὲν ἐπαισχύνεται τῶν ἡμετέρων, παιδεύων καὶ ἡμᾶς διὰ τούτων μηδέποτε ἐγκαλύπτεσθαι ἐπὶ τῇ τῶν προγόνων κακίᾳ, ἀλλ' ἓν μόνον ἐπιζητεῖν, τὴν ἀρετήν. Ὁ γὰρ τοιοῦτος, κἂν ἀλλόφυλον ἔχῃ πρόγονον, κἂν πεπορνευμένην, κἂν ὁτιοῦν ἕτερον οὖσαν, οὐδὲν παραβλαβῆναι δυνήσεται. Εἰ γὰρ αὐτὸν τὸν πόρνον μεταβληθέντα οὐδὲν ὁ πρότερος αἰσχύνει βίος, πολλῷ μᾶλλον τὸν ἐκ πόρνης καὶ μοιχαλίδος ἐνάρετον ὄντα οὐδὲν ἡ τῶν προγόνων κακία καταισχῦναι δυνήσεται. Οὐχ ἡμᾶς δὲ μόνον ταῦτα παιδεύων, ἐποίει, ἀλλὰ καὶ Ἰουδαίων καταστέλλων τὸ φύσημα. Ἐπειδὴ γὰρ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελλοῦντες ἐκεῖνοι,

γει· «Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ». Ἐδῶ ἑπομένως γίνεται πλέον ἡ διάκρισις τῆς Ἰουδαϊκῆς φυλῆς. «Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρά, ἐκ τῆς Θάμαρ».

Τί εἶναι αὐτὸ ποὺ κάμνεις, ἄνθρωπε; Μᾶς ὑπενθυμίζεις μίαν ἱστορίαν ποὺ ἀναφέρεται εἰς παράνομον σαρκικὴν σχέσιν; Καὶ τί πειράζει, λέγει, αὐτό;

Ἂν ἐκατηγορούσαμεν ἄνθρωπον ταπεινῆς καταγωγῆς, θὰ ἔπρεπε πράγματι νὰ μὴ ἀναφέρωμεν αὐτά. Ἀφοῦ ὅμως ὁμιλοῦμεν διὰ τὸν Θεὸν ποὺ ἔλαβεν ἀνθρωπίνην μορφὴν ὄχι μόνον δὲν πρέπει νὰ τὰ ἀποσιωποῦμεν, ἀλλὰ ἐπιβάλλεται νὰ τὰ γνωστοποιοῦμεν εἰς τοὺς πάντας καὶ νὰ δείχνωμεν τὸ ἐνδιαφέρον του διὰ ἐμᾶς καὶ τὴν δύναμίν του. Διότι ἦλθε μὲ τὸν σκοπόν, ὄχι νὰ ἀποφύγῃ τὰς κατηγορίας μας, ἀλλὰ νὰ τὰς ἐξαφανίσῃ. Ὅπως λοιπὸν τὸν θαυμάζομεν περισσότερον ἐπειδὴ δὲν ἀπέθανεν ἁπλῶς, ἀλλὰ ἐπειδὴ ἐσταυρώθη (ἂν καὶ τὸ γεγονὸς αὐτὸ εἶναι ἀτιμωτικόν, ἀλλὰ ὅσον εἶναι ἀτιμωτικόν, τόσον ἀποδεικνύει τὴν φιλανθρωπίαν του), τὸ ἴδιο εἶναι δυνατὸν νὰ εἴπουμεν καὶ διὰ τὴν γέννησιν. Εἶναι δίκαιον νὰ τὸν θαυμάζωμεν ὄχι μόνον διότι ἐσαρκώθη καὶ ἔλαβεν ἀνθρωπίνην μορφήν, ἀλλὰ καὶ διότι κατεδέχθη νὰ κάμῃ συγγενεῖς ὅπως ἐμεῖς, χωρὶς νὰ ἐντρέπεται διὰ τὰς κακίας μας. Αὐτό, τὸ ὅτι δὲν ἐντρέπεται διὰ τὰς κακίας μας, τὸ διεκήρυξε ἀμέσως μὲ τὴν γέννησιν καὶ μᾶς ἐδίδαξε μὲ αὐτὸ νὰ μὴ σκεπάζωμεν τὸ πρόσωπόν μας ἀπὸ ἐντροπὴν διὰ τὰς κακίας τῶν προγόνων μας, ἀλλὰ νὰ ἔχωμεν ὡς μόνην ἐπιδίωξιν τὴν ἀρετήν. Διότι δὲν εἶναι δυνατὸν νὰ ζημιωθῇ ὁ ἐνάρετος ἔστω καὶ ἂν ἡ μητέρα του εἶναι ἀλλόφυλη, ἔστω καὶ ἂν εἶναι πόρνη, ἔστω καὶ ἂν εἶναι ὁ,τιδήποτε ἄλλο. Διότι, ἀφοῦ δὲν εἶναι καθόλου προσβλητικὴ διὰ τὸν ἴδιον τὸν πόρνον, ποὺ μετενόησεν, ἡ προηγουμένη ζωή του, πολὺ περισσότερον δὲν εἶναι δυνατὸν νὰ εἶναι προσβλητικὴ διὰ τὸν ἐνάρετον ἡ ἀνηθικότης τῶν προγόνων του, ἐπειδὴ ἡ μητέρα του ἦτο πόρνη καὶ μοιχή. Καὶ τὰ ἔκαμεν αὐτὰ ὄχι μόνον διὰ νὰ διδάξῃ ἐμᾶς, ἀλλὰ καὶ διὰ νὰ δαμάσῃ τὸν ἐγωισμὸν τῶν Ἰουδαίων. Ἐπειδὴ δηλαδὴ ἀδιαφοροῦσαν διὰ

τὸν Ἀβραὰμ ἄνω καὶ κάτω παρέφερον, νομίζοντες ἔχειν ἀπολογίαν τὴν τῶν προγόνων ἀρετήν· δείκνυσιν ἐξ αὐτῶν τῶν προοιμίων, ὅτι οὐκ ἐπὶ τούτοις αὐχεῖν δεῖ, ἀλλ' ἐπὶ τοῖς οἰκείοις κατορθώμασι. Μετὰ τοῦτο καὶ ἕτερον κατασκευάζει, τὸ δεῖξαι πάντας ὑπευθύνους ἁμαρτήμασιν ὄντας, καὶ τοὺς προγόνους αὐτούς. Ὁ γοῦν πατριάρχης αὐτῶν καὶ ὁμώνυμος οὐ μικρὸν φαίνεται ἡμαρτηκώς· καὶ γὰρ ἐφέστηκεν ἡ Θάμαρ κατηγοροῦσα αὐτοῦ τὴν πορνείαν· καὶ ὁ Δαυὶδ δὲ ἀπὸ τῆς πορνευθείσης γυναικὸς τὸν Σολομῶνα ἐκτήσατο. Εἰ δὲ ὑπὸ τῶν μεγάλων ὁ νόμος οὐκ ἐπληρώθη, πολλῷ μᾶλλον ὑπὸ τῶν ἐλαττόνων· εἰ δὲ οὐκ ἐπληρώθη, πάντες ἥμαρτον, καὶ ἀναγκαία γέγονεν ἡ τοῦ Χριστοῦ παρουσία. Διὰ τοῦτο καὶ τῶν δώδεκα πατριαρχῶν ἐμνημόνευσε, κἀντεῦθεν πάλιν τὸ ἐπὶ τῇ τῶν προγόνων εὐγενείᾳ, φύσημα κατασπῶν. Καὶ γὰρ πολλοὶ τούτων ὑπὸ δουλίδων ἦσαν τεχθέντες γυναικῶν· ἀλλ' ὅμως ἡ τῶν γονέων διαφορὰ διαφορὰν τοῖς τεχθεῖσιν οὐκ ἐποίησε. Πάντες γὰρ ὁμοίως ἦσαν καὶ πατριάρχαι καὶ φύλαρχοι. Τοῦτο γὰρ τῆς Ἐκκλησίας ἐστὶ τὸ προτέρημα· αὕτη τῆς παρ' ἡμῖν εὐγενείας ἡ προεδρία, ἄνωθεν τὸν τύπον λαμβάνουσα. Ὥστε κἂν δοῦλος ᾖς, κἂν ἐλεύθερος, οὐδέν σοι πλέον, οὐδὲ ἔλαττον ἐντεῦθεν γίνεται, ἀλλ' ἕν ἐστι τὸ ζητούμενον, ἡ γνώμη καὶ ὁ τῆς ψυχῆς τρόπος.

3. Ἔστι δέ τι μετὰ τῶν εἰρημένων καὶ ἕτερον, δι' ὃ καὶ τῆς ἱστορίας ταύτης ἐμνημόνευσεν. Οὐδὲ γὰρ ἁπλῶς προσέρριπται τῷ Φαρὲς ὁ Ζαρά. Καὶ γὰρ παρέλκον ἦν καὶ περισσόν, τοῦ Φαρὲς μεμνημένον, ἀφ' οὗ τὸν Χριστὸν ἔμελλε γενεαλογεῖν, καὶ τοῦ Ζαρὰ μνησθῆναι πάλιν. Τίνος οὖν ἕνεκεν ἐμνήσθη; Ἡνίκα ἔμελλεν αὐτοὺς τίκτειν ἡ Θάμαρ, τῶν ὠδίνων παραγενο-

1. Τὴν Βηθσαβεέ.

τὰς ψυχικάς των ἀρετὰς καὶ ἐπρόβαλλαν παντοῦ τὴν ἀρετὴν τοῦ Ἀβραὰμ μὲ τὴν ἐσφαλμένην σκέψιν ὅτι ἠμποροῦν νὰ στηρίζωνται εἰς τὴν ἀρετὴν τῶν προγόνων των, τοὺς διδάσκει ἐξ ἀρχῆς ὅτι πρέπει νὰ καυχώμεθα ὄχι διὰ τοὺς προγόνους μας, ἀλλὰ διὰ τὰ ἰδικά μας κατορθώματα. Ἐκτὸς ἀπὸ αὐτὸ ἐπιδιώκει καὶ κάτι ἄλλο, νὰ δείξῃ ὅτι ὅλοι εἶναι ἁμαρτωλοί, ἀκόμη καὶ οἱ πρόγονοί των. Ὁ πατριάρχης των, ἀπὸ τὸν ὁποῖον ἐπῆραν καὶ τὸ ἐθνικόν των ὄνομα, εἶναι γνωστὸν ὅτι ὑπέπεσεν εἰς μεγάλην ἁμαρτίαν. Διότι παρουσιάζεται ἡ Θάμαρ καὶ τὸν κατηγορεῖ διὰ τὴν πορνείαν του. Καὶ ὁ Δαυὶδ ἐπίσης ἀπέκτησε τὸν Σολομῶντα ἀπὸ γυναῖκα πόρνην [1]. Καὶ ἀφοῦ δὲν κατώρθωσαν οἱ σπουδαῖοι νὰ μὴ παραβοῦν τὸν Μωσαϊκὸν νόμον, πολὺ περισσότερον δὲν τὸ κατώρθωσαν οἱ ἀσήμαντοι. Καὶ ἀφοῦ τὸν παρέβαιναν, ἦσαν ἁμαρτωλοὶ ὅλοι καὶ ἦτο ἀναγκαία ἡ ἐνανθρώπησις τοῦ Χριστοῦ. Διὰ τοῦτο ἀνέφερε καὶ τοὺς δώδεκα πατριάρχας, διὰ νὰ ἀμβλύνῃ πάλιν μὲ αὐτὸν τὸν τρόπον τὸν ἐγωισμόν των διὰ τὴν καταγωγήν των ἀπὸ σπουδαίους προγόνους. Διότι πολλοὶ ἀπὸ αὐτοὺς εἶχαν γεννηθῆ ἀπὸ μητέρας δούλας. Ἀλλὰ ἡ κοινωνικὴ διαφορὰ τῶν γονέων δὲν ἔγινεν αἰτία διαφορᾶς καὶ τῶν παιδιῶν. Διότι ἦσαν ὅλοι ἐξ ἴσου καὶ πατριάρχαι καὶ φύλαρχοι. Διότι ἡ Ἐκκλησία μας ὑπερέχει εἰς αὐτό. Αὐτὴ ἔχει τὴν πρωτοκαθεδρίαν διὰ τὴν ἀξιολόγησιν τῆς ἀρετῆς μας, ἐπειδὴ ἔχει ὡς πρότυπον ὅσα συμβαίνουν εἰς τοὺς οὐρανούς. Ἑπομένως, ἂν εἶσαι δοῦλος ἢ ἐλεύθερος, δὲν ἔχεις οὔτε κέρδος οὔτε ζημίαν ἀπὸ αὐτό, ἀλλὰ ὑπάρχει ἕνας ὅρος ἀπαράβατος, ἡ ψυχικὴ διάθεσις καὶ ὁ χαρακτήρας σου.

3. Ἐκτὸς ἀπὸ ὅσα εἴπαμεν, ὑπάρχει καὶ κάτι ἄλλο, ἕνεκα τοῦ ὁποίου ἀναφέρει αὐτὴν τὴν ἱστορίαν. Δὲν ἀνέφερε δηλαδὴ χωρὶς λόγον ἐκτὸς ἀπὸ τὸν Φαρὲς καὶ τὸν Ζαρά. Διότι, ἀφοῦ ἀναφέρει τὸν Φαρές, ἀπὸ τὸν ὁποῖον θὰ ἐγεανολογοῦσε τὸν Χριστόν, δὲν ἐχρειάζετο καὶ ἦτο περιττὸν νὰ ἀναφέρῃ καὶ τὸν Ζαρά. Διατί λοιπὸν τὸν ἀνέφερε; Ὅταν ἦλθεν ἡ ὥρα νὰ τοὺς γεννήσῃ ἡ Θάμαρ καὶ ἤρχισεν ὁ τοκετός, ἔβγαλε πρῶτος τὸ χέρι

μένων, ἐξήνεγκε πρῶτος ὁ Ζαρὰ τὴν χεῖρα· εἶτα ἡ μαῖα θεασαμένη τοῦτο, ὥστε γνώριμον εἶναι τὸν πρῶτον, κοκκίνῳ τὴν χεῖρα ἔδησεν· ὡς δὲ ἐδέθη, συνέστειλε τὸ παιδίον τὴν χεῖρα, καὶ συστείλαντος ἐκείνου προῆλθεν ὁ Φαρές, καὶ τότε ὁ Ζαρά. Ταῦτα ἰδοῦσα ἡ μαῖά φησι· «Τί διεκόπη διά σὲ φραγμός;». *Εἶδες μυστηρίων αἰνίγματα; Οὐ γὰρ ἁπλῶς ταῦτα ἡμῖν ἀνεγέγραπται· οὐδὲ γὰρ ἱστορίας ἄξιον ἦν τὸν μαθεῖν, τί ποτε ἐφθέγξατο ἡ μαῖα· οὐδὲ διηγήσεως τὸ γνῶναι, ὅτι τὴν χεῖρα προήκατο πρῶτος ὁ δεύτερος ἐξελθών.*

Τί οὖν ἐστι τὸ αἴνιγμα; Πρῶτον ἀπὸ τῆς προσηγορίας τοῦ παιδίου μανθάνομεν τὸ ζητούμενον· τὸ γὰρ Φαρὲς διαίρεσίς ἐστι καὶ διακοπή. Ἔπειτα ἀπ' αὐτοῦ τοῦ συμβάντος· οὐδὲ γὰρ φυσικῆς ἀκολουθίας ἦν, τὴν χεῖρα ἐκβαλόντα συστεῖλαι πάλιν δεθέντα· οὐδὲ γὰρ κινήσεως ἦν λογικῆς ταῦτα, οὐδὲ ἀπὸ φυσικῆς γέγονεν ἀκολουθίας. Προεκπεσούσης μὲν γὰρ τῆς χειρός, ἕτερον προεξελθεῖν, ἴσως φυσικόν· τὸ δὲ συστεῖλαι ταύτην, καὶ ἑτέρῳ δοῦναι πάροδον, οὐκέτι παρὰ τὸν τῶν τικτομένων νόμον ἦν· ἀλλ' ἡ τοῦ Θεοῦ χάρις παρῆν τοῖς παιδίοις ταῦτα οἰκονομοῦσα, καὶ εἰκόνα ἡμῖν τινα τῶν μελλόντων ὑπογράφουσα δι' αὐτῶν. Τί οὖν; Φασί τινες τῶν ταῦτα ἀκριβῶς ἐξητακότων, ὅτι τῶν δύο λαῶν τύπος ἐστὶ ταῦτα τὰ παιδία. Εἶτα ἵνα μάθῃς ὅτι τοῦ δευτέρου λαοῦ ἡ πολιτεία προεξέλαμψε τῆς τοῦ προτέρου γεννήσεως, τὴν χεῖρα ἐκτεινομένην ἔχον τὸ παιδίον οὐχ ὁλόκληρον ἑαυτὸ δείκνυσιν, ἀλλὰ καὶ αὐτὴν συστέλλει πάλιν· καὶ μετὰ τὸ ὁλόκληρον ἐξολισθῆσαι τὸν ἀδελφόν, τότε καὶ αὐτὸς ὅλος φαίνεται· ὃ καὶ ἐπὶ τῶν λαῶν ἀμφοτέρων γέγονε. Τῆς γὰρ πολιτείας τῆς ἐκκλησιαστικῆς ἐν τοῖς κατὰ τὸν Ἀβραὰμ χρόνοις φανείσης, εἶτα ἐν τῷ μέσῳ συσταλείσης, ἦλθεν ὁ Ἰουδαϊκὸς λαὸς καὶ ἡ νομι-

---

1. Γεν. 38,29

2. Ὁ Ἀβραὰμ τοποθετεῖται ἱστορικῶς μεταξὺ τοῦ 23ου καὶ 20ου αἰ. π.Χ. Ὁ Μωϋσῆς τὸν 13ον αἰ. π.Χ.

ὁ Ζαρά. Μόλις τὸ εἶδεν ἡ μαμή, τὸ ἔδεσε μὲ κάτι κόκκινον, διὰ νὰ γνωρίζουν τὸ πρῶτον ἀπὸ τὰ παιδιά. Ἀλλὰ μόλις τὸ ἔδεσεν ἐτράβηξε τὸ παιδὶ τὸ χέρι του καί, μόλις τὸ ἐτράβηξε, προηγήθη ὁ Φαρὲς καὶ ἠκολούθησεν ὁ Ζαρά. Ὅταν τὰ εἶδεν αὐτὰ ἡ μαμή, εἶπε· «Τί διεκόπη διὰ σὲ φραγμός;»[1]. Βλέπεις πόσον παράξενος εἶναι αὐτὸς ὁ ὑπαινιγμός; Καὶ ἀσφαλῶς δὲν εἶναι τυχαία ἡ ἀναγραφή του. Δὲν ἔχει δηλαδὴ σκοπὸν ἡ διήγησις νὰ μᾶς κάμῃ γνωστὸν τί εἶπεν ἡ μαμή. Οὔτε ἔχει σκοπὸν νὰ μᾶς μάθῃ ὅτι ἔβγαλε πρῶτος τὸ χέρι του ὁ δεύτερος.

Ποῖον εἶναι λοιπὸν τὸ βαθύτερον νόημα; Τὴν πρώτην ἀπάντησιν εἰς τὴν ἐρώτησιν μᾶς τὴν δίδει τὸ ὄνομα τοῦ παιδιοῦ. Διότι Φαρὲς σημαίνει διαίρεσιν καὶ διακοπήν. Τὴν δευτέραν μᾶς τὴν δίδει τὸ ἴδιο τὸ περιστατικόν. Διότι δὲν ἦτο φυσικὸν νὰ βγάλῃ τὸ χέρι του καὶ νὰ τὸ ἀποσύρῃ πάλιν μόλις τὸ ἔδεσαν. Ἡ κίνησις λοιπὸν αὐτὴ δὲν ὠφείλετο οὔτε εἰς λογικὴν σκέψιν οὔτε εἰς φυσικὴν νομοτέλειαν. Ἴσως βεβαίως νὰ εἶναι φυσικὸν νὰ προπορευθῇ τὸ χέρι τοῦ ἑνὸς καὶ νὰ γεννηθῇ πρῶτος ὁ ἄλλος. Δὲν εἶναι ὅμως σύμφωνον πρὸς ὅσα συμβαίνουν κατὰ τὴν γέννησιν νὰ ἀποσύρῃ τὸ χέρι του καὶ νὰ ἀφήσῃ τὸν ἄλλον νὰ περάσῃ. Ἀλλὰ εὑρίσκετο ἐκεῖ, κοντὰ εἰς τὰ παιδιά, ἡ χάρις τοῦ Θεοῦ, ἐρρύθμιζεν ὅσα ἐγίνοντο καὶ σχεδὸν μᾶς ἐζωγράφιζε μὲ αὐτὸν τὸν τρόπον τὴν εἰκόνα τῶν μελλόντων νὰ συμβοῦν. Τί σημαίνουν λοιπὸν αὐτά; Μερικοὶ ἀπὸ ἐκείνους ποὺ ἐξήτασαν μὲ προσοχὴν αὐτὰ τὰ πράγματα, λέγουν ὅτι αὐτὰ τὰ παιδιὰ συμβολίζουν τοὺς δύο λαούς. Ἔπειτα λέγουν ὅτι, δὲν ἐπαρουσιάσθη τὸ παιδὶ ὁλόκληρον, ἀλλὰ τὸ χέρι του τεντωμένον, καὶ τὸ ἀπέσυρε μετὰ ἀπὸ ὀλίγον, διὰ νὰ μάθῃς ὅτι ἀκτινοβόλησε πρῶτα ὁ δεύτερος λαὸς μὲ τὸν τρόπον ζωῆς του καὶ ἠκολούθησεν ὁ πρῶτος λαός. Ἐγεννήθη λοιπὸν ὁ πρῶτος ἀδελφὸς μετὰ τὴν γέννησιν τοῦ δευτέρου. Αὐτὸ συνέβη καὶ μὲ τοὺς δύο λαούς. Κατὰ τοὺς χρόνους δηλαδὴ τοῦ Ἀβραὰμ[2] ἐμφανίζεται ἡ ἐκκλησιαστικὴ πολιτεία, ἡ ὁποία ὅμως παρήκμασεν ἐν τῷ μεταξὺ καὶ παρουσιάσθη ὁ Ἰουδαϊκὸς λαὸς καὶ ὁ Μωσαϊκὸς νόμος καὶ τότε ἔχο-

κὴ πολιτεία, καὶ τότε ὁλόκληρος ὁ νέος ἐφάνη λαὸς μετὰ τῶν αὐτοῦ νόμων. Διὸ καὶ ἡ μαῖά φησιν. «Τί διεκόπη διὰ σὲ φραγμός;»· Ὅτι τῆς πολιτείας τὴν ἐλευθερίαν ἐπεισελθὼν ὁ νόμος διέκοψε. Καὶ γὰρ φραγμὸν ἀεὶ τὸν νόμον ἡ Γραφὴ καλεῖν εἴωθεν· ὥσπερ καὶ ὁ προφήτης φησί· «Καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν»· καὶ «φραγμὸν αὐτῇ περιέθηκα»· καὶ ὁ Παῦλος, «Καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας».

4. Ἄλλοι δὲ τό, «Τί διεκόπη διὰ σὲ φραγμός;», ἐπὶ τοῦ νέου φασὶν εἰρῆσθαι λαοῦ· οὗτος γὰρ παραγενόμενος τὸν νόμον κατέλυσεν.

Ὁρᾷς ὡς οὐκ ὀλίγων οὐδὲ μικρῶν ἕνεκεν ἐμνημόνευσε τῆς κατὰ τὸν Ἰούδαν ἱστορίας ἁπάσης; Διὰ τοῦτο καὶ τῆς Ῥοὺθ καὶ Ῥαὰβ μέμνηται, τῆς μὲν ἀλλοφύλου, τῆς δὲ πόρνης, ἵνα μάθῃς ὅτι πάντα ἦλθε τὰ κακὰ λύσων τὰ ἡμέτερα. Ὡς γὰρ ἰατρὸς οὐχ ὡς δικαστὴς παραγέγονεν. Ὥσπερ οὖν πόρνας ἔλαβον γυναῖκας οὗτοι, οὕτω καὶ ὁ Θεὸς τὴν φύσιν τὴν ἐκπορνεύσασαν ἡρμόσατο ἑαυτῷ· ὃ καὶ προφῆται ἄνωθεν προλέγουσιν ἐπὶ τῆς συναγωγῆς γεγονέναι. Ἀλλ' ἐκείνη μὲν ἀγνώμων γεγένηται περὶ τὸν συνοικήσαντα· ἡ δὲ Ἐκκλησία, ἅπαξ ἀπαλλαγεῖσα τῶν πατρῴων κακῶν, ἔμεινεν ἀσπαζομένη τὸν νυμφίον. Ὅτα γοῦν καὶ τὰ ἐπὶ τῆς Ῥοὺθ γενόμενα ἐοικότα τοῖς ἡμετέροις. Αὕτη γὰρ ἀλλόφυλός τε ἦν καὶ εἰς ἐσχάτην κατηνέχθη πενίαν· ἀλλ' ὅμως ἰδὼν αὐτὴν ὁ Βοόζ, οὔτε τῆς πενίας κατεφρόνησεν, οὔτε τὴν δυσγένειαν ἐβδελύξατο· ὥσπερ οὖν καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν

1. Ψαλμ. 79,13
2. Ἠσ. 5,2
3. Ἐφ. 2,14
4. Ἡ Ῥοὺθ ἦτο Μωαβῖτις. Ἡ ὑπ' αὐτῆς παροχὴ βοηθείας εἰς Ἰσραηλίτας κατασκόπους ἐθεωρήθη ὡς ἀναγνώρισις καὶ ὑποταγὴ τῶν εἰδωλολατρῶν εἰς τὸ θέλημα τοῦ ἑνὸς καὶ ἀληθοῦς Θεοῦ τῶν Ἰσραηλιτῶν.
5. Κατὰ τὴν Βαβυλώνειον αἰχμαλωσίαν ὁ Ναβουχοδονόσορ παρεχώρησεν εἰς τοὺς Ἰουδαίους κάποιαν αὐτοδιοίκησιν. Δὲν εἶχον ὅμως Ναόν. Διὰ τοῦτο συνεκεντρώνοντο εἰς ὡρισμένα οἰκήματα, τὰ ὁποῖα ὠνομάζοντο Συνα-

μεν τὴν ἐμφάνισιν ὁλοκλήρου τοῦ νέου λαοῦ καὶ τῶν νόμων του. Διὰ τοῦτο εἶπεν ἡ μαῖα· «Τί διεκόπη διὰ σὲ ὁ φραγμός;». Διότι ἦλθεν ἐν τῷ μεταξὺ ὁ Μωσαϊκὸς νόμος καὶ ἔθεσε φραγμὸν εἰς τὸν ἀσύδοτον τρόπον ζωῆς τῶν Ἰσραηλιτῶν. Ἡ ἁγία Γραφὴ ὀνομάζει πράγματι πολὺ συχνὰ φραγμὸν τὸν νόμον. Καὶ ὁ προφήτης ὁμιλεῖ ὡς ἑξῆς· «Καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν»[1]. Καί· «φραγμὸν αὐτῇ περιέθηκα»[2]. Καὶ ὁ Παῦλος· «Καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας»[3].

4. Ἄλλοι πάλιν λέγουν ὅτι, μὲ τὴν φράσιν»· «Τί διεκόπη διὰ σὲ φραγμός;», γίνεται ὑπαινιγμὸς διὰ τὸν νέον λαόν. Διότι αὐτὸς εἶναι ποὺ ἦλθε καὶ κατήργησε τὸν νόμον.

Βλέπεις ὅτι δὲν εἶναι ὀλίγοι καὶ ἀσήμαντοι οἱ λόγοι, ἕνεκα τῶν ὁποίων ἀναφέρει ὁλόκληρη τὴν σχετικὴν μὲ τὸν Ἰούδαν ἱστορίαν; Διὰ τοῦτο ἀναφέρει τὴν Ρούθ καὶ τὴν Ραὰβ [4], ἀπὸ τὰς ὁποίας ἡ πρώτη ἦτο ἀπὸ ἄλλην φυλὴν καὶ ἡ δευτέρα πόρνη, διὰ νὰ βεβαιωθῇς ὅτι ἦλθε διὰ νὰ ἐξαλείψῃ ὅλας τὰς κακίας μας. Διότι ἦλθε διὰ νὰ διαδραματίσῃ ρόλον ἰατροῦ καὶ ὄχι δικαστοῦ. Ὅπως λοιπὸν ἐκεῖνοι ἐπῆραν πόρνας διὰ γυναῖκας των, ἔτσι ἐπῆρε καὶ ὁ Θεὸς καὶ ἐπροστάτευσε τὴν ἀνθρωπότητα, ποὺ εἶχε γίνει πόρνη καὶ ἀνήθικη. Μερικοὶ προφῆται μάλιστα λέγουν ὅτι αὐτὸ ἔγινε παλαιότερα εἰς τὴν ἐκκλησίαν τῶν Ἰσραηλιτῶν, τὴν συναγωγήν. Ἀλλὰ ἐκείνη ἀπεδείχθη ἀχάριστη πρὸς τὸν προστάτην της [5]. Ἡ Ἐκκλησία μας ἀντιθέτως ἀπηλλάγη ὁριστικῶς ἀπὸ τὰς προγονικὰς ἁμαρτίας καὶ παραμένει ἀκλονήτως πιστὴ εἰς τὸν νυμφίον της. Πρόσεξε λοιπὸν ὅτι, ὅσα συνέβησαν μὲ τὴν Ρούθ, εἶναι ὅμοια μὲ τὰ ἰδικά μας. Ἐκείνη δηλαδὴ ἦτο ἀλλόφυλη καὶ εἶχε καταντήσει πολὺ πτωχή. Ὅταν τὴν εἶδεν ὅμως ὁ Βοόζ, δὲν ἔλαβεν ὑπ' ὄψιν τὴν ἀνέχειάν της οὔτε ἐθεώρησεν ἀποκρουστικὴν τὴν καταγωγήν της. Ἔτσι ἀκριβῶς καὶ ὁ Χριστός, ἂν καὶ

γωγαί. Συνεχίσθησαν δὲ αἱ συγκεντρώσεις αὐταὶ καὶ μετὰ τὴν ἐπάνοδον τῶν Ἰουδαίων εἰς τὴν Ἰερουσαλήμ.

δεξάμενος, καὶ ἀλλόφυλον καὶ ἐν πενίᾳ πολλῇ, τῶν μεγάλων ἀγαθῶν ἔλαβεν αὐτὴν κοινωνόν. Ἀλλ᾽ ὥσπερ αὕτη, εἰ μὴ πρότερον ἀφῆκε πατέρα, καὶ ἠτίμασεν οἰκίαν καὶ γένος καὶ πατρίδα καὶ οὐκ ἂν ἐπέτυχε τῆς ἀγχιστείας ταύτης· οὕτω καὶ ἡ Ἐκκλησία, τὰ πατρῷα ἔθη καταλιποῦσα, τότε ἐπέραστος ἐγένετο τῷ νυμφίῳ. Ὅπερ οὖν καὶ ὁ προφήτης αὐτῇ διαλεγόμενός φησιν· «Ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Τοῦτο καὶ ἡ Ῥοὺθ ἐποίησε. Διὰ τοῦτο καὶ ἡ μήτηρ ἐγένετο βασιλέων, ὥσπερ οὖν καὶ ἡ Ἐκκλησία· καὶ γὰρ ἐκ ταύτης ἐστὶν ὁ Δαυίδ. Διὰ δὴ τούτων πάντων ἐντρέπων αὐτοὺς καὶ πείθων μὴ μέγα φρονεῖν, τήν τε γενεαλογίαν συνέθηκε, καὶ τὰς γυναῖκας ταύτας εἰς μέσον ἤγαγε. Καὶ γὰρ τὸν βασιλέα τὸν μέγαν αὕτη διὰ τῶν μέσων ἐγέννησε· καὶ οὐκ αἰσχύνεται ὁ Δαυὶδ ἐπὶ τούτοις.

Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὔτε ἐξ ἀρετῆς οὔτε ἀπὸ κακίας προγόνων εἶναι σπουδαῖον ἢ φαῦλον ἢ ἄσημον ἢ λαμπρόν· ἀλλ᾽ εἰ χρή τι καὶ παράδοξον εἰπεῖν, ἐκεῖνος ἐκλάμπει μειζόνως, ὁ μὴ τῶν σπουδαίων προγόνων ὤν, γενόμενος δὲ ἀγαθός. Μηδεὶς τοίνυν ἐπὶ τούτοις μέγα φρονείτω· ἀλλ᾽ ἐννοήσας τοῦ Δεσπότου τοὺς προγόνους, τὸ φύσημα ἅπαν κενούτω, καὶ ἐπὶ κατορθώμασι μέγα φρονείτω· μᾶλλον δὲ μηδὲ ἐπὶ τούτοις. Οὕτω γὰρ καὶ ὁ Φαρισαῖος τοῦ τελώνου γέγονεν ὕστερος. Εἰ γὰρ βούλει δεῖξαι μέγα τὸ κατόρθωμα, μὴ μέγα φρόνει, καὶ τότε μεῖζον τοῦτο ἀπέφηνας· μὴ νομίσῃς τι πεποιηκέναι, καὶ τὸ πᾶν εἰργάσω. Εἰ γὰρ ὅ-

1. Ψαλμ. 44, 11 - 12

εὗρῆκε τὴν Ἐκκλησίαν ἀλλόφυλον, εἰδωλολατρικὴν δηλαδή, καὶ εἰς ἐλεεινὴν κατάστασιν, τὴν ἔκαμε μέτοχον τῶν μεγάλων του ἀγαθῶν. Ἀλλὰ ὅπως δὲν θὰ ἔκαμνεν αὐτὸν τὸν ἐπιτυχημένον γάμον ἡ Ρούθ, ἂν δὲν ἐγκατέλειπε προηγουμένως τὸν πατέρα της καὶ δὲν ἐντρόπιαζε τὴν πατρικήν της οἰκογένειαν καὶ τοὺς ὁμοφύλους καὶ τὴν πατρίδα καὶ τοὺς συγγενεῖς της, ἔτσι καὶ ἡ Ἐκκλησία μας ἠγαπήθη ἀπὸ τὸν νυμφίον της, ἐπειδὴ ἐγκατέλειψε τὴν νοοτροπίαν τῶν προγόνων μας. Αὐτὸ ἀκριβῶς τῆς λέγει καὶ ὁ προφήτης Δαυὶδ ἀπευθυνόμενος πρὸς αὐτήν. «Ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου»[1]. Αὐτὸ ἔκαμε καὶ ἡ Ρούθ. Διὰ τοῦτο ἔγινε μητέρα βασιλέων, ὅπως ἀκριβῶς καὶ ἡ Ἐκκλησία μας. Διότι ἀπὸ τὴν Ρούθ κατάγεται ὁ Δαυΐδ. Ἐπειδὴ λοιπὸν ἤθελεν ὁ Ματθαῖος νὰ τοὺς φιλοτιμήσῃ καὶ νὰ τοὺς πείσῃ νὰ μὴ εἶναι ἐγωισταί, περιέλαβεν εἰς τὴν γενεαλογίαν ὅλα αὐτὰ τὰ γεγονότα καὶ ἀνέφερε τὰς γυναῖκας αὐτάς. Ἡ Ρούθ λοιπὸν ἐγέννησεν ἐμμέσως τὸν μέγαν βασιλέα Δαυΐδ, ὁ ὁποῖος δὲν αἰσθάνεται καμμίαν ἐντροπὴν δι' αὐτό.

Εἶναι λοιπὸν σφάλμα, εἶναι μεγάλον σφάλμα νὰ θεωρῆται κανεὶς ἠθικὸς ἢ ἀνήθικος, ἀσήμαντος ἢ σημαντικὸς ἐξ αἰτίας τῆς ἀρετῆς ἢ τῶν ἐλαττωμάτων τῶν προγόνων του, ἀλλὰ —ἂς εἰπῶ κάτι ποὺ θὰ θεωρηθῇ πολὺ παράξενον—ἀκτινοβολεῖ περισσότερον ὅποιος δὲν κατάγεται ἀπὸ λαμπροὺς προγόνους, ἀλλὰ εἶναι ἐνάρετος ὁ ἴδιος. Διὰ τοῦτο δὲν πρέπει ἀσφαλῶς νὰ καμαρώνῃ κανεὶς διὰ τὴν καταγωγήν του, ἀλλά, ἀφοῦ λάβῃ ὑπ' ὄψιν του τοὺς προγόνους τοῦ Κυρίου, ἂς ἀποβάλῃ κάθε ἐγωισμὸν καὶ ἂς ὑπερηφανεύεται διὰ τὰ ἰδικά του κατορθώματα. Μᾶλλον ὅμως ἂς μὴ ὑπερηφανεύεται οὔτε δι' αὐτά. Διότι αὐτὴ ἡ νοοτροπία ἔφερε τὸν Φαρισαῖον εἰς κατωτέραν θέσιν ἀπὸ τὸν τελώνην. Ἂν θέλῃς λοιπὸν νὰ θεωρηθῇ μεγάλον τὸ κατόρθωμά σου, μὴ ὑπερηφανεύεσαι δι' αὐτό. Ἔτσι θὰ ἀποδείξῃς ὅτι εἶναι μεγαλύτερον. Μὴ νομίσῃς ὅτι ἔκαμες κάτι καὶ ἐξήντλησες ὅλας σου τὰς δυνατότητας. Διότι, ἄν, ὅταν εἴμεθα ἁμαρτωλοί, ἐπειδὴ ἐσυνειδητοποιήσαμεν τὴν πραγμα-

ταν ἁμαρτωλοὶ ὦμεν, ἂν νομίσωμεν τοῦτο εἶναι ὅπερ ἐσμέν, δίκαιοι γινόμεθα, ὥσπερ οὖν καὶ ὁ τελώνης· πόσῳ μᾶλλον ὅταν δίκαιοι ὄντες ἁμαρτωλοὺς ἑαυτοὺς εἶναι νομίζωμεν; Εἰ γὰρ ἐξ ἁμαρτωλῶν δικαίους ποιεῖ τὸ ταπεινοφρονεῖν· καίτοιγε οὐδὲ ταπεινοφροσύνη ἦν ἐκεῖνο, ἀλλ' εὐγνωμοσύνη· εἰ οὖν εὐγνωμοσύνη τοσοῦτον δύναται ἐπὶ ἁμαρτωλῶν, ἡ ταπεινοφροσύνη σκόπησον ἐπὶ δικαίων τί οὐκ ἐργάσεται; Μὴ τοίνυν λυμήνῃ τοὺς πόνους, μηδὲ ὑποτέμῃ τοὺς ἱδρῶτας, μηδὲ εἰκῇ δράμῃς, μετὰ τοὺς μυρίους διαύλους πάντα κενῶν τὸν πόνον. Καὶ γὰρ σοῦ μᾶλλον οἶδε τὰ κατορθώματα ὁ Δεσπότης τὰ σά. Κἂν ποτήριον ψυχροῦ δῷς, οὐδὲ τοῦτο παρορᾷ· κἂν ὀβολὸν καταβάλῃς, κἂν στενάξῃς μόνον, μετὰ πολλῆς πάντα δέχεται τῆς εὐνοίας, καὶ μέμνηται, καὶ μεγάλους αὐτοῖς ὁρίζει μισθούς. Τίνος δὲ ἕνεκεν ἐξετάζεις τὰ σά, καὶ φέρεις ἡμῖν εἰς μέσον διηνεκῶς; Οὐκ οἶδας ὅτι ἐὰν ἐπαινέσῃς σαυτόν, οὐκέτι σε ὁ Θεὸς ἐπαινέσεται; ὥσπερ οὖν ἂν ταλανίσῃς, οὐ παύσεταί σε παρὰ πᾶσιν ἀνακηρύττων; Οὐδὲ γὰρ βούλεταί σου τοὺς πόνους ἐλαττωθῆναι. Τί λέγω ἐλαττωθῆναι; Πάντα μὲν οὖν ποιεῖ καὶ πραγματεύεται, ὥστε καὶ ἀπὸ μικρῶν σε στεφανῶσαι, καὶ περίεισι προφάσεις ζητῶν δι' ὧν δυνήσῃ ἀπαλλαγῆναι τῆς γεέννης.

5. Διὰ τοῦτο κἂν ἑνδεκάτην ὥραν ἐργάσῃ τῆς ἡμέρας, ὁλόκληρον τὸν μισθὸν δίδωσι. «Κἂν μηδεμίαν ἔχῃς ἀφορμὴν σωτηρίας», φησί, «δι' ἐμὲ ποιῶ, ὅπως μὴ τὸ ὄνομά μου βεβηλωθῇ». Κἂν στενάξῃς μόνον, κἂν δακρύσῃς, ἁρπάζει ταῦτα πάντα ταχέως εἰς ἀφορμὴν τῆς σῆς σωτηρίας αὐτός. Μὴ τοίνυν ἐπαιρώμεθα, ἀλλὰ λέγωμεν ἑαυτοὺς ἀχρείους, ἵνα γενώμεθα εὔχρηστοι. Ἂν μὲν γὰρ εἴπῃς σαυτὸν εὐδόκιμον, γέγονας ἄχρηστος, κἂν εὐδόκιμος

1. Ἰεζ. 36, 22-32

τικὴν κατάστασίν μας, γινώμεθα ἐνάρετοι, ὅπως ἀκριβῶς τὴν ἐσυνειδητοποίησε καὶ ὁ τελώνης, πόσον μᾶλλον θὰ συμβῇ αὐτό, ἂν εἴμεθα ἐνάρετοι καὶ θεωροῦμεν τοὺς ἑαυτούς μας ἁμαρτωλούς; Ἀφοῦ λοιπὸν ἡ ταπεινοφροσύνη μᾶς μεταβάλλει ἀπὸ ἁμαρτωλοὺς εἰς ἐναρέτους—ἂν καὶ αὐτὸ δὲν εἶναι ἀσφαλῶς ταπεινοφροσύνη, ἀλλὰ εὐγνωμοσύνη... Ἀφοῦ λοιπὸν ἡ εὐγνωμοσύνη ἔχει τόσην ἐπίδρασιν ἐπὶ τῶν ἁμαρτωλῶν, σκέψου πόσον ἠμπορεῖ νὰ ἐπιδράσῃ ἡ ταπεινοφροσύνη ἐπὶ τῶν ἐναρέτων. Μὴ καταστρέψῃς λοιπὸν τοὺς κόπους σου, μὴ ἀχρηστεύσῃς τοὺς ἱδρῶτας σου, μὴ τρέχῃς ἄδικα, ἀφοῦ μετὰ ἀπὸ πάρα πολλὰ τρεχάματα σπαταλᾷς ἄδικα τοὺς κόπους σου. Διότι ὁ Κύριος γνωρίζει καλύτερα καὶ ἀπὸ ἐσὲ τὰ κατορθώματά σου. Καὶ δὲν παραλείπει νὰ ἀμείψῃ οὔτε καὶ ἕνα ποτήρι κρύο νερὸ ποὺ προσφέρεις. Ἂν δώσῃς ἔστω καὶ μίαν δραχμήν, ἂν ἀναστενάζῃς ἁπλῶς, θὰ τὸ δεχθῇ μὲ πολλὴν εὐχαρίστησιν καὶ θὰ τὸ λάβῃ ὑπ' ὄψιν του καὶ θὰ σὲ ἀμείψῃ γενναῖα δι' αὐτό. Διατί διηγεῖσαι τὰ κατορθώματά σου καὶ μᾶς τὰ προβάλλεις κάθε στιγμήν; Δὲν γνωρίζεις ὅτι δὲν θὰ σὲ ἐπαινέσῃ ὁ Θεὸς ἂν ἐπαινῇς συνεχῶς τὸν ἑαυτόν σου; Ὅπως δὲν θὰ παύσῃ ἀσφαλῶς νὰ σὲ ἐπαινῇ ἐνώπιον ὅλων, ἂν ἐλεεινολογῇς τὸν ἑαυτόν σου; Διότι δὲν θέλει βεβαίως νὰ μειώσῃ τὴν ἀξίαν τῶν ἀγώνων σου. Τί λέγω ὅτι δὲν θέλει νὰ μειώσῃ τὴν ἀξίαν των; Εἶναι βέβαιον ὅτι κάμνει τὸ πᾶν καὶ φροντίζει νὰ σὲ ἀμείψῃ γενναίως καὶ διὰ τὸ παραμικρὸν καὶ ἐπιζητεῖ νὰ εὕρῃ κάποιαν ἀφορμήν, διὰ νὰ ἠμπορέσῃς νὰ ἀπαλλαγῇς ἀπὸ τὴν αἰωνίαν κόλασιν.

5. Διὰ τοῦτο σοῦ καταβάλλει ὅλον τὸ ἡμερομίσθιον, ἔστω καὶ ἂν ἀρχίσῃς τὴν ἐργασίαν σου εἰς τὰς πέντε τὸ ἀπόγευμα· «Κἂν μηδεμίαν ἔχῃς ἀφορμὴν σωτηρίας», λέγει, «δι' ἐμὲ ποιῶ, ὅπως μὴ τὸ ὄνομά μου βεβηλωθῇ»[1]. Ἔστω καὶ ἂν ἀναστενάζῃς ἁπλῶς, ἔστω καὶ ἂν δακρύσῃς, ἐκεῖνος ἁρπάζει ἀμέσως τὴν εὐκαιρίαν νὰ σὲ σώσῃ. Ἂς μὴ ὑπερηφανευώμεθα λοιπόν, ἀλλὰ ἂς θεωροῦμεν ἀχρήστους τοὺς ἑαυτούς μας, διὰ νὰ γίνωμεν χρήσιμοι. Διότι, ἂν χαρακτηρίσῃς τὸν ἑαυτόν σου ἄξιον τι-

ᾖς· ἂν δὲ ἀχρεῖον ὀνομάσῃς, γέγονας εὔχρηστος, κἂν ἀδόκιμος ᾖς· Διὸ ἀναγκαῖον ἐπιλαθέσθαι κατορθωμάτων. Καὶ πῶς δυνατόν, φησίν, ἅπερ ἐπιστάμεθα, ταῦτα μὴ εἰδέναι; Τί λέγεις; προσκρούων διηνεκῶς τῷ Δεσπότῃ, τρυφᾷς καὶ γελᾷς, καὶ οὐδὲ οἶδας ὅτι ἥμαρτες, λήθῃ παραδοὺς πάντα, κατορθωμάτων δὲ οὐ δύνασαι ἐκβαλεῖν τὴν μνήμην; Καίτοι ἰσχυρότερον ὁ φόβος. Ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν· καθ' ἑκάστην μὲν ἡμέραν προσκρούοντες οὐδὲ εἰς νοῦν βαλλόμεθα· ἂν δὲ μικρὸν ἀργύριον πένητι δῶμεν, ἄνω καὶ κάτω τοῦτο στρέφομεν, ὅπερ ἐσχάτης ἐστὶν ἀνοίας καὶ μεγίστη τοῦ συλλέγοντος ζημία· ἀσφαλὲς γὰρ ταμεῖον κατορθωμάτων λήθη κατορθωμάτων. Καὶ καθάπερ τὰ ἱμάτια καὶ ὁ χρυσός, ὅταν μὲν ἐπ' ἀγορᾶς ταῦτα προθῶμεν, πολλοὺς ἐπισπώμεθα τοὺς ἐπιβούλους· ἂν δὲ ἀποθώμεθα οἴκοι καὶ κατακρύψωμεν, ἐν ἀσφαλείᾳ καταθήσομεν ἅπαντα· οὕτω δὴ καὶ τὰ κατορθώματα, ἂν μὲν συνεχῶς ἐπὶ τῆς μνήμης φέρωμεν παροξύνομεν τὸν Δεσπότην, τὸν Ἐχθρὸν ὁπλίζομεν, ἐπὶ τὴν κλοπὴν καλοῦμεν· ἂν δὲ μηδεὶς εἰδῇ αὐτά, ἀλλὰ ὃν εἰδέναι χρὴ μόνον, ἐν ἀσφαλείᾳ κείσεται.

Μὴ τοίνυν περίστρεφε συνεχῶς, ἵνα μή τις αὐτὰ ἀφέληται· ὃ καὶ ὁ Φαρισαῖος ἔπαθεν, ἐπὶ τῆς γλώττης αὐτὰ περιφέρων· ὅθεν καὶ ἥρπασεν αὐτὰ ὁ διάβολος· καίτοιγε μετ' εὐχαριστίας αὐτῶν ἐμέμνητο, καὶ τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ. Ἀλλ' οὐδὲ τοῦτο ἤρκεσεν αὐτῷ. Οὐ γὰρ εὐχαριστία τὸ ὀνειδίζειν ἑτέροις, τὸ φιλοτιμεῖσθαι ἐπὶ πολλῶν, τὸ κατεξανίστασθαι τῶν πεπλημμεληκότων. Εἰ γὰρ εὐχαριστεῖς τῷ Θεῷ, ἀρκέσθητι μόνον αὐτῷ καὶ

---

1. Ἑπομένως πρέπει νὰ φοβούμεθα περισσότερον διὰ τὰς ἁμαρτίας μας, νὰ ἐνθυμούμεθα περισσότερον καὶ νὰ ἐκτελοῦμεν τὰς ἐντολὰς τοῦ Θεοῦ.

μῆς, χάνεις ἀμέσως τὸν ἠθικὸν χαρακτῆρα σου, ἔστω καὶ ἂν εἶσαι πράγματι ἀξιότιμος. Διὰ τοῦτο ἐπιβάλλεται νὰ λησμονῆς τὰ κατορθώματά σου. Ἐρωτᾶται ὅμως· Πῶς εἶναι δυνατὸν νὰ μὴ γνωρίζωμεν ἐκεῖνα ποὺ γνωρίζομεν μετὰ βεβαιότητος; Τί εἶναι αὐτὸ ποὺ λέγεις; Ἔχεις τὴν ἱκανότητα νὰ παραβαίνης συνεχῶς τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ νὰ ζῆς μὲ ἀπολαύσεις καὶ διασκεδάσεις καὶ οὔτε κἂν περνᾷ ἀπὸ τὴν σκέψιν σου ὅτι ἁμαρτάνεις, διότι θέλεις νὰ τὸ λησμονῆς, καὶ δὲν ἠμπορεῖς νὰ διώξης ἀπὸ τὴν μνήμην σου τὰ κατορθώματά σου; Καὶ τοῦτο, ἂν καὶ ὁ φόβος [1] ἔχει μεγαλυτέραν δύναμιν. Ἐμεῖς ὅμως κάμνομεν τὸ ἀντίθετον. Κάθε ἡμέραν παραβαίνομεν τὰς ἐντολὰς τοῦ Θεοῦ χωρὶς νὰ τὸ σκεπτώμεθα καθόλου. Ἂν δώσωμεν ὅμως ἔστω καὶ μίαν δεκάραν εἰς πτωχόν, τὸ διακηρύσσομεν παντοῦ, πρᾶγμα τὸ ὁποῖον εἶναι ἀνόητον καὶ μεγάλη ζημία δι' ἐκεῖνον ποὺ κάμνει τέτοιαν ἀποταμίευσιν. Διότι ἀσφαλὲς θησαυροφυλάκιον τῶν κατορθωμάτων μας εἶναι ἡ λήθη τῶν κατορθωμάτων μας. Καὶ ὅ,τι συμβαίνει μὲ τὰ ἐνδύματα καὶ τὰ χρυσαφικά, πού, ὅταν τὰ ἐκθέτωμεν εἰς τὴν ἀγοράν, προσελκύομεν τὴν προσοχὴν πολλῶν ὑποψηφίων κλεπτῶν, ἐνῷ, ἂν τὰ τακτοποιήσωμεν καὶ τὰ κρύψωμεν καλὰ εἰς τὸ σπίτι, εἶναι βέβαιον ὅτι τὰ τοποθετοῦμεν εἰς μέρος ἀσφαλές, τὸ ἴδιο συμβαίνει καὶ μὲ τὰς καλὰς πράξεις μας· ἂν τὰς ἀναφέρωμεν συνεχῶς, παροργίζομεν τὸν Κύριον, δίδομεν ὅπλα εἰς τὸν ἐχθρόν, τὸν σατανᾶν, τὸν προσκαλοῦμεν νὰ μᾶς κλέψῃ. Ἂν ἀντιθέτως δὲν τὰ γνωρίζῃ κανείς, ἐκτὸς ἀπὸ ἐκεῖνον ποὺ εἶναι ὁ μόνος ποὺ πρέπει νὰ τὰ γνωρίζῃ, εἶναι ἐξησφαλισμένα.

Μὴ τὰ συζητῇς λοιπὸν συνεχῶς, διὰ νὰ μὴ σοῦ τὰ κλέψῃ κανείς. Διότι αὐτὸ ἔπαθε καὶ ὁ Φαρισαῖος, ἐπειδὴ τὰ εἶχε συνεχῶς μέσα εἰς τὸ στόμα του, ἀπὸ ὅπου καὶ τὰ ἐπῆρεν ὁ διάβολος, ἂν καὶ τὰ ἀνέφερεν ὡς εὐχαριστήριον προσευχήν του καὶ τὰ ἀπέδιδεν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ. Ἀλλὰ δὲν ἦτο ἀρκετὸν αὐτὸ διὰ νὰ τὸν σώσῃ. Διότι δὲν εἶναι εὐχαριστήριος προσευχὴ νὰ κατηγορῇς τοὺς ἄλλους, νὰ ὑπερηφανεύεσαι διὰ τὰ πολλὰ κατορθώματά σου, νὰ ἐκδηλώνῃς ἀγανάκτησιν

μὴ ἐξενέγκῃς εἰς ἀνθρώπους, μηδὲ καταδικάσῃς τὸν πλησίον· οὐ γάρ ἐστι τοῦτο εὐχαριστία. Βούλει μαθεῖν εὐχαριστίας λόγους; ἄκουσον τῶν τριῶν παίδων λεγόντων· «Ἡμάρτομεν, ἠνομήσαμεν· δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, ὅτι ἐν ἀληθινῇ κρίσει πάντα ἐπήγαγες». Τὸ γὰρ τὰ οἰκεῖα ἁμαρτήματα ὁμολογεῖν, τοῦτό ἐστιν εὐχαριστεῖν τῷ Θεῷ ὁμολογοῦντα, ὅπερ δείκνυσι μυρίων μὲν ὄντα αὐτὸν ὑπεύθυνον, οὐκ ἀπαιτούμενον δὲ τὴν ἀξίαν δίκην· οὗτος μάλιστά ἐστιν ὁ εὐχαριστῶν.

Φυλαξόμεθα τοίνυν τὸ περὶ ἑαυτῶν τι λέγειν· τοῦτο γὰρ καὶ παρὰ ἀνθρώποις μισητοὺς καὶ παρὰ Θεῷ βδελυροὺς ἐργάζεται. Διὰ τοῦτο ὅσῳ ἂν μεγάλα κατορθώσωμεν, τοσούτῳ μικρὰ περὶ ἑαυτῶν λέγωμεν· οὕτω γὰρ μεγίστην καρπωσόμεθα δόξαν καὶ παρὰ ἀνθρώποις καὶ παρὰ Θεῷ· μᾶλλον δὲ οὐδὲ δόξαν μόνον παρὰ Θεῷ, ἀλλὰ καὶ μισθὸν καὶ ἀντίδοσιν μεγάλην. Μὴ τοίνυν ἀπαίτει μισθόν, ἵνα λάβῃς μισθόν. Χάριτι ὁμολόγει σῴζεσθαι, ἵνα σοι αὐτὸς ὀφειλέτην ἑαυτὸν ὁμολογήσῃ, οὐχὶ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῆς τοιαύτης εὐγνωμοσύνης. Ὅταν μὲν κατορθῶμεν, τῶν κατορθωμάτων ὀφειλέτην ἔχομεν μόνον· ὅταν δὲ μηδὲ ἡγούμεθά τι κατορθωκέναι, καὶ αὐτοῦ τοῦ οὕτω διακεῖσθαι καὶ μειζόνως ἢ ἐκείνων· ὥστε ἀντίρροπον τῶν κατορθωμάτων τοῦτό ἐστιν. Ἂν γὰρ μὴ τοῦτο παρῇ, οὐδ' ἐκεῖνα φανεῖται μεγάλα. Καὶ γὰρ καὶ ἡμεῖς οἰκέτας ἔχοντες, τότε αὐτοὺς μάλιστα ἀποδεχόμεθα, ὅταν πάντα μετ' εὐνοίας διακονησάμενοι, μηδὲν ἡγῶνται πεποιηκέναι μέγα.

Ὥστε εἰ βούλει μεγάλα σοι ποιῆσαι τὰ κατορθώματα, μὴ

---

1. Δαν. 3,29. 27. 31

ἐναντίον ἐκείνων ποὺ ἡμάρτησαν. Διότι, ἂν θέλῃς νὰ προσευχηθῇς καὶ νὰ εὐχαριστήσῃς τὸν Θεόν, περιορίσου μόνον εἰς αὐτὸ καὶ μὴ τὸ ἀνακοινώνῃς εἰς τοὺς ἀνθρώπους, οὔτε νὰ κατακρίνῃς τὸν πλησίον σου. Διότι αὐτὸ δὲν εἶναι προσευχὴ εὐχαριστήριος. Θέλεις νὰ μάθῃς πῶς εἶναι ἡ εὐχαριστήριος προσευχή; Ἄκουσε τί εἶπαν οἱ τρεῖς παῖδες· «Ἡμάρτομεν, ἠνομήσαμεν· δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, ὅτι ἐν ἀληθινῇ κρίσει πάντα ἐπήγαγες»[1]. Διότι εὐχαριστήριος προσευχὴ πρὸς τὸν Θεὸν εἶναι νὰ ὁμολογῇς πρὸς αὐτὸν τὰς ἁμαρτίας σου, πρᾶγμα τὸ ὁποῖον ἀποδεικνύει ὅτι ἔκαμες χιλιάδες ἁμαρτήματα καὶ ζητεῖς νὰ σοῦ τὰ συγχωρήσῃ ὁ Θεός. Τότε μόνον προσφέρεις εὐχαριστήριον προσευχήν.

Ἂς ἀποφύγωμεν λοιπὸν νὰ περιαυτολογοῦμεν. Διότι ἡ περιαυτολογία θὰ μᾶς κάμῃ μισητοὺς εἰς τοὺς ἀνθρώπους καὶ ἀξίους νὰ μᾶς ἀποστρέφεται ὁ Θεός. Διὰ τοῦτο, ὅσον μεγάλα εἶναι τὰ κατορθώματά μας, τόσον ὀλίγα πρέπει νὰ λέγωμεν περὶ αὐτῶν. Διότι ἔτσι θὰ ἀποκτήσωμεν μεγάλην δόξαν καὶ ἀπὸ τοὺς ἀνθρώπους καὶ ἀπὸ τὸν Θεόν. Ἢ μᾶλλον ὄχι μόνον δόξαν ἀπὸ τὸν Θεόν, ἀλλὰ καὶ μεγάλην ἀμοιβὴν καὶ ἀνταπόδοσιν. Μὴ ζητῇς λοιπὸν ἀμοιβήν, διὰ νὰ λάβῃς ἀμοιβήν. Νὰ παραδέχεσαι ὅτι θὰ σωθῇς μὲ τὴν χάριν τοῦ Θεοῦ, διὰ νὰ δεχθῇ καὶ ἐκεῖνος ὅτι εἶναι ὀφειλέτης σου ὄχι μόνον ἕνεκα τῶν καλῶν σου πράξεων, ἀλλὰ καὶ ἕνεκα αὐτῆς τῆς εὐγνωμοσύνης σου. Διότι, ὅταν κάμνωμεν καλὰς πράξεις, ὁ Θεὸς μᾶς ἀμείβει μόνον διὰ τὰς καλὰς πράξεις μας. Ὅταν πιστεύωμεν ὅμως ὅτι δὲν ἐκάμαμεν τίποτε τὸ σπουδαῖον, μᾶς ἀμείβει καὶ δι' αὐτὴν τὴν διαγωγήν μας καὶ μάλιστα περισσότερον δι' αὐτὴν παρὰ διὰ τὰ κατορθώματά μας. Ὥστε ἡ διαγωγή μας αὐτὴ εἶναι ἴσης ἀξίας μὲ τὰ κατορθώματα. Διότι, ἂν δὲν ὑπάρχῃ αὐτή, καὶ τὰ κατορθώματά μας δὲν φαίνονται ἀξιόλογα. Διότι καὶ ἐμεῖς, ἂν ἔχωμεν ὑπηρέτας, τοὺς ἀγαποῦμεν περισσότερον, ὅταν ἐκτελοῦν τὴν ὑπηρεσίαν των μὲ κάθε προθυμίαν καὶ δὲν ἔχουν τὴν γνώμην ὅτι ἔκαμαν κάτι τὸ σπουδαῖον.

Ἂν θέλῃς ἐπομένως νὰ κάμῃς μεγάλα τὰ κατορθώματά

νόμιζε αὐτὰ εἶναι μεγάλα, καὶ τότε ἔσται μεγάλα. Οὕτω καὶ ὁ ἑκατοντάρχης ἔλεγεν· «Οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς»· διὰ τοῦτο ἄξιος γέγονε, καὶ ὑπὲρ πάντας Ἰουδαίους ἐθαυμάζετο. Οὕτω καὶ ὁ Παῦλός φησιν. «Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος»· διὰ τοῦτο καὶ πρῶτος πάντων ἐγένετο. Οὕτω καὶ Ἰωάννης. «Οὐκ εἰμὶ ἱκανὸς λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος»· διὰ τοῦτο καὶ φίλος ἦν τοῦ νυμφίου, καὶ τὴν χεῖρα, ἣν ἀναξίαν ἄφησεν εἶναι τῶν ὑποδημάτων, ταύτην ὁ Χριστὸς ἐπὶ τὴν κεφαλὴν εἵλκυσε τὴν ἑαυτοῦ. Οὕτω καὶ ὁ Πέτρος ἔλεγεν. «Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι»· διὰ τοῦτο θεμέλιος τῆς Ἐκκλησίας γέγονεν. Οὐδὲν γὰρ οὕτω τῷ Θεῷ φίλον, ὡς τὸ μετὰ τῶν ἐσχάτων ἀριθμεῖν. Τοῦτο φιλοσοφίας πάσης ἀρχή. Ὁ γὰρ ταπεινώμενος καὶ συντετριμμένος, οὐ κενοδοξήσει, οὐκ ὀργιεῖται, οὐ φθονήσει τὸν πλησίον, οὐκ ἄλλο τι δέξεται πάθος. Οὐδὲ γὰρ χεῖρα συντετριμμένην, κἂν μυριάκις φιλονεικήσωμεν, εἰς ὕψος ἆραι δυνησόμεθα. Ἂν τοίνυν καὶ τὴν ψυχὴν οὕτω συντρίψωμεν, κἂν μυρία αὐτὴν ἐπάρῃ φυσῶντα πάθη, οὐδὲ μικρὰν ἀρθῆναι δυνήσεται. Εἰ γὰρ περὶ βιωτικῶν τις πενθῶν πραγμάτων, πάντα ἐξορίζει τὰ νοσήματα τῆς ψυχῆς· πολλῷ μᾶλλον ὁ ὑπὲρ ἁμαρτιῶν τοῦτο ποιῶν ἀπολαύσεται τῆς φιλοσοφίας. Καὶ τίς οὕτω δυνήσεται συντρῖψαι τὴν ἑαυτοῦ καρδίαν; φησίν. Ἄκουσον τοῦ Δαυὶδ τοῦ διὰ τοῦτο λάμψαντος, καὶ βλέπε αὐτοῦ τὴν συντριβὴν τῆς ψυχῆς. Μετὰ γὰρ μυρία κατορθώματα, καὶ πατρίδος καὶ οἰκίας καὶ αὐτῆς μέλλων ἐκπίπτειν τῆς ζωῆς, παρ'

---

1. Ματθ. 8,8
2. Α' Κορ. 15,9
3. Μάρκ. 1,7 καὶ Ματθ. 3,11
4. Λουκᾶ 5,8

σου, μὴ νομίζῃς ὅτι εἶναι μεγάλα καὶ τότε θὰ γίνουν μεγάλα. Ὁ ἑκατόνταρχος εἶπεν εἰς τὸν Κύριον· «Οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς»[1]. Διὰ τοῦτο ἔγινεν ἄξιος τῆς ἀγάπης τοῦ Χριστοῦ καὶ τὸν ἐθαύμαζαν περισσότερον ἀπὸ ὅλους τοὺς Ἰουδαίους. Καὶ ὁ Παῦλος λέγει παρόμοια· «Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος»[2]. Διὰ τοῦτο ἔγινεν ἀνώτερος ἀπὸ ὅλους. Καὶ ὁ Ἰωάννης εἶπεν ἐπίσης· «Οὐκ εἰμὶ ἱκανὸς λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος»[3]. Διὰ τοῦτο τὸν ἀγαποῦσεν ὁ Χριστὸς καὶ ἐπῆρε καὶ ἔθεσεν ἐπάνω εἰς τὴν κεφαλήν του τὸ χέρι, ποὺ ὁ Ἰωάννης ἔλεγεν ὅτι δὲν ἀξίζει νὰ τοῦ δέσῃ οὔτε τὰ ὑποδήματα. Καὶ ὁ Πέτρος ἔλεγε τὰ ἴδια· «Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι»[4]. Διὰ τοῦτο ἔγινε τὸ θεμέλιον τῆς ἐκκλησίας. Διότι τίποτε ἄλλο δὲν ἀρέσει τόσον εἰς τὸν Θεόν, ὅσον νὰ συγκαταλέγῃ κανεὶς τὸν ἑαυτόν του μεταξὺ τῶν τελευταίων ἀνθρώπων. Αὐτὸ ἀποτελεῖ τὴν βάσιν κάθε ὀρθῆς σκέψεως. Διότι ὁ ταπεινωμένος καὶ ἐξουθενωμένος ἄνθρωπος δὲν εἶναι δυνατὸν νὰ εἶναι ματαιόδοξος, νὰ κυριεύεται ἀπὸ ὀργήν, νὰ φθονῇ τὸν συνάνθρωπόν του, νὰ ἔχῃ ἄλλα πάθη. Οὔτε εἶναι βεβαίως δυνατόν, ὅσον καὶ ἂν φιλονεικήσωμεν, νὰ σηκώσωμεν τὸ ἐξουθενωμένο χέρι μας. Ἂν ἐξουθενώσωμεν λοιπὸν καὶ τὴν ψυχήν μας ὅπως τὸ χέρι μας, δὲν θὰ τῆς εἶναι δυνατὸν νὰ δείξῃ ἔπαρσιν καὶ ἐγωισμόν, ἔστω καὶ ἂν τὴν ὠθοῦν πρὸς τὴν ἔπαρσιν χιλιάδες ἐγωιστικὰ πάθη. Διότι, ἀφοῦ ἐξορίζει ἀπὸ τὴν ψυχήν του ὅλα τὰ πάθη της ὅποιος εὑρίσκεται εἰς μεγάλην θλῖψιν διὰ βιοτικὰ ζητήματα, εἶναι βέβαιον ὅτι, ὅποιος λυπᾶται βαθύτατα διὰ τὰς ἁμαρτίας του, θὰ αἰσθανθῇ πολλὴν ψυχικὴν γαλήνην. Θὰ ἐρωτοῦσε κανείς· Καὶ ποῖος θὰ ἠμπορέσῃ νὰ καλλιεργήσῃ τόσην ταπείνωσιν εἰς τὴν ψυχήν του; Ἄκουσε τί εἶπεν ὁ Δαυίδ, ποὺ ἡ ἀκτινοβολία του ὀφείλεται κυρίως εἰς αὐτό, καὶ πρόσεξε τὴν ταπείνωσιν τῆς ψυχῆς του. Ὅταν, ἔπειτα ἀπὸ ἄπειρα κατορθώματα, ἐπρόκειτο νὰ χάσῃ καὶ τὴν πατρίδα καὶ τὴν οἰκογένειάν του καὶ τὴν ἰδίαν τὴν ζωήν του, εἶδεν, ἐνῷ εὑρίσκετο εἰς τὸ ἀποκορύφωμα τῶν συμφορῶν του, νὰ ἐκμεταλλεύεται τὴν δυστυχίαν του καὶ νὰ τὸν

αὐτὸν τὸν καιρὸν τῆς συμφορᾶς, στρατιώτην εὐτελῆ καὶ ἀπερ-ῥιμμένον ὁρῶν ἐπεμβαίνοντα αὐτοῦ τῷ καιρῷ καὶ λοιδορούμενον, οὐ μόνον οὐκ ἀντελοιδόρησεν, ἀλλὰ καὶ τῶν στρατηγῶν τινα βουλόμενον αὐτὸν ἀνελεῖν διεκώλυσεν, εἰπών· «Ἄφετε αὐτόν, ὅτι Κύριος ἐνετείλατο αὐτῷ». Καὶ πάλιν, τῶν ἱερέων ἀξιούντων μετ' αὐτοῦ τὴν κιβωτὸν συμπεριφέρειν, οὐκ ἐδέξατο· ἀλλὰ τί φησιν; «Ἐπὶ τοῦ ναοῦ καθίσω, κἂν ἀπαλλάξῃ με τῶν ἐν χερσὶ δεινῶν ὁ Θεός, ὄψομαι τὴν εὐπρέπειαν αὐτῆς· ἂν δὲ εἴπῃ μοι, Οὐ τεθέλη-κά σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ». Τὸ δὲ ἐπὶ τοῦ Σαοὺλ καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις γεγενημένον, ποίαν οὐκ ἐνδείκνυται φιλοσοφίας ὑπερβολήν; Καὶ γὰρ καὶ τὸν παλαιὸν ὑπερέβη νόμον, καὶ τῶν ἀποστολικῶν ἐγγὺς ἐγένετο προσταγμάτων. Διὰ τοῦτο πάντα ἔστεργε τὰ παρὰ τοῦ Δεσπότου, οὐ δικάζων τοῖς γινομένοις, ἀλλ' ἓν μόνον σπουδάζων, πανταχοῦ πείθεσθαι καὶ ἕπεσθαι τοῖς παρ' αὐτοῦ κειμένοις νόμοις. Καὶ ὁρῶν μετὰ τοσαῦτα αὐτοῦ κατορθώματα τὸν τύραννον, τὸν πατραλοίαν, τὸν ἀδελφοκτόνον, τὸν ὑβριστήν, τὸν μαινόμενον, ἀντ' αὐτοῦ τὴν αὐτοῦ ἔχοντα βασιλείαν, οὐδὲ οὕτως ἐσκανδαλίζετο· ἀλλ' «Ἂν τῷ Θεῷ ταῦτα δοκῇ, φησίν, ἐμὲ μὲν ἐλαύνεσθαι καὶ πλανᾶσθαι καὶ φεύγειν, ἐκεῖνον δὲ εἶναι ἐν τιμῇ, στέργω καὶ δέχομαι καὶ χάριν ἔχω τῶν μυρίων αὐτοῦ κακῶν». Οὐχ ὡς πολλοὶ τῶν ἀναισχύντων καὶ ἰταμῶν, οὐδὲ τὸ πολλοστὸν κατορθοῦντες τῶν ἐκείνῳ κατωρθωμένων, ἂν ἴδωσί τινας ἐν εὐημερίαις ὄντας, ἑαυτοὺς δὲ μικρὰν ὑπομείναντας ἀθυμίαν, μυρίαις τὰς ἑαυτῶν ψυχὰς ἀπολλύουσι βλασφημίαις. Ἀλλ' οὐχ ὁ Δαυὶδ τοιοῦτος, ἀλλὰ πᾶσαν ἐπεδείκνυτο ἐπιείκειαν. Διὸ καὶ ἔλεγεν ὁ Θεός· «Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου».

---

1. Β' Βασ. 16,11
2. Β' Βασ. 15,25 - 26
3. Βλ. Α' Βασιλειῶν, 26,7 ἑ. Ὁ Σαοὺλ κατεδίωκε μὲ στρατιωτικὴν δύναμιν τὸν Δαυΐδ, διὰ νὰ τὸν φονεύσῃ. Κάποτε ὁ Δαυὶδ εὗρε κατάκοπον τὸν Σαοὺλ νὰ κοιμᾶται ὕπνον βαθύν. Ἐνῷ εἶχεν εἰς τὰς χεῖρας του τὸν διώκτην του, ὄχι μόνον δὲν τὸν ἐφόνευσεν, ἀλλὰ οὔτε τὸν ὕπνον του ἠνώχλησεν.
4. Ἐννοεῖ τὸν Σαούλ. βλ. Α' Βασιλειῶν, 16,14 ἑ.

ὑβρίζῃ κάποιος ἀξιοκαταφρόνητος καὶ ἐλεεινὸς στρατιώτης, καὶ ὄχι μόνον δὲν τοῦ ἀνταπέδωσε τὰς ὕβρεις, ἀλλὰ ἠμπόδισε καὶ ἕνα στρατηγόν, ποὺ ἤθελε νὰ τὸν σκοτώσῃ, καὶ τοῦ εἶπεν· «Ἄφετε αὐτόν, ὅτι Κύριος ἐνετείλατο αὐτῷ»[1]. Ὅταν ἐπίσης τοῦ ἐπρότειναν οἱ ἱερεῖς νὰ περιφέρουν μαζὶ τὴν κιβωτὸν τῆς διαθήκης, δὲν ἐδέχθη, ἀλλὰ ἀπήντησεν· «Ἐπὶ τοῦ ναοῦ καθίσω, κἂν ἀπαλλάξῃ με τῶν ἐν χερσὶ δεινῶν ὁ Θεός, ὄψομαι τὴν εὐπρέπειαν αὐτῆς· ἂν δὲ εἴπῃ μοι, Οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ»[2]. Ἀλλὰ μήπως δὲν ἀποδεικνύῃ ἀπέραντην ὀρθοφροσύνην ἐκεῖνο, τὸ ὁποῖον τοῦ συνέβη ὄχι μίαν καὶ δύο, ἀλλὰ πολλὲς φορὲς ἐπὶ Σαούλ; Εἶναι γνωστὸν ὅτι συμπεριεφέρθη ἠθικώτερα ἀπὸ ὅσον ἀπαιτοῦσεν ὁ Μωσαϊκὸς νόμος καὶ σχεδὸν ὅπως ὁρίζει ἡ Καινὴ Διαθήκη [3]. Διὰ τοῦτο ὑπέμεινε καρτερικὰ ὅσα τοῦ ἔστειλεν ὁ Κύριος καὶ δὲν διεμαρτύρετο δι' ὅσα τοῦ συνέβαιναν, ἀλλὰ εἶχεν ὡς μοναδικὴν φροντίδα νὰ ὑπακούῃ καὶ νὰ ἐκτελῇ τὰς ἐντολάς του. Καὶ δὲν ἐσκέφθη νὰ ἐκδηλώσῃ οὔτε τὴν παραμικρὰν ἀντίδρασιν ἀκόμη καὶ ὅταν, μετὰ ἀπὸ τόσα κατορθώματά του, ἔβλεπε νὰ κατέχῃ τὴν βασιλείαν ἀντ' αὐτοῦ ὁ τύραννος[4], ὁ πατροκτόνος, ὁ ἀδελφοκτόνος, ὁ ἀναιδής, ὁ παράφρων, ἀλλὰ ἔλεγεν· «Ἂν εἶναι αὐτὸ τὸ θέλημα τοῦ Θεοῦ, νὰ καταδιώκωμαι, νὰ περιφέρωμαι ἐδῶ καὶ ἐκεῖ, νὰ ἐξορίζωμαι ἐγὼ καὶ ἐκεῖνος νὰ κάθεται εἰς τὸν θρόνον, τὸ ὑπομένω χωρὶς καμμίαν ἀντίρρησιν καὶ τὸν εὐγνωμονῶ διὰ τοὺς κατατρεγμούς του». Δὲν ἐφέρθη ὅπως πολλοὶ θρασεῖς καὶ ἀναιδεῖς, ποὺ δὲν ἐπρόσφεραν οὔτε μικρὸν τμῆμα τῶν ὑπηρεσιῶν ποὺ ἐπρόσφερεν ἐκεῖνος, οἱ ὁποῖοι καταστρέφουν τὰς ψυχάς των μὲ τὰς ἀπείρους βλασφημίας των, ἂν ἰδοῦν ὅτι κάποιοι ἄλλοι κατέχουν τιμητικὰς θέσεις, ἐνῷ οἱ ἴδιοι ἀντιμετωπίζουν κάποιαν δυσαρέσκειαν. Ὁ Δαυὶδ δὲν ἐφέρθη ὅπως ἐκεῖνοι, ἀλλὰ ἀντεμετώπιζε μὲ καλωσύνην τὰ πάντα. Διὰ τοῦτο εἶπεν ὁ Θεός· «Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου»[5].

---

5. Ψαλμ. 88,21

Τοιαύτην καὶ ἡμεῖς κτησώμεθα ψυχήν, καὶ ὅπερ ἂν πάθωμεν, οἴσομεν ῥᾳδίως, καὶ πρὸ τῆς βασιλείας ἐντεῦθεν καρπωσόμεθα τῆς ταπεινοφροσύνης τὴν πρόσοδον. «Μάθετε» γάρ, φησίν, «ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν».

Ἵν' οὖν ἀπολαύσωμεν ἀναπαύσεως καὶ ἐνταῦθα καὶ ἐκεῖ, μετὰ πολλῆς τῆς σπουδῆς τὴν πάντων μητέρα τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην λέγω, ταῖς ἑαυτῶν φυτεύσωμεν ψυχαῖς. Οὕτω γὰρ καὶ τὸ τοῦ βίου τούτου πέλαγος χωρὶς κυμάτων δυνησόμεθα διαβῆναι, καὶ εἰς τὸν γαληνὸν ἐκεῖνον καταπλεῦσαι λιμένα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ματθ. 11,29

Ἂς ἀποκτήσωμεν καὶ ἐμεῖς τέτοιαν ψυχὴν καὶ τότε θὰ ὑποφέρωμεν μὲ ἄνεσιν ὅ,τι καὶ ἂν πάθωμεν καὶ θὰ ἀπολαύσωμεν εἰς τὴν παροῦσαν ζωήν, ἕνεκα τῆς διαγωγῆς μας αὐτῆς τὴν ἀμοιβήν μας διὰ τὴν ταπεινοφροσύνην μας. Διότι λέγει ὁ Κύριος· «Μάθετε ἐπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν»[1].

Ἂς καλλιεργήσωμεν λοιπὸν μέσα εἰς τὰς ψυχάς μας μὲ πολλὴν ἐπιμέλειαν τὴν μητέρα ὅλων τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην ἐννοῶ, διὰ νὰ ζήσωμεν εὐτυχεῖς καὶ ἐδῶ καὶ εἰς τὸν ἄλλον κόσμον. Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ περάσωμεν χωρὶς τρικυμίαν τὸ πέλαγος τῆς ζωῆς καὶ νὰ φθάσωμεν εἰς τὸ ἥσυχον ἐκεῖνο λιμάνι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου ἡ δόξα καὶ ἡ δύναμις εἶναι αἰωνία. Ἀμήν.

ΟΜΙΛΙΑ Δ'
Ματθ. 1, 17 - 21

«Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ 'Αβραὰμ ἕως Δαυίδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες».

1. Εἰς τρεῖς διεῖλε μερίδας τὰς γενεὰς ἁπάσας, δεικνὺς ὅτι οὐδὲ τῶν πολιτειῶν μεταβληθεισῶν ἐγένοντο βελτίους, ἀλλὰ καὶ ἀριστοκρατούμενοι, καὶ βασιλευόμενοι, καὶ ὀλιγαρχούμενοι, ἐν τοῖς αὐτοῖς ἦσαν κακοῖς· καὶ οὔτε δημαγωγῶν, οὔτε ἱερέων, οὔτε βασιλέων αὐτοὺς διεπόντων, ἔσχον τι πλέον εἰς ἀρετῆς λόγον.

Τίνος δὲ ἕνεκεν ἐν μὲν τῇ μέσῃ μερίδι τρεῖς παρέδραμε βασιλεῖς, ἐν δὲ τῇ ἐσχάτῃ δώδεκα θεὶς γενεάς, δεκατέσσαρας αὐτὰς εἶναι ἔφησε;

Τὸ μὲν πρότερον ὑμῖν ἀφίημι ζητεῖν· οὐδὲ γὰρ πάντα ἐπιλύειν ὑμῖν ἀναγκαῖον, ἵνα μὴ ἀναπέσητε· τὸ δὲ δεύτερον ἡμεῖς ἐροῦμεν. 'Εμοὶ γὰρ ἐνταῦθα δοκεῖ καὶ τὸν χρόνον τῆς αἰχμαλωσίας ἐν τάξει γενεᾶς τιθέναι, καὶ αὐτὸν τὸν Χριστόν πανταχόθεν συνάπτων ἡμῖν αὐτόν. 'Αναμιμνήσκει δὲ καὶ τῆς αἰχμαλωσίας ἐκείνης καλῶς, δηλῶν ὅτι οὐδὲ ἐκεῖ κατελθόντες ἐγένοντο σωφρονέστεροι· ὥστε πάντοθεν ἀναγκαίαν φανῆναι τὴν αὐτοῦ παρουσίαν.

---

1. Ματθ. 1,17

2. Τὴν ἀρχὴν αὐτὴν ἐφαρμόζει εἰς πολλὰς περιπτώσεις ὁ Χρυσόστομος. 'Αλλοῦ λέγει· «'Εθίζοντες ἡμᾶς μὴ διὰ παντὸς μεμασημένην δέχεσθαι τὴν τροφήν, ἀλλὰ πολλαχοῦ καὶ αὐτοὺς ἐπάγειν τὴν λύσιν τοῖς νοήμασιν».

3. Ναβουχοδονόσορ ὁ Β', ὁ ὁποῖος ἐβασίλευσεν ἐπὶ 43 ἔτη (604-

ΟΜΙΛΙΑ Δ'
Ματθ. 1, 17-21

«Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυΐδ, γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες»[1].

1. Εἰς τρεῖς ὁμάδας διέκρινεν ὁ Εὐαγγελιστὴς ὅλας τὰς γενεάς, διότι ἤθελε νὰ δείξῃ ὅτι δὲν ἐβελτιώθησαν οὔτε μὲ τὰς ἀλλαγὰς τῆς πολιτειακῆς των καταστάσεως, ἀλλὰ διετήρησαν τὰ ἴδια ἐλαττώματα καὶ μὲ τὸ ἀριστοκρατικὸν πολίτευμα καὶ μὲ τὴν βασιλείαν καὶ μὲ τὸ ὀλιγαρχικόν. Καὶ ὅτι δὲν ἔγιναν περισσότερον ἐνάρετοι οὔτε ὑπὸ τὴν ἡγεσίαν μεγάλων ἀρχηγῶν οὔτε ἱερέων οὔτε βασιλέων.

Ἀλλὰ διατί παρέλειψε τρεῖς βασιλεῖς εἰς τὴν μεσαίαν ὁμάδα καὶ διατί εἶπεν ὅτι εἶναι δεκατέσσαρες αἱ γενεαὶ τῆς τελευταίας ἀφοῦ ἀναφέρει δώδεκα;

Τὸ πρῶτον ζήτημα ἀφήνω νὰ τὸ ἐρευνήσετε σεῖς. Διότι δὲν εἶναι σκόπιμον νὰ σᾶς ἑρμηνεύωνται τὰ πάντα διὰ νὰ μὴ γίνετε ἀδιάφοροι περὶ τὴν ἔρευναν[2]. Θὰ σᾶς ὁμιλήσω λοιπὸν διὰ τὸ δεύτερον. Νομίζω ὅτι εἰς τὸ σημεῖον τοῦτο ὑπολογίζει ὡς μίαν γενεὰν τὸν χρόνον τῆς αἰχμαλωσίας[3] καὶ ὡς ἄλλην τὸν ἴδιον τὸν Χριστὸν καὶ ἔτσι τὸν συνδέει στενότατα μὲ ἡμᾶς τοὺς ἀνθρώπους. Ὀρθῶς δὲ ὑπενθυμίζει καὶ τὴν αἰχμαλωσίαν ἐκείνην καὶ ὑποδηλώνει ὅτι δὲν ἐσυνετίσθησαν ἀκόμη καὶ τότε ποὺ ἐξέπεσαν εἰς τὴν κατάστασιν ἐκείνην. Ἑπομένως ὅλα ἀποδεικνύουν ὅτι ἦτο ἀνάγκη νὰ ἔλθῃ εἰς τὸν κόσμον ὁ Χριστός.

---

561), ἐξεστράτευσε κατὰ τῆς Ἱερουσαλήμ, ἐκυρίευσεν αὐτήν, τὴν κατέσκαψε καὶ ἐξηνδραπόδισε τοὺς κατοίκους.

Τί οὖν ὁ Μᾶρκος, φησίν, οὐ ποιεῖ τοῦτο, οὐδὲ γενεαλογεῖ τὸν Χριστόν, ἀλλ' ἐπιτόμως ἅπαντα φθέγγεται;

Ἐμοὶ δοκεῖ ὁ μὲν Ματθαῖος πρὸ τῶν ἄλλων ἦρχθαι τοῦ πράγματος· διὸ καὶ τὴν γενεαλογίαν τίθησι μετὰ ἀκριβείας καὶ πρὸς τὰ κατεπείγοντα ἵσταται· ὁ δὲ Μᾶρκος μετ' ἐκεῖνον, διὸ ἐπὶ σύντομον ἦλθεν ὁδόν, ἅτε τοῖς ἤδη λεχθεῖσι καὶ δήλοις ἔθνος, οἷς καὶ μᾶλλον προσεῖχεν ὁ τῶν Ἰουδαίων δῆμος. Διόπερ ἀναγκαῖος οὗτος τῶν προοιμίων ὁ τρόπος ἦν παρ' αὐτοῖς. Εἰ δέ ποτε καὶ ἐγένετο σημεῖα, τῶν βαρβάρων ἕνεκεν ἐγένετο, ὥστε πολλοὺς γενέσθαι τοὺς προσηλύτους, καὶ εἰς ἔνδειξιν τῆς τοῦ Θεοῦ δυνάμεως, εἴ ποτε αὐτοὺς οἱ πολέμιοι λαβόντες, ὡς τῶν παρ' αὐτοῖς θεῶν ἰσχυρῶν ὄντων, ἐνόμισαν κεκρατηκέναι· καθάπερ ἐν Αἰγύπτῳ, ὅθεν καὶ πολὺς ὁ σύμμικτος ἀνέβη· καὶ μετὰ ταῦτα ἐν Βαβυλῶνι, τὰ κατὰ τὴν κάμινον καὶ τὰ ὀνείρατα. Ἐγένετο δὲ καὶ ἡνίκα καθ' ἑαυτοὺς ἦσαν, σημεῖα ἐν τῇ ἐρήμῳ, καθάπερ καὶ ἐφ' ἡμῶν· καὶ γὰρ καὶ ἐφ' ἡμῶν, ἡνίκα τῆς πλάνης ἐξῄειμεν, πολλὰ θαύματα ἐδείχθη· μετὰ δὲ ταῦτα ἔστη, πανταχοῦ τῆς εὐσεβείας φυτευθείσης. Εἰ δὲ καὶ μετὰ ταῦτα γέγονεν, ὀλίγα καὶ σποράδην· οἷον, ἡνίκα ὁ ἥλιος ἔστη τοῦ γεγενημένοις ἐπιχειρεῖν.

Πῶς οὖν ὁ Λουκᾶς καὶ γενεαλογεῖ καὶ διὰ πλειόνων τοῦτο ποιεῖ; Ἅτε τοῦ Ματθαίου προοδοποιήσαντος, βούλεταί τι τῶν εἰρημένων διδάξαι πλέον ἡμᾶς. Καὶ ἕκαστος δὲ ὁμοίως τὸν διδάσκαλον ἐμιμήσατο· ὁ μὲν τὸν Παῦλον, ὑπὲρ τοὺς ποταμοὺς ῥέοντα· ὁ δὲ τὸν Πέτρον, βραχυλογίας ἐπιμελούμενον.

Καὶ τί δήποτε ἐρχόμενος ὁ Ματθαῖος οὐκ εἶπεν, ὥσπερ ὁ προφήτης· «Ὅρασις ἣν εἶδον»· καί, «Ὁ λόγος ὁ γενόμενος πρός με»;

Ἐρωτᾶται· Διατί λοιπὸν δὲν κάμνει τὸ ἴδιο καὶ ὁ Μᾶρκος καὶ δὲν ἀναφέρει τὴν γενεαλογίαν τοῦ Χριστοῦ, ἀλλὰ ἐκθέτει μὲ συντομίαν τὰ πάντα;

Νομίζω ὅτι ὁ Ματθαῖος ἤρχισε τὸ ἔργον του πρὶν ἀπὸ τοὺς ἄλλους. Διὰ τοῦτο καὶ τὴν γενεαλογίαν ἀναφέρει μὲ ἀκρίβειαν καὶ τὰ σημαντικώτερα ἐκθέτει λεπτομερέστερον. Ὁ Μᾶρκος ἔγραψε μετὰ ἀπὸ ἐκεῖνον, διὰ τοῦτο ἠκολούθησε συντομωτέραν ὁδόν, διότι ἦσαν πολλὰ ὅσα εἶχαν γραφῆ καὶ εἶχαν γίνει μέχρι τότε. Εἰς αὐτὰ ἐπὶ πλέον ἔδιδε μεγαλυτέραν σημασίαν ὁ Ἰουδαϊκὸς λαός. Διὰ τοῦτο ἦτο ἑπόμενον νὰ ἔχωμεν διαφορετικὸν προοίμιον εἰς τὸν καθένα. Καὶ ἂν ἔγιναν θαύματα εἰς διαφόρους ἐποχὰς ἔγιναν διὰ τοὺς βαρβάρους, διὰ νὰ πιστεύσουν πολλοὶ καὶ διὰ νὰ φανερωθῇ ἡ δύναμις τοῦ Θεοῦ, διότι, ὅποτε τοὺς ὑπέταξαν οἱ ἐχθροί, ἐνόμισαν ὅτι αὐτὸ συνέβη, διότι οἱ θεοὶ ἐκείνων ἦσαν ἰσχυροί. Αὐτὸ ἀκριβῶς συνέβη εἰς τὴν Αἴγυπτον καὶ δι αὐτὸ ἐδημιουργήθη ἐκεῖ μεγάλη σύγχυσις. Καὶ ἀργότερα εἰς τὴν Βαβυλῶνα, ὅπου τὰ σχετικὰ μὲ τὴν κάμινον καὶ τὰ ὄνειρα. Ἔγιναν ἀκόμη θαύματα καὶ ὅταν ἦσαν μόνοι των εἰς τὴν ἔρημον, ὅπως ἔγιναν καὶ μετὰ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου. Διότι καὶ εἰς τὴν ἐποχὴν ἐκείνην ἔγιναν πολλὰ θαύματα, ὅταν ἀπεμακρυνόμεθα ἀπὸ τὴν εἰδωλολατρίαν. Ἔπειτα ἐσταμάτησαν, ἐπειδὴ ἔπεσε παντοῦ ὁ σπόρος τῆς εὐσεβείας. Καὶ ἂν ἔγιναν, ἔγιναν ὀλίγα καὶ σποραδικῶς, ὅπως π.χ. ὅταν ἐσταμάτησεν ὁ ἥλιος νὰ φωτίζῃ ἕνεκα τρομερῶν γεγονότων.

Διατί ὅμως καὶ τὴν γενεαλογίαν ἀναφέρει καὶ διεξοδικώτερον λέγει περὶ αὐτῆς ὁ Λουκᾶς; Ἐπειδὴ ἤνοιξε τὸν δρόμον ὁ Ματθαῖος, ἔθεσεν ὡς σκοπόν του ὁ Λουκᾶς νὰ μᾶς διδάξῃ κάπως περισσότερα. Ἐκτὸς ἀπὸ αὐτὸ καθένας ἐμιμήθη τὸν διδάσκαλόν του. Ὁ πρῶτος τὸν Παῦλον, τοῦ ὁποίου ὁ λόγος ρέει πλουσιώτερος ἀπὸ τοὺς ποταμούς. Ὁ δεύτερος τὸν Πέτρον, ὁ ὁποῖος ἐπεδίωκεν ἐπιμελῶς βραχυλογίαν.

Ἀλλὰ διατί δὲν εἶπεν ὁ Ματθαῖος εἰς τὴν ἀρχὴν τοῦ Εὐαγγελίου του ὅ,τι καὶ ὁ προφήτης· «Ὅρασις, ἣν εἶδον», ἢ «ὁ

Ὅτι πρὸς εὐγνώμονας ἔγραφε καὶ σφόδρα αὐτῷ προσέχοντας. Καὶ γὰρ καὶ τὰ γενόμενα θαύματα ἐβόα καὶ οἱ δεχόμενοι σφόδρα ἦσαν πιστοί. Ἐπὶ δὲ τῶν προφητῶν οὔτε θαύματα ἦν τοσαῦτα αὐτοὺς ἀνακηρύττοντα, καὶ πολὺ τὸ τῶν ψευδοπροφητῶν ἐπεκώμαζεν δρόμου, καὶ πάλιν ἀνεχαίτησεν εἰς τὰ ὀπίσω.

Ἴδοι ἂν τις τοῦτο καὶ ἐφ' ἡμῶν γεγενημένον. Καὶ γὰρ καὶ ἐν τῇ γενεᾷ τῇ ἡμετέρᾳ, ἐπὶ τοῦ πάντας ἀσεβείᾳ νικήσαντος Ἰουλιανοῦ, πολλὰ καὶ παράδοξα συνέβη. Καὶ γὰρ τῶν Ἰουδαίων τὸν ἐν Ἱεροσολύμοις ναὸν ἀναστῆσαι ἐπιχειρούντων, πῦρ τῶν θεμελίων ἐκπηδῆσαν ἅπαντας διεκώλυσε· καὶ ὅτε ἐπὶ τὰ σκεύη τὰ ἱερὰ τὴν αὐτοῦ παροινίαν ἐπεδείξατο ὅ τε ταμίας, ὅ τε θεῖος καὶ ὁμώνυμος ἐκείνου, ὁ μὲν σκοληκόβρωτος γενόμενος ἐξέψυξεν ὁ δὲ ἐλάκισε μέσος· καὶ τὸ τὰς πηγὰς δὲ ἐπιλιπεῖν, θυσιῶν ἐκεῖ γενομένων, καὶ μετ' αὐτοῦ τοῦ βασιλέως τὸν λιμὸν εἰς τὰς πόλεις συμπεσεῖν, σημεῖον μέγιστον ἦν.

2. Ἔθος γὰρ τοιαῦτα ποιεῖν τῷ Θεῷ· ὅταν αὐξηθῇ τὰ κακὰ μὲν καὶ τοὺς μὲν αὐτοῦ κακουμένους ἴδῃ τοὺς δὲ ἐναντίους σφόδρα τῇ κατ' αὐτῶν τυραννίδι μεθύοντας, τότε τὴν οἰκείαν ἐπιδείκνυσθαι δυναστείαν· ὃ καὶ ἐν Περσίδι πεποίηκεν ἐπὶ τῶν Ἰουδαίων.

Ὅτι μὲν οὖν οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ποιῶν, εἰς τρεῖς μοίρας τοὺς προγόνους διένειμε τοῦ Χριστοῦ, δῆλον ἐκ τῶν εἰρημένων. Σκόπει δὲ καὶ πόθεν ἄρχεται καὶ ποῦ τελευτᾷ. Ἀπὸ τοῦ Ἀβραὰμ εἰς τὸν Δαυίδ· ἀπὸ τοῦ Δαυὶδ εἰς τὴν μετοικεσίαν Βα-

---

1. Ὁ Ἰουλιανὸς ἐπροσπάθησε πράγματι νὰ ἀνοικοδομήσῃ τὸν ναὸν τοῦ Σολομῶντος, ἀλλὰ δὲν τὸ κατώρθωσεν ἕνεκα ἐπισυμβάντος ἰσχυροῦ σεισμοῦ καὶ πυρκαϊᾶς.

2. Κῦρος ὁ Α' ἐνίκησε τοὺς Βαβυλωνίους, κατέλαβε τὴν Βαβυλῶνα τὸ 538 καὶ ἐπέτρεψεν εἰς τοὺς Ἰουδαίους νὰ ἐπανέλθουν εἰς τὴν Ἱερουσαλήμ.

λόγος ὁ γενόμενος πρός με»; Διότι ἀπευθύνετο πρὸς εὐεργετημένους καὶ πολὺ ἀφωσιωμένους εἰς αὐτόν. Διότι καὶ τὰ θαύματα, ποὺ εἶχαν γίνει, ἐβοοῦσαν, καὶ οἱ μελετῶντες τὸ Εὐαγγέλιόν του εἶχαν βαθεῖαν πίστιν. Κατὰ τὴν ἐποχὴν τῶν προφητῶν ἀντιθέτως δὲν ἐγίνοντο τόσον σπουδαῖα θαύματα, ὥστε νὰ συμβάλλουν εἰς τὴν ἀναγνώρισιν αὐτῶν, καὶ οἱ ψευδοπροφῆται ἀνέπτυσσαν μεγάλην δρᾶσιν καὶ ἐπανέφεραν τὸν λαὸν εἰς τὴν παλαιοτέραν κατάστασιν.

Εἶναι δὲ δυνατὸν νὰ διαπιστώσῃ κανεὶς ὅτι ἔγιναν θαύματα καὶ εἰς τὴν ἐποχήν μας. Καὶ εἰς τὰς ἡμέρας μας πράγματι, ἐπὶ τῆς βασιλείας τοῦ περισσότερον ἀπὸ ὅλους ἀσεβοῦς Ἰουλιανοῦ, συνέβησαν πολλὰ καὶ παράξενα. Ἐνῷ π.χ. ἐπιχειροῦσαν οἱ Ἰουδαῖοι νὰ ἀνοικοδομήσουν τὸν ναὸν τῆς Ἱερουσαλήμ, ἐξεπήδησε φωτιὰ ἀπὸ τὰ θεμέλια καὶ ἀπέτρεψε τοὺς πάντας ἀπὸ τὴν συνέχειαν τοῦ ἔργου. Καὶ ὅταν ὁ ταμίας καὶ θεῖος καὶ συνονόματος τοῦ Ἰουλιανοῦ ἔδειξεν πρωτοφανῆ ἀσέβειαν πρὸς τὰ ἱερὰ σκεύη, αὐτὸς μὲν ἐγέμισε σκουλήκια καὶ ἔπεσε νεκρός, ὁ δὲ Ἰουλιανὸς ἔφυγεν ἔντρομος καὶ χωρὶς νὰ τελειώσῃ τὸ ἔργον του [1]. Πολὺ μεγάλον θαῦμα ἦτο ἐπίσης καὶ τὸ ὅτι ἐστείρευσαν αἱ πηγαί, ὅταν ἔγιναν κοντὰ εἰς αὐτὰς θυσίαι, καὶ τὸ ὅτι ἐνέσκηπτε λιμὸς εἰς ὅσας πόλεις ἐπήγαινεν ὁ βασιλεύς.

2. Ὁ Θεὸς λοιπὸν ἐνεργεῖ συνήθως κατὰ τὸν ἑξῆς τρόπον. Φανερώνει εἰς τοὺς ἀνθρώπους τὴν δύναμίν του, ὅταν περισσεύσουν κάπου τὰ κακὰ καὶ ἰδῇ ὅτι εἰς τὸν τόπον ἐκεῖνον οἱ ἄρχοντες κακουργοῦν καὶ οἱ ἀρχόμενοι παραλογίζονται φοβερὰ ἕνεκα τῆς καταπιέσεώς των. Ἔτσι ἐνήργησε διὰ τοὺς Ἰουδαίους μετὰ τὴν κατάληψιν τῆς Βαβυλῶνος ὑπὸ τῶν Περσῶν [2].

Ἔγινε λοιπὸν φανερὸν ἀπὸ τὰ παραπάνω ὅτι δὲν ἐνήργησεν ἀσκόπως καὶ τυχαίως ὁ Ματθαῖος, ὅταν διέκρινεν εἰς τρεῖς ὁμάδας τοὺς προγόνους τοῦ Χριστοῦ. Καὶ πρόσεξε ἀπὸ ποῦ ἀρχίζει καὶ ποῦ τελειώνει. Ἀπὸ τὸν Ἀβραὰμ εἰς τὸν Δαυίδ. Ἀπὸ τὸν Δαυὶδ εἰς τὴν μετοικεσίαν Βαβυλῶνος. Ἀπὸ τὴν μετοικεσίαν εἰς τὸν ἴδιον τὸν Χριστόν. Καὶ εἰς τὴν ἀρχὴν τοῦ Εὐ-

βυλῶνος· ἀπὸ ταύτης εἰς αὐτὸν τὸν Χριστόν. Καὶ γὰρ καὶ ἀρχόμενος τοὺς δύο τέθεικεν ἐφεξῆς, τόν τε Δαυὶδ καὶ τὸν Ἀβραάμ, ἀνακεφαλαιούμενος ἀμφοτέρων ἐμνημόνευσεν ὁμοίως. Καὶ γάρ, ὅπερ ἔφθην εἰπών, πρὸς αὐτοὺς ἦσαν αἱ ἐπαγγελίαι γεγενημέναι. Τί δήποτε δέ, ὥσπερ τῆς μετοικεσίας Βαβυλῶνος ἐμνήσθη, οὐκ ἐμνήσθη καὶ τῆς καθόδου τῆς εἰς Αἴγυπτον; Ὅτι ἐκείνους μὲν οὐκέτι ἐδεδοίκεσαν, τούτους δὲ ἔτρεμον ἔτι· καὶ τὸ μὲν ἀρχαῖον ἦν, τὸ δὲ νεαρὸν καὶ ἄρτι γεγενημένον· κἀκεῖ μὲν οὐ δι' ἁμαρτήματα κατηνέχθησαν, ἐνταῦθα δὲ διὰ παρανομίας ἀπηνέχθησαν. Εἰ δέ τις καὶ τῶν ὀνομάτων αὐτῶν τὰς ἑρμηνείας μεταβαλεῖν ἐπιχειρήσειε, πολλὴν εὑρήσει καὶ ἐντεῦθεν τὴν θεωρίαν οὖσαν, καὶ μεγάλα πρὸς τὴν Καινὴν συντελοῦσαν Διαθήκην· οἷον, ἀπὸ τοῦ Ἀβραάμ, ἀπὸ τοῦ Ἰακώβ, ἀπὸ τοῦ Σολομῶνος, ἀπὸ τοῦ Ζοροβάβελ· οὐ γὰρ ἁπλῶς ταῦτα αὐτοῖς ἐπετίθετο τὰ ὀνόματα. Ἀλλ' ἵνα μὴ δόξωμεν πολὺ μῆκος ποιοῦντες ἐνοχλεῖν, ταῦτα παρέντες ἐπὶ τὰ κατεπείγοντα ἴωμεν.

Εἰπὼν τοίνυν τοὺς προγόνους ἅπαντας καὶ τελευτήσας εἰς τὸν Ἰωσήφ, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν· «Ἰωσὴφ τὸν ἄνδρα Μαρίας»· δεικνὺς ὅτι δι' ἐκείνην καὶ τοῦτον ἐγενεαλόγησεν. Εἶτα ἵνα μὴ ἀκούσας, «Ἄνδρα Μαρίας», τῷ κοινῷ νομίσῃς τετέχθαι τῆς φύσεως νόμῳ, σκόπει πῶς αὐτὸ διορθοῦται τῇ ἐπαγωγῇ. Ἤκουσας, φησίν, ἄνδρα, ἤκουσας μητέρα, ἤκουσας ὄνομα τῷ παιδίῳ τεθέν· οὐκοῦν ἄκουε καὶ τὸν τρόπον τῆς γεννήσεως. «Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν». Ποίαν μοι γέννησιν λέγεις; Εἰπέ μοι· καίτοιγε τοὺς προγόνους εἶπας. Ἀλλὰ βούλομαι καὶ τὸν τρόπον τῆς γεννήσεως εἰπεῖν.

Εἶδες πῶς διανέστησε τὸν ἀκροατήν; Ὡς γὰρ μέλλων τι καινότερον ἐρεῖν, ἐπαγγέλλεται καὶ τὸν τρόπον λέγειν. Καὶ σκόπει τῶν εἰρημένων ἀκολουθίαν ἀρίστην. Οὐδὲ γὰρ εὐθέως ἐπὶ

αγγελίου ἀναφέρει καὶ τοὺς δύο μαζί, τὸν Δαυὶδ καὶ τὸν 'Αβραάμ, καὶ εἰς τὴν ἀνακεφαλαίωσιν ἐπίσης τοὺς ἀναφέρει καὶ τοὺς δύο. Διότι, ὅπως εἶπα ἄλλοτε, εἰς αὐτοὺς εἶχαν δοθῆ αἱ ὑποσχέσεις. Διατί ὅμως δὲν ἀνέφερε τὴν κάθοδον τῶν 'Ιουδαίων εἰς τὴν Αἴγυπτον, ὅπως ἀναφέρει τὴν μετοικεσίαν των εἰς τὴν Βαβυλῶνα; Διότι οἱ 'Ιουδαῖοι δὲν ἐφοβοῦντο πλέον τοὺς Αἰγυπτίους, ἔτρεμαν ὅμως ἀκόμη τοὺς Βαβυλωνίους. Καὶ διότι ἡ κάθοδος εἰς τὴν Αἴγυπτον ἦτο γεγονὸς παλαιόν, ἐνῷ ἡ μετοικεσία ἦτο νέον καὶ εἶχε γίνει προσφάτως. Καὶ διότι εἰς τὴν Αἴγυπτον δὲν τοὺς ὡδήγησαν αἱ ἁμαρτίαι των, ἐνῷ εἰς τὴν Βαβυλῶνα τοὺς ἔσυρεν ἡ ἀσέβειά των. Ἂν ἐπιχειρούσαμεν νὰ διερευνήσωμεν καὶ τὰ ὀνόματα, ὅπως π.χ. ἀπὸ τὸν 'Αβραάμ, ἀπὸ τὸν 'Ιακώβ, ἀπὸ τὸν Σολομῶντα, ἀπὸ τὸν Ζοροβάβελ, θὰ ὡδηγούμεθα εἰς πολλὰ συμπεράσματα μὲ μεγάλην σημασίαν διὰ τὴν Καινὴν Διαθήκην. Διότι δὲν τοὺς ἐδόθησαν τυχαίως αὐτὰ τὰ ὀνόματα. 'Αλλὰ διὰ νὰ μὴ γίνω ἐνοχλητικὸς ἕνεκα τῆς μεγάλης ἐκτάσεως τῆς ὁμιλίας μου, θὰ ἀφήσω αὐτὰ καὶ θὰ προχωρήσω εἰς τὰ σημαντικώτατα.

'Αφοῦ ἀνέφερε λοιπὸν ὅλους τοὺς προγόνους καὶ ἐτελείωσεν εἰς τὸν 'Ιωσήφ, δὲν ἠρκέσθη εἰς τὸ ὄνομά του, ἀλλὰ προσέθεσεν· «'Ιωσὴφ τὸν ἄνδρα Μαρίας», διότι ἤθελε νὰ δείξῃ ὅτι τὸν περιέλαβεν εἰς τὴν γενεαλογίαν ἕνεκα τῆς Μαρίας. Ἔπειτα, διὰ νὰ μὴ νομίσῃς, ὅταν ἀκούσῃς τὸν «Ἄνδρα Μαρίας», ὅτι ἡ γέννησις τοῦ Χριστοῦ ἠκολούθησε τὸν φυσικὸν δρόμον, πρόσεξε πῶς συμπληρώνει ἀμέσως κατόπιν. Σοῦ ὡμίλησα, λέγει, διὰ ἄνδρα, σοῦ ὡμίλησα διὰ μητέρα, σοῦ ὡμίλησα διὰ τὸ ὄνομα ποὺ ἐδόθη εἰς τὸ παιδί. Ἄκουσε λοιπὸν καὶ τὸν τρόπον τῆς γεννήσεως· «Τοῦ δὲ 'Ιησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν». Περὶ ποίας γεννήσεως μοῦ ὁμιλεῖς; Εἰπέ μου. 'Ανέφερες βεβαίως τοὺς προγόνους. Θέλω ὅμως νὰ μοῦ εἰπῇς καὶ τὸν τρόπον τῆς γεννήσεως.

Εἶδες πῶς ἐκέντρισε τὴν σκέψιν καὶ τὸ ἐνδιαφέρον τοῦ ἀκροατοῦ; 'Επειδὴ πρόκειται νὰ εἰπῇ κάτι τὸ πρωτοφανές, ὑπόσχεται νὰ ἐκθέσῃ καὶ τὸν τρόπον. Καὶ πρόσεξε τὴν ἀρί-

τὴν γέννησιν ἦλθεν, ἀλλ' ἀναμιμνήσκει πρῶτον ἡμᾶς, πόστος ἦν ἀπὸ τοῦ 'Αβραάμ, πόστος ἀπὸ τοῦ Δαυίδ, ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος, καὶ τὸν ἀκριβῆ διὰ τούτων ἀκροατὴν εἰς ἐξέτασιν ἐμβάλλει τῶν χρόνων, δεικνὺς ὅτι οὗτός ἐστιν ἐκεῖνος ὁ Χριστὸς ὁ διὰ τῶν προφητῶν κηρυχθείς. Ὅταν γὰρ ἀριθμήσῃς τὰς γενεὰς καὶ μάθῃς ἀπὸ τοῦ χρόνου ὅτι οὗτος ἐκεῖνός ἐστιν, εὐκόλως δέξῃ καὶ τὸ θαῦμα τὸ περὶ τὴν γέννησιν συμβάν. 'Επειδὴ γὰρ ἔμελλε μέγα τι φθέγγεσθαι, ὅτι ἐκ Παρθένου ἐτέχθη, πρὶν ἢ μὲν ἀριθμῆσαι τὸν χρόνον, συσκιάζει τὸν εἰρημένον, «Ἄνδρα Μαρίας», εἰπών, μᾶλλον δὲ καὶ συντέμνει τὴν διήγησιν αὐτῆς τῆς γεννήσεως· ἀριθμεῖ δὲ καὶ τὰ ἔτη λοιπόν, ἀναμιμνήσκων τὸν ἀκροατήν, ὅτι οὗτος ἐκεῖνός ἐστιν, ὃν ὁ πατριάρχης 'Ιακώβ, ἐπιλιπόντων λοιπὸν τῶν 'Ιουδαϊκῶν ἀρχόντων, παρέσεσθαι ἔφησεν· ὃν ὁ προφήτης Δανιὴλ μετὰ τὰς ἑβδομάδας τὰς πολλὰς ἐκείνας ἥξειν προανεφώνησε. Κἂν ἐθελήσῃ τις τὰ ἔτη ταῦτα τὰ ἐν ἑβδομάδων ἀριθμῷ παρὰ τοῦ ἀγγέλου εἰρημένα τῷ Δανιὴλ ἀπὸ τῆς οἰκοδομῆς τῆς πόλεως ἀριθμῶν καταβῆναι εἰς τὴν αὐτοῦ γέννησιν, ὄψεται ταῦτα ἐκείνοις συμφωνοῦντα. Πῶς οὖν ἐγεννήθη, εἰπέ; «Μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας». Οὐκ εἶπε, Παρθένου, ἀλλ' ἁπλῶς, «Μητρός», ὥστε εὐπαράδεκτον γενέσθαι τὸν λόγον. Διὸ πρότερον παρασκευάσας προσδοκᾶν τὸν ἀκροατὴν ἀκούσεσθαί τε τῶν συνήθων, καὶ κατασχὼν τούτῳ, τότε ἐκπλήττει τῇ τοῦ παραδόξου πράγματος ἐπαγωγῇ, λέγων, ὅτι «Πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου». Οὐκ εἶπε· Πρὶν ἢ ἀχθῆναι αὐτὴν εἰς τὴν οἰκίαν τοῦ νυμφίου· καὶ γὰρ ἔνδον ἦν. Ἔθος γὰρ τοῖς παλαιοῖς ὡς τὰ πολλὰ ἐν οἰκίᾳ τὰς μεμνηστευμένας ἔχειν, ὅπου γε καὶ νῦν τοῦτο γινόμενον ἴδοι τις ἄν· καὶ οἱ γαμβροὶ δὲ τοῦ Λὼτ ἔνδον

---

1. Γεν. 49,10.
2. Δαν. 9,25 - 27

στην σύνθεσιν τοῦ λόγου. Δὲν ὡμίλησεν ἀμέσως περὶ τῆς γεννήσεως, ἀλλὰ μᾶς πληροφορεῖ πρῶτα πόσας γενεὰς ἀπέχει ἀπὸ τὸν Ἀβραάμ, πόσας ἀπὸ τὸν Δαυίδ, πόσας ἀπὸ τὴν μετοικεσίαν Βαβυλῶνος, ὡθεῖ τὸν λεπτολόγον ἀκροατὴν νὰ ἐξετάσῃ τὰ χρονικὰ διαστήματα καὶ δείχνει μὲ αὐτὸν τὸν τρόπον ὅτι αὐτὸς εἶναι ἐκεῖνος ὁ Χριστός, τὸν ὁποῖον προανήγγειλαν οἱ Προφῆται. Διότι, ὅταν μετρήσῃς τὰς γενεὰς καὶ διαπιστώσῃς μὲ τὸν ὑπολογισμὸν τοῦ χρόνου ὅτι αὐτὸς εἶναι ἐκεῖνος, τότε θὰ δεχθῇς εὐκόλως καὶ τὸ θαῦμα τῆς γεννήσεως. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ εἰπῇ κάτι τὸ θαυμαστόν, ὅτι ὁ Χριστὸς ἐγεννήθη ἀπὸ Παρθένον, εἶπε, πρὶν ἀναφέρῃ τὸν ἀριθμὸν τῶν γενεῶν, τὸν Ἄνδρα Μαρίας, διὰ νὰ ἀπαλύνῃ τὸν λόγον, ἢ μᾶλλον διηγεῖται περιληπτικῶς τὴν γέννησιν. Ἀμέσως κατόπιν ἐμέτρησε τὰς γενεάς, διὰ νὰ φέρῃ εἰς τὸν νοῦν τοῦ ἀκροατοῦ ὅτι αὐτὸς εἶναι ἐκεῖνος, ποὺ εἶπεν ὁ πατριάρχης Ἰακὼβ[1] ὅτι θὰ παρουσιασθῇ, ὅταν δὲν θὰ ὑπάρχουν πλέον ἄρχοντες ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα. Ἐκεῖνος ποὺ προανήγγειλεν ὁ προφήτης Δανιὴλ ὅτι θὰ ἔλθῃ μετὰ ἀπὸ ἐκείνας τὰς πολλὰς ἑπταετίας[2]. Καὶ ἂν θελήσῃ κανεὶς νὰ λογαριάσῃ ἀπὸ τῆς ἱδρύσεως τῆς πόλεως τὰς ἑπταετίας, διὰ τὰς ὁποίας ὡμίλησεν ὁ ἄγγελος πρὸς τὸν Δανιήλ, καὶ νὰ φθάσῃ εἰς τὴν γέννησιν τοῦ Χριστοῦ, θὰ ἰδῇ ὅτι τὸ χρονικὸν αὐτὸ διάστημα συμφωνεῖ μὲ τὸν χρόνον τῆς γεννήσεως. Λέγει λοιπόν, πῶς ἐγεννήθη; «Μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας». Δὲν εἶπε τῆς Παρθένου, ἀλλὰ ἁπλῶς τῆς Μητρός, διὰ νὰ γίνῃ δεκτὸς ὁ λόγος. Διὰ τοῦτο, ἀφοῦ προητοίμασε προηγουμένως τὸν ἀκροατήν, ὥστε νὰ ἀναμένῃ νὰ ἀκούσῃ κάτι τὸ συνηθισμένον, καὶ ἐκέρδισε μὲ αὐτὸ τὴν ἐμπιστοσύνην του, τὸν ἐξέπληξε κατόπιν μὲ τὴν προσθήκην ἑνὸς παραδόξου πράγματος, δηλαδὴ μὲ τὴν φράσιν· «Πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου». Δὲν εἶπε· 'Πρὶν νὰ ὁδηγηθῇ αὐτὴ εἰς τὴν οἰκίαν τοῦ γαμβροῦ'. Διότι ἔμενεν ἐκεῖ. Διότι οἱ παλαιοὶ εἶχαν, σχεδὸν χωρὶς ἐξαίρεσιν, τὴν συνήθειαν νὰ μένουν αἱ μνηστευμέναι εἰς τὴν οἰκίαν τοῦ γαμβροῦ. Τοῦτο εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς ὅτι

ἦσαν μετ' αὐτοῦ. Ἔνδον οὖν καὶ αὐτὴ μετὰ τοῦ Ἰωσήφ ἦν.

3. Καὶ τίνος ἕνεκεν οὐ πρὸς τῆς μνηστείας ἐκύησεν; Ἵνα, ὅπερ ἔφην ἐξ ἀρχῆς, συσκιασθῇ τὸ γινόμενον τέως, καὶ ἵνα πᾶσαν πονηρὰν διαφύγῃ ἡ Παρθένος ὑπόνοιαν. Ὅταν γὰρ ὁ ζηλοτυπεῖν ὀφείλων μάλιστα πάντων φαίνηται μὴ μόνον ἐκπομπεύων αὐτήν, μηδὲ ἀτιμάζων, ἀλλὰ καὶ δεχόμενος καὶ θεραπεύων μετὰ τὴν κύησιν, εὔδηλον ὅτι εἰ μὴ σαφῶς ἦν πεπεικὼς ἑαυτόν, ὅτι ἐκ τῆς τοῦ Πνεύματος ἐνεργείας τὸ γεγενημένον, οὐκ ἂν κατέσχε, καὶ τἄλλα πάντα ὑπηρέτησε. Κυρίως δὲ σφόδρα καὶ τό, «Εὑρέθη ἐν γαστρὶ ἔχουσα», τέθεικεν· ὅπερ ἐπὶ τῶν παραδόξων· καὶ παρ' ἐλπίδα πᾶσαν ἐκβαινόντων, καὶ οὐ προσδοκωμένων λέγεσθα εἴωθε.

Μὴ τοίνυν περαιτέρω χώρει, μηδὲ ζήτει πλέον τι τῶν εἰρημένων, μηδὲ λέγε· Καὶ πῶς τὸ Πνεῦμα εἰργάσατο τοῦτο ἐκ παρθένου; Εἰ γὰρ τῆς φύσεως ἐργαζομένης ἀδύνατον ἑρμηνεῦσαι τῆς διαπλάσεως τὸν τρόπον, πῶς τοῦ Πνεύματος θαυματουργοῦντος δυνησόμεθα ταῦτα εἰπεῖν; Ἵνα γὰρ μὴ κόπτῃς τὸν εὐαγγελιστήν, μηδὲ ἐνοχλῇς συνεχῶς ταῦτα ἐρωτῶν, εἰπὼν τὸν ἐργασάμενον τὸ θαῦμα, ἀπηλλάγη. Οὐδὲν γὰρ οἶδα, φησί, πλέον, ἀλλ' ἢ ὅτι ἐκ Πνεύματος ἁγίου γέγονε τὸ γεγενημένον. Αἰσχυνέσθωσαν οἱ τὴν ἄνω περιεργαζόμενοι γέννησιν. Εἰ γὰρ ταύτην τὴν μυρίους ἔχουσαν μάρτυρας, καὶ πρὸ τοσούτων ἀνακηρυχθεῖσαν χρόνων, καὶ φανεῖσαν, καὶ ψηλαφηθεῖσαν, οὐδεὶς ἑρμηνεῦσαι δύναται, ποίαν καταλείπουσι μανίας ὑπερβολὴν οἱ τὴν ἀπόρρητον ἐκείνην περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες;

γίνεται καὶ σήμερα κάπου - κάπου. Καὶ οἱ γαμβροὶ τοῦ Λὼτ ἔμεναν εἰς τὸ σπίτι του μαζί του. Καὶ ἡ Μαρία λοιπὸν ἐζοῦσε μὲ τὸν Ἰωσὴφ εἰς τὸ σπίτι του.

3. Ἀλλὰ διατί δὲν ἔμεινεν ἔγκυος πρὶν ἀπὸ τὴν μνηστείαν; Τὸ εἶπα καὶ προηγουμένως: Διὰ νὰ καλυφθῇ ἐκεῖνο ποὺ ἔγινε καὶ διὰ νὰ ἀπαλλαγῇ ἡ Παρθένος ἀπὸ κάθε πονηρὰν ὑποψίαν. Διότι, ὅταν εἶναι γνωστὸν ὅτι ὄχι μόνον δὲν τὴν ἐκακολόγησεν, οὔτε τὴν ἐθεώρησεν ἄτιμην, ἀλλὰ καὶ τὴν ἀνεγνώριζεν ὡς μνηστήν του καὶ τὴν ἐπεριποιεῖτο μετὰ τὸν τοκετὸν ἐκεῖνος ὁ ὁποῖος ἦτο ἑπόμενον νὰ ἐνδιαφέρεται περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους διὰ τὴν συζυγικήν της πίστιν, εἶναι εὐνόητον ὅτι, ἐὰν δὲν εἶχεν ἀπόλυτον πεποίθησιν ὅτι τὸ νεογέννητον προήρχετο ἀπὸ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, δὲν θὰ τὴν ἠνείχετο καὶ δὲν θὰ τῆς προσέφερεν ὅλας τὰς ἄλλας ὑπηρεσίας. Ἰδιαιτέρως ἔθεσε μὲ ἔμφασιν τὴν φράσιν· «Εὑρέθη ἐν γαστρὶ ἔχουσα». Τὸ εὑρέθη, τὸ ἔτυχε, λέγεται συνήθως διὰ τὰ παράδοξα καὶ τὰ ἀνελπίστως συμβαίνοντα καὶ τὰ ἀπροσδόκητα.

Μὴ προχωρῇς λοιπὸν περισσότερον, μὴ ζητῇς περισσότερα ἀπὸ ὅσα ἔμαθες καὶ μὴ λέγῃς· Πῶς ἔκαμε τὸ Ἅγιον Πνεῦμα νὰ γεννήσῃ παρθένος; Διότι, πῶς εἶναι δυνατὸν νὰ ὁμιλήσωμεν ἔτσι διὰ τὸ θαυματουργὸν Ἅγιον Πνεῦμα, ὅταν εἶναι ἀδύνατον νὰ ἑρμηνεύσωμεν τὸν τρόπον τοῦ σχηματισμοῦ τοῦ ἐμβρύου μὲ τὴν ἐνέργειαν τῆς φύσεως; Ὁ Ματθαῖος λοιπὸν εἶπε ποῖος ἔκαμε τὸ θαῦμα καὶ ἐπροχώρησεν εἰς ἄλλο θέμα, διὰ νὰ μὴ κουράζῃς τὸν κήρυκα τοῦ Εὐαγγελίου καὶ τὸν ἐνοχλῇς μὲ τὰς ἐρωτήσεις σου. Δὲν γνωρίζω, λέγει, τίποτε περισσότερον παρὰ μόνον ὅτι, ὅ,τι ἔγινεν, ἔγινε μὲ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος. Πρέπει νὰ ἐντρέπωνται ὅσοι παραεξετάζουν τὴν γέννησιν αὐτήν. Διότι, ἐὰν δὲν ἔχῃ κανεὶς τὴν δύναμιν νὰ ἑρμηνεύσῃ αὐτὴν τὴν γέννησιν, ποὺ ἔχει ἀπείρους μάρτυρας καὶ τὴν προανήγγειλαν πρὶν ἀπὸ πολλοὺς αἰῶνας καὶ ἔγινεν ἀντιληπτὴ διὰ τῆς ὁράσεως καὶ μάλιστα καὶ διὰ τῆς ἀφῆς, πόσον ὑπερβολικὴν παραφροσύνην ἐκδηλώνουν ὅσοι παραεξετάζουν καὶ ἀσχολοῦνται ἐπιμόνως μὲ τὴν μυστηριακὴν ἐ-

Οὐδὲ γὰρ ὁ Γαβριήλ, οὐδὲ ὁ Ματθαῖος ἐδυνήθησάν τι πλέον εἰπεῖν, ἀλλ' ἢ ὅτι ἐκ Πνεύματος μόνον· τὸ δέ, πῶς ἐκ Πνεύματος, καὶ τίνι τρόπῳ, οὐδεὶς τούτων ἡρμήνευσεν· οὐδὲ γὰρ δυνατὸν ἦν. Μηδὲ νομίσῃς τὸ πᾶν μεμαθηκέναι, ἐκ Πνεύματος ἀκούων· καὶ γὰρ πολλὰ ἀγνοοῦμεν ἔτι, καὶ τοῦτο μανθάνοντες· οἷον, πῶς ὁ ἄπειρος ἐν μήτρᾳ ἐστί· πῶς ὁ πάντα συνέχων κυοφορεῖται ὑπὸ γυναικός· πῶς τίκτει ἡ Παρθένος, καὶ μένει παρθένος. Πῶς ἔπλασεν, εἰπέ μοι, τὸ Πνεῦμα τὸν ναὸν ἐκεῖνον; Πῶς οὐ πᾶσαν τὴν σάρκα ἀπὸ τῆς μήτρας ἔλαβεν, ἀλλὰ μέρος αὐτῆς, καὶ ηὔξησε καὶ διετύπωσεν; Ὅτι μὲν γὰρ ἀπὸ τῆς σαρκὸς τῆς Παρθένου προῆλθεν, ἐδήλωσεν εἰπών· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθέν»· καὶ ὁ Παῦλος, «γενόμενος ἐκ γυναικός»· ἐπιστομίζων τοὺς λέγοντας, ὅτι ὥσπερ διά τινος σωλῆνος παρῆλθεν ὁ Χριστός. Εἰ γὰρ τοῦτο ἦν, τίς χρεία τῆς μήτρας; Εἰ τοῦτο ἦν, οὐδὲν κοινὸν πρὸς ἡμᾶς· ἀλλ' ἄλλη τίς ἐστιν ἐκείνη ἡ σάρξ, οὐ τοῦ φυράματος τοῦ ἡμετέρου. Πῶς οὖν οὐκ τῆς ῥίζης Ἰεσσαί; πῶς δὲ ῥάβδος; πῶς υἱὸς ἀνθρώπου; πῶς δὲ μήτηρ ἡ Μαριάμ; πῶς ἐκ σπέρματος Δαυίδ; πῶς μορφὴν δούλου ἔλαβε; πῶς «ὁ Λόγος ἐγένετο σάρξ»; πῶς δὲ Ῥωμαίοις φησὶν ὁ Παῦλος· «Ἐξ ὧν ὁ Χριστὸς τὰ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός»; Ὅτι μὲν οὖν ἐξ ἡμῶν καὶ τοῦ φυράματος τοῦ ἡμετέρου, καὶ τῆς μήτρας τῆς παρθενικῆς, δῆλον ἐκ τούτων καὶ ἐξ ἑτέρων πλειόνων· τό δε πῶς, οὐκέτι δῆλον.

Μὴ τοίνυν μηδὲ σὺ ζήτει, ἀλλὰ δέχου τὸ ἀποκαλυφθέν, καὶ μὴ περιεργάζου τὸ σιγηθέν. «Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὤν»,

---

1. Γαλ. 4,4.
2. Ἰω. 1,14
3. Ρωμ. 9,5

κείνην σύλληψιν; Ἀφοῦ μάλιστα οὔτε ὁ Γαβριὴλ οὔτε ὁ Ματθαῖος ἠμπόρεσαν νὰ εἰποῦν κάτι περισσότερον, παρὰ μόνον ὅτι ὀφείλεται εἰς ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος. Καὶ κανεὶς ἀπὸ αὐτοὺς δὲν ἑρμήνευσε πῶς, δηλαδὴ μὲ ποῖον τρόπον, ἐνήργησε τὸ Ἅγιον Πνεῦμα. Διότι δὲν ἦτο δυνατόν. Καὶ μὴ νομίσῃς ὅτι ἐγνώρισες τὰ πάντα, ὅταν μάθῃς ὅτι ὠφείλετο εἰς ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος. Διότι ἀγνοοῦμεν πολλὰ ἀκόμη, καὶ ὅταν μάθωμεν αὐτό. Ἀγνοοῦμεν π.χ. πῶς ἐχώρεσε μέσα εἰς τὴν μήτραν ὁ ἄπειρος· πῶς ἔμεινεν ὡς ἔμβρυον μέσα εἰς τὴν κοιλίαν γυναικὸς ὁ κυβερνήτης τοῦ κόσμου· πῶς ἐγέννησεν ἡ Παρθένος καὶ παρέμεινε παρθένος. Εἰπέ μου, πῶς ἔπλασε τὸ Ἅγιον Πνεῦμα ἐκεῖνον τὸν ναόν; Πῶς εἶναι δυνατὸν νὰ μὴ περιεβλήθη ἐξ ὁλοκλήρου καὶ ὄχι ἐν μέρει τὸ ἀνθρώπινον σῶμα του μέσα εἰς τὴν μήτραν καὶ νὰ μὴ ἐμεγάλωσε καὶ νὰ μὴ ἔλαβε τὴν ἀνθρωπίνην μορφὴν ἐκεῖ; Τὸ ὅτι ἐγεννήθη ἀπὸ τὸ σῶμα τῆς Παρθένου, τὸ ἔκαμε βεβαίως γνωστὸν μὲ τὰ ἑξῆς λόγια· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθέν». Καὶ ὁ Παῦλος εἶπε· «Γενόμενος ἐκ γυναικός»[1]. Ἔτσι ἀπεστόμωσεν ἐκείνους ποὺ ἔλεγαν ὅτι ὁ Χριστὸς ἐπέρασε διὰ μέσου τῆς μήτρας ὅπως διὰ μέσου σωλῆνος. Ἐὰν συνέβαινε πράγματι αὐτό, τί ἐχρειάζετο ἡ μήτρα; Ἐὰν συνέβαινε τοῦτο, ὁ Χριστὸς δὲν θὰ εἶχε τίποτε τὸ κοινὸν μὲ ἡμᾶς. Ἐκεῖνο τὸ σῶμα, λέγουν, εἶναι διαφορετικόν, δὲν εἶναι ἀπὸ τὸ ἴδιον φύραμα μὲ τὸ ἰδικόν μας. Ἀλλὰ τότε πῶς κατάγεται ἀπὸ τὴν φύτραν τοῦ Ἰεσσαί; Διατί ὠνομάσθη τρυφερὸς βλαστός; Διατί υἱὸς ἀνθρώπου; Διατί ἡ Μαρία λέγεται μητέρα του; Διατί λέγεται ἀπόγονος τοῦ Δαυίδ; Πῶς ἔλαβε μορφὴν ἀνθρώπου; Πῶς «ὁ λόγος ἐγένετο σάρξ»[2]; Διατί λέγει ὁ Παῦλος πρὸς τοὺς Ρωμαίους. «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός»[3]; Εἶναι λοιπὸν φανερὸν ἀπὸ τὰ παραπάνω καὶ ἀπὸ πολλὰ ἄλλα ὅτι τὸ σῶμα τοῦ Χριστοῦ εἶναι ἀπὸ τὸ ἰδικόν μας φύραμα καὶ ἀπὸ τὴν μήτραν τῆς παρθένου. Δὲν εἶναι ὅμως καθόλου φανερὸν τὸ πῶς.

Διὰ τοῦτο καὶ σύ μὴ ἐρευνᾷς, ἀλλὰ νὰ δέχεσαι ὅ,τι ἀπεκαλύφθη καὶ νὰ μὴ πολυασχολῆσαι μὲ ὅ,τι παρέμεινε μυστικόν.

φησί, «καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτήν». Εἰπὼν ὅτι ἐκ Πνεύματος ἁγίου, καὶ συνουσίας χωρίς, καὶ ἑτέρωθεν κατασκευάζει τὸν λόγον. Ἵνα γὰρ μή τις λέγῃ, Πόθεν τοῦτο δῆλον; τίς εἶδε, τίς ἤκουσε τοιοῦτόν τί ποτε συμβεβηκός; μηδὲ ὑποπτεύσῃς τὸν μαθητήν, ὡς χαριζόμενον τῷ διδασκάλῳ, ταῦτα πλάττοντα, εἰσάγει τὸν Ἰωσήφ, δι' ὧν ἔπαθε, πρὸς τὴν τῶν εἰρημένων συντελοῦντα πίστιν, μονον ουχὶ λέγων δι' ὧν ἀπαγγέλλει. Εἰ ἀπιστεῖς ἐμοί, καὶ ὑποπτεύεις μου τὴν μαρτυρίαν, πίστευσον τῷ ἀνδρί. «Ἰωσὴφ γάρ», φησίν, «ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὤν». Δίκαιον ἐνταῦθα τὸν ἐνάρετον ἐν ἅπασι λέγει. Ἔστι μὲν γὰρ δικαιοσύνη καὶ τὸ μὴ πλεονεκτεῖν· ἔστι δὲ καὶ ἡ καθόλου ἀρετή· καὶ μάλιστα ἐπὶ τούτου τῇ τῆς δικαιοσύνης προσηγορίᾳ κέχρηται ἡ Γραφή, ὡς ὅταν λέγῃ· «Ἄνθρωπος δίκαιος, ἀληθινός»· καὶ πάλιν, «Ἦσαν δὲ δίκαιοι ἀμφότεροι».

4. Δίκαιος οὖν ὤν, τουτέστι, χρηστὸς καὶ ἐπιεικής, «ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτήν». Διὰ τοῦτο λέγει τὸ συμβὰν πρὸ τῆς γνώσεως, ἵνα μὴ ἀπιστήσῃς τοῖς μετὰ τὴν γνῶσιν γεγενημένοις. Καίτοιγε οὐ παραδειγματισμοῦ μόνον ὑπεύθυνος ἦν ἡ τοιαύτη, ἀλλὰ καὶ κολάζεσθαι αὐτὴν ὁ νόμος ἐκέλευεν. Ἀλλ' ὁ Ἰωσὴφ οὐ μόνον τὸ μεῖζον ἐκεῖνο, ἀλλὰ καὶ τὸ ἔλαττον συνεχώρησε, τὴν αἰσχύνην. Οὐ γὰρ μόνον οὐ κολάσαι, ἀλλ' οὐδὲ παραδειγματίσαι ἐβούλετο. Εἶδες φιλόσοφον ἄνδρα καὶ πάθους ἀπηλλαγμένον τοῦ τυραννικωτάτου; Ἴστε γὰρ ἡλίκον ζηλοτυπία. Διὰ τοῦτο καὶ ὁ ταῦτα σαφῶς εἰδὼς ἔλεγε· «Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρός· οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως»· καί, «Σκληρὸς ὡς ᾅδης ζῆλος». Καὶ ἡμεῖς δὲ πολλοὺς ἴσμεν τὴν ψυχὴν ἑλομένους προέσθαι

---

1. Ἰὼβ 1,1
2. Λουκᾶ 1,6
3. Παρ. 6,34

«Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὤν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτήν», λέγει ὁ Ματθαῖος. Καὶ κατωχύρωσε τὸν λόγον του μὲ τὰς φράσεις ἐκ Πνεύματος Ἁγίου καὶ χωρὶς συνουσίαν καὶ μὲ ἄλλους τρόπους. Διὰ νὰ μὴ ἐρωτᾷ ὅμως κανείς· Πῶς ἀποδεικνύεται αὐτό; Ποῖος εἶδεν ἢ ποῖος ἤκουσε ποτὲ ὅτι συνέβη παρόμοιον γεγονός; Καὶ διὰ νὰ μὴ ὑποψιασθῇς ὅτι ὁ μαθητὴς ἐπενόησεν αὐτὰ πρὸς χάριν τοῦ διδασκάλου του, παρουσιάζει τὸν Ἰωσὴφ νὰ συμβάλλῃ μὲ τὰς διαλυθείσας ὑποψίας του εἰς τὸ νὰ πιστεύσωμεν ὅσα ἐλέχθησαν καὶ σχεδὸν μᾶς λέγει μὲ ὅσα διηγεῖται· Ἐὰν δὲν πιστεύῃς εἰς ἐμὲ καὶ ἀντικρύζῃς μὲ ὑποψίαν τὰς πληροφορίας μου, πίστευσε εἰς τὸν ἄνδρα τῆς Μαρίας. Διότι λέγει· «Ἰωσὴφ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὤν». Δίκαιον ἐννοεῖ ἐδῶ τὸν εἰς ὅλα ἀνάρετον. Δικαιοσύνη εἶναι βεβαίως ἡ ἀπόλυτος ἔλλειψις ἰδιοτελείας. Εἶναι ὅμως καὶ ἡ ἀρετὴ γενικῶς. Ἡ Ἁγία Γραφὴ χρησιμοποιεῖ πάρα πολὺ τὴν λέξιν δικαιοσύνη μὲ τὴν σημασίαν αὐτήν, ὅπως π.χ. ὅταν λέγῃ· «Ἄνθρωπος δίκαιος, ἀληθινός»[1]. Καὶ ἀλλοῦ. «Ἦσαν δὲ δίκαιοι ἀμφότεροι»[2].

4. Ἐπειδὴ λοιπὸν ἦτο δίκαιος, ἠθικὸς δηλαδὴ καὶ ἀξιοπρεπής, «ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτήν». Ἀφηγεῖται τί συνέβη πρὶν γνωρίσῃ ὁ Ἰωσὴφ τὴν ἀλήθειαν, διὰ νὰ μὴ δυσπιστήσῃς εἰς ὅσα ἔγιναν κατόπιν. Τὰς γυναῖκας αὐτοῦ τοῦ εἴδους τὰς ἐτιμωροῦσαν ὄχι μόνον μὲ δημόσιον ἐξευτελισμὸν πρὸς παραδειγματισμόν, ἀλλὰ ὑπῆρχε καὶ νόμος, ὁ ὁποῖος ὥριζε ποινὴν δι' αὐτάς. Ἀλλὰ ὁ Ἰωσὴφ παρῃτήθη ὄχι μόνον ἀπὸ τὴν βαρυτέραν, τὴν νομικὴν ποινήν, ἀλλὰ καὶ ἀπὸ τὴν ἐλαφροτέραν, τὸν δημόσιον ἐξευτελισμόν. Ἑπομένως ὄχι μόνονο νομικῶς δὲν ἠθέλησε νὰ τὴν τιμωρήσῃ, ἀλλὰ οὔτε νὰ τὴν ἐξευτελίσῃ δημοσίως. Εἶδες πόσον συνετὸς ἦτο καὶ πόσον ἀπηλλαγμένος ἀπὸ τὸ καταπιεστικώτατον πάθος; Διότι γνωρίζετε πόσον δυνατὸν πάθος εἶναι ἡ ζήλεια. Διὰ τοῦτο καὶ ὁ βαθὺς γνώστης τοῦ ψυχικοῦ μας κόσμου ἔλεγε· «Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρός· οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως»[3]. «Σκληρὸς ὡς ᾅδης ζῆλος». Καὶ ἐμεῖς γνωρίζομεν πολλούς, οἱ ὁποῖοι ἐπροτί-

μᾶλλον ἢ εἰς ζηλοτυπίας ὑποψίαν ἐμπεσεῖν. Ἐνταῦθα δὲ οὐδὲ ὑποψία ἦν, τοῦ τῆς γαστρὸς ὄγκου διελέγχοντος. Ἀλλ' ὅμως οὕτως ἦν πάθους καθαρός, ὡς μὴ θελῆσαι μηδὲ ἐν τοῖς μικροτάτοις λυπῆσαι τὴν Παρθένον. Ἐπειδὴ γὰρ τὸ μὲν κατέχειν ἔνδον παρανομίας εἶναι ἐδόκει, τὸ δὲ ἐκπομπεύειν καὶ εἰς δικαστήριον ἄγειν, θανάτῳ παραδοῦναι ἠνάγκαζεν· οὐδὲν τούτων ποιεῖ, ἀλλ' ὑπὲρ νόμον ἤδη πολιτεύεται. Ἔδει γὰρ τῆς χάριτος παραγενομένης πολλὰ λοιπὸν εἶναι τὰ σημεῖα τῆς ὑψηλῆς πολιτείας. Καθάπερ γὰρ ὁ ἥλιος καὶ μηδέπω τὰς ἀκτῖνας δείξας, πόῤῥωθεν τῷ φωτὶ καταυγάζει τῆς οἰκουμένης τὸ πλέον· οὕτω καὶ ὁ Χριστὸς μέλλων ἀνίσχειν ἀπὸ τῆς μήτρας ἐκείνης καὶ πρὶν ἢ ἐξελθεῖν, τὴν οἰκουμένην κατέλαμψεν ἅπασαν. Διὸ καὶ πρὸ τῶν ὠδίνων προφῆται ἐσκίρτων, καὶ γυναῖκες τὰ μέλλοντα προὔλεγον, καὶ Ἰωάννης οὔπω τῆς νηδύος προελθών, ἀπὸ τῆς μήτρας αὐτῆς ἐπήδα. Ἐντεῦθεν καὶ οὗτος πολλὴν ἐπεδείκνυτο φιλοσοφίαν· οὔτε γὰρ ἐνεκάλεσεν, οὔτε ὠνείδισεν, ἀλλ' ἐκβαλεῖν ἐπιχείρησε μόνον.

Ἐν τούτῳ τοίνυν τῶν πραγμάτων ὄντων καὶ πάντων ἐν ἀμηχανίᾳ καθεστώτων, παραγίνεται ὁ ἄγγελος πάντα λύων τὰ ἄπορα. Ἄξιον δὲ ἐξετάσαι, διὰ τί μὴ πρὸ τούτου εἶπεν ὁ ἄγγελος, πρὸ τοῦ διανοηθῆναι τὸν ἄνδρα τοῦτο, ἀλλ' ἐπειδὴ ἐνεθυμήθη, τότε ἀφικνεῖται. «Ταῦτα γὰρ αὐτοῦ», φησίν, «ἐνθυμηθέντος, ὁ ἄγγελος ἔρχεται»· καίτοιγε αὐτὴν καὶ πρὸ τοῦ συλλαβεῖν εὐαγγελίζεται, ὃ καὶ αὐτὸ πάλιν ἑτέραν ἀπορίαν ἔχει. Εἰ γὰρ καὶ ὁ ἄγγελος οὐκ εἶπε, τίνος ἕνεκεν ἡ Παρθένος ἐσίγησεν, ἀκούσασα παρὰ τοῦ ἀγγέλου, καὶ τὸν μνηστῆρα ὁρῶσα θορυβούμενον,

---

1. Γίνεται ὑπαινιγμὸς εἰς ὅσα λέγει ὁ Λουκᾶς (1, 39 - 41)

μησαν νὰ ἀποθάνουν μᾶλλον, παρὰ νὰ κυριευθοῦν ἀπὸ ζηλότυπον καχυποψίαν. Εἰς τὴν περίπτωσιν αὐτὴν ὅμως δὲν ἐπρόκειτο περὶ καχυποψίας, ἀφοῦ ἡ διόγκωσις τῆς κοιλίας ἀποτελοῦσεν ἀκαταμάχητον τεκμήριον. Ἀλλὰ ἦτο τόσον ἀπηλλαγμένος ἀπὸ πάθη, ὥστε δὲν ἠθέλησε νὰ προξενήσῃ εἰς τὴν Παρθένον οὔτε τὴν παραμικρὰν ἐνόχλησιν. Ἐπειδὴ λοιπὸν ἐπίστευεν ὅτι ἦτο ἀνήθικον νὰ τὴν ἔχῃ εἰς τὸ σπίτι του, ἐνῷ ἡ διαπόμπευσίς της καὶ ἡ καταγγελία της εἰς τὸ δικαστήριον θὰ εἶχεν ὡς ἀναγκαῖον ἀποτέλεσμα νὰ θανατωθῇ, δὲν ἔκαμε κανένα ἀπὸ αὐτά, ἀλλὰ ἔδειξεν ἀνωτέραν συμπεριφοράν. Διότι ἔπρεπε νὰ ἐκδηλωθοῦν πολλὰ σημεῖα ὑψηλῆς συμπεριφορᾶς ἐκεῖ ὅπου παρουσιάσθη ἡ χάρις τοῦ Θεοῦ. Ὅπως δηλαδὴ ὁ ἥλιος φωτίζει ἀπὸ μακριὰ μὲ τὸ φῶς του μέγα μέρος τῆς οἰκουμένης προτοῦ ἀκόμη νὰ ρίψῃ εἰς αὐτὸ τὰς ἀκτῖνας του, ἔτσι καὶ ὁ Χριστός· ἐνῷ εὑρίσκετο ἀκόμη μέσα εἰς τὴν μήτραν καὶ δὲν εἶχεν ἐξέλθει ἀπὸ αὐτήν, ἔκαμε νὰ λάμψῃ ὅλη ἡ οἰκουμένη. Διὰ τοῦτο ἐσκιρτοῦσαν οἱ προφῆται πρὶν ἀπὸ τὴν γέννησιν, γυναῖκες ἐπροφήτευαν τὰ μέλλοντα καὶ ὁ Ἰωάννης, ποὺ εὑρίσκετο ἀκόμη μέσα εἰς τὴν κοιλίαν τῆς μητρός του, ἀνεπήδησε μέσα εἰς τὴν μήτραν [1]. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης ἔδειξε πολλὴν σύνεσιν. Διότι οὔτε εἰς τὸ δικαστήριον τὴν κατήγγειλεν, οὔτε τὴν ἐξηυτέλισεν, ἀλλὰ ἠθέλησε μόνον νὰ τὴν ἀπομακρύνῃ ἀπὸ τὸ σπίτι του.

Ἐνῷ λοιπὸν ἦτο τέτοια ἡ κατάστασις καὶ τὰ πάντα εὑρίσκοντο εἰς ἀδιέξοδον, παρουσιάζεται ὁ ἄγγελος καὶ δίδει λύσιν εἰς ὅλα τὰ προβλήματα. Ἀξίζει νὰ ἐξετάσωμεν διατί δὲν ἐπληροφόρησεν ἐνωρίτερα τὸν Ἰωσὴφ ὁ ἄγγελος, προτοῦ νὰ τὸ ὑποψιασθῇ ὁ ἴδιος, ἀλλὰ ἐπῆγε πρὸς αὐτόν, ἀφ' ὅτου ἐσυλλογίσθη καὶ ἀπεφάσισε. «Ταῦτα γὰρ αὐτοῦ ἐνθυμηθέντος, ὁ ἄγγελος ἔρχεται», λέγει τὸ Εὐαγγέλιον, ἂν καὶ τὸ εἶχεν ἀνακοινώσει εἰς τὴν Μαρίαν πρὶν ἀπὸ τὴν ἐγκυμοσύνην, πρᾶγμα τὸ ὁποῖον δημιουργεῖ πάλιν ἄλλην ἀπορίαν. Ἂν καὶ δηλαδὴ δὲν τὸ εἶπεν ὁ ἄγγελος, διατί τὸ ἀπεσιώπησεν ἡ Παρθένος, ὅταν τὸ ἐπληροφορήθη ἀπὸ τὸν ἄγγελον καὶ διατί δὲν κατετό-

οὐκ ἔλυσεν αὐτοῦ τὴν ἀπορίαν; Τίνος οὖν ἕνεκεν πρὸς τοῦ θορυβηθῆναι αὐτὸν ὁ ἄγγελος οὐκ εἶπεν; Καὶ γὰρ ἀναγκαῖον τὸ πρότερον λῦσαι πρῶτον. Τίνος οὖν ἕνεκεν οὐκ εἶπεν; Ἵνα μὴ ἀπιστήσῃ καὶ πάθῃ τὸ αὐτὸ τῷ Ζαχαρίᾳ. Ὁρωμένου μὲν γὰρ τοῦ πράγματος, εὔκολος ἡ πίστις λοιπόν· μηδέπω δὲ ἀρχὴν λαβόντος, οὐχ ὁμοίως εὐπαράδεκτον ἦν τὸ λεγόμενον. Διὰ τοῦτο οὐκ εἶπεν ἐξ ἀρχῆς ὁ ἄγγελος· καὶ ἡ Παρθένος δὲ τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐσίγησεν. Οὐ γὰρ ἐνόμιζε πιστεύεσθαι παρὰ τῷ μνηστῆρι, πρᾶγμα ἀπαγγέλλουσα ξένον· ἀλλὰ καὶ παροξύνειν μᾶλλον αὐτόν, ὡς ἁμάρτημα γεγενημένον συσκιάζουσα. Εἰ γὰρ αὐτὴ ἡ ὑποδέχεσθαι μέλλουσα τοσαύτην χάριν ἀνθρώπινόν τι πάσχει, καί φησι· «Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;», πολλῷ μᾶλλον ἐκεῖνος ἀμφέβαλλεν ἄν· καὶ μάλιστα παρὰ γυναικὸς ἀκούων τῆς ὑποπτευομένης.

5. Διὰ ταῦτα ἡ Παρθένος μὲν οὐδὲν αὐτῷ λέγει, ὁ δὲ ἄγγελος τοῦ καιροῦ καλοῦντος ἐφίσταται. Τίνος οὖν ἕνεκεν, φησίν, οὐχὶ καὶ ἐπὶ τῆς Παρθένου τοῦτο ἐποίησε, καὶ μετὰ τὴν κύησιν αὐτὴν εὐηγγελίσατο; Ἵνα μὴ ἐν ταραχῇ ᾖ καὶ θορύβῳ πολλῷ. Καὶ γὰρ εἰκὸς ἦν, τὸ σαφὲς οὐκ εἰδυῖαν, καὶ βουλεύσασθαί τι περὶ ἑαυτῆς ἄτοπον, καὶ ἐπὶ βρόχον ἐλθεῖν, καὶ ἐπὶ ξίφος, οὐ φέρουσαν τὴν αἰσχύνην. Καὶ γὰρ θαυμαστὴ ἦν ἡ Παρθένος, καὶ δείκνυσιν αὐτῆς τὴν ἀρετὴν ὁ Λουκᾶς, λέγων ὅτι ἐπειδὴ τὸν ἀσπασμὸν ἤκουσεν, οὐκ εὐθέως ἑαυτὴν ἐξέχειεν, οὐδὲ ἐδέξατο τὸ λεχθέν· ἀλλ' ἐταράχθη ζητοῦσα τό, ποταπὸς εἴη ὁ ἀσπασμός. Ἡ δὲ οὕτως οὖσα διηκριβωμένη, κἂν ἐξέστη τῇ ἀθυμίᾳ τὴν αἰσχύνην λογιζομένη, καὶ οὐ προσδοκῶσα, ὅσα ἂν λέγῃ, πείσειν τινὰ τῶν ἀκουόντων, ὅτι οὐ μοιχεία τὸ γεγενημένον.

1. Λουκᾶ 1,34

πισε τὸν μνηστῆρα της, ὅταν τὸν εἶδε νὰ ἀνησυχῇ; Διατί τέλος πάντων δὲν τὸν ἐπληροφόρησεν ὁ ἄγγελος προτοῦ νὰ στενοχωρηθῇ; Ἀλλὰ εἶναι ἀνάγκη νὰ ἀπαντήσω πρῶτα εἰς τὸ πρῶτον ἐρώτημα. Διατί λοιπὸν δὲν τὸν ἐπληροφόρησεν ὁ ἄγγελος; Διὰ νὰ μὴ δυσπιστήσῃ καὶ πάθῃ ὅ,τι ἔπαθεν ὁ Ζαχαρίας. Διότι ἦτο εὔκολον νὰ πιστεύσῃ ἀφ' ὅτου ἔγινε τὸ πρᾶγμα φανερόν. Δὲν ἦτο ὅμως ἐξ ἴσου εὔκολον νὰ παραδεχθῇ τὴν πληροφορίαν, πρὶν οὔτε κἂν νὰ ἀρχίσῃ. Διὰ τοῦτο δὲν τὸ εἶπεν ἀπὸ τὴν πρώτην στιγμὴν ὁ ἄγγελος. Καὶ ἡ Παρθένος διὰ τὸν ἴδιον λόγον τὸ ἀπεσιώπησε. Διότι ἐνόμιζεν ὅτι δὲν θὰ γίνῃ πιστευτὴ ἀπὸ τὸν μνηστῆρα της, ἂν τοῦ ἀνεκοίνωνε τόσον παράξενον πρᾶγμα. Ἀντιθέτως θὰ τὸν ἐξηγρίωνε μᾶλλον, διότι θὰ ἐνόμιζεν ὅτι προσπαθεῖ νὰ συγκαλύψῃ ἁμαρτίαν της. Ἀφοῦ βεβαίως αὐτὴ ἡ ἰδία, ἡ ὁποία προωρίζετο νὰ ἀναλάβῃ αὐτὴν τὴν θείαν ἀποστολήν, ἐταράχθη καὶ εἶπε· «Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γιγνώσκω;»[1]. Πολὺ περισσότερον θὰ ἐδυσπιστοῦσεν ἐκεῖνος, ἀφοῦ μάλιστα θὰ τὸ ἐπληροφορεῖτο ἀπὸ γυναῖκα ὕποπτον.

5. Διὰ τοῦτο δὲν τοῦ εἶπε τίποτε ἡ Παρθένος καὶ διὰ τοῦτο παρουσιάσθη ὁ ἄγγελος εἰς τὴν κατάλληλον στιγμήν. Ἐρωτᾶται ὅμως· Διατί δὲν ἔκαμε τὸ ἴδιο καὶ μὲ τὴν Παρθένον καὶ δὲν τὴν εἰδοποίησε μετὰ τὴν σύλληψιν; Διὰ νὰ μὴ στενοχωρῆται καὶ ἀνησυχῇ ὑπερβολικά. Διότι ἦτο φυσικόν, ἐπειδὴ δὲν θὰ ἐγνώριζε τὴν ἀλήθειαν καὶ δὲν θὰ ὑπέφερε τὴν ἐντροπήν, νὰ ἀποφασίσῃ κάτι κακὸν διὰ τὸν ἑαυτόν της καὶ νὰ ἀπαγχονισθῇ ἢ νὰ σφαγῇ. Διότι ἡ Παρθένος ἦτο ἀπολύτως ἐνάρετη. Τὴν ἀρετήν της δείχνει ὁ Λουκᾶς λέγων ὅτι δὲν ἐκυριεύθη ἀπὸ χαράν, ὅταν ἤκουσε τὸν χαιρετισμὸν τοῦ ἀγγέλου, οὔτε ἐδέχθη μὲ ἀγαλλίασιν τὴν εἴδησιν, ἀλλὰ ἀνησύχησε καὶ ἐζήτησε νὰ μάθῃ ποίαν σημασίαν εἶχεν ὁ χαιρετισμός. Ἂν καὶ ἐξηκρίβωσεν ἀπολύτως τὴν ἀλήθειαν, δὲν ἔπαυσε νὰ στενοχωρῆται, διότι ἐσκέπτετο τὴν ἐντροπὴν καὶ δὲν ἐπερίμενε, μὲ ὅσα καὶ ἂν ἔλεγε, νὰ πείσῃ κανένα ἀπὸ τοὺς συνομιλητάς της ὅτι δὲν ὠφείλετο εἰς μοιχείαν αὐτὸ ποὺ συνέβη.

Ἵν' οὖν ταῦτα μὴ γένηται, ἦλθε πρὸ τῆς συλλήψεως ὁ ἄγγελος. Καὶ γὰρ ἔδει ταραχῆς ἐκτὸς εἶναι τὴν νηδὺν ἐκείνην, ᾗ ὁ πάντων Δημιουργὸς ἐπέβη. Καὶ παντὸς ἀπηλλάχθαι θορύβου τὴν ψυχήν, τὴν καταξιωθεῖσαν τοιούτων γενέσθαι διάκονον μυστηρίων. Διὰ ταῦτα τῇ μὲν Παρθένῳ πρὸ τῆς κυήσεως, τῷ δὲ Ἰωσὴφ ἐν τῷ καιρῷ τῶν ὠδίνων διαλέγεται· ὃ πολλοὶ τῶν ἀφελεστέρων οὐ συνειδότες, διαφωνίαν ἔφασαν εἶναι, διὰ τὸ τὸν μὲν Λουκᾶν λέγειν, ὅτι τῇ Μαρίᾳ εὐηγγελίζετο, τὸν δὲ Ματθαῖον, ὅτι τῷ Ἰωσήφ, οὐκ εἰδότες ὅτι ἀμφότερα γέγονεν. Ὅπερ ἀναγκαῖον παρὰ πᾶσαν τὴν ἱστορίαν παρατηρεῖν· καὶ γὰρ πολλὰς οὕτω λύομεν δοκούσας εἶναι διαφωνίας.

Ἔρχεται τοίνυν ὁ ἄγγελος, θορυβομένου τοῦ Ἰωσήφ. Καὶ γὰρ καὶ τῶν εἰρημένων ἕνεκεν καὶ ἵνα φανῇ αὐτοῦ ἡ φιλοσοφία, ἀναβάλλεται τὴν παρουσίαν. Ἐπειδὴ δὲ τὸ ἔργον ἔμελλεν ἐκβαίνειν, παραγίνεται λοιπόν.

«Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἄγγελος κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ». Ὁρᾷς τοῦ ἀνδρὸς τὴν ἐπιείκειαν; Οὐ μόνον ὅτι οὐκ ἐκόλασεν, ἀλλ' ὅτι οὐδὲ ἐξεῖπέ τινι, οὐδὲ αὐτῇ τῇ ὑποπτευομένῃ, ἀλλὰ καθ' ἑαυτὸν ἐλογίζετο, καὶ αὐτῇ τῇ Παρθένῳ σπουδάζων κρύψαι τὴν αἰτίαν. Οὐδὲ γὰρ εἶπεν, Ἐκβαλεῖν αὐτήν, ἤθελεν, ἀλλ' «Ἀπολῦσαι»· τοσοῦτον ἦν ἥμερος καὶ ἐπιεικὴς ὁ ἀνήρ. «Ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, κατ' ὄναρ φαίνεται ὁ ἄγγελος». Καὶ διὰ τί μὴ φανερῶς, καθὼς τοῖς ποιμέσι καὶ τῷ Ζαχαρίᾳ καὶ τῇ Παρθένῳ; Σφόδρα πιστὸς ἦν ὁ ἀνήρ, καὶ οὐκ ἐδεῖτο τῆς ὄψεως ταύτης. Ἡ μὲν γὰρ Παρθένος, ἅτε πολὺ μέγα εὐαγγελιζομένη, καὶ τοῦ Ζαχαρίου μεῖζον, καὶ πρὸ τοῦ πράγματος, ἔχρηζε καὶ παραδόξου ὄψεως· οἱ δὲ ποιμένες, ἅτε ἀγροικικώτερον διακείμενοι. Οὗτος δὲ μετὰ τὸν τόκον, τῆς ψυχῆς

Παρουσιάσθη λοιπὸν πρὶν ἀπὸ τὴν σύλληψιν ὁ ἄγγελος, διὰ νὰ μὴ συμβοῦν τὰ παραπάνω. Καὶ διότι ἔπρεπε νὰ μὴ ἀνησυχῇ ἐκείνη ἡ κοιλία, μέσα εἰς τὴν ὁποίαν εἰσῆλθεν ὁ Δημιουργὸς τοῦ παντός. Καὶ διότι ἔπρεπε νὰ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε ταραχὴν ἡ ψυχή, ἡ ὁποία ἐκρίθη ἀξία νὰ προσφέρῃ τὰς ὑπηρεσίας της εἰς αὐτὰ τὰ μυστήρια. Διὰ τοῦτο συνωμίλησεν ὁ ἄγγελος μὲ τὴν Παρθένον πρὶν ἀπὸ τὴν σύλληψιν, καὶ μὲ τὸν Ἰωσὴφ ὅταν ἐπλησίαζεν ὁ χρόνος τῆς γεννήσεως. Ἐπειδὴ πολλοὶ ἀφελεῖς δὲν κατενόησαν αὐτά, εἶπαν ὅτι ὑπάρχει διαφωνία, ἐπειδὴ ὁ Λουκᾶς ἀναφέρει ὅτι ὁ ἄγγελος εἰδοποίησε τὴν Μαρίαν, ἐνῷ ὁ Ματθαῖος λέγει ὅτι εἰδοποίησε τὸν Ἰωσήφ. Ἀγνοοῦν ὅτι ἔγιναν καὶ τὰ δύο. Εἶναι ὅμως ἀνάγκη νὰ τὰ προσέχωμεν αὐτὰ εἰς ὅλην τὴν ἀφήγησιν τῶν γεγονότων. Διότι ἔτσι θὰ ἐξηγήσωμεν πολλὰς φαινομενικὰς διαφωνίας.

Παρουσιάσθη λοιπὸν ὁ ἄγγελος, ὅταν ἦτο ἀνήσυχος ὁ Ἰωσήφ. Ἀνέβαλε τὴν παρουσίαν του καὶ διὰ τοὺς παραπάνω λόγους καὶ διὰ νὰ φανῇ πόσον συνετὸς ἦτο ὁ Ἰωσήφ. Καὶ παρουσιάσθη, ὅταν ἐπλησίαζε τὸ ὅλον ἔργον εἰς τὸ τέλος του.

«Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἄγγελος κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ». Βλέπεις πόσον συγκαταβατικὸς ἦτο αὐτὸς ὁ ἄνθρωπος; Ὄχι μόνον δὲν τὴν ἐτιμώρησεν, ἀλλὰ καὶ δὲν τὸ ἀνεκοίνωσεν εἰς κανένα, οὔτε εἰς ἐκείνην ποὺ ἦτο ὕποπτη, ἀλλὰ τὸ ἐσκέπτετο μόνος του καὶ ἐφρόντιζε νὰ ἀποκρύψῃ τὴν κατηγορίαν ἀκόμη καὶ ἀπὸ τὴν Παρθένον. Διὰ τοῦτο δὲν εἶπεν· Ἤθελε νὰ τὴν διώξῃ, ἀλλὰ εἶπεν· «Ἀπολῦσαι». Ἤθελε νὰ τῆς δώσῃ διαζύγιον. Τόσον εὐγενὴς καὶ συγκαταβατικὸς ἦτο. «Ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, κατ' ὄναρ φαίνεται ὁ ἄγγελος». Ἀλλὰ διατί δὲν παρουσιάσθη φανερά, ὅπως εἰς τοὺς βοσκοὺς καὶ εἰς τὸν Ζαχαρίαν καὶ εἰς τὴν Παρθένον; Διότι ὁ ἄνθρωπος αὐτὸς ἦτο πολὺ πιστὸς καὶ δὲν εἶχεν ἀνάγκην ἀπὸ ἄμεσον ἐμφάνισιν. Ἡ Παρθένος βεβαίως, ἐπειδὴ εἰδοποιεῖτο διὰ κάτι τὸ πολὺ σημαντικόν, σημαντικώτερον καὶ ἀπὸ τοῦ Ζαχαρία, καὶ ἐπειδὴ εἰδοποιεῖτο πρὶν νὰ συμβῇ τίποτε, εἶχεν ἀνάγκην ἀπὸ τὴν θαυμαστὴν αὐτὴν ἐμφάνισιν. Ἐπίσης καὶ οἱ ποιμένες,

λοιπὸν ὑπὸ τῆς πονηρᾶς ὑποψίας καταληφθείσης καὶ ἑτοίμου οὔσης πρὸς χρηστὰς μεταθέσθαι ἐλπίδας, εἰ φανείη τις ὁ πρὸς τοῦτο ὁδηγῶν, εὐκόλως δέχεται τὴν ἀποκάλυψιν. Διὸ μετὰ τὴν ὑποψίαν εὐαγγελίζεται, ἵνα αὐτὸ τοῦτο γένηται αὐτῷ τῶν λεγομένων ἀπόδειξις. Τὸ γὰρ μηδενὶ ἐξειπεῖν, ἀλλ' ἃ κατὰ διάνοιαν ἐνεθυμήθη, ταῦτα ἀκοῦσαι λέγοντος τοῦ ἀγγέλου, ἀναμφισβήτητον αὐτῷ παρεῖχε σημεῖον τοῦ παρὰ Θεοῦ λέγοντα ἀφῖχθαι· αὐτοῦ γὰρ μόνου τὰ ἀπόῤῥητα τῆς καρδίας εἰδέναι ἐστίν. Ὅρα γοῦν πόσα γίνεται· καὶ ἡ τοῦ ἀνδρὸς φιλοσοφία διαδείκνυται, καὶ πρὸς τὴν πίστιν αὐτῷ συμβάλλεται τὸ εὐκαίρως λεχθέν, καὶ ὁ λόγος ἀνύποπτος γίνεται, δεικνὺς ὅτι ἔπαθεν ἅπερ εἰκὸς ἦν παθεῖν ἄνδρα.

6. Πῶς οὖν αὐτὸν πιστοῦται ὁ ἄγγελος; Ἄκουσον καὶ θαύμασον τὴν σοφίαν τῶν εἰρημένων. Ἐλθὼν γάρ φησιν· «Ἰωσὴφ υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου». Εὐθέως αὐτὸν ἀναμιμνῄσκει τοῦ Δαυίδ, ὅθεν ὁ Χριστὸς ἔμελλεν ἔσεσθαι, καὶ οὐκ ἀφίησιν αὐτὸν διαταραχθῆναι, διὰ τῆς τῶν προγόνων προσηγορίας τῆς ἐπαγγελίας τῆς πρὸς τὸ ὅλον γένος γενομένης ἀναμνήσας. Ἐπεὶ τίνος ἕνεκεν υἱὸν Δαυὶδ αὐτὸν ἐκάλεσε;

«Μὴ φοβηθῇς»· καίτοιγε ἀλλαχοῦ ὁ Θεὸς οὐχ οὕτω ποιεῖ, ἀλλ' βουλευομένου τινὸς περὶ γυναικὸς ὅπερ οὐκ ἔδει, ἐπιπληκτικώτερον καὶ μετ' ἀπειλῆς τῷ λόγῳ κέχρηται· καίτοιγε τὸ πρᾶγμα καὶ ἐκεῖ ἀγνοίας ἦν· οὐδὲ γὰρ εἰδὼς ἔλαβε τὴν Σάῤῥαν ἐκεῖνος· ἀλλ' ὅμως ἐπέπληξεν· ἐνταῦθα δὲ ἡμερώτερον. Πολὺ γὰρ τὸ μέγεθος τῶν οἰκονομουμένων ἦν καὶ τὸ μέσον ἑκατέρων τῶν ἀνδρῶν· διόπερ οὐδὲ ἐπιπλήξεως ἔδει.

---

1. Ὅταν ἔφθασεν ὁ Ἀβραὰμ εἰς τὴν Αἴγυπτον, παρουσίασε τὴν Σάραν ὡς ἀδελφήν του. Οἱ αὐλικοὶ τοῦ Φαραὼ «ἰδόντες ὅτι καλὴ ἦν σφόδρα, ἐπῄνεσαν αὐτὴν πρὸς Φαραὼ καὶ εἰσήγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ». Βλ. Γεν. 12, 10 - 20, ἀλλὰ ἐν τέλει ἐπενέβη ὁ Θεός.

διότι ἦσαν ὀλιγώτερον εὐαίσθητοι. Ὁ Ἰωσὴφ ὅμως δέχεται εὐκόλως τὴν ἀποκάλυψιν, διότι τοῦ ἔγινε μετὰ τὴν ἐκδήλωσιν τῆς ἐγκυμοσύνης, ὅταν εἶχε πλέον εἰσέλθει εἰς τὴν ψυχήν του ἡ καχυποψία καὶ ἦτο ὥριμος νὰ ἀνακτήσῃ ἀγαθὰς ἐλπίδας, ἂν εὑρίσκετο κάποιος ποὺ νὰ τὸν βοηθήσῃ εἰς αὐτό. Διὰ τοῦτο εἰδοποιεῖται ἀπὸ τὸν ἄγγελον μετὰ τὴν ὑποψίαν του, διὰ νὰ ἀποτελέσῃ ἀκριβῶς ἡ ὑποψία του αὐτὴ ἀπόδειξιν τῆς ἀληθείας τῆς εἰδήσεως. Διότι τὸ νὰ ἀκούσῃ τὸν ἄγγελον νὰ τοῦ λέγῃ ἐκεῖνα ποὺ ἐσυλλογίσθη μέσα εἰς τὸν νοῦν του καὶ δὲν τὰ ἀνεκοίνωσε σὲ κανένα, ἦτο δι' αὐτὸν ἀναμφισβήτητος ἀπόδειξις ὅτι εἶχε σταλῆ ἀπὸ τὸν Θεὸν αὐτὸς ποὺ τοῦ ὡμιλοῦσε. Διότι μόνον ὁ Θεὸς ἔχει τὴν δύναμιν νὰ γνωρίζῃ τὰ ἀπόκρυφα τῆς ψυχῆς. Σκέψου λοιπὸν πόσα ἐπιτυγχάνονται Ἀποδεικνύεται ἡ σύνεσις τοῦ ἀνδρὸς καὶ ἡ ἀνακοίνωσις, ποὺ ἔγινε τὴν κατάλληλον στιγμήν, τὸν βοηθεῖ νὰ πιστεύσῃ καὶ δὲν γεννᾷ ὑποψίας ὁ λόγος, διότι ἀποδεικνύει ὅτι ὁ Ἰωσὴφ ἔπαθεν ὅ,τι ἦτο φυσικὸν νὰ πάθῃ κάθε ἄνθρωπος.

6. Πῶς τὸν ἔπεισε λοιπὸν ὁ ἄγγελος; Ἄκουσε καὶ θαύμασε τὰ σοφὰ λόγια. Ἐπῆγεν εἰς τὸν Ἰωσὴφ καὶ τοῦ εἶπεν. «Ἰωσὴφ υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου». Τοῦ ἔφερεν ἀμέσως εἰς τὸν νοῦν τὸν Δαυίδ, ἀπὸ τὴν γενεὰν τοῦ ὁποίου ἐπρόκειτο νὰ γεννηθῇ ὁ Χριστός, τοῦ ὑπενθυμίζει μὲ τὴν προγονικὴν προσφώνησιν τὴν ὑπόσχεσιν ποὺ ἐδόθη εἰς ὅλον τὸ ἀνθρώπινον γένος καὶ ἔτσι δὲν τὸν ἀφήνει νὰ αἰσθανθῇ ἀνησυχίαν. Διὰ τοῦτο τὸν προσεφώνησεν υἱὸν Δαυίδ.

«Μὴ φοβηθῇς». Εἰς ἄλλην περίπτωσιν δὲν ἐνήργησεν ἔτσι ὁ Θεός, ἀλλά, ὅταν ἐσκέπτετο κάποιος κάτι πονηρὸν διὰ κάποιαν γυναῖκα, τοῦ ὡμίλησε πολὺ ἐπιτιμητικὰ καὶ αὐστηρά, ἂν καὶ ἦτο καὶ τότε αἰτία ἡ ἄγνοια. Διότι καὶ ἐκεῖνος [1] ἀπὸ ἄγνοιαν συνευρέθη μὲ τὴν Σάρραν. Παρὰ ταῦτα τὸν ἐπέπληξεν. Ἐδῶ ὅμως ἐνεργεῖ μὲ ἤπιον τρόπον. Διότι ἡ θεία οἰκονομία ἀπέβλεπεν εἰς πολὺ εὐρυτέρους σκοποὺς καὶ ἦτο μεγάλη ἡ διαφορὰ μεταξὺ τῶν δύο ἀνδρῶν. Διὰ τοῦτο δὲν ἐχρειάζετο οὔτε ἐπίπληξις.

Εἰπὼν δέ, «Μὴ φοβηθῇς», δείκνυσιν αὐτὸν δεδοικότα, μὴ προσκρούσῃ τῷ Θεῷ ὡς μοιχαλίδα ἔχων, ὡς εἰ μὴ τοῦτο ἦν, οὐδ' ἂν ἐνενόησεν ἐκβαλεῖν. Διὰ πάντων τοίνυν δείκνυσιν, ὅτι παρὰ Θεοῦ ἄγγελος ἥκει, καὶ ἅπερ ἐνενόησε, καὶ ἅπερ ἔπαθε κατὰ διάνοιαν, ἅπαντα εἰς μέσον ἐκφέρων καὶ προτιθείς. Εἰπὼν δὲ αὐτῆς τὸ ὄνομα, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ καὶ ἐπήγαγε, «Τὴν γυναῖκά σου», οὐκ ἂν οὕτω καλέσας, εἰ διέφθαρτο. Γυναῖκα δὲ ἐνταῦθα τὴν μνηστὴν λέγει· ὥσπερ οὖν καὶ γαμβροὺς εἴωθεν ἡ Γραφὴ λέγειν καὶ πρὸ τοῦ γάμου τοὺς μνηστῆρας.

Τί δέ ἐστι, «Παραλαβεῖν»; Ἔνδον κατέχειν· ἤδη γὰρ αὐτῷ τῇ διανοίᾳ ἀπολέλυτο. Ταύτην τὴν ἀπολελυμένην, φησί, κάτεχε, ἥν σοι παραδίδωσιν ὁ Θεός, οὐχ οἱ γονεῖς· παραδίδωσι δέ, οὐκ εἰς γάμον, ἀλλ' εἰς τὸ συνοικεῖν, καὶ παραδίδωσι διὰ τῆς φωνῆς τῆς ἐμῆς. Ὥσπερ αὐτὴν καὶ ὁ Χριστὸς ὕστερον παρέδωκε τῷ μαθητῇ, οὕτω καὶ νῦν τῷ Ἰωσήφ. Εἶτα καὶ τὴν ὑπόθεσιν αἰνιξάμενος, τὴν μὲν πονηρὰν ὑποψίαν οὐκ εἶπε, σεμνότερον δὲ καὶ πρεπωδέστερον τῇ τῶν ὠδίνων αἰτίᾳ κἀκείνην ἀνεῖλε, δεικνὺς ὅτι δι' ὅπερ ἐδεδοίκει καὶ ἐκβαλεῖν ἤθελε, δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ λαβεῖν καὶ κατασχεῖν ἔνδον ἂν εἴη δίκαιος, ἐκ περιουσίας λύων τὴν ἀγωνίαν. Οὐ γὰρ μόνον παρανόμου, φησίν, ἀπήλλακται μίξεως, ἀλλὰ καὶ ὑπὲρ φύσιν κυεῖ. Μὴ τοίνυν τὸν φόβον ἐκλύσῃς μόνον, ἀλλὰ καὶ εὐφραίνου μειζόνως· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου».

Παράδοξον τὸ εἰρημένον, ὑπερβαῖνον ἀνθρώπινον λογισμὸν καὶ ἀνώτερον τῶν τῆς φύσεως νόμων. Πῶς οὖν πιστεύσει

Ἡ φράσις, «Μὴ φοβηθῇς», ἀποδεικνύει ὅτι ὁ Ἰωσὴφ ἐφοβεῖτο μήπως δυσαρεστήσῃ τὸν Θεόν, ἂν συγκατοικῇ μὲ μοιχαλίδα. Διότι, ἂν δὲν ὑπῆρχεν αὐτὸς ὁ φόβος, οὔτε θὰ διενοεῖτο νὰ τὴν ἀποπέμψῃ. Κάμνει λοιπὸν φανερὸν μὲ ὅλας αὐτὰς τὰς ἐνεργείας του ὁ ἄγγελος, μὲ τὸ ὅτι δηλ. παρουσίασε καὶ ἐφανέρωσεν ὅλα ὅσα ἐσκέφθη καὶ ὅσα ἐσυλλογίσθη ὁ Ἰωσήφ, ὅτι εἶναι ἀπεσταλμένος τοῦ Θεοῦ. Καὶ ἀφοῦ εἶπε τὸ ὄνομα τῆς Παρθένου, δὲν ἐσταμάτησεν εἰς αὐτό, ἀλλὰ ἐπρόσθεσε· «Τὴν γυναῖκά σου». Δὲν θὰ τὴν ἐχαρακτήριζεν ἔτσι, ἂν εἶχε γίνει ἀνήθικη. Γυναῖκα ὀνομάζει ἐδῶ τὴν μνηστήν. Συνηθίζει ἐπίσης ἡ Ἁγία Γραφὴ νὰ ἀποκαλῇ γαμβροὺς καὶ τοὺς μνηστευμένους, προτοῦ νὰ γίνῃ ὁ γάμος των.

Ἀλλὰ τί σημαίνει «Παραλαβεῖν»; Νὰ τὴν κρατήσῃ εἰς τὸ σπίτι του. Διότι τὴν εἶχεν ἤδη ἀπομακρύνει μὲ τὴν σκέψιν του. Αὐτήν, λέγει, τὴν ὁποίαν ἔχεις ἀπομακρύνει, τὴν ὁποίαν σοῦ παραδίδει ὁ Θεὸς καὶ ὄχι οἱ γονεῖς της, νὰ τὴν κρατήσῃς. Καὶ σοῦ τὴν παραδίδει ὄχι διὰ γάμον, ἀλλὰ διὰ νὰ συγκατοικῇς. Καὶ σοῦ τὴν παραδίδει μὲ τὴν ἰδικήν μου φωνήν. Ὅπως τὴν παρέδωσε καὶ ὁ Χριστὸς ἀργότερα εἰς τὸν μαθητήν του, ἔτσι τὴν παραδίδει καὶ ὁ ἄγγελος τώρα εἰς τὸν Ἰωσήφ. Ἔπειτα ὡμίλησεν ἐμμέσως διὰ τὸ ζήτημα καὶ δὲν ἔκαμε λόγον διὰ τὴν καχυποψίαν, ἀλλὰ ἀπήλλαξε τὴν Παρθένον μὲ τρόπον εὐγενῆ καὶ διακριτικὸν ἀπὸ τὴν κατηγορίαν διὰ τὴν ἐγκυμοσύνην της καὶ ἔδειξεν ὅτι, διὰ τὸν λόγον, τὸν ὁποῖον ἐφοβεῖτο καὶ ἤθελε νὰ τὴν ἀποπέμψῃ, δι' αὐτὸν ἀκριβῶς ἔπρεπε νὰ τὴν παραλάβῃ καὶ νὰ τὴν κρατήσῃ εἰς τὸ σπίτι του. Μὲ αὐτὸν τὸν τρόπον διέλυσε πλήρως τὴν ἀγωνίαν τοῦ Ἰωσήφ. Διότι, λέγει, ὄχι μόνον δὲν εἶναι ἔνοχος διὰ παράνομον συνεύρεσιν, ἀλλὰ ἔμεινεν ἔγκυος μὲ ὑπερφυσικὸν τρόπον. Διὰ τοῦτο πρέπει ὄχι ἁπλῶς νὰ ἀποβάλῃς τὸν φόβον, ἀλλὰ καὶ νὰ αἰσθάνεσαι μεγάλην χαράν· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου».

Τὰ λόγια αὐτὰ εἶναι παράδοξα, εὑρίσκονται πέραν ἀπὸ τὴν ἀνθρωπίνην λογικὴν καὶ ἐπάνω ἀπὸ τοὺς φυσικοὺς νό-

ὁ τούτων ἄπειρος τῶν διηγημάτων ἀνήρ; Ἀπὸ τῶν παρελθόντων, φησίν, ἀπὸ τῶν ἀποκαλύψεων. Διὰ γὰρ τοῦτο τὰ ἐν τῇ διανοίᾳ πάντα ἐξελάκυψεν, ἅπερ ἔπαθεν, ἅπερ ἔδεισεν, ἅπερ ποιῆσαι ἐβουλεύσατο, ἵνα ἐξ ἐκείνων καὶ τοῦτο πιστώσηται· μᾶλλον δέ, οὐκ ἀπὸ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων αὐτὸν ἐπάγεται. «Τέξεται δέ», φησίν, «υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν».

Μὴ γάρ, ἐπειδὴ ἐκ Πνεύματός ἐστιν ἁγίου, νομίσῃς ἀλλότριόν σε τῆς διακονίας εἶναι τῆς κατὰ τὴν οἰκονομίαν. Εἰ γὰρ καὶ εἰς τὴν γέννησιν οὐδὲν συντελεῖς, ἀλλ' ἀνέπαφος ἔμεινεν ἡ Παρθένος, ὅμως ὅπερ ἐστὶ πατρὸς ἴδιον, οὐ λυμαινόμενον τὸ τῆς παρθενίας ἀξίωμα, τοῦτό σοι δίδωμι, τὸ ὄνομα ἐπιθεῖναι τῷ τικτομένῳ· σὺ γὰρ αὐτὸν καλέσεις. Εἰ γὰρ καὶ μὴ σὸς ὁ τόκος, ἀλλὰ τὰ πατρὸς ἐπιδείξῃ περὶ αὐτόν. Διὰ τοῦτό σε καὶ ἀπὸ τῆς τοῦ ὀνόματος θέσεως εὐθέως οἰκειῶ τῷ τικτομένῳ. Εἶτα, ἵνα μὴ πάλιν ἐκ τούτου πατέρα τις ὑποπτεύσῃ, ἄκουσον τὰ ἑξῆς πῶς μετὰ ἀκριβείας τίθησι. «Τέξεται», φησίν, «υἱόν»· οὐκ εἶπε, Τέξεταί σοι, ἀλλ' ἁπλῶς, «Τέξεται», μετέωρον αὐτὸ θείς· οὐ γὰρ αὐτῷ ἔτικτεν, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ.

7. Διὰ τοῦτο καὶ τὸ ὄνομα ἐκ τῶν οὐρανῶν ἦλθε κομίζων ὁ ἄγγελος, καὶ ἐντεῦθεν δεικνὺς θαυμαστὸν ὄντα τὸν τόκον, τῷ τὸν Θεὸν εἶναι τὸν τὴν προσηγορίαν ἄνωθεν πέμποντα διὰ τοῦ ἀγγέλου τῷ Ἰωσήφ. Οὐδὲ γὰρ τοῦτο ἁπλῶς ἦν, ἀλλὰ μυρίων ἀγαθῶν θησαυρός. Διὸ καὶ ἑρμηνεύει τοῦτο ὁ ἄγγελος καὶ χρηστὰς ὑποτείνει ἐλπίδας, καὶ ταύτῃ πρὸς πίστιν αὐτὸν ἐπαγόμενος. Πρὸς γὰρ ταῦτα ἐπιρρεπέστερον εἰώθαμεν ἔχειν· διὸ καὶ μᾶλλον αὐτοῖς πιστεύειν φιλοῦμεν. Ἀπὸ πάντων τοίνυν κατασκευάσας τὴν πίστιν, ἀπὸ τῶν παρελθόντων, ἀπὸ τῶν μελλόν-

μους. Πῶς θὰ τὰ πιστεύσῃ ὅμως ὁ ἄνθρωπος, ὁ ὁποῖος τὰ ἀκούει διὰ πρώτην φοράν; Ἀπὸ τὰ περασμένα, λέγει, ἀπὸ ὅσα τοῦ ἀπεκάλυψεν ὁ ἄγγελος. Διότι δι' αὐτὸν τὸν λόγον τοῦ ἀπεκάλυψεν ὅσα ἐσυλλογίσθη, ὅσα ὑπέφερεν, ὅσα ἐφοβήθη, ὅσα ἐσκέφθη νὰ κάμῃ, διὰ νὰ βεβαιωθῇ ἀπὸ αὐτὰ διὰ τὸ παρὸν ζήτημα. Καὶ δὲν τὸν πείθει μόνον ἀπὸ τὰ περασμένα, ἀλλὰ καὶ ἀπὸ τὰ μέλλοντα. «Τέξεται δέ», λέγει, «υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν».

Μὴ νομίσῃς λοιπὸν ὅτι, ἐπειδὴ ἐγεννήθη ἀπὸ τὸ Ἅγιον Πνεῦμα, δὲν ἔχεις καθῆκον νὰ τοῦ προσφέρῃς τὰς ὑπηρεσίας σου ὡς οἰκογενειάρχης. Διότι, ἂν καὶ δὲν συνέβαλες καθόλου εἰς τὴν γέννησιν, ἂν καὶ ἡ Παρθένος παρέμεινε παρθένος, σοῦ δίδω τὸ δικαίωμα, τὸ ὁποῖον ἀνήκει εἰς τὸν πατέρα καὶ δὲν θίγει τὴν ἰδιότητα τῆς παρθένου, νὰ δώσῃς τὸ ὄνομα εἰς τὸ νεογέννητον. Ἐσὺ λοιπὸν θὰ τοῦ δώσῃς τὸ ὄνομα. Διότι, ἂν καὶ δὲν εἶναι παιδί σου, θὰ ἐνεργῇς ὡς πατέρας του. Διὰ τοῦτο σοῦ ἀναθέτω νὰ τοῦ δώσῃς τὸ ὄνομα, διὰ νὰ σὲ συνδέσω ἀμέσως μὲ τὸ νεογέννητον. Ἄκουσε τώρα μὲ πόσην ἀκρίβειαν ἐτακτοποίησε τὰ ὑπόλοιπα, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ὁ Ἰωσὴφ εἶναι πατέρας. «Τέξεται», λέγει, «υἱόν». Θὰ γεννήσῃ υἱόν. Δὲν εἶπε, θὰ σοῦ γεννήσῃ, ἀλλὰ ἁπλῶς, «Τέξεται», καὶ τὸ ἄφησεν ἀόριστον. Διότι δὲν θὰ ἐγεννοῦσε δι' αὐτόν, ἀλλὰ διὰ ὁλόκληρον τὴν οἰκουμένην.

7. Διὰ τοῦτο ἔφερε καὶ τὸ ὄνομα ὁ ἄγγελος ἀπὸ τοὺς οὐρανοὺς καὶ ἔδειξε καὶ μὲ τὴν ἐνέργειαν αὐτήν, μὲ τὸ νὰ ἀποστείλῃ ὁ Θεὸς ἀπὸ τοὺς οὐρανοὺς διὰ τοῦ ἀγγέλου εἰς τὸν Ἰωσὴφ τὸ ὄνομα, ὅτι ἡ ἐγκυμοσύνη ὀφείλεται εἰς θαῦμα. Διότι καὶ τὸ ὄνομα ἀκόμη δὲν ἦτο κάτι τὸ ἀσήμαντον, ἀλλὰ εἶναι θυσαυροφυλάκιον ἀπείρων ἀγαθῶν. Διὰ τοῦτο τὸ ἑρμηνεύει ὁ ἄγγελος καὶ δημιουργεῖ ἀγαθὰς ἐλπίδας καὶ βοηθεῖ αὐτὸν καὶ μὲ αὐτὸν τὸν τρόπον νὰ σκεφθῇ. Διότι ἐπηρεαζόμεθα συνήθως ἀπὸ αὐτά. Διὰ τοῦτο συνήθως πιστεύομεν περισσότερον μὲ τὴν βοήθειαν καὶ αὐτῶν. Ἀφοῦ ἐνίσχυσε τὴν πίστιν του μὲ ὅλα αὐτά, μὲ τὰ παρελθόντα, μὲ τὰ μέλλοντα, μὲ τὰ παρόντα, μὲ τὴν τι-

των, ἀπὸ τῶν ἐνεστώτων, ἀπὸ τῆς εἰς αὐτὸν τιμῆς, εἰσάγει καὶ τὸν προφήτην εὐκαίρως τούτοις ἅπασι ψηφιζόμενον. Πρὶν ἢ δὲ αὐτὸν εἰσαγαγεῖν, τὰ μέλλοντα τῇ οἰκουμένῃ δι' αὐτοῦ συμβήσεσθαι ἀγαθὰ προαναφωνεῖ. Τίνα δὲ ταῦτά ἐστιν; Ἁμαρτιῶν ἀπαλλαγὴ καὶ ἀναίρεσις. «Αὐτὸς γὰρ σώσει», φησί, «τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν».

Καὶ ἐνταῦθα τὸ παράδοξον ἐνδείκνυται. Οὐ γὰρ πολέμων αἰσθητῶν, οὐδὲ βαρβάρων, ἀλλὰ ὃ πολλῷ τούτων μεῖζον ἦν, ἁμαρτημάτων ἀπαλλαγὴν εὐαγγελίζεται· ὃ μηδενί ποτε ἔμπροσθεν ἐγένετο δυνατόν. Καὶ τίνος ἕνεκεν, φησί, «Τὸν λαὸν αὐτοῦ», εἶπε, καὶ οὐχὶ καὶ τὰ ἔθνη προσέθηκεν; Ἵνα μὴ πτοήσῃ τὸν ἀκροατὴν τέως. Τῷ γὰρ συνετῶς ἀκροωμένῳ καὶ τὰ ἔθνη ᾐνίξατο. Λαὸς γὰρ αὐτοῦ οὐχ οἱ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ πάντες οἱ προσιόντες καὶ δεχόμενοι τὴν παρ' αὐτοῦ γνῶσιν.

Σκόπει δὲ πῶς αὐτοῦ καὶ τὸ ἀξίωμα ἡμῖν παρήνοιξε, λαὸν αὐτοῦ καλῶν τὸν δῆμον τὸν Ἰουδαϊκόν. Τοῦτο γὰρ οὐδὲν ἄλλο δεικνύοντός ἐστίν, ἢ ὅτι Θεοῦ Παῖς ὁ τικτόμενος καὶ περὶ τοῦ τῶν ἄνω βασιλέως ὁ λόγος ἐστὶν αὐτῷ. Οὐδὲ γὰρ ἁμαρτήματα ἀφιέναι ἑτέρας ἐστὶ δυνάμεως, ἀλλ' ἢ τῆς οὐσίας μόνης ἐκείνης.

Ἐπεὶ οὖν τοσαύτης ἀπελαύσαμεν δωρεᾶς, πάντα ποιῶμεν, ὥστε μὴ τὴν εὐεργεσίαν καθυβρίσαι τὴν τοσαύτην. Εἰ γὰρ καὶ πρὸ τῆς τιμῆς ταύτης ἄξια κολάσεως τὰ γινόμενα ἦν, πολλῷ μᾶλλον μετὰ τὴν ἄφατον ταύτην εὐεργεσίαν.

Καὶ ταῦτα οὐχ ἁπλῶς λέγω νῦν, ἀλλ' ἐπειδὴ πολλοὺς ὁρῶ μετὰ τὸ βάπτισμα ῥᾳθυμότερον τῶν ἀμυήτων διατελοῦντας, καὶ οὐδὲν ἔχοντας ἴδιον γνώρισμα πολιτείας. Διά τοι τοῦτο οὐκ ἐν ἀγορᾷ, οὐκ ἐν ἐκκλησίᾳ δυνατὸν εἰδέναι ταχέως, τίς μὲν ὁ πιστός, τίς δὲ ὁ μὴ πιστός, πλὴν εἴ τις κατὰ τὸν καιρὸν ἐπισταίη

μὴν ποὺ τοῦ ἔκαμε, παρουσιάζει καὶ τὸν προφήτην εἰς τὴν κατάλληλον στιγμὴν νὰ ἐπικυρώνῃ ὅλα αὐτά. Προτοῦ νὰ τὸν παρουσιάσῃ ὅμως, προλέγει τὰ ἀγαθὰ ποὺ θὰ κερδίσῃ ἡ οἰκουμένη διὰ τοῦ Ἰησοῦ. Καὶ ποῖα εἶναι αὐτά; Ἀπαλλαγὴ ἀπὸ τὰς ἁμαρτίας καὶ κατάργησις αὐτῶν. «Αὐτὸς γάρ», λέγει, «σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν».

Καὶ μὲ τὰ λόγια αὐτὰ ὑποδηλώνεται τὸ θαῦμα. Διότι δὲν ὑπόσχεται ἀπαλλαγὴν ἀπὸ πολέμους ἢ ἀπὸ βαρβάρους, ἀλλὰ κάτι τὸ πολὺ σημαντικώτερον· ἀπαλλαγὴν ἀπὸ τὰς ἁμαρτίας. Αὐτὸ κανεὶς δὲ τὸ κατώρθωσε ποτὲ προηγουμένως. Ἀλλὰ διὰ τί, θὰ ἔλεγε κανείς, εἶπε «Τὸν λαὸν αὐτοῦ» καὶ δὲν εἶπεν ὅλους τοὺς λαούς; Διὰ νὰ μὴ κάμῃ διστακτικὸν τὸν ἀκροατήν του ἐκείνην τὴν στιγμήν. Ἀλλὰ διὰ τὸν συνετὸν ἀκροατὴν ἀνεφέρετο εἰς ὅλους τοὺς λαούς. Διότι λαός του δὲν εἶναι μόνον οἱ Ἰουδαῖοι, ἀλλὰ καὶ ὅλοι ὅσοι πιστεύουν καὶ δέχονται τὴν διδασκαλίαν του.

Πρόσεξε πῶς μᾶς ἐφανέρωσε τὴν ἐξουσίαν του μὲ τὸ νὰ χαρακτηρίσῃ λαόν του τὸν Ἰουδαϊκὸν λαόν. Ὁ λόγος αὐτὸς δὲν ἀποδεικνύει τίποτε ἄλλο, παρὰ ὅτι ὁ γεννώμενος εἶναι υἱὸς τοῦ Θεοῦ καὶ ὅτι ὁμιλεῖ πρὸς αὐτὸν διὰ τὸν βασιλέα τῶν οὐρανῶν. Διότι κανεὶς ἄλλος ἐκτὸς ἀπὸ τὸν Θεὸν δὲν ἔχει τὴν δύναμιν νὰ συγχωρῇ ἁμαρτίας.

Ἀφοῦ λοιπὸν εὐεργετήθημεν τόσον πολύ, ἂς κάμνωμεν τὸ πᾶν, ὥστε νὰ μὴ φαινώμεθα ἀχάριστοι πρὸς τόσην εὐεργεσίαν. Διότι, ἀφοῦ ἡ διαγωγή μας ἄξιζε νὰ μᾶς ὁδηγήσῃ εἰς τὴν κόλασιν πρὶν ἀπὸ αὐτὴν τὴν πρωτοφανῆ εὐεργεσίαν, θὰ ἀξίζῃ πολὺ περισσότερον μετὰ ἀπὸ αὐτήν.

Αὐτὰ δὲν τὰ λέγω ἄνευ σοβαροῦ λόγου, ἀλλὰ τὰ λέγω, ἐπειδὴ βλέπω ὅτι πολλοὶ γίνονται μετὰ τὸ βάπτισμα περισσότερον ἀδιάφοροι ἀπὸ τοὺς ἀβαπτίστους καὶ στεροῦνται τῶν βασικῶν χαρακτηριστικῶν τοῦ Χριστιανοῦ. Διὰ τοῦτο δὲν εἶναι δυνατὸν νὰ γνωρίσῃ κανεὶς ἀμέσως οὔτε εἰς τὴν ἀγορὰν οὔτε εἰς τὴν ἐκκλησίαν ποῖος εἶναι καὶ ποῖος δὲν εἶναι πιστός, ἐκτὸς ἂν προσέξῃ κανεὶς κατὰ τὴν ὥραν τῆς τελέ-

τῶν μυστηρίων, καὶ ἴδοι τοὺς μὲν ἐκβαλλομένους, τοὺς δὲ ἔνδον μένοντας. Ἐχρῆν δὲ οὐκ ἀπὸ τοῦ τόπου, ἀλλ᾽ ἀπὸ τοῦ τρόπου γνωρίζεσθαι. Τὰ μὲν γὰρ ἔξωθεν ἀξιώματα, εἰκότως ἀπὸ τῶν ἔξωθεν περικειμένων τεκμηρίων ἐστὶ κατάδηλα· τὰ δὲ ἡμέτερα ἀπὸ τῆς ψυχῆς εἶναι γνώριμα χρή. Τὸν γὰρ πιστὸν οὐκ ἀπὸ τῆς δωρεᾶς χρὴ φαίνεσθαι μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ζωῆς τῆς καινῆς. Τὸν πιστόν, φωστῆρα δεῖ εἶναι τοῦ κόσμου καὶ ἅλας. Ὅταν δὲ μηδὲ σαυτῷ φαίνῃς, μηδὲ τὴν οἰκείαν σηπεδόνα ἐπισφίγγῃς, πόθεν σε εἰσόμεθα λοιπόν; ὅτι τῶν ναμάτων ἐπέβης τῶν ἱερῶν; Ἀλλὰ τοῦτό σοι κολάσεως ἐφόδιον γίνεται. Τιμῆς γὰρ μέγεθος τοῖς οὐκ ἀξίως τῆς τιμῆς ζῆν προαιρουμένοις προσθήκη τιμωρίας ἐστί. Τὸν γὰρ πιστὸν οὐκ ἀφ᾽ ὧν ἔλαβε παρὰ τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ ἀφ᾽ ὧν αὐτὸς εἰσήνεγκε λάμπειν δίκαιον, καὶ πανταχόθεν εἶναι γνώριμον, ἀπὸ τοῦ βαδίσματος, ἀπὸ τοῦ βλέμματος, ἀπὸ τοῦ σχήματος, ἀπὸ τῆς φωνῆς. Ταῦτα δὲ εἶπον, οὐχ ἵνα πρὸς ἐπίδειξιν, ἀλλ᾽ ἵνα πρὸς ὠφέλειαν τῶν ὁρώντων ἑαυτοὺς ρυθμίσωμεν. Νῦν δὲ ὅθεν ἂν ζητήσω σε ἐπιγνῶναι, πανταχοῦ σε ἀπὸ τῶν ἐναντίων εὑρίσκω φαινόμενον. Ἄν τε γὰρ ἀπὸ τοῦ τόπου βουληθῶ σε καταμαθεῖν, ἐν ἱπποδρομίοις καὶ θεάτροις καὶ παρανομίαις ὁρῶ διημερεύοντα, ἐν πονηροῖς συλλόγοις τοῖς ἐν ἀγορᾷ, καὶ ἀνθρώπων συνουσίαις διεφθαρμένων· ἄν τε ἀπὸ τοῦ σχήματος τῆς ὄψεως, ἀνακαγχάζοντα βλέπω διηνεκῶς καὶ διαλελυμένον, καθάπερ σεσηρυῖαν ἑταιρίδα καὶ ἀπολελυμένην· ἄν τε ἀπὸ τῶν ἱματίων, τῶν ἐπὶ σκηνῆς οὐδὲν ἄμεινον διακείμενον ὁρῶ· ἄν τε ἀπὸ τῶν ἑπομένων, παρασίτους περιφέρεις καὶ

σεως τῶν μυστηρίων καὶ ἰδῇ ἄλλους νὰ ἐξέρχωνται καὶ ἄλλους νὰ παραμένουν μέσα. Ἔπρεπεν ὅμως νὰ διακρίνωνται ἀπὸ τοὺς τρόπους των, ὄχι ἀπὸ τὸν τόπον. Διότι ὀρθῶς τὰ κοσμικὰ ἀξιώματα γίνονται ὁλοφάνερα ἀπὸ ἐξωτερικὰ τεκμήρια. Ἡ ἰδική μας ἀξία ὅμως πρέπει νὰ πηγάζῃ ἀπὸ τὴν ψυχήν. Διότι ὁ πιστὸς πρέπει νὰ διακρίνεται ὄχι μόνον ἀπὸ τὴν συμμετοχὴν εἰς τὰ μυστήρια, ἀλλὰ καὶ ἀπὸ τὴν ἀνακαίνησιν τῆς ζωῆς του. Ὁ πιστὸς πρέπει νὰ εἶναι πηγὴ φωτὸς καὶ ἅλας τοῦ κόσμου. Ὅταν ὅμως δὲν εἶσαι εἰλικρινὴς οὔτε μὲ τὸν ἑαυτόν σου καὶ ὅταν δὲν περιορίζῃς τὴν γάγγραιναν ἀπὸ ποῦ θὰ σὲ γνωρίσωμεν τέλος πάντων; Ἀπὸ τὸ ὅτι ἔλαβες τυπικῶς μέρος εἰς τὸ μυστήριον τῆς θείας εὐχαριστίας; Αὐτὸ ὅμως καταλήγει νὰ εἶναι αἰτία τιμωρίας σου. Διότι τὰ μεγαλύτερα ἀξιώματα ἐπισύρουν μεγαλυτέραν ποινὴν δι' ἐκείνους οἱ ὁποῖοι ἐπιλέγουν τρόπον ζωῆς ἀνάξιον τοῦ ἀξιώματός των. Πρέπει λοιπὸν νὰ ἀκτινοβολῇ ὁ πιστὸς ὄχι μόνον μὲ ὅσα τοῦ ἔδωσεν ὁ Θεός, ἀλλὰ καὶ μὲ ὅσα ἐπιτελεῖ ὁ ἴδιος, καὶ νὰ διακρίνεται ἀπὸ τὰ πάντα, ἀπὸ τὸ βάδισμα, ἀπὸ τὸ βλέμμα, ἀπὸ τὴν ἐμφάνισιν, ἀπὸ τὴν ὁμιλίαν. Αὐτὰ τὰ λέγω διὰ νὰ ἐπιδιώκωμεν εἰς τὴν ζωήν μας ὄχι τὴν ἐπίδειξιν, ἀλλὰ τὴν ὠφέλειαν ἐκείνων πού μᾶς βλέπουν. Τώρα ὅμως, ἀπὸ ὅποιαν ἐκδήλωσίν σου ζητήσω νὰ γνωρίσω τὴν νοοτροπίαν σου, σὲ εὑρίσκω πάντοτε νὰ ἐκδηλώνεσαι μὲ τὰ ἀντίθετα. Ἂν π.χ. θελήσω νὰ σὲ κρίνω μὲ κριτήριον τὸν τόπον, σὲ εὑρίσκω νὰ διέρχεσαι τὴν ἡμέραν σου εἰς ἱπποδρόμια καὶ θέατρα καὶ ἁμαρτωλοὺς τόπους, εἰς ἐπιληψίμους συγκεντρώσεις εἰς τὴν ἀγορὰν καὶ εἰς συναναστροφὰς μὲ διεφθαρμένους ἀνθρώπους· ἂν σὲ κρίνω μὲ κριτήριον τὸ ὕφος τοῦ προσώπου σου, σὲ βλέπω νὰ καγχάζῃς συνεχῶς καὶ νὰ εἶσαι ἀφῃρημένος ὡσὰν γελοία καὶ ἐγκαταλελειμμένη ἑταίρα. Ἂν ἀπὸ τὰ ἐνδύματά σου, σὲ βλέπω νὰ μὴ εὑρίσκεσαι εἰς καλυτέραν κατάστασιν ἀπὸ τοὺς θεατρίνους· ἂν ἀπὸ τοὺς συνοδούς σου, ἔχεις κοντά σου παρασίτους καὶ κόλακας· ἂν ἀπὸ τὰ λόγια σου, δὲν σὲ ἀκούω νὰ λέγῃς κάτι τὸ συνετόν,

κόλακας· ἄν τε ἀπὸ τῶν ῥημάτων, οὐδὲν ὑγιές, οὐδὲν ἀναγκαῖον, οὐδὲ συνέχον ἡμῶν τὴν ζωὴν ἀκούω φθεγγόμενον· ἄν τε ἀπὸ τῆς τραπέζης μείζων ἐντεῦθεν ἡ κατηγορία φανεῖται.

8. Πόθεν οὖν, εἰπέ μοι, δυνήσομαί σε ἐπιγνῶναι τὸν πιστόν, τῶν εἰρημένων ἁπάντων τἀναντία ψηφιζομένων; Καὶ τί λέγω τὸν πιστόν; Οὐδὲ γὰρ εἰ ἄνθρωπος εἶ, σαφῶς δύναμαι μαθεῖν. Ὅταν γὰρ λακτίζῃς μὲν ὥσπερ ὄνος, σκιρτᾷς δὲ ὥσπερ ταῦρος, χρεμετίζῃς δὲ ἐπὶ γυναιξὶν ὥσπερ ἵππος· καὶ γαστριμαργῇς μὲν ὥσπερ ἄρκτος, πιαίνῃς δὲ τὴν σάρκα ὥσπερ ἡμίονος· μνησικακῇς δὲ ὥσπερ κάμηλος· καὶ ἁρπάζῃς μὲν ὡς λύκος, ὀργίζῃ δὲ ὡς ὄφις, πλήττῃς δὲ ὡς σκορπίος, ὕπουλος δὲ ᾖς ὥσπερ ἀλώπηξ, ἰὸν δὲ πονηρίας διατηρῇς, ὥσπερ ἀσπὶς καὶ ἔχις, πολεμῇς δὲ κατὰ τῶν ἀδελφῶν ὥσπερ ὁ πονηρὸς δαίμων ἐκεῖνος· πῶς δυνήσομαί σε μετὰ τῶν ἀνθρώπων ἀριθμεῖν οὐχ ὁρῶν ἐν σοὶ τῆς τοιαύτης φύσεως τοὺς χαρακτῆρας; Κατηχουμένου γὰρ καὶ πιστοῦ διαφορὰν ζητῶν, κινδυνεύω μηδὲ ἀνδρὸς καὶ θηρίου εὑρεῖν διαφοράν. Τί γάρ σε εἴπω; Θηρίον; Ἀλλὰ τὰ θηρία ἑνὶ τούτων τῶν ἐλαττωμάτων κατέχεται· σὺ δὲ ὁμοῦ συμφορήσας πάντα, πορρωτέρω τῆς ἐκείνων ἀλογίας ὁδεύεις. Ἀλλὰ δαίμονά σε προσείπω; Ἀλλὰ δαίμων οὔτε γαστρὸς δουλεύει τυραννίδι, οὔτε χρημάτων ἐρᾷ. Ὅταν οὖν καὶ θηρίων καὶ δαιμόνων ἐλαττώματα πλείονα ἔχῃς, πῶς σε ἄνθρωπον καλέσομεν, εἰπέ μοι; Εἰ δὲ ἄνθρωπόν σε οὐκ ἔστιν εἰπεῖν, πῶς σε προσεροῦμεν πιστόν; Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὕτω διακείμενοι κακῶς, οὐδὲ ἐννοοῦμεν τῆς ψυχῆς ἡμῶν τὴν ἀμορφίαν, οὐδὲ καταμανθάνομεν αὐτῆς τὸ δυσειδές. Ἀλλ' ἐν κουρείῳ μὲν καθήμενος, καὶ τὴν κόμην ἀποκείρων, τὸ κάτοπτρον λαβὼν περισκοπεῖς μετὰ ἀκριβείας τὴν τῶν τριχῶν σύνθεσιν, καὶ τοὺς

οὔτε τὸ ἀπαραίτητον, οὔτε τὸ σπουδαῖον διὰ τὴν ζωήν μας. Ἂν ἀπὸ τὰ φαγητά σου, ἡ ἐπίκρισις εἰς τὸν τομέα αὐτὸν θὰ εἶναι μεγαλυτέρα.

8. Ἀπὸ τί λοιπόν, ἀπάντησέ μου, θὰ ἠμπορέσω νὰ ἀναγνωρίσω ἐσένα τὸν πιστόν, ἀφοῦ ὅλα τὰ παραπάνω βεβαιώνουν τὸ ἀντίθετον; Ἀλλὰ διατί ὁμιλῶ περὶ πιστοῦ; Ἀφοῦ δὲν ἠμπορῶ νὰ ἐννοήσω μετὰ βεβαιότητος ἂν εἶσαι ἄνθρωπος. Ὅταν λακτίζῃς ὡσὰν ὄνος καὶ πηδᾷς ὅπως ὁ ταῦρος καὶ χρεμετίζῃς διὰ τὰς γυναῖκας ὅπως ὁ ἵππος καὶ εἶσαι λαίμαργος ὅπως ἡ ἄρκτος καὶ παχύνῃς τὸ σῶμα σου ὡσὰν ἡμίονος καὶ μνησικακῇς ὡσὰν καμήλα καὶ ἁρπάζῃς ὅπως ὁ λύκος, ὀργίζεσαι ὅπως ὁ ὄφις, δαγκώνῃς ὅπως ὁ σκορπιός, εἶσαι ὕπουλος ὅπως ἡ ἀλεπού, ἔχῃς μέσα εἰς τὴν ψυχήν σου δηλητήριον ὅπως ἡ κόμπρα καὶ ἡ ἔχιδνα καὶ διεξάγῃς πόλεμον κατὰ τῶν ἀδελφῶν σου ὅπως ὁ πονηρὸς ἐκεῖνος διάβολος, πῶς εἶναι δυνατὸν νὰ σὲ ὑπολογίζω μεταξὺ τῶν ἀνθρώπων, ἀφοῦ βλέπω νὰ ἔχῃς αὐτοῦ τοῦ εἴδους τὰ χαρακτηριστικά; Ἐνῶ ἀναζητῶ τὴν διαφορὰν μεταξὺ πιστοῦ καὶ κατηχουμένου, ὑπάρχει κίνδυνος νὰ μὴ εὕρω διαφορὰν μεταξὺ ἀνθρώπου καὶ θηρίου. Τί νὰ σὲ ὀνομάσω λοιπόν; Θηρίον; Τὰ θηρία ὅμως ἔχουν ἕνα ἀπὸ αὐτὰ τὰ ἐλαττώματα. Ἐσύ, ἀντιθέτως, ἀφοῦ τὰ συνεκέντρωσες ὅλα μαζί, προχωρεῖς πέραν ἀπὸ τὴν ζωώδη κατάστασιν ἐκείνων. Νὰ σὲ ἀποκαλέσω σατανᾶν; Ἀλλὰ ὁ σατανᾶς οὔτε κοιλιόδουλος εἶναι οὔτε εἶναι ἐρωτευμένος μὲ τὰ χρήματα. Ἀπάντησέ μου λοιπόν. Πῶς θὰ σὲ ἀποκαλῶ ἄνθρωπον, ὅταν ἔχῃς περισσότερα ἐλαττώματα ἀπὸ τὰ θηρία καὶ ἀπὸ τὸν σατανᾶν; Καὶ ἂν δὲν εἶναι δυνατὸν νὰ σὲ λέγω ἄνθρωπον, πῶς θὰ σὲ ἀποκαλέσω πιστόν; Καὶ τὸ χειρότερον εἶναι βεβαίως ὅτι, ἐπειδὴ ἔχομεν τόσην κακίαν, δὲν ἀντιλαμβανόμεθα ὅτι ἡ ψυχή μας ἔχασε τὴν ὀμορφιάν της, οὔτε κατανοοῦμεν τὴν ἀσχήμιαν της. Ἀλλὰ ὅταν εὑρίσκεσαι εἰς τὸ κουρεῖον καὶ περιποιεῖσαι τὴν κόμην σου, παίρνεις τὸν καθρέπτην καὶ ἐξετάζεις μὲ μεγάλην προσοχὴν τὴν γενικὴν εἰκόνα τῶν μαλ-

παρεστῶτας ἐρωτᾷς καὶ τὸν ἀποκείροντα αὐτόν, εἰ καλῶς τὰ πρὸς τῷ μετώπῳ συνέθηκε· καὶ γέρων ὢν πολλάκις, οὐκ αἰσχύνῃ νεωτερικαῖς φαντασίαις ἐπιμαινόμενος· τῆς δὲ ψυχῆς ἡμῶν οὐκ ἀμόρφου μόνον, ἀλλὰ καὶ θηριομόρφου, καὶ Σκύλλης τινὸς ἢ Χιμαίρας, κατὰ τὸν ἔξω μῦθον, γεγενημένης, οὐδὲ μικρὸν αἰσθανόμεθα. Καίτοιγε καὶ ἐνταῦθα κάτοπτρον ἔστι πνευματικόν, καὶ πολλῶν βέλτιον ἐκείνου καὶ χρησιμώτερον· οὐδὲ γὰρ δείκνυσι τὴν ἀμορφίαν μόνον, ἀλλὰ καὶ μετατίθησιν αὐτὴν πρὸς κάλλος ἀμήχανον, ἂν θέλωμεν.

Τοῦτο δέ ἐστιν ἡ τῶν ἀγαθῶν ἀνδρῶν μνήμη καὶ τῆς μακαρίας ζωῆς αὐτῶν ἱστορία, ἡ τῶν Γραφῶν ἀνάγνωσις, οἱ παρὰ τοῦ Θεοῦ δοθέντες νόμοι. Κἂν βουληθῇς ἅπαξ μόνον ἰδεῖν εἰς τὰς τῶν ἁγίων ἐκείνων εἰκόνας, καὶ τὸ δυσειδὲς ὄψει τῆς διανοίας τῆς σῆς, καὶ ἰδὼν οὐδενὸς δεήσῃ λοιπὸν ἑτέρου εἰς τὸ ἀπαλλαγῆναι τῆς αἰσχρότητος ταύτης. Καὶ γὰρ εἰς τοῦτο χρήσιμον ἡμῖν τὸ κάτοπτρον, καὶ ῥᾳδίαν ποιεῖ τὴν μετάθεσιν.

Μηδεὶς τοίνυν ἐν τῇ τῶν ἀλόγων μενέτω μορφῇ. Εἰ γὰρ ὁ δοῦλος εἰς τὴν οἰκίαν τοῦ πατρὸς οὐκ εἰσέρχεται, ὅταν αὐτὸς καὶ θηρίον γένῃ, πῶς δυνήσῃ τῶν προθύρων ἐπιβῆναι ἐκείνων; Καὶ τί λέγω θηρίον; Θηρίου μὲν παντὸς χαλεπώτερος ὁ τοιοῦτός ἐστιν. Ἐκεῖνα μὲν γάρ, καίτοι κατὰ φύσιν ὄντα ἄγρια, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης, πολλάκις ἥμερα γίνεται· σὺ δὲ ὁ τὴν ἐκείνων θηριωδίαν τὴν κατὰ φύσιν εἰς τὴν παρὰ φύσιν ἡμερότητα μεταβαλών, ποίαν ἕξεις ἀπολογίαν, τὴν σεαυτοῦ πραότητα τὴν κατὰ φύσιν εἰς τὴν παρὰ φύσιν θηριωδίαν ἐξαγαγών; Καὶ τὸ μὲν ἄγριον φύσει δεικνὺς ἥμερον, σαυτὸν δὲ τὸν ἥμερον φύσει, παρὰ φύσιν ἄγριον ἱστάς; Καὶ λέοντα μὲν τιθασσεύων καὶ χειροήθη ποιῶν, τὸν δὲ θυμὸν τὸν σὸν λέοντος ἀγριώτερον κατασκευάζων; Καίτοι δύο ἐκεῖ τὰ κωλύματα, καὶ τὸ λογισμοῦ

λιῶν σου καὶ ἐρωτᾷς τοὺς παρευρισκομένους καὶ τὸν κουρέα τὸν ἴδιον ἐὰν ἐτακτοποίησεν ὡραῖα τὸ ἐμπρόσθιον τμῆμα της. Καί, ἂν καὶ εἶσαι γέρος, δὲν ἐντρέπεσαι νὰ ἐπιδιώκῃς συχνὰ νεανικὴν ἐμφάνισιν. Καὶ δὲν ἀντιλαμβανόμεθα καθόλου ὅτι ἡ ψυχή μας δὲν ἔχασεν ἁπλῶς τὴν ὀμορφιάν της, ἀλλὰ ἔγινε θηριόμορφος, ἔγινε, κατὰ τὸν εἰδωλολατρικὸν μῦθον, Σκύλλα ἢ Χίμαιρα. Ἂν καὶ ὑπάρχει βεβαίως καὶ διὰ τὴν περίπτωσιν αὐτὴν πνευματικὸς καθρέπτης, καὶ μάλιστα πολὺ καλύτερος ἀπὸ τὸν ἄλλον καὶ χρησιμώτερος. Διότι δὲν δείχνει μόνον ἂν ἔχασε τὴν ὀμορφιάν της, ἀλλά, ἂν θέλωμεν, τῆς δίδει καὶ κάλλος ἀπίστευτον.

Ὁ καθρέπτης αὐτὸς εἶναι ἡ μνήμη τῶν ἐναρέτων ἀνθρώπων καὶ ἡ ἱστορία τῆς ἀναμαρτήτου ζωῆς των, ἡ ἀνάγνωσις τῶν Γραφῶν, οἱ νόμοι, τοὺς ὁποίους μᾶς ἔδωσεν ὁ Θεός. Ἂν θελήσῃς νὰ ρίψῃς ἕνα μόνον βλέμμα εἰς τὰς εἰκόνας τῶν ἁγίων ἐκείνων, θὰ ἀντιληφθῇς τὴν ἀσχήμιαν τοῦ χαρακτῆρος σου καί, ὅταν τὴν ἀντιληφθῇς, δὲν θὰ σοῦ χρειασθῇ πλέον τίποτε ἄλλο διὰ νὰ ἀπαλλαγῇς ἀπὸ τὴν ἀσχήμιαν αὐτήν. Μᾶς εἶναι λοιπὸν ὠφέλιμος ὁ καθρέπτης καὶ κάμνει εὔκολην τὴν βελτίωσιν.

Ἂς μὴ διατηρήσῃ λοιπὸν κανεὶς τὴν μορφὴν θηρίου. Διότι, πῶς εἶναι δυνατὸν ὁ ἄνθρωπος, ὅταν γίνῃ θηρίον, νὰ διαβῇ τὴν πύλην τοῦ οὐρανοῦ, ἀφοῦ δὲν ἔχει τὸ δικαίωμα ὁ δοῦλος νὰ εἰσέλθῃ εἰς τὸ σπίτι τοῦ κυρίου του; Ἀλλὰ διατί ὁμιλῶ περὶ θηρίου; Αὐτὸς ὁ ἄνθρωπος εἶναι χειρότερος ἀπὸ θηρίον. Διότι ἐκεῖνα, ἂν καὶ εἶναι ἐκ φύσεως ἄγρια, ἐξημερώνονται πολλὲς φορές, ἂν τὰ ἐκπαιδεύσῃ καλῶς ὁ ἄνθρωπος. Τί θὰ ἀπολογηθῇς ὅμως ἐσύ, ὁ ὁποῖος μετέβαλες τὴν θηριώδη φύσιν των εἰς ἡμερότητα παρὰ τὴν φύσιν των, καὶ τὴν ἰδικήν σου φυσικὴν ἡμερότητα εἰς ἀφύσικην θηριωδίαν; Ὁ ὁποῖος ἀνέδειξες ἥμερον τὸ ἐκ φύσεως ἄγριον, παρὰ τὴν φύσιν δὲ ἄγριον τὸν ἑαυτόν σου, τὸν ἐκ φύσεως ἥμερον; Ὁ ὁποῖος δαμάζεις τὸν λέοντα καὶ τὸν κάμνεις ὑποχείριόν σου καὶ κάμνεις τὸν ψυχικόν σου κόσμον ἀγριώτερον ἀπὸ τοῦ λέοντος; Ἂν καὶ εἰς

ἐστερῆσθαι τὸ θηρίον, καὶ τὸ πάντων εἶναι θυμωδέστερον· ἀλλ' ὅμως τῇ περιουσίᾳ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης σοι σοφίας, καὶ τῆς φύσεως κρατεῖς. Ὁ τοίνυν ἐπὶ θηρίων καὶ τὴν φύσιν νικῶν, πῶς ἐπὶ σαυτοῦ μετὰ τῆς φύσεως καὶ τὸ τῆς προαιρέσεως προδίδως καλόν; Καὶ εἰ μὲν ἄλλον ἐκέλευον ἄνθρωπον ποιῆσαι πρᾶον, οὐδὲ οὕτω μὲν ἀδύνατα ἂν ἄδοξα ἐπιτάττειν· πλὴν ἀλλ' ἐνῆν σοι προβαλέσθαι τὸ μὴ κύριον εἶναι τῆς ἑτέρου γνώμης, μηδὲ ἐπί σοί κεῖσθαι τὸ πᾶν. Νυνὶ δὲ τὸ σαυτοῦ θηρίον, καὶ οὗ πάντως κύριος εἶ.

9. Τίνα οὖν ἔχεις ἀπολογίαν, ποίαν δὲ πρόφασιν εὐπρόσωπον προβαλέσθαι δυνήσῃ, λέοντα μὲν ποιῶν ἄνθρωπον, σαυτὸν δὲ περιορῶν ἐξ ἀνθρώπου γινόμενον λέοντα; Κἀκείνῳ μὲν τὰ ὑπὲρ φύσιν χαριζόμενος, σαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν τηρῶν; Ἀλλὰ τοὺς μὲν ἀγρίους θῆρας εἰς τὴν ἡμετέραν φιλονεικῶν ἀνάγειν εὐγένειαν, σαυτὸν δὲ ἀπὸ τοῦ θρόνου τῆς βασιλείας καταστρέφων καὶ εἰς τὴν μανίαν ἐξωθῶν τὴν ἐκείνων;

Νόμισον γάρ, εἰ βούλει, καὶ τὸν θυμὸν θηρίον εἶναι· καὶ ὅσην περὶ λέοντας ἕτεροι, τοσαύτην σὺ περὶ σαυτὸν ἐπίδειξαι τὴν σπουδήν, καὶ ποίησον ἥμερον καὶ πρᾶον εἶναι τὸν τοιοῦτον λογισμόν. Καὶ γὰρ οὗτος χαλεποὺς ὀδόντας ἔχει καὶ ὄνυχας, κἂν μὴ ἡμερώσῃς αὐτόν, πάντα ἀπολεῖ. Οὐδὲ γὰρ οὕτω λέων καὶ ἔχις καὶ σπλάγχνα διασπαράξαι δύναται, ὡς θυμός, τοῖς σιδηροῖς ὄνυξι διηνεκῶς τοῦτο ποιῶν. Οὐ γὰρ δὴ τὸ σῶμα λυμαίνεται μόνον, ἀλλὰ καὶ αὐτὴν τῆς ψυχῆς διαφθείρει τὴν ὑγείαν, κατεσθίων, σπαράττων, διαξαίνων τὴν δύναμιν αὐτῆς ἅ-

τὴν περίπτωσιν τοῦ θηρίου ὑπάρχουν δύο ἐμπόδια. Καὶ λογικὴν δὲν ἔχει καὶ εἶναι ἀσυγκράτητον. Ἐσὺ ὅμως, μὲ τὴν περίσσειαν τῆς λογικῆς, ποὺ ὁ Θεός σοῦ ἔδωσε, νικᾷς ἀκόμη καὶ τὴν φύσιν. Ἀφοῦ λοιπὸν νικᾷς ἀκόμη καὶ τὴν φύσιν τῶν θηρίων, πῶς, ὅταν πρόκειται διὰ τὸν ἑαυτόν σου, γίνεσαι προδότης ὄχι μόνον τῆς φύσεώς σου, ἀλλὰ καὶ τοῦ ψυχικοῦ σου κάλλους; Ἂν σὲ προέτρεπα νὰ σωφρονίσῃς ἄλλον ἄνθρωπον, θὰ εἶχα τὴν γνώμην ὅτι καὶ εἰς τὴν περίπτωσιν αὐτὴν δὲν σοῦ ἀνέθετα κάτι ἀδύνατον. Θὰ εἶχες ὅμως τὸ δικαίωμα νὰ ἐπικαλεσθῇς τὸ ἐπιχείρημα ὅτι δὲν ἐξουσιάζεις ἐσὺ τὴν νοοτροπίαν τοῦ ἄλλου καὶ ὅτι δὲν ἐξαρτῶνται τὰ πάντα ἀπὸ σέ. Τώρα ὅμως σὲ προτρέπω νὰ δαμάσῃς τὸ ἰδικόν σου θηρίον καὶ ἐκεῖνο, τὸ ὁποῖον ἔχεις ὑπὸ τὴν ἐξουσίαν σου.

9. Τί ἔχεις λοιπὸν νὰ ἀπολογηθῇς καὶ ποίαν εὐλογοφανῆ δικαιολογίαν θὰ ἠμπορέσῃς νὰ ἐπικαλεσθῇς, ἀφοῦ κάμνεις ἄνθρωπον τὸν λέοντα καὶ δὲν σὲ ἐνοχλεῖ ὅτι γίνεσαι ἀπὸ ἄνθρωπος λέων; Ἀφοῦ δίδῃς εἰς ἐκεῖνον χαρίσματα ἀνώτερα ἀπὸ τὴν φύσιν του καὶ δὲν διατηρῇς διὰ τὸν ἑαυτόν σου οὔτε ὅσα σοῦ ἔδωσεν ἡ φύσις; Ἀφοῦ ἀγωνίζεσαι νὰ ὑψώσῃς τὰ ἄγρια θηρία εἰς τὴν ἰδικήν μας ἀνωτέραν φύσιν, ἀπομακρύνεις τὸν ἑαυτόν σου ἀπὸ τὸν θρόνον τῆς βασιλείας καὶ τὸν ὠθεῖς πρὸς τὴν ἀγριότητα τῶν θηρίων;

Νόμισε λοιπόν, σὲ παρακαλῶ, ὅτι ὁ ψυχικός σου κόσμος εἶναι θηρίον. Καὶ φρόντισε τόσον τὸν ἑαυτόν σου, ὅσον φροντίζουν ἄλλοι τὸν λέοντα, καὶ ἐξημέρωσε καὶ ἐξευγένισε τὸν λογισμόν σου. Διότι αὐτὸς ἔχει φοβερὰ δόντια καὶ νύχια καί, ἂν δὲν τὸν ἐξημερώσῃς, θὰ καταστρέψῃ τὰ πάντα. Διότι οὔτε ὁ λέων οὔτε ἡ ἔχιδνα ἔχει τὴν δύναμιν νὰ κατασπαράζῃ τὰ σπλάχνα σου, ὅσον τὴν ἔχουν τὰ πάθη σου, τὰ ὁποῖα ἀγωνίζονται συνεχῶς μὲ σιδηρένιους ὄνυχας. Αὐτὰ δὲν βλάπτουν μόνον τὸ σῶμα, ἀλλὰ καταστρέφουν καὶ τὴν ὑγείαν τῆς ψυχῆς, κατατρώγουν, κατασπαράσσουν, διαλύουν ὅλην τὴν δύναμίν της καὶ τὴν καθιστοῦν γενικῶς ἄχρηστην. Ἀφοῦ δυ-

πασαν, καὶ ἄχρηστον πρὸς πάντα τιθείς. Εἰ γὰρ σκώληκάς τις ἐν τοῖς ἐγκάτοις τρέφων οὐδὲ ἀναπνεῖν δυνήσεται, πάντων τῶν ἔνδον αὐτῷ δαπανωμένων, πῶς ὄφιν ἡμεῖς τηλικοῦτον ἔχοντες κατατρώγωντα πάντα τὰ ἔνδον, τὸν θυμὸν λέγω, δυνησόμεθά τι γενναῖον τεκεῖν;

Πῶς οὖν ταύτης ἀπαλλαγησόμεθα τῆς λύμης; Ἂν πίωμεν ποτὸν νεκρῶσαι δυνάμενον τοὺς ἔνδον σκώληκας καὶ τοὺς ὄφεις. Καὶ ποῖον ἂν εἴη τὸ ποτόν, φησί, τὸ τὴν ἰσχὺν ταύτην ἔχον; Τὸ τίμιον αἷμα τοῦ Χριστοῦ, εἰ μετὰ παῤῥησίας ληφθείη· πᾶσαν γὰρ νόσον σβέσαι δυνήσεται τοῦτο, καὶ μετὰ τούτου τῶν θείων Γραφῶν ἡ μετ' ἀκριβείας ἀκρόασις, καὶ ἐλεημοσύνη τῇ ἀκροάσει προσγινομένη· διὰ γὰρ τούτων πάντων δυνήσεται νεκρωθῆναι τὰ λυμαινόμενα τὴν ψυχὴν ἡμῶν πάθη. Καὶ τότε ζησόμεθα μόνον· ὡς νῦν γε οὐδὲν τῶν τεθνεώτων ἄμεινον διακείμεθα· ἐπείπερ οὐκ ἔστι, ζώντων ἐκείνων, καὶ ἡμᾶς ζῆν, ἀλλ' ἀνάγκη ἡμᾶς ἀπολέσθαι. Κἂν μὴ φθάσωμεν αὐτὰ ἀποκτείναντες ἐνταῦθα, ἐκεῖ πάντως ἡμᾶς ἀποκτενεῖ· μᾶλλον δὲ καὶ πρὸ ἐκείνου τοῦ θανάτου τὴν ἐσχάτην ἡμᾶς καὶ ἐνταῦθα ἀπαιτήσει δίκην. Καὶ γὰρ ἕκαστον τῶν παθῶν τῶν τοιούτων, καὶ ὠμὸν καὶ τυραννικὸν καὶ ἀκόρεστον, καὶ καθ' ἑκάστην ἡμᾶς ἐσθίον τὴν ἡμέραν οὐδέποτε ἵσταται. Ὀδόντες γὰρ λέοντος οἱ ὀδόντες αὐτῶν· μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτεροι. Ὁ μὲν γὰρ λέων ὁμοῦ τε ἐκορέσθη, καὶ ἀπέστη τοῦ παραπεσόντος αὐτῷ σώματος· ταῦτα δὲ τὰ πάθη οὔτε ἐμπίπλαται, οὔτε ἀφίσταται, ἕως ἂν ἐγγὺς τοῦ διαβόλου στήσῃ τὸν ἁλόντα ἄνθρωπον. Τοσαύτη γὰρ αὐτῶν ἡ δύναμις, ὡς τὴν δουλείαν, ἣν ὁ Παῦλος περὶ τὸν Χριστὸν ἐπεδείκνυτο καὶ γεέννης καὶ βασιλείας δι' αὐτὸν καταφρονῶν, τὴν αὐτὴν καὶ παρὰ τῶν ἁλόντων ἀπαιτεῖν. Ἄν τε γὰρ

σκολεύεται ἀκόμη καὶ νὰ ἀναπνέῃ κανείς, ὅταν ὑπάρχουν σκουλήκια εἰς τὸν ὀργανισμόν του, διότι σπαταλᾶται ἀδίκως ὅ,τι ἔχει μέσα του, πῶς θὰ ἠμπορέσωμεν ἐμεῖς νὰ δημιουργήσωμεν κάτι τὸ σπουδαῖον, ἂν ἔχωμεν μέσα μας μίαν τόσον μεγάλην ἔχιδναν - τὰ πάθη ἐννοῶ -, ποὺ κατατρώγει ὅλην μας τὴν ψυχήν;

Πῶς θὰ ἀπαλλαγοῦμεν λοιπὸν ἀπὸ αὐτὸ τὸ σαράκι; Ἂν πιοῦμεν φάρμακον, ποὺ ἔχει τὴν δύναμιν νὰ νεκρώνῃ τὰ σκουλήκια καὶ τὰ φίδια ποὺ ἔχομεν μέσα μας, θὰ ἐρωτούσατε· Ποῖον εἶναι τὸ φάρμακον, ποὺ ἔχει τὴν δύναμιν αὐτήν; Τὸ τίμιον αἷμα τοῦ Χριστοῦ, ἂν τὸ πάρωμεν μὲ εἰλικρίνειαν. Αὐτὸ ἔχει ἀσφαλῶς τὴν δύναμιν νὰ ἐξαλείψῃ κάθε ἀρρώστιαν καὶ μαζὶ μὲ αὐτὸ ἡ προσεκτικὴ ἀκρόασις τῶν θείων Γραφῶν καὶ ἡ φιλανθρωπία ποὺ θὰ συνοδεύσῃ τὴν ἀκρόασιν αὐτήν. Μὲ ὅλα αὐτὰ λοιπὸν θὰ καταστῇ δυνατὸν νὰ νεκρωθοῦν τῆς ψυχῆς μας τὰ πάθη. Καὶ τότε μόνον θὰ ζήσωμεν. Διότι τώρα εὑρισκόμεθα εἰς κατάστασιν χειροτέραν ἀπὸ τοὺς νεκρούς. Διότι δὲν εἶναι δυνατὸν νὰ ζῶμεν ἐμεῖς ἐφ' ὅσον ζοῦν τὰ πάθη μας, ἀλλὰ τὸ ἀποτέλεσμα θὰ εἶναι νὰ ἀποθάνωμεν. Καὶ ἂν δὲν προφθάσωμεν νὰ τὰ ἐξολοθρεύσωμεν εἰς τὴν παροῦσαν ζωήν, θὰ μᾶς ἐξολοθρεύσουν ἐκεῖνα εἰς τὴν μέλλουσαν. Τὸ ὀρθότερον ὅμως εἶναι ὅτι θὰ μᾶς ἐπιβάλουν ἐδῶ, προτοῦ νὰ φθάσωμεν εἰς τὸν θάνατον, βαρυτάτην ποινήν. Διότι κάθε πάθος τῆς ψυχῆς μας εἶναι σκληρὸν καὶ τυραννικὸν καὶ ἀχόρταγον καὶ δὲν παύει ποτὲ νὰ μᾶς καταβροχθίζῃ κάθε ἡμέραν. Διότι τὰ δόντια τῶν παθῶν εἶναι δόντια λεόντων ἢ μᾶλλον εἶναι πολὺ χειρότερα. Διότι, μόλις χορτάσῃ ὁ λέων, ἀπομακρύνεται ἀπὸ τὸ πτῶμα, τὸ ὁποῖον συνήντησε. Τὰ πάθη τῆς ψυχῆς μας ὅμως δὲν χορταίνουν ποτέ, οὔτε ἀπομακρύνονται, ἕως ὅτου κάμουν ἀκόλουθον τοῦ σατανᾶ τὸν ἄνθρωπον, τὸν ὁποῖον ᾐχμαλώτισαν. Τόσον μεγάλη εἶναι ἡ δύναμίς των, ὥστε νὰ ἀπαιτοῦν ἀπὸ τοὺς ὑποχειρίους των τὴν ἰδίαν ὑποταγήν, τὴν ὁποίαν ἔδειξεν ὁ Παῦλος πρὸς τὸν Χριστὸν καὶ περιεφρόνησε πρὸς χάριν του τόσον τὴν χειροτέραν τιμωρίαν, ὅσον καὶ τὰ

σωμάτων ἔρωτι, ἄν τε χρημάτων, ἄν τε δόξης περιπέσῃ τις, καὶ γεέννης καταγελᾷ λοιπὸν καὶ βασιλείας καταφρονεῖ, ἵνα τὸ θέλημα τούτων ἐργάσηται. Μὴ τοίνυν ἀπιστῶμεν Παύλῳ λέγοντι, ὅτι τὸν Χριστὸν οὕτως ἐφίλησεν. Ὅταν γὰρ εὑρεθῶσί τινες τοῖς πάθεσιν οὕτω δουλεύοντες, πῶς ἄπιστον ἐκεῖνο δόξει εἶναι λοιπόν; Καὶ γὰρ διὰ τοῦτο ὁ περὶ τὸν Χριστὸν πόθος ἀσθενέστερος, ἐπειδὴ πᾶσα ἡμῖν ἡ δύναμις εἰς τοῦτον καταναλοῦται τὸν ἔρωτα, καὶ ἁρπάζομεν, καὶ πλεονεκτοῦμεν, καὶ δόξῃ δουλεύομεν κενῇ· ἧς τί γένοιτ᾽ ἂν εὐτελέστερον; Κἂν γὰρ μυριάκις γένῃ περίβλεπτος, οὐδὲν τῶν ἀτίμων ἔσῃ βελτίων, ἀλλὰ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο καὶ ἀτιμότερος. Ὅταν γὰρ οἱ βουλόμενοί σε δοξάζειν καὶ λαμπρὸν ἀποδεικνύναι, δι᾽ αὐτὸ τοῦτό σε γελῶσιν, ὅτι τῆς παρ᾽ αὐτῶν ἐπιθυμεῖς δόξης, πῶς οὐκ εἰς τὸ ἐναντίον περιτραπήσεταί σοι τὰ τῆς τοιαύτης σπουδῆς;

10. Καὶ γὰρ τῶν κατηγορημένων τὸ πρᾶγμά ἐστιν. Ὥσπερ γὰρ τὸν ἐπιθυμοῦντα μοιχεύειν ἢ πορνύειν ἂν ἐπαινῇ τις καὶ κολακεύῃ, αὐτῷ τούτῳ μᾶλλον κατήγορος γίνεται ἢ ἐπαινέτης τοῦ τὰ τοιαῦτα ἐπιθυμοῦντος· οὕτω καὶ τὸν δόξης ἐπιθυμοῦντα, ὅταν ἐπαινῶμεν ἅπαντες, κατήγοροι μᾶλλόν ἐσμεν ἢ ἐπαινέται τῶν βουλομένων δοξάζεσθαι. Τί τοίνυν ἐφέλκῃ τὸ πρᾶγμα, ἀφ᾽ οὗ τὸ ἐναντίον σοι συμβαίνειν εἴωθεν; Εἰ γὰρ δοξάζεσθαι βούλει, καταφρόνει δόξης, καὶ πάντων ἔσῃ λαμπρότερος. Τί πάσχεις ὅπερ ἔπαθεν ὁ Ναβουχοδονόσορ; Καὶ γὰρ καὶ ἐκεῖνος εἰκόνα ἔστησεν, ἀπὸ τοῦ ξύλου καὶ τῆς ἀναισθήτου μορφῆς προσθήκην νομίζων ἑαυτῷ πορίζειν εὐφημίας, καὶ ὁ ζῶν ἀπὸ τοῦ μὴ ζῶντος λαμπρότερος ἤθελε φαίνεσθαι. Εἶδες τῆς μανίας τὴν ὑπερβολήν; Δοκῶν γὰρ ἑαυτὸν τιμᾶν, μᾶλλον ἐξύβρισεν. Ὅταν γὰρ φαί-

μεγαλύτερα ἀξιώματα. Διότι, ἂν κάποιος κυριευθῇ ἀπὸ ἔρωτα πρὸς κάποιον ὑλικὸν ἀγαθὸν ἢ πρὸς τὰ χρήματα ἢ πρὸς τὴν δόξαν, καὶ τὴν αἰωνίαν κόλασιν περιγελᾷ καὶ τὴν βασιλείαν τοῦ Θεοῦ περιφρονεῖ, διὰ νὰ ἐκτελέσῃ τὰς ἐντολὰς τῶν παθῶν του. Δὲν πρέπει λοιπὸν νὰ ἀμφιβάλλωμεν ἐὰν λέγῃ ὁ Παῦλος ὅτι ἠγάπησε τόσον τὸν Χριστόν. Διότι δὲν ἔχομεν βεβαίως τὸ δικαίωμα νὰ ἀμφιβάλλωμεν, ὅταν εὑρίσκωνται ἄνθρωποι, ποὺ γίνονται τόσον δοῦλοι τῶν παθῶν των. Ἡ ἀγάπη μας πρὸς τὸν Χριστὸν γίνεται μικροτέρα διὰ τὸν ἑξῆς λόγον. Διότι ἐξοδεύεται ὅλη ἡ δύναμίς της εἰς τὴν ἀγάπην τῶν παθῶν καὶ γινόμεθα ἅρπαγες καὶ πλεονέκται καὶ δοῦλοι τῆς ματαιοδοξίας μας. Ὑπάρχει τίποτε πρισσότερον ἐξευτελιστικὸν ἀπὸ αὐτό; Καὶ ἂν καταλάβῃς μύρια κοσμικὰ ἀξιώματα, δὲν θὰ γίνῃς καλύτερος ἀπὸ τοὺς ἀνυπολήπτους, ἀλλά, ἕνεκα ἀκριβῶς τῶν ἀξιωμάτων, θὰ γίνῃς περισσότερον ἀνυπόληπτος. Διότι ὅταν σὲ περιγελοῦν ὅσοι συνηθίζουν νὰ σὲ ἐπαινοῦν καὶ νὰ σὲ ἐξυμνοῦν, ἐπειδὴ ἀκριβῶς σὲ εὐχαριστεῖ τοῦτο, πῶς εἶναι δυνατὸν νὰ μὴ καταλήξῃ εἰς τὸ ἀντίθετον αὐτὴ ἡ προσπάθειά σου;

10. Ἡ ἐνέργεια αὐτὴ εἶναι ἀσφαλῶς κατηγορία. Ὅπως π.χ. ἂν ἐπαινῇ κανεὶς ἢ κολακεύῃ ἐκεῖνον ποὺ ἔχει κλίσιν εἰς τὴν μοιχείαν ἢ τὴν πορνείαν, γίνεται μὲ αὐτὸν ἀκριβῶς τὸν τρόπον περισσότερον κατήγορος παρὰ ἐπαινέτης τοῦ ἀνηθίκου αὐτοῦ, ἔτσι κατηγοροῦμεν μᾶλλον παρὰ ἐπαινοῦμεν ὅλοι τοὺς μικροφιλοδόξους ὅταν τοὺς ἐπαινοῦμεν. Διατί λοιπὸν παρασύρεσαι, ἀφοῦ σοῦ συμβαίνει συνήθως τὸ ἀντίθετον; Ἂν θέλῃς ἑπομένως νὰ ἔχῃς πραγματικὴν δόξαν, περιφρόνησε τὴν δόξαν καὶ θὰ δοξασθῇς περισσότερον ἀπὸ τὸν καθένα. Διατί παθαίνεις ὅ,τι ἔπαθεν ὁ Ναβουχοδονόσορ; Καὶ ἐκεῖνος, ὡς γνωστόν, ἔστησεν ἄγαλμα, διότι ἐνόμιζεν ὅτι θὰ κερδίσῃ δόξαν ἀπὸ τὸ ξύλον καὶ ἀπὸ τὸ ἄψυχον εἴδωλον καί, ἔμψυχος αὐτός, ἐστηρίζετο εἰς κάτι τὸ ἄψυχον διὰ νὰ ἀποκτήσῃ περισσοτέραν δόξαν. Εἶδες εἰς ποίαν ὑπερβολὴν ὡδήγησεν ἡ παραφροσύνη; Ἐνῷ εἶχε τὴν ἐντύπωσιν ὅτι τιμᾷ τὸν ἑαυ-

νηται τῷ ἀψύχῳ θαῤῥῶν μᾶλλον ἢ ἑαυτῷ καὶ τῇ ἐν αὐτῷ ζώσῃ ψυχῇ, καὶ διὰ τοῦτο τὸ ξύλον ἐπὶ τοσαύτην ἄγῃ προεδρίαν, πῶς οὐκ ἂν εἴη γέλωτος ἄξιος, οὐκ ἀπὸ τρόπων, ἀλλ' ἀπὸ σανίδων καλλωπίζεσθαι σπεύδων; Ὥσπερ ἂν εἴ τις διὰ τὸ βάθρον τὸ ἐν τῇ οἰκίᾳ καὶ διὰ τὴν κλίμακα καλὴν οὖσαν ἀξιοῖ μᾶλλον, ἢ διὰ τὸ ἄνθρωπος εἶναι, ἐναβρύνεσθαι.

Τοῦτον καὶ ἐφ' ἡμῶν πολλοὶ μιμοῦνται νῦν. Ὥσπερ γὰρ ἐκεῖνος ἀπὸ τῆς εἰκόνος, οὕτως ἀπὸ ἱματίων ἕτεροι, καὶ ἐξ οἰκίας ἄλλοι, καὶ ἐξ ἡμιόνων καὶ ὀχημάτων, καὶ ἀπὸ κιόνων τῶν ἐν ταῖς οἰκίαις ἀξιοῦσι θαυμάζεσθαι. Ἐπειδὴ γὰρ τὸ ἄνθρωποι εἶναι ἀπώλεσαν, περιέρχονται συλλέγοντες ἑαυτοῖς ἑτέρωθεν τὴν πολλοῦ γέλωτος γέμουσαν δόξαν. Ἀλλ' οὐχ οἱ γενναῖοι καὶ μεγάλοι τοῦ Θεοῦ θεράποντες ἐντεῦθεν, ἀλλ' ἀφ' ὧν ἔδει μάλιστα, ἐκ τούτων ἔλαμπον. Καὶ γὰρ αἰχμάλωτοι καὶ δοῦλοι καὶ νέοι καὶ ξένοι καὶ πάντων τῶν οἴκοθεν ὄντες ἔρημοι, τοῦ πάντα περιβεβλημένου ταῦτα σεμνότεροι πολλῷ τότε ἐφάνησαν. Καὶ τῷ μὲν Ναβουχοδονόσορι οὐκ εἰκὼν τοσαύτη, οὐ σατράπαι, οὐ στρατηγοί, οὐ στρατόπεδα ἄπειρα, οὐ χρυσίου πλῆθος, οὐκ ἄλλη φαντασία πρὸς τὴν ἐπιθυμίαν ἤρκεσε, καὶ τὸ δεῖξαι μέγαν· τούτοις δὲ τούτων πάντων γεγυμνωμένοις ἤρκεσεν ἡ φιλοσοφία μόνη, καὶ τοῦ τὸ διάδημα καὶ τὴν πορφυρίδα ἔχοντος καὶ τοιαῦτα περιβεβλημένου, τοὺς οὐδὲν τούτων κεκτημένους λαμπροτέρους ἀπέφηνε τοσοῦτον, ὅσον ὁ ἥλιός ἐστι μαργάρου λαμπρότερος. Καὶ γὰρ ἐν μέσῳ τῆς οἰκουμένης ἁπάσης ἤγοντο, νέοι τε ὄντες καὶ αἰχμάλωτοι καὶ δοῦλοι, καὶ φανέντων εὐθέως ὁ βασιλεὺς πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἠφίει καὶ στρατηγοὶ καὶ ὕ-

---

1. Σύντομον περιγραφὴν τοῦ ἀγάλματος βλ. Δανιὴλ 3,11.

τόν του, μᾶλλον τὸν ἐμείωσεν. Διότι, δὲν εἶναι γελοῖος ὅταν ἀποδεικνύεται ὅτι ἔχει περισσοτέραν ἐμπιστοσύνην εἰς τὸ ἄψυχον παρὰ εἰς τὸν ἑαυτόν του καὶ τὴν ζῶσαν ψυχήν του καὶ διὰ τοῦτο τιμᾷ τόσον πολὺ τὸ ξύλον, καὶ ὅταν φροντίζῃ νὰ ὑπερηφανεύεται διὰ τὰ ξύλα καὶ ὄχι διὰ τὸν χαρακτῆρα του; Ὅμοια θὰ ἐπάθαινε κανείς, ἂν ἔκρινεν ὅτι πρέπει νὰ καμαρώνῃ περισσότερον διὰ τὴν αὐλὴν τοῦ σπιτιοῦ του ἢ διὰ τὴν ὡραίαν κλίμακά του, παρὰ διὰ τὸ ὅτι εἶναι ἄνθρωπος.

Αὐτὸν τὸν μιμοῦνται πολλοὶ καὶ εἰς τὴν ἐποχήν μας. Διότι νομίζουν ὅτι πρέπει νὰ τοὺς θαυμάζωμεν ἕνεκα τῆς οἰκίας των καὶ ἕνεκα τῶν ἐνδυμάτων των, ἕνεκα τῶν ἁμαξιῶν καὶ τῶν ἀλόγων των καὶ ἕνεκα τῶν κιόνων τῶν οἰκιῶν των, ὅπως ἐκεῖνος ἕνεκα τοῦ ἀγάλματος [1]. Ἐπειδὴ ἔχασαν τὸν ἀνθρωπισμόν των, περιφέρονται καὶ προσπαθοῦν νὰ εὕρουν ἀλλοῦ τὴν γελοίαν δόξαν. Ἀλλὰ οἱ γενναῖοι καὶ μεγάλοι λάτρεις τοῦ Θεοῦ ἐδοξάσθησαν ὄχι μὲ αὐτὸν τὸν τρόπον, ἀλλὰ μὲ τὰ ἠθικὰ ἔργα των. Αἰχμάλωτοι μάλιστα καὶ δοῦλοι καὶ νέοι καὶ ξένοι καὶ ἄνθρωποι, οἱ ὁποῖοι ἐστεροῦντο τῶν πάντων, ἀνεδείχθησαν τότε πολὺ περισσότερον ἀξιοσέβαστοι ἀπὸ ἐκεῖνον ὁ ὁποῖος εἶχεν ὅλα ὅσα ἀνέφερα παραπάνω. Καὶ διὰ μὲν τὸν Ναβουχοδονόσορα δὲν ἦσαν ἀρκετὰ οὔτε τὸ τεράστιον ἄγαλμα, οὔτε οἱ σατράπαι, οὔτε οἱ στρατηγοί, οὔτε ὁ πολυπληθὴς στρατός του, οὔτε ἡ μεγάλη ποσότης τοῦ χρυσοῦ, οὔτε αἱ ἄλλαι ἐπιδεικτικαὶ ἐνέργειαί του νὰ ἱκανοποιήσουν τὴν ἐπιθυμίαν του καὶ νὰ τὸν ἀναδείξουν μεγάλον. Δι' αὐτοὺς ὅμως, οἱ ὁποῖοι ἦσαν γυμνοὶ ἀπὸ ὅλα αὐτά, ἦτο ἀρκετὴ μονάχη ἡ ἀφοσίωσίς των εἰς τὸν Θεὸν καὶ ἀνέδειξεν αὐτούς, ποὺ δὲν διέθεταν τίποτε ἀπὸ αὐτά, τόσον ἐνδοξοτέρους ἀπὸ τὸν κάτοχον αὐτὸν τοῦ στέμματος καὶ τῆς βασιλικῆς πορφύρας καὶ ἄλλων πολλῶν καὶ ἰσαξίων, ὅσον εἶναι ὁ ἥλιος λαμπρότερος ἀπὸ τὸ μαργαριτάρι. Διότι, ἂν καὶ ἦσαν νέοι καὶ αἰχμάλωτοι καὶ δοῦλοι, ὡδηγοῦντο εἰς τὸ μέσον τῆς οἰκουμένης ὁλοκλήρου καί, μόλις παρουσιάσθησαν, ἀμέσως ἔβγαλε φωτιὰν ἀπὸ τὰ μάτια του ὁ βασιλεὺς καὶ εἶχαν συγκεντρωθῆ ἐ-

παρχοι καὶ τοπάρχαι καὶ ἅπαν τοῦ διαβόλου τὸ θέατρον περιειστήκει, καὶ φωνὴ συρίγγων πανταχόθεν καὶ σαλπίγγων καὶ πάσης μουσικῆς πρὸς τὸν οὐρανὸν φερομένη περιήχει τὰς ἐκείνων ἀκοάς, καὶ κάμινος ἀνεκαίετο πρὸς ὕψος ἄπειρον, καὶ αὐτῶν ἡ φλὸξ ἥπτετο τῶν νεφελῶν, καὶ πάντα φόβου καὶ ἐκπλήξεως ἦν ἀνάμεστα. Ἀλλ' ἐκείνους οὐδὲν τούτων ἐξέπληξεν· ἀλλ' ὥσπερ παίδων παιζόντων καταγελάσαντες, τὴν ἀνδρείαν καὶ τὴν ἐπιείκειαν ἐπεδείκνυντο, καὶ τῶν σαλπίγγων ἐκείνων λαμπροτέραν ἀφιέντες φωνὴν ἔλεγον· «Γνωστὸν ἔστω σοι, βασιλεῦ». Οὐδὲ γὰρ μέχρι ῥήματος ὑβρίσαι ἐβούλοντο τὸν τύραννον, ἀλλὰ τὴν εὐσέβειαν ἐπιδείξασθαι μόνον. Διόπερ οὐδὲ μακροὺς ἀπετείναντο λόγους, ἀλλ' ἐν βραχεῖ πάντα ἐπιδείκνυνται· «Ἔστι» γάρ, φησί, «Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς». Τί μοι τὸ πλῆθος δεικνύεις; Τί μοι τὴν κάμινον; Τί τὰ ξίφη τὰ ἠκονημένα; Τί τοὺς φοβεροὺς δορυφόρους; Πάντων τούτων ἀνώτερος ἡμῶν ὁ Δεσπότης καὶ δυνατώτερος. Εἶτα ἐννοήσαντες ὅτι συμβαίνει τὸν Θεὸν βουληθῆναι καὶ συγχωρῆσαι αὐτοὺς καυθῆναι, ἵνα μὴ τούτου γενομένου δόξωσι ψευδῆ λέγειν, προστιθέασι καὶ τοῦτο, λέγοντες, ὅτι «Ἐὰν μὴ τοῦτο γένηται, γνωστὸν ἔστω σοι, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν».

11. Εἰ γὰρ εἶπον, ὅτι δι' ἁμαρτήματα οὐ ῥύεται, κἂν μὴ ῥύσηται, ἠπιστήθησαν ἄν. Διὰ τοῦτο ἐνταῦθα μὲν τοῦτο σιγῶσι· λέγουσι δὲ αὐτὸ ἐπὶ τῆς καμίνου, ἄνω καὶ κάτω τὰ ἁμαρτήματα προβαλλόμενοι. Ἐπὶ δὲ τοῦ βασιλέως, οὐδὲν τοιοῦτον, ἀλλ' ὅτι κἂν καίεσθαι μέλλωσι, τὴν εὐσέβειαν οὐ προδώσουσιν. Οὐ γὰρ ἐπ' ἀμοιβαῖς καὶ ἀντιδόσεσιν ἔπραττον ἅπερ ἔπραττον, ἀλλ' ἐξ ἀγάπης μόνης· καίτοιγε καὶ ἐν αἰχμαλωσίᾳ ἦσαν, καὶ

---

1. Περιγραφὴν τῆς ὅλης τελετῆς καὶ τοῦ θαύματος βλ. ἐν Δανιὴλ 3,2-23. 1-67.
2. Δαν. 3,18
3. Δαν. 3,17
4. Δαν. 3,18

κεῖ γύρω στρατηγοὶ καὶ ὑποστράτηγοι καὶ διοικηταὶ ἐπαρχιῶν καὶ πολλοὶ θεαταὶ κυριευμένοι ἀπὸ τὸν διάβολον καὶ ἀντηχοῦσεν εἰς τὰ αὐτιά των ἦχος αὐλῶν καὶ σαλπίγγων καὶ κάθε εἴδους μουσικῶν ὀργάνων [1], ποὺ ἔβγαινεν ἀπὸ ὅλα τὰ σημεῖα καὶ ἔφθανε μέχρι τοῦ οὐρανοῦ, καὶ ἦτο ἀναμμένη κάμινος μὲ φωτιὰν ποὺ ἔφθανεν εἰς τεράστιον ὕψος καὶ ἤγγιζεν ἡ φλόγα της τὰ σύννεφα καὶ ἦσαν γεμᾶτα τὰ πάντα ἀπὸ φόβον καὶ ἀπὸ κατάπληξιν. Ἀλλὰ ἐκείνους δὲν τοὺς ἐντυπωσίασε τίποτε ἀπὸ αὐτά. Καὶ ἀφοῦ ἐπεριγέλασαν τοὺς θεατάς, διότι ἐφέροντο ὡσὰν παιδιὰ ποὺ παίζουν, τοὺς ἔδειξαν τὴν γενναιότητα καὶ τὴν ἐπιείκειάν των, ἔβγαλαν φωνὴν λαμπροτέραν ἀπὸ τῶν σαλπίγγων καὶ εἶπαν· «Γνωστὸν ἔστω σοι, βασιλεῦ»[2]. Διότι δὲν ἤθελαν νὰ προσβάλουν τὸν τύραννον οὔτε κἂν μὲ τὰ λόγια, ἀλλὰ ἤθελαν μόνον νὰ τοῦ δείξουν πόσον ἦσαν εὐσεβεῖς. Διὰ τοῦτο καὶ δὲν εἶπαν μακροὺς λόγους, ἀλλὰ ἐξέφρασαν λακωνικὰ τὰ πάντα. Εἶπαν δηλαδή· «Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς»[3]. Διατί μᾶς δείχνεις τὸ πλῆθος τοῦ λαοῦ; Διατί μᾶς δείχνεις τὴν κάμινον; Διατί τὰ ἀκονισμένα ξίφη; Διατί τὴν φοβερὰν σωματοφυλακήν σου; Ὁ Κύριός μας εἶναι ἀνώτερος καὶ δυνατώτερος ἀπὸ ὅλα αὐτά. Ἔπειτα, ἐπειδὴ ἐννόησαν ὅτι ὁ Θεὸς ἠθέλησε καὶ ἀπεφάσισε νὰ καοῦν, ἐπρόσθεσαν καὶ τὸ ἑξῆς καὶ εἶπαν πρὸς τὸν βασιλέα διὰ νὰ μὴ νομισθῇ διὰ τῆς ἐκτελέσεως τῆς ἀποφάσεως τοῦ Θεοῦ ὅτι ψεύδονται· «Ἐὰν μὴ τοῦτο γένηται, γνωστὸν ἔστω σοι, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν»[4].

11. Ἐὰν ἔλεγαν ὅτι, καὶ ἂν δὲν τοὺς σώσῃ ὁ Θεός, δὲν θὰ τοὺς σώσῃ ἕνεκα τῶν ἁμαρτιῶν των, δὲν θὰ ἐγίνοντο πιστευτοί. Διὰ τοῦτο δὲν εἶπαν αὐτὸ ἐκείνην τὴν στιγμήν· τὸ εἶπαν ὅμως, ὅταν εὑρίσκοντο ἐπάνω εἰς τὴν κάμινον, καὶ παρουσίασαν ἐνώπιον τοῦ Θεοῦ καὶ ἀνθρώπων τὰς ἁμαρτίας. Ὅταν εὑρίσκοντο εἰς τὰς χεῖρας τοῦ βασιλέως δὲν ὡμίλησαν περὶ ἁμαρτιῶν, ἀλλὰ εἶπαν ὅτι, ἔστω καὶ ἂν πρόκειται νὰ καοῦν, δὲν θὰ προδώσουν τὴν εὐσέβειάν των. Διότι, ὅσα ἔκαμναν, δὲν τὰ ἔκαμναν διὰ νὰ ἔχουν ἀνταμοιβὴν καὶ ἀνταλλάγματα, ἀλλὰ

ἐν δουλείᾳ καὶ οὐδενὸς ἀπολελαυκότες χρηστοῦ. Καὶ γὰρ καὶ πατρίδος καὶ ἐλευθερίας καὶ τῶν ὄντων πάντων ἐξέπεσον. Μὴ γάρ μοι ἐν ταῖς βασιλικαῖς αὐλαῖς εἴπῃς τιμάς. Ὅσιοι γὰρ ὄντες καὶ δίκαιοι, μυριάκις ἂν εἵλοντο προσαιτεῖν οἴκοι, καὶ τῶν ἐν τῷ ναῷ καλῶν ἀπολαύειν. «Ἐξελεξάμην γάρ», φησί, «παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν»· καί· «Κρείττων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας». Μυριάκις οὖν ἂν εἵλοντο ἀπερρίφθαι οἴκοι ἢ βασιλεύειν ἐν Βαβυλῶνι. Καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ ἐν τῇ καμίνῳ δηλοῦσι, βαρούμενοι τὴν αὐτόθι διατριβήν. Εἰ γὰρ καὶ αὐτοὶ πολλῆς ἀπέλαυον τιμῆς, τὰς τῶν ἄλλων ὁρῶντες συμφορὰς σφόδρα ἐδάκνοντο· ὅπερ μάλιστά ἐστιν ἁγίων ἴδιον. Μὴ δόξαν, μὴ τιμήν, μηδὲ ἄλλο προτιμᾶν τῆς τοῦ πλησίον σωτηρίας. Ὅρα γοῦν πῶς ἐν καμίνῳ ὄντες, ὑπὲρ τοῦ δήμου παντὸς τὴν ἱκετηρίαν ἐποιοῦντο. Ἡμεῖς δὲ οὐδὲ ἐν ἀνέσει ὄντες τῶν ἀδελφῶν μνημονεύομεν. Καὶ ἡνίκα δὲ τὰ ἐνύπνια ἐζήτουν, οὐ τὸ ἑαυτῶν ἐσκόπουν, ἀλλὰ τὸ τῶν πολλῶν· ὅτι γὰρ θανάτου κατεφρόνουν, διὰ πολλῶν μετὰ ταῦτα ἔδειξαν. Πανταχοῦ δὲ ἑαυτοὺς προβάλλονται, τὸν Θεὸν δυσωπῆσαι βουλόμενοι. Εἶτα ἐπειδὴ οὐδὲ ἑαυτοὺς ἀρκεῖν ἡγοῦντο, ἐπὶ τοὺς πατέρας καταφεύγουσιν· αὐτοὶ δὲ οὐδὲν πλέον ἔφασαν εἰσφέρειν, ἀλλ' ἢ πνεῦμα συντετριμμένον.

Τούτους δὴ καὶ ἡμεῖς ζηλώσωμεν. Καὶ γὰρ καὶ νῦν ἕστηκεν εἰκὼν χρυσῆ, ἡ τοῦ μαμωνᾶ τυραννίς. Ἀλλὰ μὴ προσέχωμεν τοῖς τυμπάνοις, μηδὲ τοῖς αὐλοῖς, μηδὲ ταῖς κινύραις, μηδὲ τῇ λοιπῇ τοῦ πλούτου φαντασίᾳ· ἀλλὰ κἂν εἰς κάμινον ἐμπεσεῖν

---

1. Οἱ τρεῖς παῖδες (Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼρ) ἦσαν Ἰουδαῖοι αἰχμάλωτοι εἰς τὴν Βαβυλῶνα κατὰ τὴν ἐποχὴν τῆς Βαβυλωνίου μετοικεσίας. βλ. Δαν. κεφ. 3.

2. Ψαλμ. 83,11β

3. Ψαλμ. 83,11α

4. Τὰ ἐννοούμενα εἰς τὸ σημεῖον τοῦτο βλ. ἐν Δανιὴλ κεφ. 2.

ἀπὸ γνησίαν ἀγάπην. Ἂν καὶ ἦσαν αἰχμάλωτοι καὶ δοῦλοι [1] καὶ δὲν εἶχαν ἀπολαύσει κανένα ἀγαθόν, ἀφοῦ μάλιστα εἶχαν χάσει καὶ τὴν πατρίδα των καὶ τὴν ἐλευθερίαν των καὶ ὅλα τὰ ἀγαθά των. Καὶ μὴ μοῦ ὁμιλήσῃς περὶ τῶν τιμῶν εἰς τὰς βασιλικὰς αὐλάς. Αὐτοὶ ἦσαν εὐσεβεῖς καὶ δίκαιοι καὶ θὰ ἐπροτιμοῦσαν ἀσυγκρίτως περισσότερον νὰ ζοῦν μὲ πολλὰς στερήσεις εἰς τὸ σπίτι των καὶ νὰ μετέχουν ὁλοψύχως εἰς κάθε τι ποὺ γίνεται εἰς τὸν ναόν. «Ἐξελεξάμην γάρ», λέγει ὁ Δαυίδ, «παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν»[2]. Καί, «κρείττων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας»[3]. Ἀπείρως προτιμότερον ἐθεωροῦσαν νὰ ζοῦν περιφρονημένοι εἰς τὸ σπίτι των, παρὰ νὰ εἶναι βασιλεῖς εἰς τὴν Βαβυλῶνα. Τοῦτο εἶναι φανερὸν ἀπὸ ὅσα ἐδήλωσαν ὅταν εὑρίσκοντο ἐπὶ τῆς πυρᾶς καὶ ἀπέδειξαν ὅτι ἀδιαφοροῦσαν διὰ τὴν ἐγκόσμιον ζωήν. Διότι καὶ ἂν ἐτιμῶντο οἱ ἴδιοι πολύ, θὰ ὑπέφεραν φοβερὰ βλέποντες τὰς συμφορὰς τῶν ἄλλων. Τοῦτο ἀκριβῶς εἶναι χαρακτηριστικὸν τῶν ἁγίων. Δὲν προτιμοῦν οὔτε τὴν δόξαν, οὔτε τὰς τιμάς, οὔτε τίποτε ἄλλο, ἀλλὰ τὴν σωτηρίαν τῶν πλησίον. Κοίταξε λοιπὸν πῶς προσηύχοντο δι' ὅλους τοὺς συνανθρώπους των ὅταν εὑρίσκοντο ἐπάνω εἰς τὰς φλόγας. Ἐνῷ ἐμεῖς δὲν ἐνθυμούμεθα τοὺς ἀδελφούς μας οὔτε ὅταν ἔχωμεν ὅλας μας τὰς ἀνέσεις. Καὶ ὅταν ἐζητοῦσαν [4] νὰ εὕρουν τί ὄνειρον εἶδεν ὁ Ναβουχοδονόσορ, δὲν ἀπέβλεπαν εἰς τὸ ἰδικόν των, ἀλλὰ εἰς τῶν πολλῶν τὸ συμφέρον. Διότι ἀπέδειξαν μετ' ὀλίγον διὰ πολλῶν ὅτι ἐπεριφρονοῦσαν τὸν θάνατον. Καὶ ἐπειδὴ θέλουν νὰ ἐξιλεώσουν τὸν Θεόν, προτάσσουν παντοῦ τοὺς ἑαυτούς των. Ἔπειτα, ἐπειδὴ ἔκριναν ὅτι δὲν ἔχουν τόσην δύναμιν οἱ ἴδιοι, καταφεύγουν εἰς τοὺς πατέρας. Διὰ τοὺς ἑαυτούς των ἔλεγαν ὅτι δὲν προσφέρουν τίποτε περισσότερον, παρὰ μόνον ταπεινὴν ψυχήν.

Ἂς τοὺς μιμηθοῦμεν λοιπὸν καὶ ἐμεῖς. Διότι καὶ τώρα ὑπάρχει στημένον χρυσὸν ἄγαλμα, ἡ τυραννικὴ δύναμις τοῦ πλούτου. Ἀλλὰ ἂς μὴ δίδωμεν προσοχὴν εἰς τὰ τύμπανα, οὔτε εἰς τοὺς αὐλοὺς οὔτε εἰς τὰς κιθάρας οὔτε εἰς τὰς λοιπὰς ἐγωιστι-

ἐν δουλείᾳ καὶ οὐδενὸς ἀπολελαυκότες χρηστοῦ. Καὶ γὰρ καὶ πατρίδος καὶ ἐλευθερίας καὶ τῶν ὄντων πάντων ἐξέπεσον. Μὴ γάρ μοι ἐν ταῖς βασιλικαῖς αὐλαῖς εἴπῃς τιμάς. Ὅσιοι γὰρ ὄντες καὶ δίκαιοι, μυριάκις ἂν εἵλοντο προσαιτεῖν οἴκοι, καὶ τῶν ἐν τῷ ναῷ καλῶν ἀπολαύειν. «Ἐξελεξάμην γάρ», φησί, «παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν»· καὶ· «Κρείττων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας». Μυριάκις οὖν ἂν εἵλοντο ἀπεῤῥίφθαι οἴκοι ἢ βασιλεύειν ἐν Βαβυλῶνι. Καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ ἐν τῇ καμίνῳ δηλοῦσι, βαρούμενοι τὴν αὐτόθι διατριβήν. Εἰ γὰρ καὶ αὐτοὶ πολλῆς ἀπέλαυον τιμῆς, τὰς τῶν ἄλλων ὁρῶντες συμφορὰς σφόδρα ἐδάκνοντο· ὅπερ μάλιστά ἐστιν ἁγίων ἴδιον. Μὴ δόξαν, μὴ τιμήν, μηδὲ ἄλλο προτιμᾶν τῆς τοῦ πλησίον σωτηρίας. Ὅρα γοῦν πῶς ἐν καμίνῳ ὄντες, ὑπὲρ τοῦ δήμου παντὸς τὴν ἱκετηρίαν ἐποιοῦντο. Ἡμεῖς δὲ οὐδὲ ἐν ἀνέσει ὄντες τῶν ἀδελφῶν μνημονεύομεν. Καὶ ἡνίκα δὲ τὰ ἐνύπνια ἐζήτουν, οὐ τὸ ἑαυτῶν ἐσκόπουν, ἀλλὰ τὸ τῶν πολλῶν· ὅτι γὰρ θανάτου κατεφρόνουν, διὰ πολλῶν μετὰ ταῦτα ἔδειξαν. Πανταχοῦ δὲ ἑαυτοὺς προβάλλονται, τὸν Θεὸν δυσωπῆσαι βουλόμενοι. Εἶτα ἐπειδὴ οὐδὲ ἑαυτοὺς ἀρκεῖν ἡγοῦντο, ἐπὶ τοὺς πατέρας καταφεύγουσιν· αὐτοὶ δὲ οὐδὲν πλέον ἔφασαν εἰσφέρειν, ἀλλ' ἢ πνεῦμα συντετριμμένον.

Τούτους δὴ καὶ ἡμεῖς ζηλώσωμεν. Καὶ γὰρ καὶ νῦν ἕστηκεν εἰκὼν χρυσῆ, ἡ τοῦ μαμωνᾶ τυραννίς. Ἀλλὰ μὴ προσέχωμεν τοῖς τυμπάνοις, μηδὲ τοῖς αὐλοῖς, μηδὲ ταῖς κινύραις, μηδὲ τῇ λοιπῇ τοῦ πλούτου φαντασίᾳ· ἀλλὰ κἂν εἰς κάμινον ἐμπεσεῖν

---

1. Οἱ τρεῖς παῖδες (Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼρ) ἦσαν Ἰουδαῖοι αἰχμάλωτοι εἰς τὴν Βαβυλῶνα κατὰ τὴν ἐποχὴν τῆς Βαβυλωνίου μετοικεσίας. βλ. Δαν. κεφ. 3.
2. Ψαλμ. 83,11β
3. Ψαλμ. 83,11α
4. Τὰ ἐννοούμενα εἰς τὸ σημεῖον τοῦτο βλ. ἐν Δανιὴλ κεφ. 2.

ἀπὸ γνησίαν ἀγάπην. Ἂν καὶ ἦσαν αἰχμάλωτοι καὶ δοῦλοι [1] καὶ δὲν εἶχαν ἀπολαύσει κανένα ἀγαθόν, ἀφοῦ μάλιστα εἶχαν χάσει καὶ τὴν πατρίδα των καὶ τὴν ἐλευθερίαν των καὶ ὅλα τὰ ἀγαθά των. Καὶ μὴ μοῦ ὁμιλήσῃς περὶ τῶν τιμῶν εἰς τὰς βασιλικὰς αὐλάς. Αὐτοὶ ἦσαν εὐσεβεῖς καὶ δίκαιοι καὶ θὰ ἐπροτιμοῦσαν ἀσυγκρίτως περισσότερον νὰ ζοῦν μὲ πολλὰς στερήσεις εἰς τὸ σπίτι των καὶ νὰ μετέχουν ὁλοψύχως εἰς κάθε τι ποὺ γίνεται εἰς τὸν ναόν. «Ἐξελεξάμην γάρ», λέγει ὁ Δαυίδ, «παραριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν»[2]. Καί, «κρείττων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας»[3]. Ἀπείρως προτιμότερον ἐθεωροῦσαν νὰ ζοῦν περιφρονημένοι εἰς τὸ σπίτι των, παρὰ νὰ εἶναι βασιλεῖς εἰς τὴν Βαβυλῶνα. Τοῦτο εἶναι φανερὸν ἀπὸ ὅσα ἐδήλωσαν ὅταν εὑρίσκοντο ἐπὶ τῆς πυρᾶς καὶ ἀπέδειξαν ὅτι ἀδιαφοροῦσαν διὰ τὴν ἐγκόσμιον ζωήν. Διότι καὶ ἂν ἐτιμῶντο οἱ ἴδιοι πολύ, θὰ ὑπέφεραν φοβερὰ βλέποντες τὰς συμφορὰς τῶν ἄλλων. Τοῦτο ἀκριβῶς εἶναι χαρακτηριστικὸν τῶν ἁγίων. Δὲν προτιμοῦν οὔτε τὴν δόξαν, οὔτε τὰς τιμάς, οὔτε τίποτε ἄλλο, ἀλλὰ τὴν σωτηρίαν τῶν πλησίον. Κοίταξε λοιπὸν πῶς προσηύχοντο δι' ὅλους τοὺς συνανθρώπους των ὅταν εὑρίσκοντο ἐπάνω εἰς τὰς φλόγας. Ἐνῷ ἐμεῖς δὲν ἐνθυμούμεθα τοὺς ἀδελφούς μας οὔτε ὅταν ἔχωμεν ὅλας μας τὰς ἀνέσεις. Καὶ ὅταν ἐζητοῦσαν [4] νὰ εὕρουν τί ὄνειρον εἶδεν ὁ Ναβουχοδονόσορ, δὲν ἀπέβλεπαν εἰς τὸ ἰδικόν των, ἀλλὰ εἰς τῶν πολλῶν τὸ συμφέρον. Διότι ἀπέδειξαν μετ' ὀλίγον διὰ πολλῶν ὅτι ἐπεριφρονοῦσαν τὸν θάνατον. Καὶ ἐπειδὴ θέλουν νὰ ἐξιλεώσουν τὸν Θεόν, προτάσσουν παντοῦ τοὺς ἑαυτούς των. Ἔπειτα, ἐπειδὴ ἔκριναν ὅτι δὲν ἔχουν τόσην δύναμιν οἱ ἴδιοι, καταφεύγουν εἰς τοὺς πατέρας. Διὰ τοὺς ἑαυτούς των ἔλεγαν ὅτι δὲν προσφέρουν τίποτε περισσότερον, παρὰ μόνον ταπεινὴν ψυχήν.

Ἂς τοὺς μιμηθοῦμεν λοιπὸν καὶ ἐμεῖς. Διότι καὶ τώρα ὑπάρχει στημένον χρυσὸν ἄγαλμα, ἡ τυραννικὴ δύναμις τοῦ πλούτου. Ἀλλὰ ἂς μὴ δίδωμεν προσοχὴν εἰς τὰ τύμπανα, οὔτε εἰς τοὺς αὐλοὺς οὔτε εἰς τὰς κιθάρας οὔτε εἰς τὰς λοιπὰς ἐγωιστι-

δέῃ πενίας ἑλώμεθα, ὥστε μὴ προσκυνῆσαι ἐκείνῳ καὶ ἔσται δρόσος ἐν μέσῳ διασυρίζουσα. Μὴ τοίνυν φρίττωμεν, πενίας ἀκούοντες κάμινον. Καὶ γὰρ καὶ τότε οἱ μὲν ἐμπεσόντες εἰς τὴν κάμινον ἀπεδείχθησαν λαμπρότεροι, οἱ δὲ προσκυνήσαντες ἀνῃρέθησαν.

Ἀλλὰ τότε μὲν ὁμοῦ πάντα ἐγένετο· νῦν δὲ τὰ μὲν ἐνταῦθα ἔσται, τὰ σὲ ἐκεῖ, τὰ δὲ καὶ ἐνταῦθα καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ. Οἱ μὲν γὰρ ὑπὲρ τοῦ μὴ προσκυνῆσαι τὸν μαμωνᾶν πενίαν ἑλόμενοι, καὶ ἐνταῦθα καὶ τότε ἔσονται λαμπρότεροι· οἱ δὲ πλουτοῦντες ἐνταῦθα ἀδίκως, τότε τὴν ἐσχάτην δώσουσι δίκην. Ἀπὸ ταύτης καὶ Λάζαρος τῆς καμίνου ἐξῄει, τῶν παίδων ἐκείνων οὐχ ἧττον λαμπρός· ὁ δὲ ἐν τῇ τάξει τῶν προσκυνησάντων τὴν εἰκόνα πλούσιος ἐν γεέννῃ κατεδικάζετο. Καὶ γὰρ τὰ εἰρημένα τύπος ἐκείνων. Ὥσπερ οὖν ἐνταῦθα οἱ μὲν ἐμπεσόντες οὐδὲν ἔπαθον, οἱ δὲ ἔξω καθήμενοι μετὰ πολλῆς ἡρπάγησαν τῆς σφοδρότητος· οὕτω καὶ τότε ἔσται· οἱ μὲν ἅγιοι διὰ τοῦ ποταμοῦ τοῦ πυρὸς βαδίζοντες, οὐδὲν πείσονται ἀηδές, ἀλλὰ καὶ φαιδροὶ φανοῦνται· οἱ δὲ τὴν εἰκόνα προσκυνήσαντες, ὄψονται τὸ πῦρ αὐτοῖς θηρίου χαλεπώτερον παντὸς ἐπιπηδῶν, καὶ καθέλκον ἔνδον. Ὥστε εἴ τις διαπιστεῖ τῇ γεέννῃ, ταύτην ἰδὼν τὴν κάμινον, ἀπὸ τῶν παρόντων πιστευέτω τοῖς μέλλουσι καὶ μὴ φοβείσθω πενίας κάμινον, ἀλλ' ἁμαρτίας κάμινον. Τοῦτο μὲν γὰρ φλὸξ καὶ ὀδύνη, ἐκεῖνο δὲ δρόσος καὶ ἄνεσις· κἀκείνῃ μὲν τῇ καμίνῳ παρέστηκεν ὁ διάβολος, ταύτῃ δὲ ἄγγελοι τινάσσοντες τὴν φλόγα.

12. Ταῦτα ἀκουέτωσαν οἱ πλουτοῦντες, οἱ τὴν κάμινον τῆς

---

1. Ἀναφέρεται ἐδῶ ὁ ἱερὸς Χρυσόστομος εἰς τὴν παραβολὴν τοῦ πλουσίου καὶ τοῦ Λαζάρου (βλ. 16 Λουκᾶ 19 - 31)

κὰς ἐκδηλώσεις τοῦ πλούτου, ἀλλά, ἂν χρειασθῇ, ἂς προτιμήσωμεν νὰ πέσωμεν μέσα εἰς τὴν κάμινον τῆς πενίας, διὰ νὰ μὴ προσκυνήσωμεν τὰ πλούτη, καὶ θὰ ὑπάρχῃ εἰς τὸ μέσον της μία θωπευτικὴ δροσιά. Ἂς μὴ τρέμωμεν λοιπόν, ὅταν γίνεται λόγος διὰ τὴν κάμινον τῆς πενίας. Διότι καὶ τότε ἀνεδείχθησαν ἐνδοξότεροι ἐκεῖνοι ποὺ ἐρρίφθησαν εἰς τὴν κάμινον, ἐνῷ ἐκεῖνοι ποὺ ἐπροσκύνησαν, ἐξωλοθρεύθησαν.

Ἀλλὰ τότε ἔγιναν ὅλα συγχρόνως. Τώρα ὅμως ἄλλα θὰ γίνουν ἐδῶ, ἄλλα ἐκεῖ, ἄλλα δὲ καὶ ἐδῶ καὶ κατὰ τὴν δευτέραν παρουσίαν. Ὅσοι δηλαδὴ ἐπροτίμησαν τὴν πενίαν ἀντὶ νὰ προσκυνήσουν τὸν πλοῦτον, θὰ εἶναι ἐνδοξότεροι καὶ τώρα καὶ τότε. Ἐνῷ ὅσοι ἐπλούτισαν ἐδῶ ἀδίκως, θὰ ὑποστοῦν τότε τὴν χειροτέραν ποινήν. Ἀπὸ τὴν κάμινον αὐτὴν τῆς πενίας ἐξῆλθε καὶ ὁ Λάζαρος [1] δοξασμένος ὄχι ὀλιγώτερον ἀπὸ τοὺς παῖδας ἐκείνους. Ὁ πλούσιος ἀντιθέτως, ποὺ ἀνήκει εἰς τὴν ὁμάδα ἐκείνων ποὺ ἐπροσκύνησαν τὸ εἴδωλον τοῦ πλούτου, κατεδικάσθη νὰ βασανίζεται εἰς τὴν αἰωνίαν κόλασιν. Διότι, ὅσα ἀνέφερα παραπάνω, ἀποτελοῦν εἰκόνα ἐκείνων. Ὅπως λοιπὸν ἐδῶ δὲν ἔπαθαν τίποτε ὅσοι ἐρρίφθησαν εἰς τὴν πυράν, ἐνῷ ὅσοι ἐκάθηντο ἔξω ἀπὸ αὐτὴν ἀνηρπάγησαν μὲ βιαιότητα, ἔτσι θὰ γίνῃ καὶ τότε. Οἱ ἅγιοι θὰ βαδίσουν μέσα εἰς τὸν ποταμὸν τοῦ πυρὸς καὶ δὲν θὰ πάθουν τίποτε τὸ δυσάρεστον, ἀλλὰ ἐπὶ πλέον θὰ ἐμφανισθοῦν χαρούμενοι. Ὅσοι ὅμως ἐπροσκύνησαν τὰ εἴδωλα, θὰ ἰδοῦν νὰ πηδᾷ κατεπάνω των τὸ πῦρ ἀγριώτερον ἀπὸ κάθε θηρίον καὶ νὰ τοὺς καταποντίζῃ μέσα του. Ὥστε, ἂν ἀμφιβάλλῃ κανεὶς διὰ τὸ αἰώνιον πῦρ τῆς κολάσεως, ἂς ἰδῇ αὐτὴν τὴν κάμινον, ἂς στηριχθῇ εἰς τὰ συμβαίνοντα ἐδῶ, διὰ νὰ πιστεύσῃ εἰς τὰ μέλλοντα, καὶ ἂς μὴ φοβᾶται τὴν κάμινον τῆς πενίας, ἀλλὰ τὴν κάμινον τῆς ἁμαρτίας. Διότι ἡ δευτέρα ὁδηγεῖ εἰς φωτιὰν καὶ πόνον ἀνυπόφορον, ἡ πρώτη εἰς δροσιὰν καὶ ἀνακούφισιν. Καὶ κοντὰ εἰς ἐκείνην τὴν κάμινον στέκεται ὁ διάβολος, εἰς τὴν ἄλλην δὲ στέκονται οἱ ἄγγελοι καὶ σβήνουν τὴν φλόγα.

12. Ἂς τὰ ἀκούσουν αὐτὰ οἱ πλούσιοι, ὅσοι ἀνάπτουν

πενίας ἀνάπτοντες. Ἐκείνους μὲν γὰρ οὐδὲν βλάψουσι τῆς δρόσου παραγενομένης αὐτοῖς· ἑαυτοὺς δὲ εὐχειρώτους ἐργάσονται τῇ φλογί, ἣν ἀπὸ τῶν ἰδίων ἀνῆψαν χειρῶν.

Τότε μὲν οὖν ἄγγελος συγκατέβη τοῖς παισὶν ἐκείνοις· νυνὶ δὲ ἡμεῖς τοῖς ἐν καμίνῳ πενίας οὖσι συγκαταβῶμεν, καὶ διὰ τῆς ἐλεημοσύνης ἐργασώμεθα δρόσον, καὶ ἐκτινάξωμεν τὴν φλόγα, ἵνα καὶ τῶν στεφάνων αὐτῶν γενώμεθα κοινωνοί· ἵνα καὶ τὴν φλόγα τῆς γεέννης ἡ τοῦ Χριστοῦ διασκεδάσῃ φωνὴ ἡ λέγουσα· «Πεινῶντά με εἴδετε καὶ ἐθρέψατε». Αὕτη γὰρ ἡ φωνὴ τότε ἀντὶ δρόσου παραστήσεται ἡμῖν, διὰ μέσης συρίζουσα τῆς φλογός. Κατέλθωμεν τοίνυν μετὰ ἐλεημοσύνης εἰς τὴν τῆς πτωχείας κάμινον· ἴδωμεν τοὺς φιλοσοφοῦντας βαδίζοντας ἐν αὐτῇ, καὶ τοὺς ἄνθρακας πατοῦντας. Ἴδωμεν τὸ θαῦμα τὸ καινὸν καὶ παράδοξον, ἄνθρωπον ἐν καμίνῳ ψάλλοντα, ἄνθρωπον ἐν πυρὶ εὐχαριστοῦντα, πενίᾳ προσδεδεμένον ἐσχάτῃ, καὶ πολλὴν φέροντα τὴν εὐφημίαν τῷ Χριστῷ. Καὶ γὰρ τοῖς παισὶν ἐκείνοις ἴσοι γίνονται οἱ πενίαν μετ' εὐχαριστίας φέροντες. Καὶ γὰρ πυρὸς φοβερώτερον ἡ πτωχεία καὶ μᾶλλον ἐμπιπρᾶν εἴωθεν. Ἀλλὰ τοὺς παῖδας οὐκ ἐνέπρησεν ἐκείνους, ἀλλ' ἐπειδὴ χάριτας ὡμολόγησαν τῷ Δεσπότῃ, καὶ τὰ δεσμὰ εὐθέως αὐτοῖς διελύετο. Οὕτω καὶ νῦν, ἂν ἐμπεσὼν εἰς πενίαν εὐχαριστήσῃς, καὶ τὰ δεσμὰ λύεται, καὶ ἡ φλὸξ σβέννυται· κἂν μὴ σβεσθῇ, τὸ πολλῷ θαυμαστότερον, ἀντὶ φλογὸς πηγὴ γίνεται· ὃ δὴ καὶ τότε συνέβη· καὶ ἐν καμίνῳ μέσῃ δρόσου καθαρᾶς ἀπέλαυον. Τὸ μὲν γὰρ πῦρ οὐκ ἔσβεσε, τὸ δὲ καυθῆναι τοὺς ἐμβληθέντας διεκώλυσε. Τοῦτο καὶ ἐπὶ τῶν φιλοσοφούντων ἔστιν ἰδεῖν· καὶ γὰρ ἐν πενίᾳ τῶν πλουτούντων ἀδεέστερον διάκεινται.

---

1. Ματθ. 25,35

τὴν κάμινον τῆς πενίας. Διότι δὲν θὰ βλάψουν καθόλου τοὺς πτωχούς, ἐπειδὴ εὑρίσκεται κοντά των ἡ δροσιά. Τοὺς ἑαυτούς των θὰ κάμουν λείαν τῆς πυρᾶς, τὴν ὁποίαν ἥναψαν μὲ τὰ ἴδια τὰ χέρια των.

Τότε λοιπὸν ἔτρεξεν ἄγγελος νὰ βοηθήσῃ ἐκεῖνα τὰ παιδιά. Τώρα ἂς τρέξωμεν ἐμεῖς νὰ βοηθήσωμεν ἐκείνους ποὺ εὑρίσκονται ἐπάνω εἰς τὴν κάμινον τῆς πενίας, ἂς τοὺς δροσίσωμεν μὲ τὴν ἐλεημοσύνην καὶ ἂς σβήσωμεν τὴν φλόγα τῆς πενίας των, διὰ νὰ γίνωμεν μέτοχοι τῆς δόξης των, ὥστε νὰ σβήσῃ τὴν φλόγα τῆς αἰωνίας κολάσεως ἡ φωνὴ τοῦ Χριστοῦ μὲ τὰ ἑξῆς λόγια· «Πεινῶντά με εἴδετε καὶ ἐθρέψατε»[1]. Διότι αὐτὴ ἡ φωνὴ θὰ μᾶς παρασταθῇ τότε ὡς δροσιὰ μέσα εἰς τὴν φλόγα. Ἂς τρέξωμεν λοιπὸν μὲ ἐλεημοσύνην εἰς τὴν κάμινον τῆς πενίας. Ἂς ἰδοῦμεν ὅτι οἱ πιστοὶ βαδίζουν ἐπάνω εἰς αὐτὴν καὶ πατοῦν ἐπάνω εἰς τὰ κάρβουνα. Ἂς ἰδοῦμεν τὸ πρωτοφανὲς καὶ ἀπροσδόκητον θαῦμα, ἄνθρωπον νὰ ὑμνῇ τὸν Θεὸν μέσα εἰς τὴν κάμινον, ἄνθρωπον βασανισμένον ἀπὸ τὴν χειροτέραν πενίαν νὰ ἀναπέμπῃ μέσα εἰς τὰς φλόγας εὐχαριστίας πρὸς τὸν Θεὸν καὶ νὰ ὑμνολογῇ τὸν Χριστόν. Διότι ὅσοι ὑπομένουν εὐχαρίστως τὴν πενίαν, γίνονται ἰσάξιοι μὲ ἐκεῖνα τὰ παιδιά. Διότι ἡ πενία εἶναι κάτι τὸ φοβερώτερον ἀπὸ τὴν φωτιὰν καὶ συχνὰ καίει περισσότερον. Δὲν ἔκαυσεν ὅμως ἐκεῖνα τὰ παιδιά, ἀλλὰ μόλις εὐχαρίστησαν τὸν Θεόν, διελύθησαν ἀμέσως τὰ δεσμά των. Ἔτσι καὶ τώρα, ἂν εἶσαι πτωχὸς καὶ εὐχαριστῇς τὸν Θεόν, καὶ τὰ δεσμὰ θὰ διαλυθοῦν καὶ ἡ φωτιὰ θὰ σβήσῃ. Καὶ ἂν δὲν σβήσῃ, θὰ συμβῇ κάτι τὸ περισσότερον ἀξιοθαύμαστον. Θὰ μεταβληθῇ εἰς πηγήν. Αὐτὸ ἀκριβῶς συνέβη καὶ τώρα. Εἰς τὸ μέσον τῆς καμίνου ᾐσθάνοντο ἀπολαυστικὴν δροσιάν. Δὲν ἔσβησε βεβαίως τὴν φωτιάν, ἀλλὰ ἠμπόδισε νὰ καοῦν ἐκεῖνοι ποὺ ἐρρίφθησαν μέσα. Εἶναι δυνατὸν νὰ ἰδοῦμεν νὰ συμβαίνῃ αὐτὸ καὶ εἰς ἐκείνους ποὺ ἀντιμετωπίζουν μὲ καρτερικότητα τὴν ζωήν. Καὶ αὐτοὶ δηλαδή, παρὰ τὴν πενίαν των, αἰσθάνονται ἀνετώτερα ἀπὸ τοὺς πλουσίους.

Μὴ τοίνυν ἔξω τῆς καμίνου καθεζώμεθα, ἀνηλεῶς πρὸς τοὺς πένητας ἔχοντες, ἵνα μὴ πάθωμεν ὅπερ ἔπαθον τότε ἐκεῖνοι. Ἂν μὲν γὰρ καταβὰς πρὸς αὐτοὺς στήσῃ μετὰ τῶν παίδων, οὐκέτι σε οὐδὲν ἐργάσεται δεινὸν τὸ πῦρ· ἐὰν δὲ ἄνω καθήμενος περιίδῃς αὐτοὺς ἐν τῇ φλογὶ τῆς πενίας, κατακαύσει ἡ φλόξ. Κατάβηθι τοίνυν εἰς τὸ πῦρ, ἵνα μὴ κατακαῇς ὑπὸ τοῦ πυρός· μὴ καθίσῃς ἔξω τοῦ πυρός, ἵνα μή σε ἁρπάσῃ ἡ φλόξ. Ἂν μέν γὰρ ἴδῃ σε μετὰ τῶν πενήτων, ἀποστήσεταί σου· ἂν δὲ ἀλλοτριούμενον αὐτῶν, ἐπιδραμεῖται σοι ταχέως καὶ ἁρπάσεταί σε. Μὴ τοίνυν ἀποστῇς αὐτῶν ἐμβληθέντων· ἀλλ᾽ ὅταν ὁ διάβολος κελεύῃ τοὺς μὴ προσκυνήσαντας τῷ χρυσῷ βαλεῖν εἰς τὴν κάμινον τῆς πενίας, μὴ τῶν ἐμβαλλόντων, ἀλλὰ τῶν ἐμβαλλομένων γίνου, ἵνα γένῃ τῶν σῳζομένων, καὶ μὴ τῶν καιομένων. Καὶ γὰρ μεγίστη δρόσος, τὸ μὴ κατέχεσθαι ἐπιθυμίᾳ πλούτου, τὸ πένησιν ὁμιλεῖν. Οὗτοι πάντων εἰσὶν εὐπορώτεροι, οἱ τὴν ἐπιθυμίαν τοῦ πλούτου καταπατήσαντες. Ἐπεὶ καὶ ἐκεῖνοι καταφρονήσαντες τότε τοῦ βασιλέως, ἐγένοντο τοῦ βασιλέως λαμπρότεροι. Καὶ σὺ τοίνυν, ἂν ὑπερίδῃς τῶν ἐν τῷ κόσμῳ πραγμάτων, τοῦ κόσμου παντὸς ἔσῃ τιμιώτερος, κατὰ τοὺς ἁγίους ἐκείνους, «Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος».

Ἵν᾽ οὖν ἄξιος γένῃ τῶν οὐρανίων, καταγέλασον τῶν παρόντων. Οὕτω γὰρ καὶ ἐνταῦθα ἔσῃ λαμπρότερος, καὶ τῶν μελλόντων ἀπολαύσεις ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἂς μὴ ἀναπαυώμεθα λοιπὸν ἔξω ἀπὸ τὸ καμίνι ἀδιάφοροι πρὸς τοὺς πτωχούς, διὰ νὰ μὴ πάθωμεν ὅ,τι ἔπαθαν τότε οἱ θεαταί. Ἂν προχωρήσῃς πρὸς αὐτοὺς καὶ σταθῇς μαζί των, δὲν θὰ σὲ πειράξῃ ποτὲ ἡ φωτιά. Ἂν ὅμως παραμείνῃς εἰς τὴν θέσιν σου καὶ τοὺς ἐγκαταλείψῃς εἰς τὴν φωτιὰν τῆς πενίας, θὰ σὲ κατακαύσῃ ἡ φλόγα της. Νὰ προχωρήσῃς λοιπὸν καὶ νὰ εἰσέλθῃς εἰς τὴν φωτιάν, διὰ νὰ μὴ κατακαῇς ἀπὸ τὴν φωτιάν. Μὴ παραμείνῃς ἔξω ἀπὸ τὴν φωτιάν, διὰ νὰ μὴ καταβροχθισθῇς ἀπὸ τὴν φλόγα της. Διότι, ἂν σὲ ἴδῃ μαζὶ μὲ τοὺς πτωχούς, θὰ σταθῇ μακριὰ ἀπὸ ἐσέ. Ἂν σὲ ἴδῃ ἀποξενωμένον ἀπὸ αὐτούς, θὰ σοῦ ἐπιτεθῇ ἀμέσως καὶ θὰ σὲ καταβροχθίσῃ. Μὴ μείνῃς λοιπὸν μακριὰ ἀπὸ αὐτοὺς ποὺ θὰ ριφθοῦν εἰς τὴν φωτιάν, ἀλλά, ὅταν ὠθῇ ὁ διάβολος νὰ ριφθοῦν εἰς τὸ καμίνι τῆς πενίας ὅσοι δὲν ἐπροσκύνησαν τὸν χρυσόν, πρόσεξε νὰ μὴ εἶσαι ἀπὸ ἐκείνους ποὺ ρίπτουν, ἀλλὰ ἀπὸ ἐκείνους ποὺ ρίπτονται, διὰ νὰ σωθῇς καὶ νὰ μὴ καῇς. Διότι εἶναι πολὺ μεγάλη δροσιὰ νὰ μὴ σὲ κυριεύσῃ ὁ πόθος τοῦ πλούτου, νὰ ἀνήκῃς εἰς τὴν κατηγορίαν τῶν πτωχῶν. Πλουσιώτεροι ἀπὸ ὅλους εἶναι ἐκεῖνοι ποὺ κατέπνιξαν τὸν πόθον τοῦ πλούτου. Καὶ οἱ παῖδες ἐκεῖνοι ἔγιναν ἐνδοξότεροι ἀπὸ τὸν βασιλέα, διότι περιεφρόνησαν τὸν βασιλέα. Ἂν περιφρονήσῃς λοιπὸν καὶ σὺ τὰ πλούτη τοῦ κόσμου, θὰ γίνῃς ἀνώτερος ἀπὸ ὅλον τὸν κόσμον, ὅπως οἱ ἅγιοι ἐκεῖνοι, «Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος».

Περιφρόνησε λοιπὸν τὰ ἀγαθὰ τοῦ κόσμου τούτου, διὰ νὰ γίνῃς ἄξιος τῶν ἀγαθῶν τοῦ οὐρανοῦ. Διότι μὲ αὐτὸν τὸν τρόπον καὶ ἐδῶ θὰ εἶσαι ἐνδοξότερος καὶ τὰ αἰώνια ἀγαθὰ θὰ ἀπολαύσῃς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου ἡ δόξα καὶ ἡ δύναμις εἶναι αἰωνία. Ἀμήν.-

ΟΜΙΛΙΑ Ε'
Ματθ. 1, 22-23

«Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· 'Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ'».

1. Πολλῶν ἀκούω λεγόντων, ὅτι παρόντες μὲν καὶ τῆς ἀκροάσεως ἀπολαύοντες, συστελλόμεθα· ἐξελθόντες δέ, ἕτεροι πάλιν ἀνθ' ἑτέρων γινόμεθα, τὸ πῦρ τῆς προθυμίας σβεννύντες.

Τί οὖν ἂν γένοιτο, ὅπως τοῦτο μὴ γίνηται; Σκοπήσωμεν ὅθεν γίνεται. Πόθεν οὖν γίνεται ἡμῖν ἡ τοσαύτη μεταβολή; Ἀπὸ τῆς διατριβῆς τῆς μὴ προσηκούσης, καὶ τῆς τῶν πονηρῶν ἀνθρώπων συνουσίας.

Οὐ γὰρ ἐχρῆν ἀπὸ τῆς συνάξεως ἀναχωροῦντας, εἰς τὰ μὴ προσήκοντα τῇ συνάξει ἐμβάλλειν ἑαυτοὺς πράγματα· ἀλλ' εὐθέως, οἴκαδε ἐλθόντας τὸ βιβλίον μεταχειρίζεσθαι, καὶ τὴν γυναῖκα καὶ τὰ παιδία πρὸς τὴν κοινωνίαν τῆς τῶν εἰρημένων καλεῖν συλλογῆς, καὶ τότε τῶν βιωτικῶν ἅπτεσθαι πραγμάτων. Εἰ γὰρ ἀπὸ βαλανείου οὐκ ἂν ἕλοιο εἰς ἀγορὰν ἐμβάλλειν, ὥστε μὴ τὴν ἐκεῖθεν ἄνεσιν λυμήνασθαι τοῖς ἐν ἀγορᾷ πράγμασι· πολλῷ μᾶλλον ἀπὸ συνάξεως τοῦτο ποιεῖν ἐχρῆν. Νῦν δὲ τοὐναντίον ποιοῦμεν· διὰ δὴ τοῦτο καὶ πάντα ἀπόλλυμεν. Οὔπω γὰρ

---

1. Ἡσ. 7,14

ΟΜΙΛΙΑ Ε'
Ματθ. 1, 22 - 23

«Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ρηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ» [1].

1. Ἀκούω πολλοὺς νὰ λέγουν ὅτι, ὅταν εἴμεθα παρόντες καὶ ἀπολαμβάνωμεν τὴν ὁμιλίαν, γινόμεθα ταπεινοί. Μόλις ἀναχωρήσωμεν ὅμως, γινόμεθα πάλιν διαφορετικοὶ καὶ σβήνομεν τὴν φλόγα τῆς ἠθικῆς βελτιώσεως.

Τί εἶναι δυνατὸν νὰ γίνῃ λοιπόν, διὰ νὰ μὴ συμβαίνῃ αὐτό; Ἂς ἐρευνήσωμεν ποῦ ὀφείλεται. Ποῦ ὀφείλεται λοιπὸν αὐτὴ ἡ μεγάλη μεταβολὴ τῶν διαθέσεών μας; Εἰς τὰς ἀκαταλλήλους ἐνασχολήσεις μας καὶ εἰς τὴν συναναστροφήν μας μὲ κακοήθεις ἀνθρώπους.

Δὲν ἔπρεπε λοιπόν, ὅταν ἀναχωροῦμεν ἀπὸ τὴν ἐκκλησίαν, νὰ ἀσχολούμεθα μὲ ὑποθέσεις ἀσχέτους πρὸς τὴν ἐκκλησίαν, ἀλλὰ νὰ μεταβαίνωμεν ἀμέσως εἰς τὸ σπίτι μας καὶ νὰ ἀσχολούμεθα μὲ τὸ βιβλίον καὶ νὰ καλοῦμεν τὴν γυναῖκα καὶ τὰ παιδιά μας νὰ λάβουν μέρος εἰς τὴν ἀναπόλησιν τῆς ὁμιλίας καὶ κατόπιν νὰ ἐνδιαφερώμεθα διὰ τὰς βιωτικὰς ὑποθέσεις μας. Διότι, ἀφοῦ δὲν ἀποφασίζῃς νὰ μεταβῇς ἀπὸ τὸ λουτρὸν εἰς τὴν ἀγοράν, διὰ νὰ μὴ ἐξουδετερώσῃ ἡ ἐπαφή σου μὲ τὰ πράγματα τῆς ἀγορᾶς τὴν ἀνακούφισίν σου ἀπὸ τὸ λουτρόν, ἔπρεπε νὰ ἀκολουθῇς πολὺ περισσότερον αὐτὴν τὴν τακτικήν, ὅταν ἀναχωρῇς ἀπὸ τὴν ἐκκλησίαν. Τώρα ὅμως κάμνομεν τὸ ἀντίθετον. Διὰ τοῦτο ἀκριβῶς χάνομεν τὰ πάντα. Διότι, πρὶν ἀκόμη ριζώσῃ καλὰ ἡ ὠφέλεια τῶν λόγων, παρα-

τῆς ὠφελείας τῶν λεχθέντων παγείσης καλῶς, ἡ πολλὴ ῥύμη τῶν ἔξωθεν προσπιπτόντων πάντα παρασύρασα οἴχεται.

Ἵν' οὖν μὴ τοῦτο γίνηται, ἀπὸ συνάξεως ἀναχωρῶν, μηδὲν ποιοῦ τῆς τῶν εἰρημένων συλλογῆς ἀναγκαιότερον. Καὶ γὰρ ἐσχάτης ἀγνωμοσύνης ἂν εἴη, πέντε καὶ ἓξ ἡμέρας τοῖς βιωτικοῖς ἀπονέμοντας, τοῖς πνευματικοῖς μηδὲ μίαν ἡμέραν, μᾶλλον δὲ μικρὸν τῆς ἡμέρας μέρος διδόναι. Οὐχ ὁρᾶτε τὰ παιδία τὰ ἡμέτερα, ὅτι τὰ μαθήματα, ἅπερ ἂν δέξωνται, ταῦτα δι' ὅλης μελετῶσι τῆς ἡμέρας; Τοῦτο δὴ καὶ ἡμεῖς ἐργασώμεθα· ἐπεὶ πλέον οὐδὲν ἡμῖν ἔσται τῆς ἐνταῦθα ἀφίξεως, εἰς πίθον τετρημένον ἀντλοῦσι καθ' ἑκάστην ἡμέραν καὶ μηδὲ τοσαύτην παρεχομένοις σπουδὴν τῇ τῶν εἰρημένων φυλακῇ, ὅσην περὶ χρυσὸν καὶ ἄργυρον ἐπιδεικνύμεθα. Δηνάρια μὲν γάρ τις ὀλίγα λαβών, καὶ εἰς βαλάντιον ἀποτίθεται, καὶ σφραγῖδα ἐπιτίθησιν· ἡμεῖς δὲ καὶ χρυσίου καὶ λίθων πολυτελῶν τιμιώτερα δεχόμενοι λόγια, καὶ τοὺς τοῦ Πνεύματος ὑποδεχόμενοι θησαυρούς, οὐκ εἰς τὰ ταμιεῖα τῆς ψυχῆς ἀποτιθέμεθα, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν ἐῶμεν τῆς ἡμετέρας διανοίας ἐκρεῖν.

Τίς οὖν ἡμᾶς ἐλεήσει λοιπόν, ἐπιβουλεύοντας ἑαυτοῖς, καὶ εἰς τοσαύτην ἐμβάλλοντας πενίαν; Ἵν' οὖν μὴ τοῦτο γίνηται, γράψωμεν ἑαυτοῖς νόμον ἀκίνητον, καὶ ταῖς γυναιξὶ καὶ τοῖς παισὶ τοῖς ἡμετέροις, μίαν τῆς ἑβδομάδος ἡμέραν ταύτην ὅλην ἀνατιθέναι τῇ ἀκροάσει καὶ τῶν ἀκουσθέντων τῇ συλλογῇ. Οὕτω γὰρ καὶ εὐμαθέστεροι πρὸς τὰ μέλλοντα ῥυθήσεσθαι ἀπαντήσομεν, καὶ ἡμῖν ἐλάττων ὁ πόνος ἔσται καὶ ὑμῖν τὸ κέρδος πλέον, ὅταν τὰ πρώην εἰρημένα φέροντες ἐπὶ τῆς μνήμης, οὕτω τὰ μετὰ ταῦτα ἀκούητε. Οὐ γὰρ μικρόν τι καὶ τοῦτο συντελεῖ πρὸς τὴν τῶν λεγομένων σύνεσιν, τὸ τὴν ἀκολουθίαν εἰδέναι μετὰ ἀκριβείας τῶν παρ' ἡμῶν ὑφαινομένων ὑμῖν νοημάτων.

σύρει ἀμέσως τὰ πάντα ἡ μεγάλη ὁρμὴ τῶν ἐξωτερικῶν ἐπιδράσεων.

Διὰ νὰ μὴ γίνεται λοιπὸν αὐτό, μὴ θεωρῇς, ὅταν ἀναχωρῇς ἀπὸ τὴν ἐκκλησίαν, τίποτε σπουδαιότερον ἀπὸ τὴν ἀνακεφαλαίωσιν καὶ ἐπεξεργασίαν τῆς ὁμιλίας. Διότι θὰ ἦτο ἡ μεγαλυτέρα ἀγνωμοσύνη, ἐνῷ διαθέτωμεν πέντε ἢ ἕξι ἡμέρας διὰ τὰς βιωτικάς μας ἀνάγκας, νὰ μὴ διεθέτωμεν οὔτε μίαν, μᾶλλον δὲ οὔτε μικρὸν μέρος τῆς ἡμέρας διὰ τὰς πνευματικάς. Δὲν βλέπετε τὰ παιδιά μας ὅτι μελετοῦν ὅλην τὴν ἡμέραν τὰ μαθήματα, τὰ ὁποῖα διδάσκονται; Αὐτὸ ἂς κάμωμεν καὶ ἐμεῖς. Διότι δὲν θὰ κερδίσωμεν τίποτε ἀπὸ τὴν συγκέντρωσίν μας αὐτήν, ἂν χύνωμεν καθημερινῶς νερὸ εἰς τρυπημένον πίθον καὶ δὲν φροντίζωμεν διὰ τὴν φύλαξιν τῶν λόγων οὔτε ὅσον φροντίζομεν διὰ τὴν φύλαξιν τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου. Ὅταν π.χ. ἀποκτήσῃ κανεὶς ὀλίγα χρήματα, καὶ εἰς τὸ βαλάντιόν του τὰ τοποθετεῖ καὶ τὰ σφραγίζει ἐπὶ πλέον. Ἐμεῖς, ἀντιθέτως, ποὺ ἀκούομεν λόγια πολυτιμότερα ἀπὸ τὸν χρυσὸν καὶ ἀπὸ τοὺς πολυτίμους λίθους καὶ μᾶς προσφέρονται Πνευματικοὶ θησαυροί, δὲν τοὺς τοποθετοῦμεν εἰς τὸ θησαυροφυλάκιον τῆς ψυχῆς μας, ἀλλὰ τοὺς ἀφήνομεν ἀπερισκέπτως καὶ ἐπιπολαίως νὰ χύνωνται ἔξω ἀπὸ τὴν ψυχήν μας.

Ποῖος θὰ μᾶς λυπηθῇ λοιπόν, ἀφοῦ εἴμεθα ἐχθροὶ τοῦ ἑαυτοῦ μας καὶ τὸν ὁδηγοῦμεν εἰς τόσον μεγάλην στέρησιν; Διὰ νὰ μὴ γίνεται αὐτό, ἂς θεσπίσωμεν διὰ τοὺς ἑαυτούς μας, τὰς γυναῖκας μας καὶ τὰ παιδιά μας νόμον ἀπαράβατον, νὰ διαθέτωμεν μίαν ὁλόκληρον ἡμέραν κάθε ἑβδομάδα διὰ τὴν παρακολούθησιν ὁμιλιῶν καὶ τὴν ἐμβάθυνσιν εἰς αὐτάς. Διότι κατ' αὐτὸν τὸν τρόπον, ὅταν δηλ. ἔχετε εἰς τὴν μνήμην σας τὰς προηγουμένας ὁμιλίας καὶ μὲ αὐτὰς ὡς ἐφόδιον ἀκούετε τὰς ἑπομένας, θὰ εἶναι οἱ λόγοι περισσότερον εὐκολονόητοι καὶ ὁ κόπος μου ὀλιγώτερος καὶ τὸ κέρδος σας μεγαλύτερον. Διότι εἰς τὴν κατανόησιν τῶν λεγομένων ὄχι ὀλίγον συντελεῖ καὶ ἡ ἀκριβὴς γνῶσις τῆς ἀλληλουχίας τῶν σκέψεων, τὰς ὁποίας

Ἐπειδὴ γὰρ οὐκ ἔνι πάντα ἐν μιᾷ καταβαλεῖν ἡμέρᾳ, τὰ ἐν πολλαῖς ὑμῖν ἡμέραις κατατιθέμεθα τῇ τῆς μνήμης συνεχείᾳ ὥσπερ σειράν τινα ποιήσαντες, οὕτω δὴ περιτίθεσθε τῇ ψυχῇ, ὥστε ὁλόκληρον φαίνεσθαι τὸ σῶμα τῶν Γραφῶν. Ἀναμνήσαντες τοίνυν τῶν ἔναγχος εἰρημένων ἑαυτούς, οὕτω καὶ σήμερον ἐπὶ τὰ προκείμενα ἴωμεν.

2. Τίνα δέ ἐστι τὰ προκείμενα σήμερον; «Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος». Ἀξίως τοῦ θαύματος, ὡς αὐτῷ δυνατὸν ἦν, ἀνεβόησεν, εἰπών· «Τοῦτο δὲ ὅλον γέγονεν». Ἐπειδὴ γὰρ εἶδε τὸ πέλαγος καὶ τὴν ἄβυσσον τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ τὸ μηδέποτε ἐλπισθὲν εἰς ἔργον ἐλθόν, καὶ φύσεως λυθέντας νόμους, καὶ καταλλαγὰς γινομένας, καὶ τὸν πάντων ἀνώτερον πρὸς τὸν πάντων κατώτερον κατιόντα, καὶ τὰ μεσότοιχα λυόμενα, καὶ τὰ κωλύματα ἀναιρούμενα, καὶ πολλῷ πλείονα τούτων ἕτερα γινόμενα, ἑνὶ ῥήματι τὸ θαῦμα παρέστησεν, εἰπών· «Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου». Μὴ γὰρ νομίσῃς, φησίν, ὅτι νῦν ταῦτα ἔδοξε· πάλαι προετυποῦτο. Ὅπερ καὶ ὁ Παῦλος πανταχοῦ δεῖξαι ἐσπούδασε. Καὶ παραπέμπει τὸν Ἰωσὴφ τῷ Ἡσαΐᾳ λοιπόν, ἵνα κἂν τῶν αὐτοῦ ῥημάτων ἐπιλάθηται ἀφυπνισθείς, ἅτε πρόσφατον εἰρημένων, τῶν προφητικῶν, οἷς συνανεστράφη διαπαντός, ἀναμνησθείς, καὶ τὰ παρ' αὐτοῦ λεχθέντα κατάσχῃ. Καὶ τῇ μὲν γυναικὶ οὐδὲν τούτων εἴρηκεν, ἅτε κόρῃ οὔσῃ καὶ ἀπείρως τούτων ἐχούσῃ· τῷ δὲ ἀνδρί, δικαίῳ τε ὄντι καὶ μελετῶντι προφήτας, ἐντεῦθεν διαλέγεται.

Καὶ πρὸ μὲν τούτου «Μαριὰμ τὴν γυναῖκά σου», λέγει· ἐνταῦθα δὲ ὅτε τὸν προφήτην εἵλκυσεν εἰς τὸ μέσον, τότε αὐτῷ πιστεύει τὸ τῆς παρθενίας ὄνομα· οὐ γὰρ οὕτως ἀτάραχος ἔμενε, παρθένον παρ' αὐτοῦ ἀκούων, εἰ μὴ πρῶτον καὶ παρὰ Ἡ-

σᾶς ἀναπτύσσω. Ἐπειδὴ λοιπὸν δὲν εἶναι δυνατὸν νὰ διδαχθοῦν ἐντὸς μιᾶς ἡμέρας τὰ πάντα, τοποθετήσετε μὲ ὡρισμένην τάξιν εἰς τὴν μνήμην σας ὅσα θὰ διδαχθῆτε κατὰ τὴν διάρκειαν πολλῶν ἡμερῶν καὶ τακτοποιήσετέ τα ἔτσι μέσα εἰς τὴν ψυχήν σας, ὥστε νὰ φαίνεται ἡ ἁγία Γραφὴ ἕνα ἑνιαῖον σύνολον. Ἀφοῦ ἐνθυμηθῆτε λοιπὸν ὅσα εἴπαμεν τώρα τελευταῖα, ἂς προχωρήσωμεν καὶ σήμερα εἰς τὴν συνέχειαν.

2. Ποία θὰ εἶναι ἡ συνέχεια σήμερα; «Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ρηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος». Ὅταν λέγῃ· «Τοῦτο δὲ ὅλον γέγονεν», ὁμιλεῖ, ὅσον τοῦ εἶναι δυνατόν, ὅπως ἀξίζει εἰς τὸ θαῦμα. Ἐπειδὴ δηλαδὴ εἶδεν ὅλον τὸ πλάτος, καὶ τὸ βάθος τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ ὅτι ἔγινε πραγματικότης ὅ,τι δὲν ἦτο δυνατὸν οὔτε νὰ φαντασθοῦμεν καὶ ὅτι κατελύθησαν οἱ φυσικοὶ νόμοι καὶ ἐπῆλθε συμφιλίωσις καὶ κατέβη ὁ ἀνώτερος ἀπὸ ὅλους πρὸς τὸν κατώτερον ἀπὸ ὅλους καὶ ἐξηφανίσθη τὸ χάσμα καὶ ἐξουδετερώθησαν τὰ ἐμπόδια καὶ συνέβησαν καὶ ἄλλα πολὺ περισσότερα, μᾶς παρουσίασε μὲ μίαν μικρὰν φράσιν τὸ θαῦμα. Εἶπε· «Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ρηθὲν ὑπὸ τοῦ Κυρίου». Δὲν πρέπει, λέγει, νὰ νομίσῃς ὅτι τοῦτο ἀπεφασίσθη τώρα. Ἐσχεδιάσθη ἀπὸ πολὺ παλαιά. Αὐτὸ ἐφρόντισε νὰ τὸ δείξῃ παντοῦ ὁ Παῦλος. Παραπέμπει δὲ ὁ ἄγγελος τὸν Ἰωσὴφ εἰς τὸν Ἡσαΐαν, ὥστε καὶ ἂν δυσπιστήσῃ ὅταν σηκωθῇ ἀπὸ τὸν ὕπνον, πρὸς τὰ λόγια του, ἐπειδὴ ἐλέχθησαν τώρα, νὰ ἐνθυμηθῇ τὰ λόγια τοῦ προφήτου τὰ ὁποῖα ἤκουεν εἰς ὅλην του τὴν ζωήν καὶ νὰ τὰ κατανοήσῃ. Εἰς τὴν Παρθένον δὲν εἶπε τίποτε ἀπὸ αὐτά διότι ἦτο νεαρὰ καὶ δὲν εἶχε τὴν ἀπαιτουμένην πεῖραν. Ἀπευθύνεται πρὸς τὸν ἄνδρα μὲ αὐτὸν τὸν τρόπον ἐπειδὴ ἦτο εὐσεβὴς καὶ ἐμελετοῦσε τοὺς προφήτας.

Πρὸ ὀλίγου εἶπε· «Μαριὰμ τὴν γυναῖκά σου». Εἰς τὸ σημεῖον τοῦτο ἀφοῦ ἀνέφερε τὸν προφήτην τοῦ ἐμπιστεύεται τὴν λέξιν «παρθένος». Διότι ἂν δὲν ἤκουε πρῶτα τὰ λόγια τοῦ

σαΐου. Καὶ γὰρ οὐδὲν ξένον, ἀλλὰ τὸ σύνηθες καὶ τὸ ἐν πολλῷ χρόνῳ μελετηθὲν ἔμελλεν ἀκούσεσθαι παρὰ τοῦ προφήτου. Διὰ τοῦτο ποιῶν εὐπαράδεκτον τὸ εἰρημένον ὁ ἄγγελος, παράγει εἰς μέσον τὸν Ἠσαΐαν. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλ' ἐπὶ τὸν Θεὸν ἀναρτᾷ τὸν λόγον· οὐ γὰρ αὐτοῦ εἶναί φησι τὸ εἰρημένον, ἀλλὰ τοῦ τῶν ὅλων Θεοῦ.

Διὰ τοῦτο οὐκ εἶπεν, Ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἠσαΐου, ἀλλά, «Τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου». Τὸ μὲν γὰρ στόμα Ἠσαΐου, ὁ δὲ χρησμὸς ἄνωθεν ἐφέρετο.

Τί οὖν οὗτός φησιν ὁ χρησμός; «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ».

Πῶς οὖν οὐκ ἐκλήθη, φησί, τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ἀλλὰ Ἰησοῦς Χριστός;

Ὅτι οὐκ εἶπε, Καλέσεις, ἀλλά,«Καλέσουσιν», οἱ ὄχλοι τουτέστι, καὶ ἡ τῶν πραγμάτων ἔκβασις. Ἐνταῦθα γὰρ τὸ συμβαῖνον ὄνομα τίθησι· καὶ ἔθος τοῦτο τῇ Γραφῇ, τὰ συμβαίνοντα πράγματα ἀντὶ ὀνομάτων τιθέναι. Οὐδὲν οὖν ἄλλο δηλοῖ τό,«Καλέσουσιν Ἐμμανουήλ», ἢ ὅτι Ὄψονται Θεὸν μετὰ ἀνθρώπων· ἀεὶ μὲν γὰρ γέγονε μετὰ ἀνθρώπων, οὐδέποτε δὲ οὕτω σαφῶς. Εἰ δὲ ἀναισχυντοῖεν Ἰουδαῖοι, ἐρησόμεθα αὐτούς· Πότε ἐκλήθη τὸ παιδίον, «Ταχέως σκύλευσον, ὀξέως προνόμευσον»;Ἀλλ' οὐκ ἂν ἔχοιεν εἰπεῖν. Πῶς οὖν ὁ προφήτης ἔλεγε· «Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον»;Ὅτι γεννηθέντος αὐτοῦ προνομὴ σκύλων ἐγένετο καὶ διανομή· διὰ τοῦτο τὸ ἐπ' αὐτοῦ πρᾶγμα συμβεβηκὸς ὡς ὄνομα αὐτοῦ τίθησι.«Καὶ ἡ πόλις δέ», φησί, «κληθήσεται πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών»· καὶ οὐ-

---

1. Ἠσ. 7,14
2. Ἠσ. 8,3
3. Ὁ Θεὸς δικαιολογεῖ τὸ ὄνομα ὡς ἑξῆς: «διότι, πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων» (Ἠσ. 8,4)

Ἡσαΐα δὲν θὰ παρέμενεν ἀτάραχος εἰς τὸ ἄκουσμα τῆς λέξεως «παρθένος». Ἐνῷ τώρα θὰ ἤκουεν ὄχι κάτι τὸ παράξενον ἀλλὰ κάτι μὲ τὸ ὁποῖον εἶχεν ἐξοικειωθῆ καὶ τὸ εἶχε μελετήσει πρὸ πολλοῦ εἰς τὸ βιβλίον τοῦ προφήτου. Διὰ τοῦτο ἀναφέρει τὸν Ἠσαΐαν ὁ ἄγγελος, διὰ νὰ γίνῃ εὐπρόσδεκτος ὁ λόγος. Καὶ δὲν ἀρκεῖται εἰς αὐτό ἀλλὰ ἀναφέρει ὡς πηγὴν τῆς προφητείας τὸν Θεόν. Διότι δὲν λέγει ὅτι τὰ λόγια εἶναι τοῦ Ἠσαΐα ἀλλὰ τοῦ Θεοῦ τοῦ παντός.

Διὰ τοῦτο δὲν εἶπε διὰ νὰ πραγματοποιηθῇ τὸ ρηθὲν ὑπὸ τοῦ Ἠσαΐου ἀλλά· «Τὸ ρηθὲν ὑπὸ τοῦ Κυρίου»[1]. Διότι μόνον τὸ στόμα ἦτο τοῦ Ἠσαΐου. Πηγὴ τῆς προφητείας ἦτο ὁ οὐρανός.

Τί λέγει λοιπὸν αὐτὴ ἡ προφητεία; «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ».

Ἐρωτᾶται ὅμως· Διατί λοιπὸν δὲν ὠνομάσθη Ἐμμανουὴλ ἀλλὰ Ἰησοῦς Χριστός;

Διότι δὲν εἶπε θὰ ὀνομάσῃς, ἀλλὰ θὰ ὀνομάσουν, οἱ ἁπλοῖ ἄνθρωποι, δηλαδὴ καὶ ἡ ἁπλῆ πραγματικότης. Ἐδῶ δηλαδὴ δίδει ὡς ὄνομα τὸ ἀποτέλεσμα. Ἡ ἁγία Γραφὴ ἔχει αὐτὴν τὴν συνήθειαν, νὰ δίδῃ ὡς ὄνομα ἐκεῖνα ποὺ θὰ συμβοῦν εἰς τὴν πραγματικότητα. Τὸ «Καλέσουσιν Ἐμμανουὴλ» δὲν σημαίνει λοιπὸν τίποτε ἄλλο παρὰ ὅτι θὰ ἰδοῦν τὸν Θεὸν μεταξὺ τῶν ἀνθρώπων. Πάντοτε βεβαίως εὑρίσκετο μεταξὺ τῶν ἀνθρώπων, οὐδέποτε ὅμως τόσον φανερά. Ἂν αὐθαδειάζουν οἱ Ἰουδαῖοι, θὰ τοὺς ἐρωτήσωμεν· Πότε ὠνομάσθη τὸ παιδὶ «Ταχέως σκύλευσον, ὀξέως προνόμευσον»; Καὶ ἀσφαλῶς δὲν θὰ ἠμπορέσουν νὰ δώσουν ἀπάντησιν. Ἀλλὰ τότε διατί ὁ προφήτης ἔλεγε «Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον»[2]; Διότι ἡ γέννησίς του ἐπροκάλεσεν ἁρπαγὴν καὶ διανομὴν λαφύρων. Διὰ τοῦτο τοῦ δίδει ὡς ὄνομα ἐκεῖνο ποὺ συνέβη εἰς τὴν πραγματικότητα[3]. «Καὶ ἡ πόλις δέ», λέγει ὁ Θεὸς διὰ τοῦ προφήτου, «κληθήσεται πόλις δικαιο-

δαμοῦ εὑρίσκομεν ὅτι δικαιοσύνη ἐκλήθη ἡ πόλις, ἀλλ' ἔμεινεν Ἱεροσόλυμα καλουμένη· ἀλλ' ἐπειδὴ τοῦτο ἐξέβη, πρὸς τὸ βέλτιον αὐτῆς μεταβληθείσης, διὰ τοῦτο αὐτὴν οὕτω καλεῖσθαι ἔφη. Ὅταν γάρ τι συμβῇ πρᾶγμα, ὃ τῆς προσηγορίας σαφέστερον γνωρίζει τὸν κατορθοῦντα αὐτό, ἢ καὶ ἀπολαύοντα αὐτοῦ, ὄνομα αὐτῷ φησιν εἶναι τοῦ πράγματος τὴν ἀλήθειαν. Εἰ δὲ ἐντεῦθεν ἐπιστομισθέντες ἕτερον ζητοῖεν, τὸ περὶ τῆς παρθενίας λεχθέν, καὶ προβάλλοιντο ἡμῖν ἑτέρους ἑρμηνευτάς, λέγοντες, ὅτι Οὐκ εἶπον παρθένον, ἀλλὰ νεᾶνιν· πρῶτον μὲν ἐκεῖνο ἐροῦμεν, ὅτι τῶν ἄλλων μᾶλλον ἁπάντων τὸ ἀξιόπιστον οἱ Ἑβδομήκοντα ἔχοιεν ἂν δικαίως. Οἱ μὲν γὰρ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ἡρμήνευσαν, Ἰουδαῖοι μείναντες. Καὶ δικαίως ἂν ὑποπτεύοιντο, ἅτε ἀπεχθείᾳ μᾶλλον εἰρηκότες, καὶ τὰς προφητείας συσκιάζοντες ἐπίτηδες· οἱ δὲ Ἑβδομήκοντα πρὸ ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας ἐπὶ τοῦτο ἐλθόντες καὶ τοσοῦτοι ὄντες, πάσης τοιαύτης εἰσὶν ὑποψίας ἀπηλλαγμένοι, καὶ διὰ τὸν χρόνον, καὶ διὰ τὸ πλῆθος, καὶ διὰ τὴν συμφωνίαν μᾶλλον ἂν εἶεν πιστεύεσθαι δίκαιοι.

3. Εἰ δὲ καὶ τὴν ἐκείνων παράγοιεν μαρτυρίαν, καὶ οὕτω τὰ νικητήρια παρ' ἡμῖν. Καὶ γὰρ τὸ τῆς νεανιότητος ὄνομα ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ Γραφὴ τιθέναι οὐκ ἐπὶ γυναικῶν μόνον, ἀλλὰ καὶ ἐπὶ ἀνδρῶν· «Νεανίσκοι» γάρ, φησί, «καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων». Καὶ περὶ κόρης δὲ ἐπιβου-

---

1. Ἡσ. 1,26

2. Πλὴν τῆς μεταφράσεως τῆς Π.Δ., τῆς καλουμένης τῶν Ο' τῆς περατωθείσης περὶ τὰ μέσα τοῦ 2ου μ.Χ. αἱ., ἔχομεν καὶ ἄλλας εἰς τὴν Ἑλληνικήν, τὴν Ἀραμαϊκὴν καὶ τὴν Συριακήν, αἱ ὁποῖαι ἔγιναν κατὰ τὸν 2ον κυρίως αἱ. μ.Χ.

3. Εἰς ἄλλας μεταφράσεις τῆς Παλαιᾶς Διαθήκης ἀντὶ τῆς φράσεως: Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, ἔχομεν: Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει. Ὁ Ἰωάννης ἀποδεικνύει ὅτι ἡ λ. νεᾶνις ἀντιστοιχεῖ πρὸς τὴν λέξιν παρθένος. Ἀλλὰ δὲν ἀρκεῖται βεβαίως εἰς τὸ ἐπιχείρημα τοῦτο. Παρουσιάζει καὶ ἄλλα ἰσχυρότατα.

4. Ψαλμ. 148,12

σύνης, μητρόπολις πιστὴ Σιών»[1] Δὲν εὑρίσκομεν ὅμως πουθενὰ ὅτι ἡ πόλις ὠνομάσθη δικαιοσύνη, ἀλλὰ ἐξηκολούθησε νὰ λέγεται Ἱεροσόλυμα. Ἀλλὰ ἐπειδὴ ἦτο αὐτὸ τὸ ἀποτέλεσμα, διότι ἐβελτιώθη πράγματι ἠθικῶς ἡ πόλις αὐτή, διὰ τοῦτο εἶπεν ὅτι θὰ τῆς δοθῇ αὐτὸ τὸ ὄνομα. Διότι, ὅταν συμβῇ πράγματι κάτι, τὸ ὁποῖον κάμνει σαφέστερα γνωστὸν ἐκεῖνον ποὺ τὸ ἔκαμεν ἢ ποὺ τὸ ἀπήλαυσεν, ἀπὸ ὅσον τὸν κάμνει τὸ σύνηθες ὄνομά του, τότε λέγει ὅτι αὐτὸς ἔχει ὡς ὄνομα ἐκεῖνο ποὺ συμβαίνει εἰς τὴν πραγματικότητα. Καὶ ἂν μετὰ τὴν ἀποστόμωσίν των εἰς τὸ ζήτημα αὐτὸ ἀναζητοῦν ἄλλο, αὐτὸ π.χ. ποὺ λέγεται περὶ τῆς παρθενίας, καὶ παρουσιάζουν πρὸς ὑποστήρηξιν τοῦ ἰσχυρισμοῦ των ἄλλους ἑρμηνευτάς, καὶ μᾶς λέγουν ὅτι αὐτοὶ δὲν ὁμιλοῦν διὰ παρθένον, ἀλλὰ διὰ νεαρὰν κόρην, θὰ ἀπαντήσωμεν πρῶτον ὅτι εἶναι ὀρθὸν νὰ εἶναι περισσότερον ἀξιόπιστοι ἀπὸ ὅλους τοὺς ἄλλους οἱ Ἑβδομήκοντα. Διότι οἱ ἰδικοί των ἑρμηνευταὶ [2] ἡρμήνευσαν μετὰ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ καὶ ἐπὶ πλέον παρέμειναν πιστοὶ εἰς τὴν Ἰουδαϊκὴν θρησκείαν. Δικαίως λοιπὸν πρέπει νὰ θεωροῦνται ἀναξιόπιστοι, ἐπειδὴ ὡμίλησαν μᾶλλον μὲ μῖσος καὶ ἐπειδὴ παραποιοῦν σκοπίμως τὰς προφητείας. Οἱ Ἑβδομήκοντα ἀντιθέτως ἐσυγκεντρώθησαν ἑκατὸν ἢ καὶ περισσότερα χρόνια πρὶν ἀπὸ τὴν γέννησιν τοῦ Χριστοῦ τόσοι πολλοὶ ἄνθρωποι, καὶ ἑπομένως εἶναι ἀπηλλαγμένοι ἀπὸ κάθε ὑποψίαν καὶ εἶναι δίκαιον νὰ τοὺς ἐμπιστευώμεθα περισσότερον καὶ ἕνεκα τοῦ χρόνου τῆς συγκεντρώσεως καὶ ἕνεκα τοῦ πλήθους καὶ τῆς ὁμοφωνίας τῶν συγκεντρωθέντων.

3. Ἀλλὰ ἡ νίκη εἶναι ὁπωσδήποτε ἰδική μας, ἔστω καὶ ἂν ἐπιμένουν νὰ παρουσιάζουν τὴν μαρτυρίαν τῶν ἰδικῶν των. Διότι καὶ ἡ λέξις νεᾶνις [3] χρησιμοποιεῖται μὲ τὴν ἔννοιαν τῆς παρθένου. Ἡ ἁγία Γραφὴ τὴν χρησιμοποιεῖ συχνὰ ὄχι μόνον διὰ τὰς γυναῖκας, ἀλλὰ καὶ διὰ τοὺς ἄνδρας. Λέγει π.χ. «Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων» [4]. Καὶ ὅταν ὁμιλῇ εἰς ἄλλο σημεῖον διὰ μίαν κοπέλλαν, ποὺ ἐζήτησε

λευομένης διαλεγομένη πάλιν, «Ἐὰν φωνήσῃ ἡ νεᾶνις», φησί, τουτέστιν ἡ παρθένος.

Καὶ τὰ πρὸ τούτου δὲ εἰρημένα τοῦτον τὸν λόγον συνίστησιν. Οὐδὲ γὰρ ἁπλῶς εἶπεν,«Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει»· ἀλλὰ πρότερον εἰπών,«Ἰδοὺ δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον», τότε ἐπήγαγεν· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει».Καίτοι εἰ μὴ παρθένος ἦν ἡ μέλλουσα κύειν, ἀλλὰ νόμῳ γάμου τοῦτο ἐγίνετο, ποῖον ἂν εἴη σημεῖον τὸ γινόμενον; Τὸ γὰρ σημεῖον ὑπερβαίνειν δεῖ τὴν τῶν πολλῶν ἀκολουθίαν, καὶ ξένον εἶναι καὶ παρηλλαγμένον· ἐπεὶ πῶς ἂν εἴη σημεῖον;

«Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου». Εἶδες ὑπακοήν, καὶ καταπειθῆ διάνοιαν; Εἶδες ψυχὴν διεγηγερμένην, καὶ ἐν ἅπασιν ἀδέκαστον; Οὔτε γὰρ ἡνίκα ὑπώπτευσεν ἀηδές τι καὶ ἄτοπον, κατασχεῖν ἠνέσχετο τὴν Παρθένον, οὔτε ἐπειδὴ ταύτης ἀπηλλάγη τῆς ὑποψίας ἐκβαλεῖν ὑπέμεινεν· ἀλλὰ καὶ κατέχει, καὶ διακονεῖται τῇ οἰκονομίᾳ πάσῃ. «Καὶ παρέλαβε Μαρίαν τὴν γυναῖκα αὐτοῦ». Εἶδες πῶς συνεχῶς τοῦτο τίθησι τὸ ὄνομα ὁ εὐαγγελιστής, οὐ βουλόμενος ἐκκαλυφθῆναι τὸ μυστήριον ἐκεῖνο τέως καὶ τὴν πονηρὰν ἐκείνην ἀναιρῶν ὑποψίαν;

«Παραλαβὼν δὲ αὐτήν, οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον».Τό, Ἕως, ἐνταῦθα εἴρηκεν, οὐχ ἵνα ὑποπτεύσῃς ὅτι μετὰ ταῦτα αὐτὴν ἔγνω, ἀλλ' ἵνα μάθῃς ὅτι πρὸ τῶν ὠδίνων πάντως ἀνέπαφος ἦν ἡ Παρθένος. Τίνος οὖν ἕνεκεν, φησί, τό, «Ἕως»,τέθεικεν; Ὅτι ἔθος τῇ Γραφῇ τοῦτο πολλάκις ποιεῖν, καὶ τὴν ῥῆσιν ταύτην μὴ ἐπὶ διωρισμένων τιθέναι χρόνων. Καὶ γὰρ καὶ ἐπὶ τῆς κιβωτοῦ φησιν· «οὐχ ὑπέστρεψεν ὁ κόραξ, ἕως οὗ ἐξηράνθη ἡ γῆ»· καίτοιγε οὐδὲ μετὰ ταῦτα ὑπέστρεψε. Καὶ περὶ τοῦ Θεοῦ δὲ διαλεγομένη φησίν·

---

1. Δευτ. 22,27
2. Ἠσ. 8,14

κάποιος νὰ τὴν βιάσῃ, καὶ λέγει· «Ἐὰν φωνήσῃ ἡ νεᾶνις» [1], δηλ. ἡ παρθένος.

Καὶ αἱ προφητεῖαι ἐπικυρώνουν τὴν λογικὴν αὐτὴν σκέψιν. Δὲν εἶπε δηλ. ὁ προφήτης ἁπλῶς· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει», ἀλλὰ εἶπε πρῶτα· «Ἰδοὺ δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον» καὶ συνεπλήρωσε κατόπιν· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει»[2]. Ἂν λοιπὸν δὲν ἦτο παρθένος ἐκείνη ποὺ ἐπρόκειτο νὰ μείνῃ ἔγκυος, ἀλλὰ θὰ συνέβαινεν αὐτὸ μὲ τὴν μεσολάβησιν ἀνδρός, ποῖον θὰ ἦτο τότε τὸ «σημεῖον»;

«Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου». Βλέπεις τὴν ὑπακοήν του καὶ τὸν πειθαρχικὸν χαρακτῆρα του; Βλέπεις τὴν ἐκλεκτὴν καὶ πάντοτε ὀρθῶς σκεπτομένην ψυχήν του; Οὔτε ὅταν εἶχεν ὑποψίας διὰ κάτι τὸ δυσάρεστον καὶ τὸ ἀνήθικον ἐδέχθη νὰ κρατήσῃ τὴν Παρθένον οὔτε ὑπέμεινε νὰ τὴν ἀποπέμψῃ, ὅταν ἔπαυσε νὰ τὸν βασανίζῃ ἡ ὑποψία αὐτή, ἀλλὰ τὴν ἐκράτησε καὶ ἔγινεν ὑπηρέτης τοῦ σχεδίου αὐτοῦ. «Καὶ παρέλαβε Μαρίαν τὴν γυναῖκα αὐτοῦ». Βλέπεις ὅτι ὁ Εὐαγγελιστής, ἐπειδὴ δὲν θέλει νὰ ἀποκαλύψῃ ἀκόμη ἐκεῖνο τὸ μυστήριον καὶ ἐπειδὴ θέλει νὰ ἐξαφανίσῃ τὴν καχυποψίαν ἐκείνην, χρησιμοποιεῖ συνεχῶς αὐτὴν τὴν λέξιν;

«Παραλαβὼν δὲ αὐτήν, οὐκ ἐγίγνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον». Ἐχρησιμοποίησεν ἐδῶ τὴν λέξιν «ἕως» ὄχι διὰ νὰ νομίσῃς ὅτι εἶχε συζυγικὰς σχέσεις μαζί της ἀργότερα, ἀλλὰ διὰ νὰ σὲ βεβαιώσῃ ὅτι ἡ Παρθένος ἐξάπαντος δὲν ἦλθεν εἰς ἐπαφὴν μαζί του πρὶν ἀπὸ τὴν γέννησιν. Τίθεται ὅμως τὸ ἐρώτημα. Διατί ἐχρησιμοποίησε τὴν λέξιν «ἕως»; Διότι ἡ ἁγία Γραφὴ τὴν χρησιμοποιεῖ συχνά, χωρὶς ὅμως νὰ τῆς δίδῃ τὴν ἔννοιαν ὡρισμένου χρονικοῦ ὁρίου. Διὰ τοῦτο λέγει καὶ εἰς τὴν διήγησιν περὶ τῆς κιβωτοῦ· «Οὐχ ὑπέστρεψεν ὁ κόραξ, ἕως οὗ ἐξηράνθη ἡ γῆ»[3]. Ὁ κόρακας ὅμως εἶναι γνωστὸν ὅτι δὲν ἐπέστρεψεν οὔτε ἀργότερα. Καὶ

3. Γεν. 8,7

«Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ»· οὐχ ὅρους τιθεῖσα ἐνταῦθα· καὶ πάλιν εὐαγγελιζομένη καὶ λέγουσα· «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη»· οὐ πέρας δίδωσι τῷ καλῷ τούτῳ στοιχείῳ. Οὕτω δὴ καὶ ἐνταῦθα τό, «Ἕως», εἶπε, τὰ πρὸ τῶν ὠδίνων ἀσφαλιζομένη, τὰ δὲ μετὰ ταῦτα σοὶ καταλιμπάνουσα συλλογίζεσθαι. Ὃ μὲν γὰρ ἀναγκαῖον ἦν παρ' αὐτοῦ σε μαθεῖν, τοῦτο αὐτὸς εἴρηκεν, ὅτι ἀνέπαφος ἦν ἡ Παρθένος ἕως τοῦ τόκου· ὃ δὲ ἐκ τῶν εἰρημένων ἀκόλουθόν τε ἐφαίνετο καὶ ὡμολογημένον, τοῦτο σοὶ λοιπὸν ἀφίησι συνιδεῖν· οἷον, ὅτι οὐδὲ μετὰ ταῦτα τὴν οὕτω γενομένην μητέρα, καὶ καινῶν ὠδίνων καὶ ξένων καταξιωθεῖσαν λοχευμάτων, οὐκ ἂν δίκαιος ὢν ἐκεῖνος ὑπέμεινε γνῶναι λοιπόν. Εἰ γὰρ ἔγνω αὐτήν, καὶ ἐν τάξει γυναικὸς εἶχε, πῶς ὡς ἀπροστάτευτον αὐτὴν καὶ οὐδένα ἔχουσαν τῷ μαθητῇ παρατίθεται, καὶ κελεύει αὐτῷ εἰς τὰ ἴδια αὐτὴν λαβεῖν;

Πῶς οὖν, φησίν, ἀδελφοὶ αὐτοῦ χρηματίζουσιν οἱ περὶ Ἰάκωβον; Ὥσπερ καὶ αὐτὸς ἐνομίζετο ἀνὴρ τῆς Μαρίας. Πολλὰ γὰρ ἐγένετο τὰ παραπετάσματα, ὥστε καὶ συσκιασθῆναι τέως τὸν τοιοῦτον τόκον. Διὸ καὶ Ἰωάννης οὕτως αὐτοὺς ἐκάλει λέγων· «Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν». Ἀλλ' ὅμως οἱ μὴ πιστεύοντες πρότερον, θαυμαστοὶ καὶ περιφανεῖς γεγόνασιν ὕστερον. Ὅτε γοῦν εἰς Ἱεροσόλυμα ἀνῆλθον οἱ περὶ Παῦλον δογμάτων ἕνεκεν, πρὸς αὐτὸν εὐθέως εἰσῆλθον.

---

1. Ψαλμ. 89,2
2. Ψαλμ. 71,7
3. Ὁ Ἰάκωβος ἦτο υἱὸς τοῦ Ἰωσὴφ ἀπὸ τὴν πρώτην του γυναῖκα κατὰ τὸν Ὠριγένη. Ἐπίσκοπος Ἱεροσολύμων ἔγινε τὸ 33 μ.Χ. Ἐλιθοβολήθη καὶ ἀπέθανε τὸ 62 μ.Χ. Ἄλλοι ἀδελφοὶ τοῦ Κυρίου ἐθεωροῦντο ὁ Ἰωσῆς, Σίμων καὶ Ἰούδας (Βλ. Ματθ. 12, 46 - 50)
4. Ἰω. 7,5
5. Μετὰ τὴν πρώτην Ἀποστολικὴν περιοδείαν του ὁ Παῦλος ἦλθεν εἰς τὰ Ἱεροσόλυμα, διότι οἱ ἐξ Ἰουδαίων Χριστιανοὶ ἀπαιτοῦσαν νὰ ἐκτελοῦν καὶ οἱ ἐξ ἐθνικῶν Χριστιανοὶ τὰς διατάξεις τοῦ Μωσαϊκοῦ Νόμου (περιτομὴν κ.ἄ.). Ὁ Παῦλος, ὁ Πέτρος καὶ ὁ Βαρνάβας ἐτακτοποίησαν καὶ ἔθεσαν τέρμα εἰς τὸ ὅλον ζήτημα (Βλ. Πράξ .15, 1 - 35).

περὶ τοῦ Θεοῦ λέγει· «Ἀπὸ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ»[1]. Ἀσφαλῶς δὲν θέτει χρονικὰ ὅρια εἰς τὸ σημεῖον αὐτό. Καὶ ὅταν πάλι προφητεύῃ καὶ λέγῃ· «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη»[2] δὲν περιορίζει χρονικῶς τὴν ὕπαρξιν τοῦ ὡραίου τούτου οὐρανίου σώματος. Ἔτσι λοιπὸν ἐχρησιμοποίησε καὶ ἐδῶ τὸ «ἕως», διὰ νὰ βεβαιώσῃ διὰ τὸ χρονικὸν διάστημα μέχρι τῆς γεννήσεως, καὶ σὲ ἄφησε νὰ συμπεράνῃς διὰ τὰ κατόπιν. Ὁ Εὐαγγελιστὴς εἶπεν ἐκεῖνο τὸ ὁποῖον ἔπρεπε νὰ μάθῃς ἀπαραιτήτως ἀπὸ αὐτόν, ὅτι δηλαδὴ ἡ Παρθένος δὲν εἶχε συζυγικὰς σχέσεις μέχρι τοῦ χρόνου τῆς γεννήσεως. Ἄφησε δὲ νὰ συμπεράνῃς ἐσὺ ἐκεῖνο ποὺ ἦτο λογικὸν συμπέρασμα τῶν λόγων του καὶ ἀπολύτως εὐνόητον, ὅτι δηλαδὴ ὁ Ἰωσήφ, ποὺ ἦτο εὐσεβής, δὲν θὰ ἀπεφάσιζε νὰ συνάψῃ συζυγικὰς σχέσεις μὲ τὴν γυναῖκα ποὺ ἔγινε μητέρα κατὰ θαυμάσιον τρόπον καὶ ποὺ ἐκρίθη ἀξία διὰ πρωτοφανῆ τοκετὸν καὶ θαυμαστὴν ἐγκυμοσύνην. Ἐὰν εἶχε συζυγικὰς σχέσεις μὲ αὐτὴν καὶ ἂν τὴν ἐθεωροῦσε νόμιμον σύζυγόν του, τίθεται τὸ ἐρώτημα: Πῶς τὴν παρέδωσεν ὁ Ἰησοῦς εἰς τὸν μαθητήν του ὡς νὰ ἐστερεῖτο προστάτου καὶ νὰ μὴ εἶχε κανένα ἰδικόν της, καὶ πῶς τοῦ ἔδωσεν ἐντολὴν νὰ τὴν πάρῃ εἰς τὸ κατάλυμά του;

Διατί ὅμως, λέγει, ὀνομάζονται ἀδελφοί του οἱ περὶ τὸν Ἰάκωβον[3]; Ἀπαντῶ: Ὅπως ἀκριβῶς ἐθεωρεῖτο καὶ ὁ Ἰωσὴφ σύζυγος τῆς Μαρίας. Διότι ἐπὶ πλέον ἐχρησιμοποιήθησαν πολλοὶ τρόποι, διὰ νὰ καλυφθῇ ἐπὶ ὡρισμένον χρόνον τὸ μυστήριον τῆς γεννήσεως. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης τοὺς εἶπεν ἀδελφοὺς τοῦ Κυρίου μὲ τὰ ἑξῆς λόγια· «Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν»[4]. Ἀλλὰ αὐτοὶ ποὺ δὲν ἐπίστευαν προηγουμένως εἰς αὐτόν, ἔγιναν ἀργότερα ἀξιοθαύμαστοι καὶ λαμπροὶ διὰ τὴν πίστιν των. Διότι, ὅταν ἐπῆγεν εἰς τὰ Ἱεροσόλυμα[5] ὁ Παῦλος καὶ ἡ συνοδεία του διὰ νὰ τακτοποιήσουν ζητήματα τῆς ἐκεῖ ἐκκλησίας, ἐπῆγαν ἀμέσως εἰς τὸ σπίτι του. Καὶ ἦτο τόσον ἐκλεκτός, ὥστε πρῶτος αὐτὸς ἔγινεν

Οὕτω γὰρ ἦν θαυμαστός, ὡς καὶ τὴν ἐπισκοπὴν ἐγχειρισθῆναι πρῶτος. Φασὶ δὲ αὐτὸν καὶ σκληραγωγίᾳ προσέχειν τοσαύτῃ, ὡς καὶ τὰ μέλη νεκρωθῆναι ἅπαντα, καὶ ἀπὸ τῆς συνεχοῦς εὐχῆς καὶ τῆς διηνεκοῦς πρὸς τὸ ἔδαφος ὁμιλίας τὸ μέτωπον οὕτως αὐτῷ κατεσκληκέναι, ὡς μηδὲν ἄμεινον γονάτων καμήλου διακεῖσθαι τῆς ἀντιτυπίας ἕνεκεν αὐτῆς. Οὗτος καὶ τὸν Παῦλον μετὰ ταῦτα πάλιν εἰς τὰ Ἱεροσόλυμα ἀνελθόντα ῥυθμίζει λέγων· «Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶ τῶν συνεληλυθότων». Τοσαύτη ἦν αὐτοῦ ἡ σύνεσις, καὶ ὁ ζῆλος· μᾶλλον δὲ τοσαύτη ἡ τοῦ Χριστοῦ δύναμις. Οἱ γὰρ διασύροντες αὐτὸν ζῶντα, μετὰ τὸ ἀποθανεῖν οὕτως ἐξεπλάγησαν, ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ μετὰ πολλῆς τῆς προθυμίας· ἅπερ μάλιστα δείκνυσι τῆς ἀναστάσεως τὴν ἰσχύν. Διὰ γάρ τοι τοῦτο τὰ λαμπρότερα ὕστερον ἐτηρεῖτο, ἵνα ἀναμφισβήτητος αὕτη ἡ ἀπόδειξις γένηται. Εἰ γὰρ καὶ τῶν ἐν τῇ ζωῇ θαυμαζομένων παρ' ἡμῖν ἀπελθόντων ἐπιλανθανόμεθα, πῶς οἱ ζῶντα διαχλευάζοντες τοῦτον, ὕστερον Θεὸν εἶναι ἐνόμισαν, εἰ τῶν πολλῶν εἷς ἦν; πῶς δ' ἂν ὑπὲρ αὐτοῦ καὶ σφαγῆναι κατεδέξαντο, εἰ μὴ σαφῆ τῆς ἀναστάσεως ἔλαβον τὴν ἀπόδειξιν;

4. Ταῦτα δὲ οὐχ ἀκούητε λέγομεν μόνον, ἀλλ' ἵνα καὶ μιμῆσθε τήν τε ἀνδρείαν, τήν τε παῤῥησίαν, τήν τε δικαιοσύνην ἅπασαν· ἵνα μηδεὶς ἑαυτοῦ ἀπογινώσκῃ, κἂν πρὸ τούτου ῥᾴθυμος ἦν· ἵνα εἰς μηδὲν ἕτερον ἔχῃ τὰς ἐλπίδας, μετὰ τὸν ἔλεον τοῦ Θεοῦ, ἀλλ' εἰς ἀρετὴν οἰκεῖαν. Εἰ γὰρ οὗτοι τῆς τοιαύτης οὐδὲν ἀπώναντο συγγενείας, καὶ οἴκου καὶ πατριᾶς τῆς αὐτῆς ὄντες τῷ Χριστῷ, ἕως ἀρετὴν ἐπεδείξαντο, τίνος δυνησόμεθα ἀπολαῦσαι συγγνώμης ἡμεῖς, συγγενεῖς καὶ ἀδελφοὺς δικαίους προβαλλόμενοι, ἂν μὴ σφόδρα ὦμεν ἐπιεικεῖς καὶ ἐν ἀρετῇ βεβιωκότες; Καὶ γὰρ ὁ προφήτης αὐτὸ τοῦτο αἰνιττόμενος ἔλε-

1. Πράξ. 21,20

ἐπίσκοπος ἐκεῖ. Λέγουν μάλιστα ὅτι ἐσκληραγωγοῦσε τὸν ἑαυτόν του τόσον πολύ, ὥστε ἐνεκρώθησαν ὅλα τὰ μέλη τοῦ σώματός του καὶ ὅτι τὸ μέτωπόν του ἔγινε τόσον σκληρὸν ἀπὸ τὴν συνεχῆ προσευχὴν καὶ τὴν ἀδιάκοπον ἐπαφήν του μὲ τὸ ἔδαφος, ὥστε ἔγινε δι' αὐτὸν τὸν λόγον ἐξ ἴσου σκληρὸν μὲ τὰ γόνατα καμήλου. Αὐτὸς ἐσυμβούλευσεν ἀκόμη καὶ τὸν Παῦλον, ὅταν ἀργότερα ἦλθε διὰ δευτέραν φορὰν εἰς τὰ Ἱεροσόλυμα, καὶ τοῦ εἶπε· «Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶ τῶν συνεληλυθότων»[1]. Τόση ἦτο ἡ σύνεσις καὶ ὁ ζῆλος του. Ἢ μᾶλλον, τόση ἦτο ἡ δύναμις τοῦ Χριστοῦ. Ἀπόδειξιν ἀποτελεῖ καὶ τοῦτο· Τόσος ἦτο μετὰ τὸν θάνατόν του ὁ θαυμασμὸς ἐκείνων οἱ ὁποῖοι τὸν κατεδίωξαν, ὥστε νὰ θυσιάσουν ὑπὲρ αὐτοῦ μὲ πολλὴν προθυμίαν καὶ τὴν ζωήν των ἀκόμη. Πρᾶγμα ποὺ μαρτυρεῖ ἀναμφισβήτως τὴν δύναμιν τῆς ἀναστάσεως. Διὰ τοῦτο διετηρήθησαν μετὰ ἀπὸ αὐτὴν τὰ σημαντικώτερα, ὥστε νὰ ἀποτελέσουν ἀναμφίσβητον ἀπόδειξιν. Ἐνῷ δηλαδὴ λησμονοῦμεν, ὅταν ἀποθάνουν, ἀκόμη καὶ ἐκείνους ποὺ ἐθαυμάζαμεν ὅταν ἐζοῦσαν, πῶς εἰς τὴν περίπτωσιν αὐτήν, ἂν ἦτο κάποιος συνηθισμένος ὁ Χριστός, θὰ τὸν ἐθεωροῦσαν μετὰ τὸν θάνατόν του ὅτι εἶναι Θεός; Πῶς θὰ ἐδέχοντο ἀκόμη καὶ νὰ θανατωθοῦν μὲ μαρτύρια δι' αὐτόν, ἐὰν δὲν εἶχαν σαφεῖς ἀποδείξεις διὰ τὴν ἀνάστασίν του;

4. Δὲν τὰ λέγομεν αὐτὰ διὰ νὰ τὰ ἀκούετε μόνον, ἀλλὰ καὶ διὰ νὰ μιμηθῆτε ὅλην τὴν γενναιότητα, τὸ θάρρος καὶ τὴν εὐσέβειαν ἐκείνων. Διὰ νὰ μὴ ἀπελπίζεται κανείς, ἔστω καὶ ἂν ἔδειξεν ἀδιαφορίαν κατὰ τὸ παρελθόν. Διὰ νὰ μὴ στηρίζῃ κανεὶς τὰς ἐλπίδας του εἰς κανένα ἄλλον, ἐκτὸς ἀπὸ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ καὶ τὴν προσωπικήν του ἀρετήν. Διότι, ἂν αὐτοί, ποὺ ἦσαν ἀπὸ τὴν ἰδίαν οἰκογένειαν καὶ τὸ ἴδιον γένος μὲ τὸν Χριστόν, δὲν ὠφελήθησαν καθόλου ἀπὸ τὴν συγγένειαν αὐτὴν ἕως ὅτου ἔδειξαν ὅτι εἶναι ἐνάρετοι, πῶς εἶναι δυνατὸν ἐμεῖς, ἂν δὲν εἴμεθα πολὺ ἐνάρετοι καὶ εὐσεβεῖς, νὰ κριθοῦμεν ἐπιεικῶς μὲ τὸ ἐπιχείρημα ὅτι ἔχομεν εὐσεβεῖς συγγενεῖς καὶ ἀδελφούς; Ὁ προφήτης ἤθελε νὰ δείξῃ αὐτὸ ἀκριβῶς ὅταν ἔλεγε· «Ἀδελ-

γεν· «'Αδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος»; Κἂν Μωϋσῆς ᾖ, κἂν Σαμουήλ, κἂν 'Ιερεμίας. Ἄκουσον γοῦν τί φησι πρὸς αὐτὸν ὁ Θεός· «Μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου».Καὶ τί θαυμάζεις εἰ σοῦ οὐκ ἀκούω; Καὶ γὰρ αὐτὸς ὁ Μωϋσῆς, φησίν, εἰ παρῆν, καὶ Σαμουήλ, οὐκ ἂν αὐτῶν ἐδεξάμην τὴν ὑπὲρ τούτων ἱκετηρίαν. Κἂν 'Ιεζεκιὴλ ᾖ ὁ παρακαλῶν, ἀκούσεται, ὅτι «'Εὰν στῇ Νῶε, καὶ 'Ιώβ, καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ἐξέλωνται». Κἂν 'Αβραὰμ ὁ πατριάρχης ᾖ ὑπὲρ τῶν σφόδρα ἀνίατα νοσούντων καὶ μὴ μεταβαλλομένων δεόμενος, ἀπελεύσεται ὁ Θεὸς αὐτὸν ἐγκαταλιμπάνων, ὥστε μὴ δέξασθαι τὴν ὑπὲρ τούτων φωνήν. Κἂν Σαμουὴλ ᾖ πάλιν ὁ τοῦτο ποιῶν, ἐρεῖ πρὸς αὐτόν·«Μὴ πένθει περὶ τοῦ Σαούλ». Κἂν ὑπὲρ ἀδελφῆς τις παρακαλῇ μὴ προσηκόντως, ἀκούσεται πάλιν ὅπερ Μωϋσῆς· «Εἰ ἐμπτύων ἐνέπτυσεν ὁ πατὴρ εἰς τὸ πρόσωπον αὐτῆς»· Μὴ δὴ πρὸς ἑτέρους ὦμεν κεχηνότες. Ἔχουσι μὲν γὰρ δύναμιν αἱ εὐχαὶ τῶν ἁγίων μεγίστην, ἀλλ' ὅταν καὶ μετανοῶμεν καὶ γινώμεθα βελτίους. 'Επεὶ καὶ Μωϋσῆς τὸν ἀδελφὸν τὸν ἑαυτοῦ καὶ μυριάδας ἑξήκοντα τῆς θεηλάτου τότε ὀργῆς ἐξαρπάσας, τὴν ἀδελφὴν οὐκ ἴσχυσεν ἐξελέσθαι· καίτοιγε οὐκ ἴσον τὸ ἁμάρτημα ἦν· ἐκείνη μὲν γὰρ τὸν Μωϋσέα ὕβρισεν· ἐνταῦθα δὲ ἀσέβεια ἦν τὸ τολμηθέν.

'Αλλὰ τοῦτο μὲν ὑμῖν ἀφίημι τὸ ζήτημα· τὸ δὲ ἔτι τούτου χαλεπώτερον ἐπιλῦσαι πειράσομαι.

Τί γὰρ χρὴ λέγειν τὴν ἀδελφήν; 'Ο γὰρ τοσούτου δήμου προστάς, ἑαυτῷ ἀρκέσαι οὐκ ἴσχυσεν, ἀλλὰ μετὰ τοὺς μυρίους πόνους καὶ τὰς ταλαιπωρίας, καὶ τὴν ἐν τεσσαράκοντα ἔτεσι

---

1. Ψαλμ. 48,7
2. 'Ιερ. 11,14
3. 'Ιερ. 15,1
4. 'Ιεζ. 14,14· 16
5. Α' Βασ. 16,1

φὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;»[1]. Ὄχι ἀσφαλῶς, ἔστω καὶ ἂν εἶναι ὁ Μωϋσῆς ἢ ὁ Σαμουὴλ ἢ ὁ Ἱερεμίας. Ἄκουσε τι εἶπεν εἰς τὸν Ἱερεμίαν ὁ Θεός· «Μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου»[2]. Διατί ἐκπλήσσεσαι ἐπειδὴ δὲν θὰ σοῦ ἀκούσω; Ἀκόμη καὶ ὁ ἴδιος ὁ Μωϋσῆς ἂν ἦτο, λέγει, καὶ ὁ Σαμουήλ, δὲν θὰ ἱκανοποιοῦσα τὴν παράκλησίν των δι' αὐτούς[3]. Καὶ ὁ Ἰεζεκιὴλ ἂν παρακαλέσῃ, θὰ τοῦ ἀπαντήσω ὅτι «Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ἐξέλωνται»[4]. Ἀκόμη καὶ ὁ πατριάρχης Ἀβραὰμ ἂν παρακαλέσῃ νὰ συγχωρηθοῦν κάποιοι ποὺ εἶναι πολὺ καὶ ἀθεραπεύτως ἁμαρτωλοὶ καὶ δὲν μετανοοῦν, θὰ φύγῃ ὁ Θεὸς καὶ θὰ τὸν ἀφήσῃ, διὰ νὰ μὴ δεχθῇ τὴν παράκλησίν του δι' αὐτούς. Ἂν εἶναι πάλιν ὁ Σαμουήλ, θὰ τοῦ ἀπαντήσῃ· «Μὴ πένθει περὶ τοῦΣαούλ»[5]. Καὶ ἂν παρακαλῇ κανεὶς ὑπὲρ τῆς ἀδελφῆς του χωρὶς νὰ πρέπει, θὰ ἀκούσῃ ἐπίσης ὅ,τι καὶ ὁ Μωϋσῆς· «Εἰ ἐμπτύων ἐνέπτυσεν ὁ πατὴρ εἰς τὸ πρόσωπον αὐτῆς»[6]. Ἂς μὴ στηριζώμεθα λοιπὸν ἀνοήτως εἰς ἄλλους. Διότι ἔχουν ἀσφαλῶς πολὺ μεγάλην δύναμιν αἱ προσευχαὶ τῶν ἁγίων, ἀλλὰ ὅταν μετανοῶμεν καὶ ἐμεῖς καὶ βελτιωνώμεθα. Ἀπόδειξιν ἀποτελεῖ ὁ Μωϋσῆς, ὁ ὁποῖος ἔσωσε τότε ἀπὸ τὴν θεόπεμπτον ὀργὴν τὸν ἀδελφόν του καὶ ἑξήντα μυριάδας ἄλλους, ἀλλὰ δὲν κατώρθωσε νὰ σώσῃ καὶ τὴν ἀδελφήν του, ἂν καὶ τὸ ἁμάρτημά της δὲν ἦτο ἐξ ἴσου βαρύ. Διότι ἐκείνη ἐπρόσβαλε τὸν Μωϋσῆ, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν ἐτόλμησαν νὰ ἀσεβήσουν πρὸς τὸν Θεόν.

Ἀλλὰ τὸ ζήτημα αὐτὸ τὸ ἀφήνω εἰς τὴν κρίσιν σας καὶ θὰ προσπαθήσω νὰ διασαφήσω ἕνα ἄλλο, λεπτότερον ἀπὸ αὐτό.

Ποία ἡ ἀνάγκη νὰ ὁμιλῶ περὶ τῆς ἀδελφῆς; Ἀφοῦ ὁ ἴδιος ὁ Μωϋσῆς, ποὺ ἔγινεν ἀρχηγὸς τόσου λαοῦ, δὲν κατώρθωσε νὰ προστατεύσῃ τὸν ἑαυτόν του, ἀλλά, μετὰ ἀπὸ μυρίους κόπους καὶ ταλαιπωρίας καὶ ἀγῶνας σαράντα ἐτῶν,

---

6. Ἀριθμ. 12,14

προσεδρείαν, ἐκωλύετο τῆς γῆς ἐπιβῆναι, ὑπὲρ ἧς ἐπαγγελίαι τοσαῦται καὶ ὑποσχέσεις. Τί οὖν τὸ αἴτιον; Οὐκ ἦν λυσιτελοῦσα ἡ χάρις αὕτη, ἀλλὰ καὶ πολὺ τὸ βλάβος ἔχουσα, καὶ πολλοὺς τῶν Ἰουδαίων ὑποσκελίζειν ἔμελλεν. Εἰ γὰρ ἐπειδὴ τῆς Αἰγύπτου μόνης ἀπηλλάγησαν, τὸν Θεὸν ἀφέντες, Μωϋσέα ἐζήτουν, καὶ αὐτῷ τὸ πᾶν ἐλογίζοντο· εἰ καὶ εἰσαγαγόντα εἶδον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ποῦ οὐκ ἂν ἐξώκειλαν ἀσεβείας; Διά τοι τοῦτο οὐδὲ ὁ τάφος αὐτοῦ κατάδηλος γέγονε. Καὶ Σαμουὴλ δὲ τὸν μὲν Σαοὺλ οὐκ ἴσχυσεν ἀπαλλάξαι τῆς ἄνωθεν ὀργῆς, τοὺς δὲ Ἰσραηλίτας πολλάκις διέσωσε. Καὶ ὁ Ἱερεμίας Ἰουδαίοις μὲν οὐκ ἤρκεσεν, ἕτερον δέ τινα ἐκάλυψεν ἐν τῇ προφητείᾳ. Καὶ ὁ Δανιὴλ τοὺς μὲν βαρβάρους ἐξείλατο σφαττομένους, τοὺς δὲ Ἰουδαίους οὐκ ἐξείλατο αἰχμαλωτιζομένους. Καὶ ἐν τοῖς Εὐαγγελίοις δὲ ὀψόμεθα οὐκ ἀφ' ἑτέρων, ἀλλ' ἐπὶ τῶν αὐτῶν ἀμφότερα ταῦτα γινόμενα· καὶ τὸν αὐτὸν νῦν μὲν ἀρκέσαντα ἑαυτῷ, νῦν δὲ προδεδομένον. Ὁ γὰρ τὰ μυρία τάλαντα ὀφείλων, καὶ ἐξείλετο ἑαυτὸν τοῦ κινδύνου δεηθείς, καὶ πάλιν οὐκ ἴσχυσεν· ἕτερος δὲ ἀντιστρόφως πρότερον ἑαυτὸν προδούς, ὕστερον τὰ μέγιστα ἑαυτῷ βοηθῆσαι ἴσχυσε. Τίς δὲ οὗτός ἐστιν; Ὁ τὴν πατρῴαν καταφαγὼν οὐσίαν.

Ὥστε ἐὰν μὲν ῥᾳθυμῶμεν, οὐδὲ δι' ἑτέρων δυνησόμεθα σῴζεσθαι· ἐὰν δὲ νήφωμεν, καὶ δι' ἑαυτῶν τοῦτο ἰσχύσομεν, καὶ δι' ἑαυτῶν μᾶλλον, ἢ δι' ἑτέρων. Καὶ γὰρ ὁ Θεὸς ἡμῖν μᾶλλον δοῦναι βούλεται τὴν χάριν, ἢ ἑτέροις ὑπὲρ ἡμῶν· ἵνα καὶ παῤῥησίας ἀπολαύωμεν, καὶ βελτίους γινώμεθα, σπουδά-

---

1. Δευτ. 34,6
2. Α' Βασ. 16,1
3. Δαν. κεφ. 2.
4. Λουκᾶ 15,30

ἠμποδίσθη νὰ πατήσῃ ἐπὶ τῆς χώρας, διὰ τὴν ὁποίαν τοῦ εἶχαν δοθῇ πάρα πολλαὶ διαβεβαιώσεις καὶ ὑποσχέσεις. Ποία ἦτο λοιπὸν ἡ αἰτία; Δὲν θὰ ἦτο ὠφέλιμον νὰ φθάσῃ ὁ Μωϋσῆς εἰς τὴν γῆν τῆς Ἐπαγγελίας, ἀλλὰ θὰ ἦτο πολὺ ἐπιζήμιον καὶ θὰ ὡδηγοῦσεν εἰς τὴν καταστροφὴν πολλοὺς ἀπὸ τοὺς Ἰουδαίους. Ἀφοῦ δηλαδὴ ἐλησμόνησαν τὸν Θεὸν καὶ ἐστηρίχθησαν ἀπολύτως εἰς τὸν Μωϋσῆ καὶ ἐνόμιζαν ὅτι αὐτὸς ἀποτελεῖ τὸ πᾶν δι' αὐτούς, ἁπλῶς καὶ μόνον ἐπειδὴ ἔφυγαν μακριὰ ἀπὸ τὴν Αἴγυπτον, πόση θὰ ἐγίνετο ἡ ἀσέβειά των πρὸς τὸν Θεόν, ἂν ἔβλεπαν τὸν Μωϋσῆ νὰ τοὺς ἐγκαθιστᾷ εἰς τὴν γῆν τῆς ἐπαγγελίας; Διὰ τοῦτο ἀκριβῶς δὲν εὑρέθη πουθενὰ οὔτε ὁ τάφος του[1]. Καὶ ὁ Σαμουὴλ ἐπίσης δὲν κατώρθωσε νὰ σώσῃ τὸν Σαοὺλ ἀπὸ τὴν ὀργὴν τοῦ Θεοῦ, ἔσωσεν ὅμως πολλὲς φορὲς τοὺς Ἰσραηλίτας[2]. Καὶ ὁ Ἱερεμίας δὲν ἠμπόρεσε νὰ σώσῃ τοὺς Ἰουδαίους, ἐπροφύλαξεν ὅμως μὲ τὴν προφητείαν του κάποιον ἄλλον. Καὶ ὁ Δανιὴλ ἠμπόρεσε νὰ σώσῃ ἀπὸ τὴν σφαγὴν τοὺς βαρβάρους, δὲν ἠμπόρεσεν ὅμως νὰ σώσῃ καὶ τοὺς Ἰουδαίους ἀπὸ τὴν αἰχμαλωσίαν[3]. Καὶ εἰς τὰ Εὐαγγέλια συναντοῦμεν περιπτώσεις ποὺ συμβαίνουν καὶ τὰ δύο αὐτὰ ὄχι εἰς διάφορα πρόσωπα, ἀλλὰ εἰς τὸ αὐτὸ πρόσωπον. Συναντοῦμεν τὸ ἴδιον πρόσωπον ἄλλοτε μὲν νὰ σώζῃ τὸν ἑαυτόν του, ἄλλοτε δὲ νὰ τὸν καταστρέφῃ. Ὁ χρεώστης π.χ. τῶν χιλίων ταλάντων κατώρθωσε νὰ σώσῃ τὸν ἑαυτόν του μὲ τὰς παρακλήσεις του, ἀλλὰ εἰς τὸ τέλος κατεστράφη. Κάποιος ἄλλος ἀντιθέτως κατέστρεψεν εἰς τὴν ἀρχὴν τὸν ἑαυτόν του, ἀλλὰ ἀργότερα κατώρθωσε νὰ τοῦ προσφέρῃ πολὺ μεγάλην βοήθειαν. Καὶ ποῖος εἶναι αὐτός; Ἐκεῖνος ποὺ ἔφαγε τὴν πατρικήν του περιουσίαν[4].

Ὥστε, ἂν εἴμεθα ἀμελεῖς καὶ ἀδιάφοροι, δὲν θὰ ἠμπορέσουν νὰ μᾶς σώσουν οἱ ἄλλοι. Ἀντιθέτως, ἂν εἴμεθα εὐσεβεῖς, θὰ σωθῶμεν μὲ τὰς ἰδικάς μας δυνάμεις καὶ μάλιστα ἀσφαλέστερα παρὰ μὲ τὰς δυνάμεις τῶν ἄλλων. Διότι ὁ Θεὸς προτιμᾷ νὰ μᾶς προσφέρῃ τὴν βοήθειάν του ἀμέσως καὶ ὄχι διὰ μέσου ἄλλων, διὰ νὰ ἐλευθερωθῶμεν ἀπὸ τὴν κακίαν καὶ νὰ γίνωμεν καλύτεροι

ζοντες αὐτοῦ λῦσαι τὴν ὀργήν. Οὕτω τὴν Χαναναίαν ἠλέησεν· οὕτω τὴν πόρνην ἔσωσεν, οὕτω τὸν λῃστήν, οὐδενὸς γενομένου μεσίτου καὶ προστάτου.

5. Καὶ ταῦτα λέγω, οὐχ ἵνα μὴ ἱκετεύωμεν τοὺς ἁγίους, ἀλλ' ἵνα μὴ ῥᾳθυμῶμεν, μηδὲ ἀναπίπτοντες αὐτοὶ καὶ καθεύδοντες, ἑτέροις τὰ καθ' ἡμᾶς ἐπιτρέπωμεν μόνοις. Καὶ γὰρ εἰπών, «Ποιήσατε ὑμῖν φίλους», οὐκ ἔστη μέχρι τούτου μόνον, ἀλλὰ προσέθηκεν, «Ἐκ τοῦ ἀδίκου μαμωνᾶ»· ἵνα πάλιν σὸν τὸ κατόρθωμα γένηται· οὐδὲν γὰρ ἕτερον ἢ ἐλεημοσύνην ἐνταῦθα ᾐνίξατο. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι οὐδὲ ἀκριβολογεῖται πρὸς ἡμᾶς, ἐὰν ἀποστῶμεν τῆς ἀδικίας. Ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· Ἐκτήσω κακῶς; ἀνάλωσον καλῶς. Συνέλεξας ἀδίκως; σκόρπισον δικαίως. Καίτοιγε ποία τοῦτο ἀρετὴ τὸ ἐκ τῶν τοιούτων διδόναι; Ἀλλ' ὅμως ὁ Θεός, φιλάνθρωπος ὤν, καὶ μέχρι τούτου καταβαίνει· κἂν οὕτω ποιῶμεν, πολλὰ ἡμῖν ἐπαγγέλλεται ἀγαθά. Ἀλλ' ἡμεῖς εἰ τοσοῦτον ἀναισθησίας ἥκομεν, ὡς μηδὲ ἐκ τοῦ ἀδίκου διδόναι· ἀλλὰ μυρία ἁρπάζοντες, ἂν πολλοστὸν μέρος καταβάλωμεν, τὸ πᾶν νομίζομεν πεπληρωκέναι. Οὐκ ἤκουσας Παύλου λέγοντος, ὅτι «Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει»; Τίνος οὖν ἕνεκεν φείδῃ; Μὴ γὰρ ἀνάλωμα τὸ πρᾶγμά ἐστι; μὴ γὰρ δαπάνη; Πρόσοδός ἐστι καὶ ἐμπορία. Ὅπου ἐμπορία, ἐκεῖ καὶ πλεονασμός· ὅπου σπόρος, ἐκεῖ καὶ ἀμητός. Σὺ δέ, εἰ μὲν γῆν λιπαρὰν καὶ βαθεῖαν καὶ πολλὰ δυναμένην δέξασθαι σπέρματα γεωργεῖν ἔμελλες, καὶ τὰ ὄντα ἂν ἐξέβαλες, καὶ παρ' ἑτέρων ἂν ἐδανείσω, ζημίαν τὴν ἐν τοῖς τοιούτοις φειδὼ νομίζων εἶναι· τὸν δὲ οὐρανὸν μέλλων γεωργεῖν, τὸν οὐδεμιᾷ ἀνωμαλίᾳ ἀέρων ὑποκείμενον, ἀλλὰ πάντως ἀποδώσοντα μετὰ πλείονος προσθήκης τὰ καταβαλλόμενα, ὀκνεῖς καὶ ἀναδύῃ, καὶ οὐκ ἐννοεῖς ὅτι ἔστι φειδόμενον ἀπολέσαι, καὶ μὴ

1. Λουκᾶ 16,9.
2. Β' Κορ. 9,6

μὲ τὴν προσπάθειάν μας νὰ παύσωμεν τὴν ὀργήν του. Ἔτσι ἐβοήθησε τὴν Χαναναίαν· ἔτσι ἔσωσε τὴν πόρνην, ἔτσι τὸν ληστήν, χωρὶς νὰ μεσολαβήσῃ καὶ χωρὶς νὰ τοὺς ὑπερασπίσῃ κανείς.

5. Αὐτὰ τὰ λέγω ὄχι διὰ νὰ μὴ παρακαλοῦμεν τοὺς ἁγίους, ἀλλὰ διὰ νὰ μὴ εἴμεθα ἀδιάφοροι, νὰ μὴ μένωμεν ἀδρανεῖς καὶ ἥσυχοι καὶ νὰ μὴ στηρίζωμεν τὰς ἐλπίδας μας μόνον εἰς τοὺς ἄλλους. Διότι, ὅταν εἶπε· «Ποιήσατε ὑμῖν φίλους» δὲν ἠρκέσθη εἰς αὐτὸ μόνον, ἀλλὰ ἐπρόσθεσε· «Ἐκ τοῦ ἀδίκου μαμωνᾶ»[1], διὰ νὰ εἶναι τὸ κατόρθωμα ἰδικόν σου. Καὶ δὲν ἐννοεῖ τίποτε ἄλλο ἐδῶ, παρὰ μόνον τὴν ἐλεημοσύνην. Τὸ περίεργον εἶναι ὅτι δὲν μᾶς ὁμιλεῖ μὲ πληρότητα διὰ τὴν περίπτωσιν ποὺ δὲν θὰ διαπράξωμεν ἀδικίας. Διότι λέγει περίπου τὰ ἑξῆς· Ἀπέκτησες ἄδικα κέρδη; Ἐξόδευσέ τα καλά. Ἐσυγκέντρωσες ἀδίκως χρήματα; Σκόρπισέ τα δικαίως. Τί ἀρετὴ ὅμως εἶναι αὐτή, νὰ δίδῃς ἀπὸ τὰ ἄδικα κέρδη σου; Ὁ Θεὸς ποὺ εἶναι φιλάνθρωπος, φθάνει ἀκόμη καὶ εἰς αὐτὸ τὸ σημεῖον ἐπιεικείας. Καὶ μᾶς ὑπόσχεται πολλὰ ἀγαθά, ἂν ἐνεργήσωμεν ἔτσι. Ἀλλὰ ἐμεῖς ἔχομεν τόσην πώρωσιν, ὥστε νὰ μὴν ἐλεοῦμεν οὔτε ἀπὸ τὰ ἄδικα κέρδη μας, ἀλλά, ἐνῷ ἁρπάζωμεν ἄπειρα, νομίζομεν ὅτι ἐξωφλήσαμεν τὰ πάντα, ἂν δώσωμεν ἕνα πολὺ μικρὸν μέρος των. Δὲν ἤκουσες τὸν Παῦλον ποὺ λέγει· «Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει»;[2] Διατί λοιπὸν λυπᾶσαι νὰ δώσῃς; Μήπως εἶναι ἔξοδον; Μήπως εἶναι δαπάνη; Εἰσόδημα εἶναι καὶ ἐπικερδὴς ἐνέργεια. Καὶ ὅπου ἔχομεν ἐπικερδεῖς ἐνεργείας, ἐκεῖ ἔχομεν καὶ περισσεύματα. Ὅπου ἔχομεν σποράν, ἐκεῖ ἔχομεν καὶ συγκομιδήν. Ἐσύ, ἂν ἐπρόκειτο νὰ σπείρῃς γόνιμον καὶ παχὺ χωράφι, ποὺ ἠμπορεῖ νὰ φιλοξενήσῃ πολὺν σπόρον, θὰ διέθετες ὅσα εἶχες καὶ θὰ ἐδανειζόσουν ἀπὸ ἄλλους, διότι θὰ ἐθεωροῦσες εἰς τὴν περίπτωσιν αὐτὴν ζημίαν τὴν οἰκονομίαν. Ὅταν πρόκειται ὅμως νὰ σπείρῃς τὸν οὐρανόν, ποὺ δὲν ἐπηρεάζεται ἀπὸ τὰς ἀνωμάλους καιρικὰς συνθήκας καὶ ποὺ εἶναι βέβαιον ὅτι θὰ σοῦ ἐπιστρέψῃ ἀσυγκρίτως περισσότερα ἀπὸ ὅσα θὰ δαπανήσῃς, διστάζεις καὶ ὀπισθοχωρεῖς

φειδόμενον κερδᾶναι. Σκόρπισον τοίνυν, ἵνα μὴ ἀπολέσῃς· μὴ κατάσχῃς, ἵνα κατάσχῃς· ἔκβαλε, ἵνα φυλάξῃς· ἀνάλωσον, ἵνα κερδάνῃς. Κἂν φυλάξαι αὐτὰ δέῃ, μὴ σὺ φύλαττε· πάντως γὰρ αὐτὰ ἀπολεῖς· ἀλλὰ πίστευσον τῷ Θεῷ· οὐδεὶς γὰρ ἐκεῖθεν ἁρπάζει. Μὴ σὺ πραγματεύου· οὐδὲ γὰρ οἶσθα κερδάνειν· ἀλλὰ δάνεισον τῷ πλείῳ τοῦ κεφαλαίου τὸν τόκον παρέχοντι. Δάνεισον ἔνθα μηδεὶς φθόνος, ἔνθα οὐδεμία κατηγορία, μηδὲ ἐπιβουλή, μηδὲ φόβος. Δάνεισον τῷ μηδενὸς δεομένῳ, καὶ χρείαν ἔχοντι διὰ σέ· τῷ πάντας τρέφοντι, καὶ πεινῶντι, ἵνα σὺ μὴ λιμώξῃς· τῷ πενομένῳ, ἵνα σὺ πλουτήσῃς. Δάνεισον ὅθεν οὐκ ἔστι θάνατον, ἀλλὰ ζωὴν ἀντὶ θανάτου καρπώσασθαι· οὗτοι μὲν γὰρ βασιλείαν, ἐκεῖνοι δὲ γέενναν προξενοῦσιν οἱ τόκοι· οἱ μὲν φιλαργυρίας, οἱ δὲ φιλοσοφίας εἰσί· καὶ οἱ μὲν ὠμότητος, οἱ δὲ φιλανθρωπίας. Τίνα οὖν ἕξομεν ἀπολογίαν, ὅταν καὶ πλείονα ἐξὸν λαβεῖν, καὶ μετὰ ἀσφαλείας, καὶ ἐν καιρῷ τῷ προσήκοντι, καὶ ἐν ἐλευθερίᾳ πολλῇ, καὶ σκωμμάτων χωρὶς φόβων καὶ κινδύνων, ἀφέντες ταῦτα κερδᾶναι, διώκωμεν ἐκεῖνα τὰ αἰσχρὰ καὶ εὐτελῆ καὶ σφαλερὰ καὶ διαπίπτοντα, καὶ πολλὴν προξενοῦντα τὴν κάμινον ἡμῖν;

Οὐδὲν γάρ, οὐδὲν τῶν ἐνταῦθα τόκων αἰσχρότερον, οὐδὲν ὠμότερον. Τὰς γὰρ ἀλλοτρίας ὁ τοιοῦτος πραγματεύεται συμφορὰς καὶ πρόσοδον τὴν ἑτέρου δυσημερίαν ποιεῖται, καὶ μισθὸν ἀπαιτεῖ φιλανθρωπίας, καθάπερ δεδοικὼς μὴ ἐλεήμων φανῇ, καὶ προσχήματι φιλανθρωπίας βαθύτερον ὀρύσσει τὸ βά-

καὶ δὲν ἐννοεῖς ὅτι εἶναι δυνατὸν νὰ ζημιωθῇς μὲ τὴν οἰκονομίαν καὶ νὰ κερδίσῃς μὲ τὴν σπατάλην. Σκόρπισε λοιπόν, διὰ νὰ μὴ ζημιωθῇς. Μὴ κάμῃς οἰκονομίαν, διὰ νὰ κάμῃς οἰκονομίαν. Δῶσε, διὰ νὰ κρατήσῃς. Ἐξόδευσε, διὰ νὰ κερδίσῃς. Καὶ ἂν χρειασθῇ νὰ τὰ φυλάξῃς, μὴ τὰ φυλάξῃς ἐσύ. Διότι θὰ τὰ χάσῃς ὁπωσδήποτε. Νὰ τὰ ἐμπιστευθῇς εἰς τὸν Θεόν. Διότι ἀπὸ ἐκεῖνον δὲν θὰ τὰ κλέψῃ κανείς. Μὴ τὰ διαχειρίζεσαι ἐσύ. Διότι δὲν γνωρίζεις νὰ κερδίζῃς. Δάνεισέ τα εἰς ἐκεῖνον ποὺ δίδει τόκον μεγαλύτερον ἀπὸ τὸ κεφάλαιον. Δάνεισέ τα ἐκεῖ ποὺ δὲν ὑπάρχει φθόνος, οὔτε κατηγορία, οὔτε σκευωρία, οὔτε φόβος. Δάνεισέ τα εἰς ἐκεῖνον ποὺ δὲν τὰ χρειάζεται καὶ θὰ τὰ χρησιμοποιήσῃ διὰ σέ. Εἰς ἐκεῖνον ποὺ τρέφει τοὺς πάντας καὶ πεινᾷ, διὰ νὰ μὴ πεινάσῃς ἐσύ. Εἰς ἐκεῖνον ποὺ ζητιανεύει, διὰ νὰ πλουτήσῃς ἐσύ. Δάνεισέ τα εἰς ἐκεῖνον, ἀπὸ τὸν ὁποῖον δὲν εἶναι δυνατὸν νὰ ὁδηγηθῇς εἰς τὸν θάνατον, ἀλλὰ νὰ κερδίσῃς τὴν ζωὴν ἀντὶ τοῦ θανάτου. Διότι οἱ τόκοι αὐτῶν τῶν χρημάτων θὰ σοῦ δώσουν τὴν βασιλείαν, ἐνῷ οἱ ἄλλοι θὰ ἔχουν ὡς ἀποτέλεσμα τὴν αἰωνίαν κόλασιν. Οἱ δεύτεροι εἶναι ἀποτέλεσμα φυλαργυρίας, οἱ πρῶτοι ὀρθοφροσύνης. Οἱ δεύτεροι ἀπανθρωπίας, οἱ πρῶτοι φιλανθρωπίας. Τί δικαιολογίαν θὰ ἔχωμεν λοιπόν, ἂν ἐπιδιώκωμεν ἐκεῖνα τὰ ἀνήθικα καὶ μηδαμινὰ καὶ ἀπατηλὰ καὶ πρόσκαιρα καὶ αἴτια μεγάλης πυρκαϊᾶς διὰ τὸν ἑαυτόν μας, ἐνῷ εἶναι δυνατὸν νὰ κερδίσωμεν περισσότερα καὶ χωρὶς κινδύνους καὶ εἰς τὸν κατάλληλον καιρὸν καὶ μὲ πολλὴν ἐλευθερίαν καὶ χωρὶς ἐπικρίσεις καὶ φόβους καὶ κινδύνους;

Τίποτε λοιπόν, τίποτε δὲν εἶναι χειρότερον οὔτε ἀπανθρωπότερον ἀπὸ τὴν ἐδῶ εἴσπραξιν τόκων. Ὅσοι ἐνεργοῦν ἔτσι, ἐμπορεύονται τὰς συμφορὰς τῶν ἄλλων καὶ θεωροῦν ὡς πηγὴν κέρδους τὴν δυστυχίαν τοῦ συνανθρώπου των καὶ ζητοῦν ἀμοιβὴν διὰ τὴν δῆθεν φιλανθρωπίαν των, ὡσὰν νὰ φοβοῦνται μήπως θεωρηθοῦν εὐσπλαγχνικοί, καὶ μὲ τὸ πρόσχημα τῆς φιλανθρωπίας ἀνοίγουν βαθύτερον λάκκον, διότι συντρίβουν τοὺς πτωχοὺς μὲ τὴν δῆθεν ἐνίσχυσίν των, τοὺς ἀναγκάζουν

ραθρον, ἐν τῷ βοηθεῖν ἐπιτρίβων τὴν πενίαν, καὶ ἐν τῷ χεῖρα ὀρέγειν ὠθῶν, καὶ δεχόμενος μὲν ὡς εἰς λιμένα, ναυαγίῳ δὲ περιβάλλων, ὡς ἐν σκοπέλῳ καὶ ὑφάλῳ καὶ σπιλάδι τοῦτον.

᾿Αλλὰ τί κελεύεις; φησί· τὸ συλλεχθὲν ἀργύριον καὶ ἐμοὶ χρήσιμον, ἑτέρῳ διδόναι εἰς ἐργασίαν, καὶ μηδένα μισθὸν ἀπαιτεῖν;

῎Απαγε· οὐ φημὶ τοῦτο ἐγώ, ἀλλὰ καὶ σφόδρα βούλομαί σε μισθὸν λαβεῖν, οὐ μὴν εὐτελῆ καὶ μικρόν, ἀλλὰ πολλῷ μείζονα· ἀντὶ γὰρ χρυσίου, τὸν οὐρανὸν βούλομαί σε τόκον λαβεῖν. Τί τοίνυν εἰς πτωχείαν σεαυτὸν κατακλείεις, περὶ τὴν γῆν συρόμενος, καὶ μικρὰ ἀντὶ μεγάλων ἀπαιτῶν; Τοῦτο γὰρ οὐκ εἰδότος ἐστὶ πλουτεῖν. ῞Οταν γὰρ ὁ μὲν Θεός, ἀντὶ χρημάτων ὀλίγων ἐπαγγέληταί σοι τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά, σὺ δὲ λέγῃς, Μὴ οὐρανόν μοι δῷς, ἀλλ' ἀντὶ τοῦ οὐρανοῦ χρυσίον τὸ ἀπολλύμενον, τοῦτο βουλομένου μένειν ἐστὶν ἐν πενίᾳ. ῾Ως ὅ γε ἐπιθυμῶν πλούτου καὶ εὐπορίας, τὰ μένοντα πρὸ τῶν ἀπολλυμένων, τὰ ἀνάλωτα πρὸ τῶν δαπανωμένων, τὰ πολλὰ πρὸ τῶν ὀλίγων, τὰ ἀκήρατα πρὸ τῶν φθειρομένων αἱρήσεται· οὕτω γὰρ κἀκεῖνα ἕψεται. ῾Ο μὲν γὰρ τὴν γῆν πρὸ τοῦ οὐρανοῦ ζητῶν, καὶ ταύτης ἐκπεσεῖται πάντως· ὁ δὲ ἐκεῖνον ταύτης προτιθείς, ἀμφοτέρων ἀπολαύσεται μετὰ πολλῆς τῆς ὑπερβολῆς.

῞Οπερ ἵνα καὶ ἐφ' ἡμῶν γένηται, καταφρονήσαντες τῶν ἐνταῦθα πάντων, ἑλώμεθα τὰ μέλλοντα ἀγαθά. Οὕτω γὰρ καὶ τούτων κἀκείνων τευξόμεθα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

νὰ ἁπλώνουν τὸ χέρι καὶ νὰ ἐπαιτοῦν καὶ τοὺς φιλοξενοῦν δῆθεν εἰς τὸ λιμάνι των, εἰς τὴν πραγματικότητα ὅμως τοὺς ὁδηγοῦν εἰς ναυάγιον ὅπως ὁ σκόπελος καὶ ἡ ὕφαλος καὶ τὰ ἀπόκρημνα ἀκρογιάλια.

Τί μὲ συμβουλεύεις, λέγει; Νὰ δώσω εἰς ἄλλον νὰ χρησιμοποιήσῃ τὰ χρήματα ποὺ ἐσυγκέντρωσα καὶ ποὺ μοῦ εἶναι χρήσιμα καὶ νὰ μὴ τοῦ ζητήσω καμμίαν ἀμοιβήν;

Ἀσφαλῶς ὄχι. Ἐγὼ δὲν σοῦ προτείνω αὐτό, ἀλλὰ ἐπιθυμῶ πολὺ νὰ λάβῃς ἀμοιβήν, ὄχι ὅμως ἀσήμαντην καὶ μικράν, ἀλλὰ πολὺ μεγαλυτέραν. Θέλω δηλαδὴ νὰ εἰσπράξῃς ὡς τόκον ὄχι χρήματα, ἀλλὰ τὸν οὐρανόν. Διατί λοιπὸν σύρεσαι ἐπάνω εἰς τὴν γῆν καὶ ἀπαιτεῖς μικρὰ ἀντὶ μεγάλων καὶ ἔτσι ἐξαναγκάζεις τὸν ἑαυτόν σου νὰ εἶναι πτωχός; Αὐτὸ εἶναι ἀσφαλῶς ἐνέργεια ἀνθρώπου ποὺ δὲν γνωρίζει νὰ εἶναι πλούσιος. Διότι, ὅταν ὁ Θεὸς σοῦ ὑπόσχεται τὰ ἀγαθὰ τοῦ οὐρανοῦ μὲ ἀντάλλαγμα ὀλίγα χρήματά σου καὶ σὺ ἀπαντᾷς, Μὴ μοῦ δώσῃς τὰ οὐράνια ἀγαθά, ἀλλά, ἀντὶ αὐτῶν, δῶσε μου χρυσάφι ποὺ χάνεται καὶ ἐξαφανίζεται, ἀποδεικνύεις ὅτι ἐπιθυμεῖς νὰ μείνῃς πάντοτε πτωχός. Διότι, ὅποιος ἐπιθυμεῖ νὰ εἶναι πλούσιος καὶ εὔπορος, αὐτὸς προτιμᾷ τὰ σταθερὰ καὶ μόνιμα καὶ ὄχι τὰ προσωρινά, τὰ ἀδαπάνητα καὶ ὄχι τὰ δαπανώμενα, τὰ πολλὰ καὶ ὄχι τὰ ὀλίγα, τὰ αἰώνια καὶ ὄχι τὰ φθαρτά. Διότι εἰς τὰ πρῶτα θὰ ἀκολουθήσουν καὶ τὰ δεύτερα. Διότι, ὅποιος προτιμᾷ τὸν οὐρανὸν ἀπὸ τὴν γῆν, ὁπωσδήποτε θὰ χάσῃ καὶ τὴν γῆν. Ἐνῷ, ὅποιος προτιμᾷ τὰ οὐράνια ἀντὶ τῶν ἐπιγείων, θὰ ἀπολαύσῃ πάρα πολὺ καὶ τὰ δύο.

Διὰ νὰ ἐπιτύχωμεν λοιπὸν αὐτό, ἂς περιφρονήσωμεν ὅλα τὰ ἐπίγεια καὶ ἂς προτιμήσωμεν τὰ οὐράνια ἀγαθά. Διότι μὲ αὐτὸν τὸν τρόπον θὰ ἐπιτύχωμεν καὶ τὰ μὲν καὶ τὰ δέ, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου εἶναι αἰωνία ἡ δόξα καὶ ἡ δύναμις. Ἀμήν.

ΟΜΙΛΙΑ Ϛ'
Ματθ. 2, 1 - 3

«Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ».

1. Πολλῆς μὲν δεῖ τῆς ἀγρυπνίας, πολλῶν τῶν εὐχῶν, ὥστε δυνηθῆναι ἐπεξελθεῖν τῷ παρόντι χωρίῳ, καὶ μαθεῖν, τίνες οἱ μάγοι οὗτοι, καὶ πόθεν ἦλθον, καὶ πῶς, καὶ τίνος αὐτοὺς πείσαντος, καὶ τίς ὁ ἀστήρ. Μᾶλλον δέ, εἰ βούλεσθε, πρότερον ἃ φασιν οἱ τῆς ἀληθείας ἐχθροί, ταῦτα εἰς μέσον ἀγάγωμεν. Καὶ γὰρ τοσοῦτον κατ' αὐτῶν ἔπνευσεν ὁ διάβολος, ὥστε καὶ ἐντεῦθεν αὐτοὺς ἐπιχειρεῖν ὁπλίζειν κατὰ τῶν τῆς ἀληθείας λόγων. Τί οὖν φασιν; Ἰδού, φησί, καὶ τοῦ Χριστοῦ γεννηθέντος ἀστὴρ ἐφάνη, ὅπερ ἐστὶ σημεῖον τοῦ τὴν ἀστρολογίαν εἶναι βεβαίαν. Πῶς οὖν κατ' ἐκεῖνον ἐτέχθη τὸν νόμον, ἀστρολογίαν ἔλυσε, καὶ εἱμαρμένην ἀνεῖλε, καὶ δαίμονας ἐπεστόμισε, καὶ πλάνην ἐξέβαλε, καὶ πᾶσαν τοιαύτην μαγγανείαν ἀνέτρεψε; Τί δὲ καὶ οἱ μάγοι παρὰ τοῦ ἀστέρος αὐτοῦ μανθάνουσιν; Ὅτι βασιλεὺς τῶν Ἰουδαίων ἦν; Καὶ μὴν οὐ ταύτης ἦν τῆς βασιλείας βασιλεύς, καθὼς καὶ τῷ Πιλάτῳ ἔλεγεν·«Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου».Οὐδὲν γοῦν ἐπεδείξατο τοιοῦτον· οὐδὲ γὰρ δορυφόρους, οὔτε ὑπασπιστάς, οὔτε ἵππους, οὔτε ἡμιό-

1. Ἰω. 18,36

ΟΜΙΛΙΑ ΣΤ'
Ματθ. 2, 1-3.

«Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ».

1. Μᾶς χρειάζεται πολλὴ ἀγρυπνία, πολλαὶ προσευχαί, ὥστε νὰ ἠμπορέσωμεν νὰ ἐξετάσωμεν ἱκανοποιητικῶς αὐτὸ τὸ χωρίον καὶ νὰ μάθωμεν ποῖοι εἶναι αὐτοὶ οἱ μάγοι καὶ ἀπὸ ποῦ ἦλθαν καὶ πῶς καὶ ποῖος τοὺς ἔπεισε καὶ τί ἦτο αὐτὸ τὸ ἀστέρι. Καλύτερα ὅμως, ἐὰν θέλετε, ἂς ἀναφέρωμεν πρῶτα ὅσα λέγουν οἱ ἐχθροὶ τῆς ἀληθείας. Διότι τοὺς ἐπετέθη μὲ τόσην σφοδρότητα ὁ διάβολος, ὥστε ἐτόλμησε νὰ ἐξοπλίσῃ αὐτοὺς καὶ ἀπὸ τὸ χωρίον τοῦτο ἐναντίον τῶν λόγων τῆς ἀληθείας. Τί λέγουν λοιπόν; Νά ποὺ ἐφάνη ἀστέρι καὶ ὅταν ἐγεννήθη ὁ Χριστός, πρᾶγμα, λέγει, τὸ ὁποῖον μαρτυρεῖ ὅτι ἡ ἀστρολογία γνωρίζει τὴν ἀλήθειαν. Ἀφοῦ ἐγεννήθη λοιπὸν κατὰ τὰ ἀστρολογικὰ δεδομένα, πῶς ἀπέδειξε τὴν ἀστρολογίαν ἀναξίαν λόγου, πῶς κατήργησε τὴν πίστιν εἰς τὸ μοιραῖον, πῶς ἀπεστόμωσε τοὺς δαίμονας, πῶς ἐξηφάνισε τὴν πλάνην καὶ ἐξουδετέρωσε κάθε εἴδους μαγείαν; Τί ἔμαθαν ὅμως οἱ μάγοι ἀπὸ τὸ ἀστέρι ἐκεῖνο; Ὅτι ἦτο βασιλεὺς τῶν Ἰουδαίων; Ἀλλά, ὅπως εἶπεν εἰς τὸν Πιλᾶτον, δὲν ἦτο βασιλεὺς εἰς ἐγκόσμιον βασίλειον. «Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου»[1]. Καὶ πράγματι δὲν παρουσίασε τίποτε σχετικόν. Δὲν εἶχε κοντά του οὔτε σωματοφύλακας, οὔτε ὑπασπιστάς, οὔτε ἄλογα, οὔτε ζεῦγος ἡμιόνων οὔτε ἄλλο τίποτε παρόμοιον, ἀλλὰ ἐζοῦσεν ὡς ἀσήμαντος καὶ πτωχὸς καὶ εἶχε μαζί του δώδεκα

νων ζεῦγος, οὔτε ἄλλο τι τοιοῦτον ἔσχε περὶ ἑαυτόν· ἀλλὰ τὸν εὐτελῆ τοῦτον βίον καὶ πτωχὸν μετῄει, δώδεκα εὐτελεῖς ἀνθρώπους μεθ' ἑαυτοῦ περιφέρων. Εἰ δὲ καὶ βασιλέα ᾔδεσαν ὄντα, τίνος ἕνεκεν παραγίνονται; Οὐ γὰρ δὴ τοῦτο ἀστρονομίας ἔργον ἐστίν, ἀπὸ τῶν ἄστρων εἰδέναι τοὺς τικτομένους, ἀλλ' ἀπὸ τῆς ὥρας τῶν τικτομένων προαναφωνεῖν τὰ μέλλοντα ἔσεσθαι, ὥς φασιν. Οὗτοι δὲ οὔτε ὠδινούσῃ τῇ μητρὶ παρῆσαν, οὔτε τὸν καιρὸν ἔγνωσαν, καθ' ὃν ἐτέχθη, οὔτε ἐντεῦθεν λαβόντες τὴν ἀρχήν, συνέθηκαν ἀπὸ τῆς τῶν ἄστρων κινήσεως τὰ μέλλοντα ἔσεσθαι· ἀλλ' ἀντιστρόφως, ἀστέρα πρὸ πολλοῦ τοῦ χρόνου θεασάμενοι φανέντα ἐπὶ τῆς αὐτῶν χώρας, ἔρχονται ὀψόμενοι τὸν τεχθέντα· ὅπερ καὶ αὐτὸ τοῦ προτέρου σφόδρα ἀπορώτερον ἂν εἴη. Τίς γὰρ αὐτοὺς ἔπεισε λόγος, ποίων ἀγαθῶν ἐλπίς, τὸν ἐκ τοσούτου διαστήματος προσκυνῆσαι βασιλέα; Εἰ μὲν γὰρ αὐτῶν ἔμελλε βασιλεύειν, μάλιστα μὲν οὐδὲ οὕτω λόγον εἶχε τὸ γινόμενον. Καὶ γὰρ εἰ μὲν ἐν βασιλικαῖς αὐλαῖς ἐτίκτετο, καὶ πατρὸς αὐτῷ βασιλέως παρόντος, εἰκότως ἄν τις ἔφη τούτους, βουλομένους τὸν πατέρα θεραπεῦσαι, προσκυνῆσαι τὸ τεχθὲν παιδίον, καὶ ταύτῃ πολλὴν ἑαυτοῖς ὑπόθεσιν προαποθέσθαι εὐνοίας. Νυνὶ δὲ οὐδὲ αὐτῶν προσδοκῶντες ἔσεσθαι βασιλέα, ἀλλὰ ἔθνους ἀλλοκότου καὶ πολὺ τῆς αὐτῶν ἀφεστηκότος χώρας, οὔτε ἄνδρα ὁρῶντες ἤδη γενόμενον, τίνος ἕνεκεν τοσαύτην στέλλονται ἀποδημίαν, καὶ δῶρα προσφέρουσι, καὶ ταῦτα μέλλοντες μετὰ κινδύνων ἅπαντα πράττειν; Καὶ γὰρ καὶ Ἡρώδης ἀκούσας διεταράχθη καὶ ὁ δῆμος ἅπας ἐθορυβεῖτο, ταῦτα ἀκούσαντες παρ' αὐτῶν. Ἀλλ' οὐ προῄδεσαν οὗτοι ταῦτα. Ἀλλ' οὐκ ἂν ἔχοι λόγον. Εἰ γὰρ καὶ σφόδρα ἦσαν ἀνόητοι, τοῦτο οὐκ ἂν ἠγνόησαν, ὅτι εἰς πόλιν βασιλευομένην ἐλθόντες, καὶ τοιαῦτα κηρύξαντες, καὶ βασιλέα ἕτερον παρὰ τὸν τότε ὄντα δείξαντες,

ἁπλοῦς ἀνθρώπους. Ἀλλὰ καὶ ἂν ἐγνώριζαν ὅτι εἶναι βασιλεύς, διατί ἐπῆγαν νὰ τὸν συναντήσουν; Διότι δὲν εἶναι βέβαια ἔργον τῆς ἀστρολογίας νὰ γνωρίζῃ ἀπὸ τὰ ἄστρα ποιοὶ ἐγεννήθησαν, ἀλλά, ὅπως λέγουν, νὰ προφητεύῃ διὰ τῶν ἄστρων τὰ μέλλοντα. Αὐτοὶ ὅμως δὲν παρευρέθησαν ὅταν ἐγεννοῦσεν ἡ μητέρα, οὔτε ἐγνώριζαν τὸν χρόνον, κατὰ τὸν ὁποῖον ἐγεννήθη ὁ Χριστός, οὔτε ἐστηρίχθησαν εἰς τὸν χρόνον τῆς γεννήσεως διὰ νὰ ὑπολογίσουν ἀπὸ τὴν κίνησιν τῶν ἀστέρων τὰ μέλλοντα νὰ συμβοῦν. Ἀντιθέτως, ἐπειδὴ εἶδαν πρὶν ἀπὸ πολὺν καιρὸν ἕνα ἀστέρι ποὺ παρουσιάσθη ἐπάνω ἀπὸ τὴν πατρίδα των, ἦλθαν διὰ νὰ ἰδοῦν τὸν νεογέννητον. Πρᾶγμα τὸ ὁποῖον δημιουργεῖ πολὺ μεγαλυτέρας ἀπορίας ἀπὸ τὸ πρῶτον. Διότι τί τοὺς ἔπεισε, ποίαν ὠφέλειαν ἐπερίμεναν, ὥστε νὰ ἔλθουν ἀπὸ τόσην ἀπόστασιν νὰ προσκυνήσουν τὸν βασιλέα; Καὶ ἂν ἀκόμη ἐπρόκειτο νὰ εἶναι ἰδικός των βασιλεύς, καὶ πάλιν δὲν ἦτο λογικὸν αὐτὸ ποὺ ἔκαμαν. Διότι, ἐὰν ἐγεννᾶτο εἰς κάποιαν βασιλικὴν αὐλὴν καὶ ἦτο βασιλεὺς ὁ πατέρας του, θὰ ἔλεγε κανεὶς ὅτι ἔκαμαν καλὰ ποὺ ἦλθαν νὰ προσκυνήσουν τὸ νεογέννητον, διὰ νὰ κολακεύσουν τὸν πατέρα, καὶ ὅτι μὲ αὐτὴν τὴν ἐνέργειάν των ἐξησφάλισαν ἐκ τῶν προτέρων μεγάλας πιθανότητας διὰ μελλοντικὴν εὔνοιαν. Τώρα ὅμως διατί ἐξεκίνησαν διὰ τόσον μακρινὸν ταξίδι καὶ ἐπρόσφεραν δῶρα, ἀφοῦ δὲν ἀνέμεναν νὰ γίνῃ ἰδικός των βασιλεύς, ἀλλὰ ἑνὸς παράξενου λαοῦ, ποὺ ἐκατοικοῦσεν εἰς πολὺ μεγάλην ἀπόστασιν ἀπὸ τὴν πατρίδα των; καὶ ἀφοῦ μάλιστα ἐπρόκειτο νὰ εἶναι ἐπικίνδυνη ἡ ὅλη ἐνέργειά των; Διότι καὶ ὁ Ἡρώδης ἐταράχθη πάρα πολὺ ὅταν τὸ ἤκουσε καὶ ὅλος ὁ λαὸς ἀνησύχησεν, ὅταν ἤκουσεν ὅλα ὅσα ἔλεγαν αὐτοί. Ἀλλὰ δὲν τὰ προέβλεψαν, θὰ ἔλεγε κάποιος, αὐτά. Αὐτὸ ὅμως δὲν εἶναι λογικόν. Διότι, καὶ πολὺ ἀνόητοι ἂν ἦσαν, δὲν ἔπρεπε νὰ ἀγνοοῦν τοῦτο, ὅτι, ἂν φθάσουν εἰς χώραν ποὺ ἔχει βασιλέα καὶ ἀνακοινώσουν ὅσα γνωρίζουν καὶ εἰποῦν ὅτι ὑπάρχει κάποιος ἄλλος βασιλεὺς καὶ ὄχι ὁ κάτοχος τοῦ θρόνου,

οὐχὶ μυρίους καθ' ἑαυτῶν ἂν ἐπεσπάσαντο θανάτους; Τί δὲ ὅλως καὶ προσεκύνουν ἐν σπαργάνοις ὄντα; Εἰ μὲν γὰρ ἀνὴρ ἦν, εἶχεν ἄν τις εἰπεῖν, ὅτι προσδοκῶντες τὴν παρ' αὐτοῦ βοήθειαν εἰς προὖπτον ἑαυτοὺς ἔρριψαν κίνδυνον, ὅπερ καὶ αὐτὸ τῆς ἐσχάτης ἀλογίας ἦν, τὸν Πέρσην, τὸν βάρβαρον, καὶ οὐδὲν κοινὸν ἔχοντα πρὸς τὸ Ἰουδαίων ἔθνος, βούλεσθαι μὲν τῆς οἰκίας ἀφίστασθαι, καὶ πατρίδα καὶ συγγενεῖς καὶ οἰκείους ἀφιέναι, ἑτέρᾳ δὲ ἑαυτοὺς ὑποβάλλειν βασιλείᾳ.

2. Εἰ δὲ τοῦτο ἀνόητον, τὸ μετὰ τοῦτο ἀνοητότερον πολλῷ πλέον. Ποῖον δὴ τοῦτο; Τὸ μακρὰν οὕτως ἀποδημίαν ταράξαντας πάντας, ἀπελθεῖν εὐθέως. Τί δὲ ὅλως καὶ βασιλείας σύμβολον εἶδον, καλύβην καὶ φάτνην, καὶ παιδίον ἐν σπαργάνοις, καὶ μητέρα πτωχὴ ἰδόντες; Τίνι δὲ καὶ τὰ δῶρα προσέφερον, καὶ τίνος ἕνεκεν; Ἆρα νόμος ἦν καὶ ἔθος, τοὺς πανταχοῦ τικτομένους βασιλέας οὕτω θεραπεύειν; Καὶ πᾶσαν περιῄεσαν ἀεὶ τὴν οἰκουμένην, οὓς ᾔδεσαν ἐσομένους βασιλέας ἀπὸ μικρῶν καὶ εὐτελῶν, πρὶν ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν ἀναβῆναι, προσκυνοῦντες; Ἀλλ' οὐκ ἂν ἔχοι τις τοῦτο εἰπεῖν. Τίνος δὲ ἕνεκεν καὶ προσεκύνουν; Εἰ μὲν τῶν παρόντων ἕνεκεν, καὶ τί προσεδόκων παρὰ παιδίου καὶ μητρὸς εὐτελοῦς λήψεσθαι; Εἰ δὲ τῶν μελλόντων ἕνεκεν, καὶ πόθεν ᾔδεσαν ὅτι ἀπομνημονεύσει τῶν τότε γινομένων ὁ παῖς ἐν σπαργάνοις προσκυνηθείς; Εἰ δὲ ἡ μήτηρ ἔμελλεν ἀναμιμνῄσκειν αὐτόν, οὐδὲ οὕτω τιμῆς, ἀλλὰ κολάσεως ἦσαν ἄξιοι, εἰς προὖπτον ἐμβάλλοντες αὐτὸν κίνδυνον. Ἐντεῦθεν γοῦν ὁ Ἡρώδης ταραχθείς, καὶ ἐζήτει, καὶ περιειργάζετο, καὶ ἀνελεῖν ἐπεχείρει. Καὶ πανταχοῦ δὲ ὁ τὸν μέλλοντα βασιλεύειν κατάδηλον ποιῶν, ἐκ πρώτης ἡλικίας ἰδιώτην ὄντα,

δὲν θὰ ἐπέσυραν ἄπειρες φορὲς ἐναντίον των τὸν θάνατον; Καὶ γενικῶς, διατί ἦλθαν καὶ ἐπροσκύνησαν ἕνα παιδὶ ποὺ εὑρίσκετο εἰς τὰ σπάργανα; Διότι, ἂν εὑρίσκετο εἰς τὴν ἀνδρικὴν ἡλικίαν, θὰ ἠμποροῦσε νὰ ἰσχυρισθῇ κανεὶς ὅτι ἐξέθεσαν τοὺς ἑαυτούς των εἰς φανερὸν κίνδυνον, διότι ἐνέμεναν νὰ εὐεργετηθοῦν ἀπὸ αὐτόν, ἂν καὶ θὰ ἦτο πολὺ παράλογον, Πέρσαι αὐτοί, ἀλλόθρησκοι, ποὺ δὲν εἶχαν τίποτε κοινὸν μὲ τοὺς Ἰουδαίους, νὰ θέλουν νὰ ἀφήσουν τὰ σπίτια των καὶ τὴν πατρίδα καὶ τοὺς συγγενεῖς καὶ τοὺς ἰδικούς των καὶ νὰ γίνουν οἰκειοθελῶς ὑπήκοοι ξένου βασιλέως.

2. Καὶ ἂν αὐτὸ εἶναι παράλογον, ἀκόμη περισσότερον παράλογα εἶναι τὰ ὑπόλοιπα. Ποῖα εἶναι λοιπὸν αὐτά; Τὸ ὅτι ἐπέστρεψαν ἀμέσως, ἀφοῦ ἦλθαν τόσον μακριὰ ἀπὸ τὴν πατρίδα των καὶ ἐπροσκύνησαν καὶ ἀνησύχησαν τοὺς πάντας. Καὶ μὲ δύο λέξεις· Ποῖον βασιλικὸν σύμβολον εἶδαν, ἀφοῦ εἶδαν μίαν καλύβην μὲ φάτνην καὶ ἕνα παιδὶ εἰς τὰ σπάργανα καὶ μίαν πτωχὴν μητέρα; Εἰς ποῖον ἐπρόσφεραν τὰ δῶρα καὶ διατί; Μήπως ὑπῆρχε νόμος καὶ ἔθιμον νὰ προσκυνοῦν τοὺς νεογεννήτους βασιλεῖς, ὅπου καὶ ἂν ἐγεννήθησαν; Μήπως ἐγύριζαν συνεχῶς ὅλην τὴν οἰκουμένην καὶ ἐπροσκυνοῦσαν πρὶν ἀκόμη νὰ ἀνέβουν εἰς τὸν θρόνον, ἐκείνους ποὺ ἐγνώριζαν ὅτι ἀπὸ μικροὶ καὶ ἀσήμαντοι θὰ γίνουν βασιλεῖς; Κανεὶς δὲν ἠμπορεῖ νὰ προβάλῃ παρόμοιον ἰσχυρισμόν. Τότε διατί τὸν ἐπροσκύνησαν; Ἐὰν διὰ τὸ παρόν, τί ἐπερίμεναν νὰ κερδίσουν ἀπὸ ἕνα νήπιον καὶ μίαν πτωχὴν μητέρα; Ἐὰν διὰ τὸ μέλλον, πῶς ἐγνώριζαν ὅτι θὰ συγκρατήσῃ εἰς τὴν μνήμην του τὸ παιδί, ποὺ τὸ ἐπροσκύνησαν ὅταν εὑρίσκετο εἰς τὰ σπάργανα, ὅσα ἔγιναν τότε; Καὶ ἂν ἐπρόκειτο νὰ τοῦ τὸ ὑπενθυμίσῃ ἡ μητέρα του, καὶ πάλιν δὲν πρέπει νὰ τιμηθοῦν, ἀλλὰ νὰ τιμωρηθοῦν, διότι ἔρριψαν τὸ νήπιον εἰς φανερὸν κίνδυνον. Ἐξ αἰτίας των ἐταράχθη ὁ Ἡρώδης καὶ τὸ ἀναζητοῦσε καὶ ἐρευνοῦσε καὶ ἐπροσπαθοῦσε νὰ τὸ ἐξοντώσῃ. Καὶ εἰς κάθε περίπτωσιν ἐκεῖνος ποὺ ἀποκαλύπτει ὅτι ἕνας κοινὸς ἄνθρωπος μικρᾶς ἡλικίας πρόκειται νὰ γίνῃ βασιλεύς, δὲν κά-

οὐδὲν ἕτερον ἢ σφαγῇ παραδίδωσι, καὶ μυρίους ἀνάπτει πολέμους αὐτῷ.

Εἶδες ὅσα τὰ ἄτοπα φαίνεται, εἰ κατὰ ἀνθρωπίνην ἀκολουθίαν καὶ κοινὴν συνήθειαν ταῦτα ἐξετάσαιμεν; Οὐδὲ γὰρ ταῦτα μόνον, ἀλλὰ καὶ πλείονα τούτων ἐνῆν εἰπεῖν, ζήτησιν ἔχοντα πλείω τῶν εἰρημένων.

Ἀλλ' ἵνα μὴ συνάπτοντες ἀπορίας ἀπορίαις ἰλιγγιᾶν ὑμᾶς ποιῶμεν, φέρε δὴ λοιπὸν ἐπὶ τὴν λύσιν τῶν ζητουμένων ἔλθωμεν, ἀρχὴν τῆς λύσεως ἀπὸ τοῦ ἀστέρος αὐτοῦ ποιούμενοι. Ἂν γὰρ μάθωμεν τίς ὁ ἀστήρ, καὶ ποταπός, καὶ εἰ τῶν πολλῶν εἷς, ἢ ξένος παρὰ τοὺς ἄλλους, καὶ εἰ φύσει ἀστήρ, ἢ ὄψει μόνον ἀστήρ, εὐκόλως καὶ τὰ ἄλλα πάντα εἰσόμεθα.

Πόθεν οὖν ταῦτα ἔσται δῆλα; Ἀπὸ τῶν γεγραμμένων αὐτῶν. Ὅτι γὰρ οὐ τῶν πολλῶν εἷς ὁ ἀστὴρ οὗτος ἦν, μᾶλλον δὲ οὐδὲ ἀστήρ, ὡς ἔμοιγε δοκεῖ, ἀλλὰ δύναμίς τις ἀόρατος εἰς ταύτην μετασχηματισθεῖσα τὴν ὄψιν, πρῶτον ἀπὸ τῆς πορείας αὐτῆς δῆλον. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀστήρ τις ταύτην βαδίζων τὴν ὁδόν· ἀλλὰ κἂν ἥλιον εἴπῃς, κἂν σελήνην, κἂν τοὺς ἄλλους ἅπαντας ἀστέρας, ἐξ ἀνατολῶν ἐπὶ δύσιν ὁρῶμεν χωροῦντας· οὗτος δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίαν ἐφέρετο· οὕτω γὰρ ἡ Παλαιστίνη πρὸς τὴν Περσίδα κεῖται. Δεύτερον, καὶ ἀπὸ τοῦ καιροῦ τοῦτο ἔστιν ἰδεῖν. Οὐ γὰρ ἐν νυκτὶ φαίνεται, ἀλλ' ἐν ἡμέρᾳ μέσῃ, ἡλίου λάμποντος· ὅπερ οὐκ ἔστι δυνάμεως ἀστέρος, ἀλλ' οὐδὲ σελήνης· ἡ γὰρ τοσοῦτον πάντων ὑπερέχουσα, τῆς ἀκτῖνος φανείσης τῆς ἡλιακῆς, κρύπτεται εὐθέως καὶ ἀφανίζεται. Οὗτος δὲ τῇ τῆς οἰκείας λαμπρότητος ὑπερβολῇ καὶ τὰς ἀκτῖνας ἐνίκησε τὰς ἡλιακάς, φανότερος ἐκείνων φανείς, καὶ ἐν τοσούτῳ φωτὶ μεῖζον λάμψας. Τρίτον, ἀπὸ τοῦ φαίνεσθαι καὶ

μνει τίποτε ἄλλο παρὰ τὸν παραδίδει εἰς τὴν σφαγὴν καὶ τοῦ ἀνάπτει μυρίους πολέμους.

Εἶδες πόσα παράλογα παρουσιάζονται, ἂν ἐξετάσωμεν τὸ εὐαγγελικὸν χωρίον μὲ τὰ ἀνθρώπινα μέτρα καὶ κατὰ τὸν συνηθισμένον τρόπον; Καὶ δὲν εἶναι μόνον αὐτά, ἀλλὰ θὰ ἦτο δυνατὸν νὰ ἀναφέρω περισσότερα, τὰ ὁποῖα ἀπαιτοῦν περισσοτέραν συζήτησιν, ἀπὸ ὅσην ἀπαιτοῦν ὅσα ἀνέφερα.

Ἀλλὰ διὰ νὰ μὴ σᾶς κάμωμεν, μὲ τὴν ἔκφρασιν τῆς μιᾶς ἀπορίας κατόπιν τῆς ἄλλης, νὰ αἰσθάνεσθε ἰλίγγους, ἂς προχωρήσωμεν τώρα εἰς τὴν λύσιν τῶν ἀποριῶν. Ἂς προσπαθήσωμεν νὰ λύσωμεν πρῶτον τὸ ζήτημα τοῦ ἀστέρος. Διότι, ἂν μάθωμεν τί ἦτο τὸ ἀστέρι καὶ ποία ἡ προέλευσίς του καὶ ἂν ἦτο καὶ αὐτὸ ἕνα ἀπὸ τὰ πολλὰ ἢ διαφορετικὸν ἀπὸ τὰ ἄλλα καὶ ἂν ἦτο πράγματι ἀστέρι ἢ μόνον φαινομενικῶς ἀστέρι, θὰ κατανοήσωμεν εὔκολα καὶ ὅλα τὰ ἄλλα.

Ἀπὸ ποῦ ὅμως θὰ τὰ μάθωμεν αὐτά; Ἀπὸ τὸ ἴδιο τὸ κείμενον. Εἶναι βεβαίως φανερὸν ἀπὸ τὴν πορείαν του κατ' ἀρχὴν ὅτι τὸ ἀστέρι αὐτὸ δὲν ἦτο ἕνα ἀπὸ τὰ πολλὰ ἢ καλύτερα δὲν ἦτο, κατὰ τὴν γνώμην μου τοὐλάχιστον, ἀστέρι, ἀλλὰ κάποια ἀόρατη δύναμις ποὺ ἔλαβε μορφὴν ἄστρου. Διότι, εἶναι βεβαιότατον, δὲν ὑπάρχει ἀστέρι ποὺ νὰ ἀκολουθῇ αὐτὴν τὴν πορείαν, ἀλλὰ καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὅλα τὰ ἄλλα ἀστέρια τὰ βλέπομεν νὰ προχωροῦν ἀπὸ τὴν ἀνατολὴν πρὸς τὴν δύσιν. Αὐτὸ ὅμως ἐπήγαινεν ἀπὸ τὸν βορρᾶν πρὸς τὸν νότον. Διότι αὐτὸς εἶναι ὁ προσανατολισμὸς τῆς Παλαιστίνης ἀπὸ τὴν Περσίαν. Εἰς τὸ ἴδιον συμπέρασμα ὁδηγεῖ καὶ ἡ ἐξέτασις τῆς ὥρας. Διότι δὲν ἐφάνη τὴν νύκτα, ἀλλὰ τὸ μεσημέρι, ὅταν ὁ ἥλιος ἦτο ὁλόλαμπρος. Τοῦτο δὲν εἶναι δυνατὸν νὰ συμβῇ ὄχι μόνον μὲ τὰ ἀστέρια, ἀλλὰ οὔτε μὲ τὴν σελήνην. Διότι καὶ αὐτή, ἂν καὶ εἶναι πολὺ μεγαλύτερη ἀπὸ ὅλα, κρύπτεται καὶ ἐξαφανίζεται ἀμέσως, μόλις φανοῦν οἱ ἀκτῖνες τοῦ ἡλίου. Αὐτὸ τὸ ἀστέρι ὅμως ἐνίκησε μὲ τὴν ὑπερβολικὴν λαμπρότητά του τὰς ἀκτῖνας τοῦ ἡλίου καὶ ἀπεδείχθη φωτεινότερον ἀπὸ ἐκείνας καὶ ἔλαμψε περισσότερον μέσα εἰς

πάλιν κρύπτεσθαι. Τὴν μὲν γὰρ ἕως Παλαιστίνης ὁδὸν ἐφαίνετο χειραγωγῶν· ἐπειδὴ δὲ ἀπέβησαν τῶν Ἱεροσολύμων, ἔκρυψεν ἑαυτόν· εἶτα πάλιν ὅτε τὸν Ἡρώδην ἀφέντες, διδάξαντες αὐτὸν ὑπὲρ ὧν ἦλθον, ἔμελλον ἀπιέναι, δείκνυσιν ἑαυτόν· ὅπερ οὐκ ἔστιν ἄστρου κινήσεως, ἀλλὰ δυνάμεώς τινος λογικωτάτης. Οὐδὲ γὰρ ἰδίαν τινὰ πορείαν εἶχεν, ἀλλ' ὅτε μὲν ἔδει βαδίσαι αὐτούς, ἐβάδιζεν· ὅτε δὲ στῆναι, ἵστατο, πρὸς τὸ δέον πάντα οἰκονομῶν· καθάπερ ὁ στῦλος τῆς νεφέλης, καὶ καθίζων καὶ ἐγείρων τὸ στρατόπεδον τῶν Ἰουδαίων, ἡνίκα ἐχρῆν.

Τέταρτον, ἀπὸ τοῦ τρόπου τῆς δείξεως τοῦτο ἄν τις καταμάθοι σαφῶς. Οὐ γὰρ ἄνω μένων τὸν τόπον ἐδείκνυ· οὐδὲ γὰρ δυνατὸν ἦν αὐτοῖς οὕτω μαθεῖν· ἀλλὰ κάτω καταβὰς τοῦτο ἐποίει. Ἴστε γάρ, ὅτι τόπον οὕτω μικρόν, καὶ ὅσον εἰκὸς καλύβην κατασχεῖν, μᾶλλον δὲ ὅσον εἰκὸς σῶμα παιδίου μικροῦ κατέχειν, οὐχ οἷόν τε ἀστέρα γνωρίζειν. Ἐπειδὴ γὰρ ἄπειρον τὸ ὕψος, οὐκ ἤρκει οὕτω στενὸν τόπον χαρακτηρίσαι καὶ γνωρίσαι τοῖς βουλομένοις ἰδεῖν. Καὶ τοῦτο ἀπὸ τῆς σελήνης ἴδοι τις ἂν ἣ τοσοῦτον ὑπερφερὴς οὖσα τῶν ἄστρων, πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην οἰκοῦσι, καὶ εἰς τοσοῦτον πλάτος γῆς ἐκκεχυμένοις, ἅπασιν ἐγγὺς εἶναι δοκεῖ. Πῶς οὖν ὁ ἀστήρ, εἰπέ μοι, τόπον οὕτω στενὸν φάτνης καὶ καλύβης ἐδείκνυ, εἰ μὴ τὸ ὑψηλὸν ἐκεῖνο ἀφεὶς κάτω κατέβη, καὶ ὑπὲρ αὐτῆς ἔστη τῆς κεφαλῆς τοῦ παιδίου; Ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν· «Ἰδοὺ ὁ ἀ-

---

1. Ἐξοδ. κεφ. 13 Ἀριθμ. κεφ. 9

τὸ τόσον φῶς. Τρίτον ἀποδεικτικὸν στοιχεῖον εἶναι ὅτι ἐκρύπτετο καὶ ἐφαίνετο πάλιν. Διότι ἐφαίνετο καὶ ὡδηγοῦσε τοὺς μάγους κατὰ τὴν πορείαν των μέχρι τῆς Παλαιστίνης. Ὅταν ἔφθασαν ὅμως εἰς τὰ Ἱεροσόλυμα, ἐκρύφθη. Ἔπειτα ἐφανερώθη πάλιν, ὅταν ἐπρόκειτο νὰ ἀναχωρήσουν, ἀφοῦ ἀνεκοίνωσαν εἰς τὸν Ἡρώδην τὴν αἰτίαν τῆς ἀφίξεώς των καὶ τὸν ἀπεχαιρέτησαν. Αὐτὰ ἀποδεικνύουν ὅτι δὲν πρόκειται διὰ κίνησιν ἄστρου, ἀλλά διὰ κίνησιν κάποιας πολὺ λογικῆς δυνάμεως. Διότι δὲν εἶχε κάποιαν μόνιμον πορείαν, ἀλλὰ ἐκινεῖτο ὅταν ἔπρεπε νὰ κινῆται, ἐσταματοῦσεν ὅταν ἔπρεπε νὰ σταματᾷ καὶ ἐρύθμιζε τὰ πάντα ὅπως ἔπρεπε, ὅπως ἡ στήλη τῆς νεφέλης, ποὺ ἐσταματοῦσε ἢ ἔκαμνε τὸ στρατόπεδον τῶν Ἰουδαίων νὰ ξεκινήσῃ, ὁπότε ἐχρειάζετο [1].

Τέταρτον στοιχεῖον, ἀπὸ τὸ ὁποῖον ἠμπορεῖ κανεὶς νὰ γνωρίσῃ καλῶς τὰ πράγματα, εἶναι ὁ τρόπος, μὲ τὸν ὁποῖον τοὺς ὡδηγοῦσε. Διότι δὲν τοὺς ὡδηγοῦσεν ἀπὸ τὸν οὐρανόν. Διότι δὲν ἦτο δυνατὸν νὰ κατατοπίζωνται αὐτοὶ μὲ αὐτὸν τὸν τρόπον. Ἀλλὰ κατέβαινε χαμηλὰ καὶ τοὺς ὡδηγοῦσε. Διότι γνωρίζετε καλῶς ὅτι δὲν εἶναι δυνατὸν νὰ κάμῃ ἕνα ἀστέρι γνωστὸν ἕνα τόπον τόσον μικρόν, ὅσον εἶναι ὀρθὸν νὰ κατέχῃ μία καλύβη ἢ μᾶλλον ὅσον εἶναι λογικὸν νὰ κατέχῃ τὸ σῶμα ἑνὸς νηπίου. Ἐπειδὴ λοιπὸν τὸ ὕψος τοῦ ἀστέρος εἶναι πολὺ μεγάλον, δὲν ἦτο δυνατὸν νὰ ἐπισημάνῃ καὶ νὰ κάμῃ γνωστὸν εἰς τοὺς ἐπιθυμοῦντας νὰ ἰδοῦν ἕνα τόσον μικρὸν τόπον. Αὐτὸ εἶναι δυνατὸν νὰ τὸ ἀντιληφθῇ κανεὶς καὶ ἀπὸ τὴν σελήνην, ἡ ὁποία, ἂν καὶ εἶναι πολὺ μεγαλυτέρα ἀπὸ τὰ ἄστρα, δίδει τὴν ἐντύπωσιν εἰς ὅλους τοὺς κατοίκους τῆς γῆς, ποὺ εἶναι διασκορπισμένοι εἰς ὅλην τὴν ἐπιφάνειαν τῆς γῆς, ὅτι εὑρίσκεται κοντά των. Εἰπέ μου, λοιπόν, πῶς θὰ ἔδειχνε τὸ ἀστέρι ἕνα τόπον μικρὸν ὅσον μία φάτνη καὶ μία καλύβη, ἂν δὲν ἄφηνε τὸ ὕψος ἐκεῖνο καὶ δὲν κατέβαινε κάτω καὶ δὲν ἐσταματοῦσεν ἀκριβῶς ἐπάνω ἀπὸ τὴν κεφαλὴν τοῦ παιδιοῦ; Τοῦτο ἀσφαλῶς ὑπονοοῦσε καὶ ὁ Εὐαγγελιστὴς ὅταν ἔλεγεν·

στὴρ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον».

Ὁρᾷς δι' ὅσων δείκνυται οὐ τῶν πολλῶν εἷς ὢν οὗτος ὁ ἀστήρ, οὐδὲ κατὰ τὴν ἀκολουθίαν τῆς ἔξω γενέσεως δεικνὺς ἑαυτόν;

3. Καὶ τίνος ἕνεκεν ἐφάνη; Ὥστε καθικέσθαι τῆς Ἰουδαίων ἀναισθησίας, καὶ πᾶσαν αὐτοῖς ἀποκλεῖσαι ἀπολογίας ἀφορμὴν ἀγνωμονοῦσιν. Ἐπειδὴ γὰρ ὁ παραγενόμενος, τὴν μὲν παλαιὰν ἀναπεύειν ἔμελλε πολιτείαν, τὴν δὲ οἰκουμένην εἰς τὴν αὐτοῦ προσκύνησιν καλεῖν, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ προσκυνεῖσθαι πάσῃ, ἐκ προοιμίων εὐθέως τοῖς ἔθνεσιν ἀνοίγει τὴν θύραν, διὰ τῶν ἀλλοτρίων τοὺς οἰκείους παιδεῦσαι θέλων. Ἐπειδὴ γὰρ τῶν προφητῶν συνεχῶς ἀκούοντες λεγόντων περὶ τῆς αὐτοῦ παρουσίας, οὐ σφόδρα προσεῖχον, ἐποίησε καὶ βαρβάρους ἐλθεῖν ἀπὸ γῆς μακρᾶς, τὸν παρ' αὐτοῖς βασιλέα ἐπιζητοῦντας, καὶ παρὰ Περσικῆς πρώτης φωνῆς μανθάνουσιν, ἃ παρὰ τῶν προφητῶν μαθεῖν οὐκ ἠνέσχοντο· ἵνα, ἂν μὲν εὐγνωμονῶσι, μεγίστην ἔχωσι τοῦ πείθεσθαι πρόφασιν· ἐὰν δὲ φιλονεικῶσι, πάσης ὦσιν ἀπεστερημένοι λοιπὸν ἀπολογίας. Τί γὰρ ἂν ἔχοιεν εἰπεῖν, μὴ δεξάμενοι τὸν Χριστὸν μετὰ τοὺς τοσούτους προφήτας, ὅταν ἴδωσι μάγους ἀπὸ ὄψεως ἑνὸς ἄστρου τοῦτο δεξαμένους, καὶ προσκυνήσαντες τὸν φανέντα; Ὅπερ οὖν ἐπὶ τῶν Νινευϊτῶν ἐποίησε, πέμψας τῶν Ἰωνᾶν, καὶ ὅπερ ἐπὶ τῆς Σαμαρείτιδος καὶ τῆς Χαναναίας, τοῦτο καὶ ἐπὶ τῶν μάγων. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι»· καί, «Βασίλισσα νότου ἀναστήσεται, καὶ κατακρινεῖ

---

1. Ματθ. 12, 41 - 42

«Ἰδοὺ ὁ ἀστὴρ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον».

Βλέπεις μὲ πόσα ἀποδεικνύεται ὅτι τὸ ἄστρον αὐτὸ δὲν ἦτο ἕνα ἀπὸ τὰ πολλὰ καὶ ὅτι δὲν ἐφαίνετο νὰ ἀκολουθῇ τὴν φυσικὴν τάξιν;

3. Ἀλλὰ διατί ἐφάνη; Διὰ νὰ καυτηριάσῃ τὴν ἀναισθησίαν τῶν Ἰουδαίων καὶ νὰ τοὺς ἀφαιρέσῃ κάθε ἴχνος δικαιολογίας διὰ τὴν ἀπιστίαν των. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο, αὐτὸς ποὺ ἦλθεν ἀπὸ τοὺς οὐρανοὺς νὰ δώσῃ τέλος εἰς τὸν παλαιὸν τρόπον ζωῆς καὶ νὰ καλέσῃ τὴν οἰκουμένην νὰ τὸν προσκυνήσῃ καὶ νὰ τὸν λατρεύσῃ εἰς ὅλην τὴν ξηρὰν καὶ τὴν θάλασσαν, ἤνοιξεν ἐξ ἀρχῆς τὴν θύραν δι' ὅλους τοὺς ἀνθρώπους, ἐπειδὴ ἤθελε νὰ παραδειγματίσῃ τοὺς ἰδικούς του διὰ τῶν ξένων. Ἐπειδὴ δηλαδή, ἂν καὶ ἤκουαν συνεχῶς τοὺς προφήτας ποὺ ὡμιλοῦσαν διὰ τὴν ἐνανθρώπησίν του, δὲν ἔδιδαν τὴν ἀπαιτουμένην σημασίαν, ἔκαμε νὰ ἔλθουν καὶ βάρβαροι ἀπὸ χώραν μακρινὴν καὶ νὰ ἀναζητοῦν τὸν βασιλέα ποὺ εὑρίσκετο κοντά των καὶ ἐπληροφορήθησαν πρῶτα ἀπὸ περσικὴν φωνὴν ἐκεῖνα, τὰ ὁποῖα δὲν ἠθέλησαν νὰ μάθουν ἀπὸ τοὺς προφήτας, ὥστε, ἂν τὸν ἀκολουθήσουν, νὰ ἔχουν σοβαρώτατον στοιχεῖον ὅτι ἐπείσθησαν διὰ τὴν παρουσίαν του. Ἂν ἀντιθέτως τὸν ἀντιμετωπίσουν μὲ ἐχθρότητα, νὰ μὴ ἔχουν καμμίαν δικαιολογίαν. Διότι ποίαν δικαιολογίαν θὰ ἔχουν νὰ παρουσιάσουν, ἂν δὲν πιστεύσουν εἰς τὸν Χριστὸν μετὰ ἀπὸ τόσας προφητείας, ὅταν ἰδοῦν ὅτι οἱ μάγοι ἐπείσθησαν ἐπειδὴ εἶδαν ἕνα ἀστέρι καὶ ἦλθαν καὶ ἐπροσκύνησαν τὸν νεογέννητον; Ἐνήργησε λοιπὸν καὶ εἰς τὴν περίπτωσιν τῶν μάγων ὅπως εἰς τὴν περίπτωσιν τῶν Νινευϊτῶν, ποὺ τοὺς ἔστειλε τὸν Ἰωνᾶν, καὶ ὅπως εἰς τὴν περίπτωσιν τῆς Σαμαρείτιδος καὶ τῆς Χαναναίας. Διὰ τοῦτο εἶπεν «Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι». Καί· «Βασίλισσα νότου ἀναστήσεται καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην»[1]. Διότι ἐκεῖνοι μὲν ἐπίστευσαν εἰς

τὴν γενεὰν ταύτην»· ὅτι ἐκεῖνοι μὲν τοῖς ἐλάττοσιν ἐπίστευσαν, οὗτοι δὲ οὐδὲ τοῖς μείζοσι.

Καὶ τίνος ἕνεκεν διὰ τοιαύτης αὐτοὺς εἵλκυσεν ὄψεως; φησίν.

Ἀλλὰ πῶς ἐχρῆν; Προφήτας πέμψαι; Ἀλλ' οὐκ ἂν οἱ μάγοι προφητῶν ἠνέσχοντο. Ἀλλὰ φωνὴν ἄνωθεν ἀφεῖναι; Ἀλλ' οὐκ ἂν προσέσχον. Ἀλλ' ἄγγελον ἀποστεῖλαι; Ἀλλὰ καὶ τοῦτον ἂν παρέδραμον. Διὰ δὴ τοῦτο πάντα ἐκεῖνα ἀφεὶς ὁ Θεός, διὰ τῶν συνήθων αὐτοὺς καλεῖ, σφόδρα συγκαταβαίνων, καὶ δείκνυσιν ἄστρον μέγα καὶ ἐξηλλαγμένον, ὥστε καὶ τῷ μεγέθει καὶ τῷ κάλλει τῆς ὄψεως αὐτοὺς ἐκπλῆξαι, καὶ τῷ τρόπῳ τῆς πορείας. Ταῦτα καὶ ὁ Παῦλος μιμούμενος ἀπὸ βωμοῦ τοῖς Ἕλλησι διαλέγεται, καὶ ποιητῶν παράγει μαρτυρίας εἰς μέσον· καὶ μετὰ περιτομῆς τοῖς Ἰουδαίοις δημηγορεῖ, καὶ ἀπὸ θυσιῶν πρὸς τοὺς ἐν νόμῳ ζῶντας τὴν ἀρχὴν ποιεῖται τῆς διδασκαλίας. Ἐπειδὴ γὰρ ἑκάστῳ τὰ συνήθη φίλα, καὶ ὁ Θεὸς καὶ οἱ παρ' αὐτοῦ πεμφθέντες ἄνθρωποι πρὸς τὴν τῆς οἰκουμένης σωτηρίαν οὕτω τὰ πράγματα μεταχειρίζουσι.

Μὴ τοίνυν ἀνάξιον εἶναι νομίσῃς αὐτοῦ, τὸ δι' ἀστέρος αὐτοὺς καλέσαι· ἐπεὶ οὕτω καὶ τὰ Ἰουδαϊκὰ πάντα διαβαλεῖς, καὶ τὰς θυσίας, καὶ τοὺς καθαρμούς, καὶ τὰς νεομηνίας, καὶ τὴν κιβωτόν, καὶ τὸν ναὸν δὲ αὐτόν. Καὶ γὰρ ἐξ Ἑλληνικῆς ταῦτα παχύτητος ἔλαβε τὴν ἀρχήν. Ἀλλ' ὅμως ὁ Θεὸς διὰ τὴν τῶν πλανηθέντων σωτηρίαν ἠνέσχετο διὰ τούτων θεραπευθῆναι, δι' ὧν οἱ ἔξωθεν δαίμονας ἐθεράπευον, μικρὸν παραλλάξας αὐτά· ἵνα αὐτοὺς κατὰ μικρὸν τῆς συνηθείας ἀποσπάσας ἐπὶ τὴν ὑψηλὴν ἀγάγῃ φιλοσοφίαν. Ὃ δὴ καὶ ἐπὶ τῶν μάγων ἐποίησε, δι' ὄψεως ἄστρου καλέσαι αὐτοὺς ἀνασχόμενος, ἵνα λοιπὸν ὑψηλοτέρους ἐργάσηται. Ἐπεὶ οὖν ἤγαγε καὶ ἐχειραγώγησε, καὶ πρὸς

τὰ μικρότερα, ἐνῷ αὐτοὶ δὲν ἐπίστευσαν οὔτε εἰς τὰ μεγαλύτερα.

'Αλλὰ διατί, λέγει, τοὺς προσείλκυσε μὲ θέαμα αὐτοῦ τοῦ εἴδους;

'Αλλὰ πῶς ἔπρεπε; Νὰ τοὺς στείλῃ προφήτας; Ἦσαν μάγοι καὶ δὲν θὰ παρεδέχοντο τοὺς προφήτας. Νὰ τοὺς ὁμιλήσῃ ἀπὸ τὸν οὐρανόν; Δὲν θὰ ἔδιδαν σημασίαν. Νὰ ἀποστείλῃ ἄγγελον; Καὶ αὐτὸν θὰ τὸν ἐπεριφρονοῦσαν. Διὰ τοῦτο δὲν ἐχρησιμοποίησεν ὁ Θεὸς τίποτε ἀπὸ αὐτὰ καὶ μὲ πολλὴν συγκατάβασιν τοὺς ἐπροσκάλεσε μὲ μέσον, πρὸς τὸ ὁποῖον εἶχαν ἐξοικείωσιν, καὶ τοὺς ἔδειξεν ἕνα μεγάλο καὶ ἐντελῶς διαφορετικὸ ἀστέρι, διὰ νὰ τοὺς προξενήσῃ μεγάλην ἐντύπωσιν καὶ μὲ τὸ μέγεθός του καὶ μὲ τὸ κάλλος του καὶ μὲ τὸν τρόπον τῆς κινήσεώς του. Αὐτὰ ἐμιμήθη καὶ ὁ Παῦλος καὶ ὡμίλησε πρὸς τοὺς Ἕλληνας ἀπὸ ἕνα βωμὸν καὶ ἤντλησεν ἐπιχειρήματα ἀπὸ ποιητάς. Πρὸς τοὺς Ἰουδαίους πάλιν ὁμιλεῖ ἐπικαλούμενος πρὸς διαβεβαίωσιν τὴν περιτομὴν καὶ ἀρχίζει μὲ θυσίας τὴν διδασκαλίαν του πρὸς τοὺς ζῶντας κατὰ τὸν Ἰουδαϊκὸν νόμον. Ἐπειδὴ δηλαδὴ κάθε ἄνθρωπος ἀγαπᾷ ἐκεῖνα, μὲ τὰ ὁποῖα ἔχει ἐξοικειωθῇ, τὰ χρησιμοποιοῦν καὶ ὁ Θεὸς καὶ οἱ ἄνθρωποι ποὺ ἀπέστειλε πρὸς σωτηρίαν τῆς οἰκουμένης.

Μὴ νομίσῃς λοιπὸν ὅτι θὰ ἔκρινε ταπεινωτικὸν νὰ τοὺς καλέσῃ μὲ ἀστέρι. Διότι τότε θίγεις ὅλους τοὺς Ἰουδαϊκοὺς θεσμούς, τὰς θυσίας, τοὺς καθαρμούς, τὴν πρωτομηνιάν, τὴν κιβωτόν, ἀκόμη καὶ τὸν ναὸν τὸν ἴδιον. Διότι αὐτὰ ἔχουν τὴν ἀρχήν των εἰς τὴν εἰδωλολατρικὴν θρησκείαν. Ὁ Θεὸς ὅμως, διὰ νὰ σώσῃ τοὺς παραπλανημένους, ἐδέχθη νὰ χρησιμοποιηθοῦν ὡς θεραπευτικὰ μέσα, ἀφοῦ τὰ μετέβαλεν ὀλίγον, ἐκεῖνα μὲ τὰ ὁποῖα ἐλάτρευαν τὰ εἴδωλα οἱ εἰδωλολάτραι, διὰ νὰ τοὺς ἀπομακρύνῃ σταδιακῶς ἀπὸ τὰς συνηθείας των καὶ νὰ τοὺς ὁδηγήσῃ εἰς τὴν ὑψηλὴν πίστιν. Αὐτὸ λοιπὸν ἔκαμε καὶ εἰς τὴν περίπτωσιν τῶν μάγων. Ἠνέχθη νὰ τοὺς καλέσῃ μὲ τὴν θέαν ἑνὸς ἄστρου, διὰ νὰ τοὺς ὁδηγήσῃ κατόπιν ὑψηλό-

τὴν φάτνην ἔστησεν, οὐκέτι δι' ἄστρου, ἀλλὰ δι' ἀγγέλου λοιπὸν αὐτοῖς διαλέγεται, οὕτω κατὰ μικρὸν βελτίους ἐγένοντο. Τοῦτο καὶ ἐπὶ τῶν Ἀσκαλωνιτῶν καὶ Γαζαίων ἐποίησε. Καὶ γὰρ αἱ πέντε πόλεις ἐκεῖναι, ἐπειδὴ τῆς κιβωτοῦ παραγενομένης ἐπλήγησαν καιρίαν πληγήν, καὶ ἀπαλλαγὴν οὐδεμίαν εὕρισκον τῶν ἐπικειμένων κακῶν, τοὺς μάντεις καλέσαντες καὶ ἐκκλησίαν συναγαγόντες, ἐζήτουν λύσιν εὑρεῖν τῆς θεηλάτου πληγῆς ἐκείνης. Εἶτα τῶν μάντεων εἰπόντων, ὅτι δαμάλεις ἀδαμάστους καὶ πρωτοτοκούσας ὑποζεῦξαι τῇ κιβωτῷ χρή, καὶ μηδενὸς χειραγωγοῦντος ἀφεῖναι βαδίζειν· οὕτω γὰρ ἔσται κατάδηλον, εἴτε θεήλατος ἦν ἡ πληγή, εἴτε ἐκ περιφορᾶς τινος ἡ νόσος (ἂν μὲν γάρ, φησί, τὸν ζυγὸν ὑπὸ τῆς ἀπειρίας συντρίψωσιν, ἢ πρὸς τὰς δαμάλεις μυκωμένας ἐπιστραφῶσι, συντυχία τὸ γεγενημένον ἐστίν· ἂν δὲ ὀρθὰ βαδίσωσι, καὶ οὔτε πρὸς τὸν μυκηθμὸν τῶν παιδίων πάσχουσαί τι, οὔτε ὑπὸ τῆς ἀγνοίας τῆς κατὰ τὴν ὁδόν, πλανηθῶσιν, εὔδηλον ὅτι ἡ τοῦ Θεοῦ χείρ ἐστιν ἡ ἁψαμένη τῶν πόλεων τούτων)· ἐπεὶ οὖν ταῦτα τῶν μάντεων εἰπόντων, ἐπείσθησαν οἱ τὰς πόλεις οἰκοῦντες ἐκείνας, καὶ ἐποίησαν ὡς ἐκελεύσθησαν, καὶ ὁ Θεὸς τῇ τῶν μάντεων ἠκολούθησε γνώμῃ, συγκαταβαίνων πάλιν, καὶ οὐκ ἐνόμισεν ἀνάξιον εἶναι αὐτοῦ τῶν μάντεων τὴν πρόῤῥησιν εἰς ἔργον ἐξαγαγεῖν, καὶ ποιῆσαι πιστοὺς εἶναι δοκεῖν, ἐν οἷς τότε εἰρήκασι. Καὶ γὰρ μεῖζον τὸ κατορθούμενον ἦν, τῷ καὶ αὐτοὺς τοὺς ἐναντίους μαρτυρῆσαι τῇ τοῦ Θεοῦ δυνάμει, καὶ τὴν περὶ αὐτοῦ ψῆφον τοὺς αὐτῶν διδασκάλους ἐξενεγκεῖν.

Καὶ ἕτερα δὲ πολλὰ τοιαῦτα ἴδοι τις ἂν οἰκονομοῦντα τὸν Θεόν. Καὶ γὰρ καὶ τὸ ἐπὶ τῆς ἐγγαστριμύθου τούτῳ προσέοικε

---

1. Ἡ Π.Δ. (Α' Βασ. κεφ. 6) ἀναφέρει αὐτάς· τὴν Ἄζωτον, τὴν Γάζαν, τὴν Ἀσκάλωνα, τὴν Γέθ, τὴν Ἀκκαρών.
2. Α' Βασ. κεφ. 5.
3. Α' Βασ. κεφ. 6.

τερα. Καὶ ἀφοῦ τοὺς κατηύθυνε καὶ τοὺς ὡδήγησε καὶ τοὺς ἔφερεν ἐμπρὸς εἰς τὴν φάτνην, δὲν συνεννοεῖται πλέον μαζί των διὰ τοῦ ἄστρου, ἀλλὰ δι' ἀγγέλου, καὶ ἔτσι ἔγιναν σιγὰ-σιγὰ καλύτεροι. Τὸ ἴδιο ἔκαμε καὶ μὲ τοὺς Ἀσκαλωνίτας καὶ τοὺς Γαζαίους. Ἐπειδὴ αἱ πέντε [1] ἐκεῖναι πόλεις ὑπέφεραν μεγάλα δεινὰ ὅταν ἔφθασεν ἐκεῖ ἡ κιβωτός, καὶ ἐπειδὴ δὲν εὕρισκαν τρόπον νὰ ἀπαλλαγοῦν ἀπὸ τὰ βάσανα ποὺ τοὺς ἐταλαιπωροῦσαν, ἐκάλεσαν τοὺς μάντεις, ἐσυγκέντρωσαν τὸν λαὸν καὶ ἐζητοῦσαν νὰ εὕρουν ἀπαλλαγὴν ἀπὸ τὰ θεόπεμπτα ἐκεῖνα δεινά[2]. Ὅταν εἶπαν οἱ μάντεις ὅτι πρέπει νὰ ζεύσουν εἰς τὴν κιβωτὸν ἀγύμναστα καὶ πρωτόγεννα μοσχάρια καὶ νὰ τὰ ἀφήσουν νὰ προχωροῦν χωρὶς νὰ τὰ κατευθύνῃ κανείς, διότι ἔτσι θὰ ἀποδειχθῇ πλήρως ἂν εἶναι θεόπεμπτα τὰ δεινὰ ἢ ἂν πρόκειται περὶ ἐπιδημίας (διότι, εἶπαν, ἂν συντρίψουν ἕνεκα ἀπειρίας τὸν ζυγὸν ἢ ἐπιστρέψουν πρὸς τὰ μοσχάρια των ποὺ θὰ φωνάζουν, ὀφείλονται, ὅσα συμβαίνουν, εἰς τὴν τύχην[3]. Ἂν βαδίσουν ὅμως σωστὰ καὶ δὲν ἐπηρεασθοῦν ἀπὸ τοὺς μυκηθμοὺς τῶν μοσχαριῶν των καὶ ἂν δὲν βαδίσουν μὲ ἀταξίαν ἐπειδὴ στεροῦνται πείρας, εἶναι ὁλοφάνερον ὅτι ὠργίσθη ὁ Θεὸς κατὰ τῶν πόλεων αὐτῶν). Ἐπειδὴ λοιπὸν ἐπείσθησαν οἱ κάτοικοι αὐτῶν τῶν πόλεων ἀπὸ τὰ λόγια τῶν μάντεων καὶ ἐνήργησαν ὅπως τοὺς ἐσυμβούλευσαν, ὁ Θεὸς ἔδειξε πάλιν τὴν συγκατάβασίν του, ἠκολούθησε τὴν γνώμην τῶν μάντεων καὶ δὲν ἔκρινεν ὅτι εἶναι ἀνάξιον δι' αὐτὸν νὰ ἀποδείξῃ ὀρθὰς τὰς προβλέψεις τῶν μάντεων καὶ νὰ κάμῃ νὰ θεωροῦνται ἀξιόπιστοι διὰ ὅσα εἶπαν τότε. Διότι, μὲ τὸ νὰ ὁμολογήσουν ἀκόμη καὶ οἱ ἀρνηταὶ τοῦ Θεοῦ τὴν δύναμίν του καὶ νὰ ἐκφράσουν τὴν γνώμην των περὶ αὐτοῦ οἱ θρησκευτικοὶ καθοδηγηταὶ τοῦ λαοῦ αὐτοῦ, ἐπετυγχάνετο κάτι τὸ σπουδαιότερον.

Εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς ὅτι ὁ Θεὸς ρυθμίζει καὶ ἄλλα πολλὰ κατὰ τὸν ἴδιον τρόπον. Καὶ εἰς τὴν περίπτωσιν τῆς γυναικὸς ποὺ ἐπροφήτευσε μὲ αὐθυποβολὴν φαίνεται ὅτι ἐνήργησε κατὰ τὸν ἴδιον τρόπον, πρᾶγμα τὸ ὁποῖον θὰ ἠμπο-

τῆς οἰκονομίας τῷ τρόπῳ, ὃ καὶ ὑμεῖς λοιπὸν ἀπὸ τῶν εἰρημένων ἐπιλῦσαι δυνήσεσθε.

Τοῦ μὲν οὖν ἀστέρος ἕνεκεν παρὰ μὲν ἡμῶν ταῦτα εἴρηται, παρὰ δὲ ὑμῶν καὶ πλείονα λεχθῆναι δύναιτ' ἄν· «Δίδου» γάρ, φησί, «σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται».

4. Δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀρχὴν τῶν ἀναγνωσθέντων ἐλθεῖν. Τίς δὲ ἡ ἀρχή; «Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν ἔρχονται εἰς Ἱεροσόλυμα». Μάγοι μὲν ἀστέρον κατάρχοντος ἠκολούθησαν· οὗτοι δὲ οὐδὲ προφητῶν ἐνηχούντως ἐπίστευσαν.

Τίνος δὲ ἕνεκεν ἡμῖν καὶ τὸν χρόνον λέγει, καὶ τὸν τόπον, «Ἐν Βηθλεὲμ» εἰπών, καὶ «Ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως»; Τίνος δὲ χάριν καὶ τὸ ἀξίωμα προστίθησι; Τὸ ἀξίωμα μέν, ἐπειδὴ καὶ ἕτερος ἦν Ἡρώδης, ὁ τὸν Ἰωάννην ἀνελών· ἀλλ' ἐκεῖνος τετράρχης ἦν, οὗτος δὲ βασιλεύς. Τὸν τόπον δὲ καὶ τὸν χρόνον τίθησι, προφητείας ἡμᾶς ἀναμιμνήσκων παλαιᾶς· ὧν τὴν μὲν ὁ Μιχαίας προεφήτευσε λέγων· «Καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»· τὴν δὲ ὁ πατριάρχης Ἰακώβ, ἀκριβῶς ἡμῖν χαρακτηρίζων τὸν χρόνον, καὶ μέγα τὸ παράσημον τῆς αὐτοῦ παρουσίας τιθείς· «Οὐκ ἐκλείψει» γάρ, φησίν, «ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν». Ἄξιον δὲ κἀκεῖνο ζητῆσαι, πόθεν εἰς τοιαύτην ἦλθον ἔννοιαν, καὶ τίς αὐτοὺς εἰς τοῦτο διήγειρεν. Οὐ γὰρ δὴ τοῦ ἀστέρος ἐμοὶ δοκεῖ τὸ ἔργον εἶναι μόνον, ἀλλὰ καὶ τοῦ Θεοῦ τοῦ τὴν ψυχὴν αὐτῶν κινήσαντος· ὅπερ καὶ ἐπὶ Κύρου πεποίη-

---

1. Α' Βασ. κεφ. 28
2. Παρμ. 9,9
3. Μιχ. 5,2
4. Γεν. 49,10
5. Βλ. Ὁμιλίαν Δ' παράγρ. β'. Ὁ Κῦρος ἐξέδωσε τὸ ἑξῆς διάταγμα: «Ἔδωκέ μοι Κύριος, ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆ-

ρέσετε βεβαίως νὰ ἑρμηνεύσετε ἔπειτα ἀπὸ ὅσα ἠκούσατε[1].

Αὐτὰ λοιπὸν εἶχα νὰ εἰπῶ ἐγὼ διὰ τὴν αἰτίαν τῆς ἐμφανίσεως τοῦ ἀστέρος, ἐσεῖς δὲ θὰ ἠμπορούσατε νὰ εἰπῆτε περισσότερα. «Δίδου γάρ», λέγει, «σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται» [2].

4. Πρέπει τώρα νὰ ἐξετάσωμεν τὴν ἀρχὴν τοῦ εὐαγγελικοῦ χωρίου. Ἀλλὰ ποία εἶναι ἡ ἀρχή; «Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν ἔρχονται εἰς Ἱεροσόλυμα». Οἱ μάγοι ἀκολούθησαν τὸ ἀστέρι ποὺ τοὺς ὡδηγοῦσεν. Αὐτοὶ ἀντιθέτως δὲν ἐπίστευσαν οὔτε εἰς τοὺς προφήτας ποὺ τοὺς ἐδίδασκαν.

Ἀλλὰ διατί μᾶς ἀναφέρει καὶ τὸν χρόνον καὶ τὸν τόπον μὲ τὰς λέξεις «Ἐν Βηθλεὲμ» καὶ «ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως»; Καὶ διατί προσθέτει καὶ τὸ ἀξίωμά του; Προσθέτει τὸ ἀξίωμά του, ἐπειδὴ ὑπῆρχε καὶ ἄλλος Ἡρώδης, ἐκεῖνος ποὺ ἀπεκεφάλισε τὸν Ἰωάννην. Ἐκεῖνος ὅμως ἦτο τετράρχης, ἐνῷ αὐτὸς ἦτο βασιλεύς. Μᾶς ἀναφέρει δὲ τὸν τόπον καὶ τὸν χρόνον, διὰ νὰ μᾶς ὑπενθυμίσῃ παλαιὰς προφητείας. Ἀπὸ αὐτὰς ἡ μία εἶναι τοῦ Μιχαία, ποὺ εἶπε· «Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»[3]. Ἡ ἄλλη τοῦ πατριάρχου Ἰακώβ, ποὺ μᾶς καθορίζει μὲ ἀκρίβειαν τὸν χρόνον καὶ δίδει σπουδαῖον χαρακτηριστικὸν τοῦ χρόνου τῆς γεννήσεως τοῦ Χριστοῦ. Λέγει «Οὐκ ἐκλείψει γὰρ ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν»[4]. Καὶ ἀξίζει νὰ ἐρευνήσωμεν καὶ τὸ ἑξῆς· Ἀπὸ τί τὸ ἐκατάλαβαν οἱ μάγοι καὶ ποῖος τοὺς παρεκίνησε; Διότι ἔχω τὴν γνώμην ὅτι αὐτὸ δὲν εἶναι μόνον ἔργον τοῦ ἀστέρος, ἀλλὰ καὶ τοῦ Θεοῦ, ὁ ὁποῖος ἐκίνησε τὴν ψυχήν των. Τὸ ἴδιο ἔκαμε καὶ εἰς τὸν Κῦρον [5], ὅταν τὸν προη-

---

σαι οἶκον αὐτῷ ἐν Ἱερουσαλὴμ ἐν τῇ Ἰουδαίᾳ. Τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ; Ἔσται Θεὸς αὐτοῦ μετ' αὐτοῦ καὶ ἀναβήτω». Β', Παραλειπ. 36,23. Πρόκειται περὶ Κύρου τοῦ Α' (556 - 528)

κε, παρασκευάζων αὐτὸν ἀφεῖναι τοὺς Ἰουδαίους. Οὐχ οὕτω μέντοι τοῦτο εἰργάσατο, ὥστε τὸ αὐτεξούσιον λυμήνασθαι· ἐπεὶ καὶ Παῦλον καλέσας ἄνωθεν διὰ φωνῆς, καὶ τὴν αὐτοῦ χάριν καὶ τὴν ἐκείνου ὑπακοὴν δήλην ἐποίησε.

Καὶ τίνος ἕνεκεν μὴ πᾶσι τοῖς μάγοις τοῦτο, φησίν, ἀπεκάλυψεν;

Ὅτι οὐδὲ πάντες πιστεύειν ἔμελλον, ἀλλ' οὗτοι τῶν ἄλλων ἦσαν ἐπιτηδειότεροι· ἐπεὶ καὶ μυρία ἔθνη ἀπώλοντο, καὶ Νινευίταις ὁ προφήτης ἐπέμπετο μόνοις, καὶ δύο ἦσαν λῃσταὶ ἐν τῷ σταυρῷ καὶ ὁ εἷς διεσώθη μόνος. Ὅρα γοῦν τούτων τὴν ἀρετήν, οὐκ ἀφ' ὧν ἦλθον, ἀλλὰ καὶ ἀφ' ὧν παῤῥησιάζονται. Καὶ γὰρ ἵνα μὴ δόξωσιν ὑποβολιμαῖοί τινες εἶναι, λέγουσι τὸν ὁδηγήσαντα, καὶ τῆς ὁδοῦ τὸ μῆκος, καὶ τὴν παῤῥησίαν ἐλθόντες ἐνδείκνυνται· «Ἤλθομεν γάρ», φησί, «προσκυνῆσαι αὐτῷ»· καὶ οὔτε τοῦ δήμου τὸν θυμόν, οὔτε τοῦ βασιλέως τὴν τυραννίδα ἐδεδοίκεσαν. Ὅθεν ἔμοιγε δοκοῦσιν οὗτοι καὶ οἴκοι διδάσκαλοι γενέσθαι τῶν ἐγχωρίων. Οἱ γὰρ ἐνταῦθα μὴ παραιτησάμενοι τοῦτο εἰπεῖν, πολλῷ μᾶλλον εἰς τὴν αὐτῶν ἐπαῤῥησιάσαντο, ἅτε καὶ τὸν χρησμὸν τὸν παρὰ τοῦ ἀγγέλου λαβόντες, καὶ τὴν παρὰ τοῦ προφήτου μαρτυρίαν.

«Ἀκούσας δὲ Ἡρώδης», φησίν, «ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ». Ὁ μὲν Ἡρώδης εἰκότως, ἅτε βασιλεὺς ὤν, καὶ δεδοικὼς ὑπέρ τε ἑαυτοῦ καὶ τῶν παίδων· τὰ δὲ Ἱεροσόλυμα τίνος ἕνεκεν; Καίτοι σωτῆρα, καὶ εὐεργέτην, καὶ ἐλευθερωτὴν ἄνωθεν αὐτὸν οἱ προφῆται προὔλεγον. Τίνος οὖν ἕνεκεν ἐταράχθησαν; Ἀπὸ τῆς αὐτῆς γνώμης, ἀφ' ἧς καὶ ἔμπροσθεν τὸν Θεὸν εὐεργετοῦντα ἀπεστρέφοντο, καὶ τῶν Αἰγυπτιακῶν ἐμέμνηντο κρεῶν, τοσαύτης ἀπολαύοντες ἐλευθερίας.

---

1. Πράξ. κεφ. 9

τοίμαζε νὰ ἀφήσῃ ἐλευθέρους τοὺς Ἰουδαίους. Δὲν ἐνήργησεν ὅμως κατὰ τρόπον ποὺ νὰ περιορίσῃ τὴν ἐλευθέραν βούλησίν των. Καὶ ὅταν ἐκάλεσε τὸν Παῦλον ἀπὸ τὸν οὐρανὸν διὰ φωνῆς, ἔδειξε καὶ τὴν ἰδικήν του συγκατάβασιν καὶ τὴν ὑπακοὴν τοῦ Παύλου [1].

Ἀλλὰ διατί, λέγει, δὲν τὸ ἀπεκάλυψεν εἰς ὅλους τοὺς μάγους;

Διότι δὲν ἐπρόκειτο νὰ πιστεύσουν ὅλοι καὶ διότι αὐτοὶ ἦσαν οἱ καταλληλότεροι ἀπὸ ὅλους. Διὰ τοῦτο ἐχάθησαν χιλιάδες ἔθνη, ἀλλὰ μόνον εἰς τοὺς Νινευίτας ἔστειλεν ὁ Θεὸς προφήτην· καὶ οἱ σταυρωμένοι λησταὶ ἦσαν δύο, ἀλλὰ ἐσώθη ὁ ἕνας μόνον. Πρόσεξε ὅμως τὴν ἀρετὴν τῶν δύο αὐτῶν μάγων, ποὺ φαίνεται ὄχι μόνον ἐπειδὴ ἦλθαν, ἀλλὰ καὶ ἐπειδὴ ὁμιλοῦν μὲ κάθε εἰλικρίνειαν. Διὰ νὰ μὴ νομισθῇ ὅτι ψεύδονται, λέγουν ποῖος τοὺς ὡδήγησε καὶ ἀπὸ πόσον μεγάλην ἀπόστασιν ἦλθαν καί, μόλις ἔφθασαν, ἔδειξαν τὴν εἰλικρίνειάν των. «Ἤλθομεν γάρ», λέγει, «προσκυνῆσαι αὐτῷ». Καὶ δὲν ἐφοβήθησαν οὔτε τοῦ λαοῦ τὴν ὀργὴν οὔτε τὴν δύναμιν τοῦ βασιλέως. Νομίζω λοιπὸν ὅτι καὶ εἰς τὴν πατρίδα των ἐκήρυξαν τὰ ἴδια εἰς τοὺς συμπατριώτας των. Διότι, ἀφοῦ δὲν παρέλειψαν νὰ τὰ εἰποῦν ἐδῶ, θὰ τὰ εἶπαν πολὺ περισσότερον ἐλεύθερα εἰς τὴν πατρίδα των, ἀφοῦ μάλιστα ἐπληροφορήθησαν καὶ διὰ τὴν ἐπίσκεψιν τοῦ ἀγγέλου εἰς τὴν Μαρίαν καὶ διὰ τὰς προφητείας.

«Ἀκούσας δέ», λέγει, «ὁ Ἡρώδης, ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ». Ὁ Ἡρώδης εὐλόγως ἀνησύχησεν, ἐπειδὴ ἦτο βασιλεὺς καὶ ἐφοβεῖτο καὶ διὰ τὸν ἑαυτόν του καὶ διὰ τοὺς ἀπογόνους του. Ἀλλὰ τὰ Ἱεροσόλυμα διατί ἀνησύχησαν; Ἀφοῦ μάλιστα οἱ προφῆται ὡμιλοῦσαν πρὸ πολλοῦ δι' αὐτὸν ὡς σωτῆρα καὶ εὐεργέτην καὶ ἐλευθερωτήν. Διατί λοιπὸν ἀνησύχησαν; Διότι εἶχαν τὴν ἰδίαν νοοτροπίαν, ἕνεκα τῆς ὁποίας δὲν ἐλάτρευαν τὸν Θεὸν καὶ παλαιότερα τὴν ὥραν ποὺ τοὺς εὐεργετοῦσεν, ἀλλά, ἐνῷ τοὺς εἶχε χαρίσει τὴν ἐλευθερίαν των, αὐτοὶ ἐνοσταλγοῦσαν τὰ κρέατα τῆς Αἰγύπτου.

Σὺ δέ μοι σκόπει τῶν προφητῶν τὴν ἀκρίβειαν. Καὶ γὰρ καὶ αὐτὸ τοῦτο προανεφώνησεν ὁ προφήτης ἄνωθεν λέγων· «Θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι· ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν». Ἀλλ' ὅμως ταραχθέντες, οὐ ζητοῦσι τὸ συμβὰν ἰδεῖν, οὐδὲ τοῖς μάγοις ἀκολουθοῦσι καὶ περιεργάζονται· οὕτως ὁμοῦ καὶ φιλόνεικοι καὶ ῥᾴθυμοι μάλιστα πάντων ἦσαν. Δέον γὰρ αὐτοὺς καὶ ἐγκαλλωπίζεσθαι, ὅτι παρ' αὐτοῖς ὁ βασιλεὺς ἐτέχθη, καὶ τὴν Περσῶν εἵλκυσε χώραν, καὶ μέλλουσιν ἔχειν ἅπαντας ὑποχειρίους, ἅτε τῶν πραγμάτων ἐπὶ τὸ βέλτιον προελθόντων, καὶ ἀπὸ προοιμίου λαμπρᾶς οὕτω τῆς ἀρχῆς γενομένης, οἱ δὲ οὐδὲ ταύτῃ γίνονται ἀμείνους. Καίτοι ἄρτι τῆς αἰχμαλωσίας ἦσαν τῆς ἐκεῖθεν ἀπαλλαγέντες· καὶ εἰκὸς ἦν αὐτοὺς ἐννοεῖν, εἰ καὶ μηδὲν τῶν ἀποῤῥήτων καὶ ὑψηλῶν ᾔδεσαν, ἀλλ' ἀπὸ τῶν παρόντων ἐψηφίσαντο μόνον, ὅτι εἰ τεχθέντα οὕτω τρέμουσιν ἡμῶν τὸν βασιλέα, πολλῷ μᾶλλον αὐξηθέντα φοβηθήσονται, καὶ ὑπακούσουσι καὶ τῶν βαρβαρικῶν ἔσται λαμπρότερα τὰ ἡμέτερα. Ἀλλ' οὐδὲν τούτων αὐτοὺς διανίστησι· τοσαύτη ἦν αὐτῶν ἡ νωθεία, μετὰ ταύτης δὲ καὶ ἡ βασκανία· ἅπερ ἀμφότερα δεῖ μετὰ ἀκριβείας ἐξορίζειν τῆς ἡμετέρας διανοίας, καὶ πυρὸς εἶναι σφοδρότερον τὸν μέλλοντα ἐπὶ τῆς τοιαύτης παρατάξεως ἵστασθαι. Διὸ καὶ ὁ Χριστὸς ἔλεγε· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· καὶ ἤθελον εἰ ἤδη ἀνήφθη». Καὶ τὸ Πνεῦμα διὰ τοῦτο ἐν πυρί φαίνεται.

5. Ἀλλ' ἡμεῖς τέφρας ψυχρότεροι γεγόναμεν, καὶ τῶν τεθνηκότων νεκρότεροι· καὶ ταῦτα Παῦλον ὁρῶντες ὑπὲρ τὸν οὐρανὸν ἱπτάμενον, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ φλογὸς ἁπάσης σφοδρότερον ἅπαντα νικῶντα καὶ ὑπερβαίνοντα, τὰ κάτω, τὰ ἄνω, τὰ παρόντα, τὰ μέλλοντα, τὰ ὄντα, τὰ οὐκ ὄντα. Εἰ δὲ

---

1. Ἠσ. 9,5 - 6
2. Λουκᾶ 12,49

Σὲ παρακαλῶ νὰ προσέξῃς τὴν ἀκρίβειαν τῶν προφητειῶν. Διότι καὶ αὐτὸ τὸ εἶπε παλαιότερα ὁ προφήτης μὲ τὰ ἑξῆς λόγια· «Θελήσουσιν, εἰ ἐγεννήθησαν πυρίκαυστοι· ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν»[1]. Ἐπειδὴ ὅμως ἐταράχθησαν δὲν ἐζήτησαν νὰ ἰδοῦν αὐτὸ ποὺ συνέβη, οὔτε ἠκολούθησαν τοὺς μάγους οὔτε ἐνδιαφέρον ἔδειξαν. Τόσον πολὺ ἦσαν στριφνοὶ καὶ ἀδιάφοροι συγχρόνως. Κανονικῶς ἔπρεπε νὰ ὑπερηφανεύωνται, διότι ὁ βασιλεὺς ἐγεννήθη εἰς τὴν πατρίδα των καὶ ἀπέσπασε τὴν προσοχὴν τῆς Περσίας καὶ ἐπρόκειτο νὰ ἔχουν τοὺς πάντας ὑπὸ τὴν ἐξουσίαν των, ἀφοῦ ἡ κατάστασις ἐβελτιώθη καὶ ἤρχισαν εὐθὺς ἐξ ἀρχῆς τόσον λαμπρά. Αὐτοὶ ὅμως παρ' ὅλα αὐτὰ δὲν ἐβελτιώθησαν. Ἂν καὶ εἶχαν ἀπαλλαγῆ προσφάτως ἀπὸ τὴν αἰχμαλωσίαν, καὶ ἔπρεπε, καὶ ἂν ἀκόμη δὲν ἐγνώριζαν τίποτε ἀπὸ τὰ μυστηριώδη καὶ ὑψηλά, ἀλλὰ ἔκριναν μὲ μόνην βάσιν τὰ παρόντα, ἔπρεπε νὰ σκεφθοῦν ὅτι, ἀφοῦ τόσον τρέμουν τὸν βασιλέα ἡμῶν μόλις ἐγεννήθη, θὰ τὸν φοβηθοῦν πολὺ περισσότερον, ὅταν μεγαλώσῃ, καὶ ὅτι θὰ ὑπακούσουν καὶ ὅτι τὸ βασίλειόν μας θὰ γίνῃ λαμπρότερον ἀπὸ τῶν βαρβάρων. Τίποτε ὅμως δὲν τοὺς ἔκαμε νὰ ἀνανήψουν. Τόση ἦτο ἡ νωθρότης καὶ τόσος συγχρόνως ὁ φθόνος των. Διὰ τοῦτο πρέπει νὰ ξεριζώνωμεν μὲ σχολαστικότητα καὶ τὰ δύο αὐτὰ ἀπὸ τὴν ψυχήν μας καὶ νὰ εἶναι ἐπιθετικώτερος καὶ ἀπὸ τὴν φωτιὰν ἐκεῖνος ποὺ πρόκειται νὰ ἀντιπαραταχθῇ εἰς αὐτά. Διὰ τοῦτο εἶπε καὶ ὁ Χριστός· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· καὶ τί ἤθελον, εἰ ἤδη ἀνήφθη»[2]. Διὰ τοῦτο καὶ τὸ ἅγιον Πνεῦμα παρουσιάζεται ὡσὰν φλόγα.

5. Ἐμεῖς ὅμως ἐγίναμεν ἀναισθητότεροι ἀπὸ τὴν τέφραν καὶ νεκρότεροι ἀπὸ τοὺς νεκρούς. Καὶ συμβαίνει τοῦτο, ἂν καὶ βλέπομεν ὅτι ὁ Παῦλος ἀνέβη ἐπάνω ἀπὸ τὸν οὐρανὸν καὶ ἐπάνω ἀπὸ τὸν οὐρανὸν τοῦ οὐρανοῦ καὶ ὅτι ἐνίκησε τὰ πάντα μὲ ὁρμὴν μεγαλυτέραν ἀπὸ τῆς φωτιᾶς καὶ ὑψώθη ἐπάνω ἀπὸ ὅλα, τὰ ἐπάνω καὶ τὰ κάτω, τὰ παρόντα καὶ τὰ μέλλοντα, τὰ ὑπαρκτὰ καὶ τὰ ἀνύπαρκτα. Ἂν ἰσχυρισθῇς ὅτι εἶναι ἀνώτε-

μεῖζόν σου ἐκεῖνο τὸ ὑπόδειγμα, μάλιστα μὲν οὖν καὶ οὗτος νωθείας ὁ λόγος (τί γάρ σου πλέον εἶχεν ὁ Παῦλος, ὅτι ἀδύνατον τὸν πρὸς ἐκεῖνόν σοι φῇς εἶναι ζῆλον;)· πλὴν ἀλλ' ἵνα μὴ φιλονεικῶμεν, τὸν Παῦλον ἀφέντες, τοὺς πρώτους πιστεύσαντας ἐννοήσωμεν, οἳ καὶ χρήματα καὶ κτήματα καὶ φροντίδα καὶ σχολὴν ἅπασαν βιωτικὴν ἐξέβαλον, καὶ ὅλους ἑαυτοὺς ἐνέθηκαν τῷ Θεῷ, καθ' ἑκάστην νύκτα καὶ ἡμέραν τῇ τοῦ λόγου διδασκαλίᾳ προσεδρεύοντες. Τοιοῦτον γὰρ τὸ πῦρ τὸ πνευματικόν· οὐδεμίαν ἐπιθυμίαν ἀφίησιν ἔχειν τῶν ἐνταῦθα, ἀλλ' εἰς ἕτερον ἡμᾶς μεθίστησιν ἔρωτα. Διὰ τοῦτο ὁ τοιούτων ἐρῶν πραγμάτων, κἂν τὰ ὄντα προέσθαι δέῃ, κἂν τρυφῆς, κἂν δόξης καταγελάσαι, κἂν αὐτὴν ἐκδοῦναι τὴν ψυχήν, μετὰ πάσης εὐκολίας, ταῦτα πάντα ποιεῖ. Ἡ γὰρ τοῦ πυρὸς ἐκείνου θερμότης εἰς τὴν ψυχὴν εἰσιοῦσα, πᾶσαν ἐκβάλλει νωθείαν, καὶ πτεροῦ ποιεῖ κουφότερον τὸν ἁλόντα· καὶ πάντων τῶν ὁρωμένων ὑπερορῶν λοιπόν, ὁ τοιοῦτος ἐν κατανύξει μένει διηνεκεῖ, πηγὰς συνεχεῖς ἀφιεὶς δακρύων, καὶ πολλὴν ἐντεῦθεν καρπούμενος τὴν ἡδονήν. Οὐδὲ γὰρ οὕτως συγκολλᾷ καὶ ἑνοῖ τῷ Θεῷ, ὡς τὰ τοιαῦτα δάκρυα. Ὁ τοιοῦτος κἂν ἐν μέσαις πόλεσιν ᾖ κατοικῶν, ὡς ἐν ἐρημίᾳ διατρίβει καὶ ὄρεσι καὶ νάπαις, οὐδένα τῶν παρόντων ὁρῶν, οὐδὲ κόρον τῶν τοιούτων λαμβάνων θρήνων, ἄν τε ὑπὲρ ἑαυτοῦ, ἄν τε ὑπὲρ τῶν ἑτέροις πεπλημμελημένων δακρύῃ. Διὰ τοῦτο πρὸ τῶν ἄλλων τούτους ἐμακάριζεν ὁ Θεός,«Μακάριοι οἱ πενθοῦντες», λέγων. Καὶ πῶς ὁ Παῦλός φησι· «Χαίρετε ἐν Κυρίῳ πάντοτε»; Τὴν ἐκ τῶν δακρύων τούτων λέγων ἡδονήν. Ὥσπερ γὰρ ἡ διὰ κόσμον χαρὰ λύπην ἔχει συγκεκληρωμένην, οὕτω τὰ κατὰ Θεὸν δάκρυα χαρὰν βλαστάνει διηνεκῆ καὶ ἀμάραν-

1. Ματθ. 5,5
2. Φιλιπ. 4,4

ρον ἀπὸ τὰς δυνάμεις σου αὐτὸ τὸ πρότυπον, ὁ ἰσχυρισμός σου αὐτὸς ὀφείλεται ὁπωσδήποτε εἰς τὴν νωθρότητά σου, (διότι τί εἶχε παραπάνω ἀπὸ σὲ ὁ Παῦλος καὶ ἰσχυρίζεσαι ὅτι σοῦ εἶναι ἀδύνατον νὰ μιμηθῇς τὸν ζῆλον του;)· ἀλλά, διὰ νὰ μὴ ἀσχολούμεθα μὲ ἀμφισβητήσεις, ἂς ἀφήσωμεν τὸν Παῦλον καὶ ἂς ἐνθυμηθοῦμεν τοὺς πρώτους - πρώτους πιστούς, οἱ ὁποῖοι ἐγκατέλειψαν καὶ χρήματα καὶ κτήματα καὶ κάθε βιωτικὴν φροντίδα καὶ ἀσχολίαν, ἀφιερώθησαν ὁλοψύχως εἰς τὸν Θεὸν καὶ ἦσαν ἀφωσιωμένοι ἡμέραν καὶ νύκτα εἰς τὴν διδασκαλίαν τοῦ θείου λόγου. Διότι ἡ πνευματικὴ φλόγα ἔχει αὐτὴν τὴν ἰδιότητα Δὲν μᾶς ἀφήνει νὰ ἔχωμεν τὴν παραμικρὰν ἐπιθυμίαν διὰ τὰ γήινα, ἀλλὰ ἀναπτύσσει μέσα μας ἕνα ἄλλον ἔρωτα. Διὰ τοῦτο, ἂν χρειασθῇ νὰ ἐγκαταλείψῃ τὰ ὑπάρχοντά του, νὰ περιφρονήσῃ τὴν καλοπέρασιν καὶ τὴν δόξαν ἢ νὰ χάσῃ καὶ τὴν ζωήν του ἀκόμη ἐκεῖνος ποὺ διακατέχεται ἀπὸ τὸν πνευματικὸν αὐτὸν ἔρωτα, τὰ κάμνει ὅλα αὐτὰ μὲ κάθε εὐκολίαν. Διότι εἰσέρχεται εἰς τὴν ψυχήν του ἡ θερμότης τῆς πνευματικῆς φλόγας, διώχνει κάθε δισταγμόν του καὶ τὸν ἀνυψώνει περισσότερον ἀπὸ ὅσον τὰ πτερά. Αὐτὸς περιφρονεῖ πλέον ὅλα τὰ ὁρατά, διακατέχεται συνεχῶς ἀπὸ βαθεῖαν θρησκευτικὴν συγκίνησιν, χύνει συνεχῶς ποταμοὺς δακρύων καὶ αἰσθάνεται δι' αὐτὰ ἄπειρον ψυχικὴν ἡδονήν. Διότι δὲν ὑπάρχει τίποτε, τὸ ὁποῖον νὰ μᾶς συνδέῃ ἀρρήκτως καὶ νὰ μᾶς ἑνώνῃ μὲ τὸν Θεὸν τόσον, ὅσον τὰ δάκρυα αὐτοῦ τοῦ εἴδους. Καὶ ἂν ἀκόμη κατοικῇ μέσα εἰς πόλεις αὐτὸς ὁ ἄνθρωπος, εἶναι ὡσὰν νὰ εὑρίσκεται εἰς τὴν ἔρημον καὶ εἰς τὰ ὄρη καὶ εἰς τὰ δάση, διότι δὲν βλέπει κανένα ἀπὸ τοὺς γύρω του οὔτε χορταίνει τοὺς θρήνους αὐτούς, εἴτε θρηνεῖ διὰ τὰ ἰδικά του παραπτώματα εἴτε διὰ τὰ ξένα. Διὰ τοῦτο ὁ Θεὸς ἐμακάρισε αὐτοὺς περισσότερον ἀπὸ τοὺς ἄλλους, καὶ εἶπε· «Μακάριοι οἱ πενθοῦντες»[1]. Καὶ ὁ Παῦλος εἶπε· «Χαίρετε ἐν Κυρίῳ πάντοτε»[2]. Καὶ ἐννοοῦσε τὴν ἡδονὴν ποὺ προέρχεται ἀπὸ τὰ δάκρυα. Ὅπως δηλαδὴ ἡ χαρὰ διὰ τὰ κοσμικὰ ἀγαθὰ εἶναι στενὰ συνδεδεμένη μὲ τὴν λύπην, ἔτσι καὶ τὰ θεάρεστα δάκρυα κάμνουν

τον. Οὕτω καὶ ἡ πόρνη παρθένων ἐγένετο σεμνοτέρα, τούτῳ κατασχεθεῖσα τῷ πυρί. Ἐπειδὴ γὰρ διεθερμάνθη τῇ μετανοίᾳ, ἐξεβακχεύθη λοιπὸν τῷ περὶ τὸν Χριστὸν πόθῳ, τὰς τρίχας λύουσα, καὶ τοὺς ἁγίους βρέχουσα πόδας τοῖς δάκρυσι, καὶ ταῖς ἰδίαις αὐτοὺς ἀπομάσσουσα κόμαις, καὶ τὸ μύρον κενοῦσα. Καὶ ταῦτα μὲν ἅπαντα ἔξωθεν ἐγίνετο· τὰ δὲν ἐν τῇ διανοίᾳ τελούμενα πολλῷ τούτων θερμότερα ἦν, ἃ μόνος αὐτὸς ἔβλεπεν ὁ Θεός. Διὰ δὴ τοῦτο ἕκαστος ἀκούων, συγχαίρει τε αὐτῇ, καὶ εὐφραίνεται τοῖς ἐκείνης κατορθώμασι, καὶ πάντων ἀπαλλάττει τῶν ἐγκλημάτων αὐτήν.

Εἰ δὲ ἡμεῖς οἱ πονηροὶ ταύτην φέρομεν τὴν ψῆφον, ἐννόησον τίνος ἀπέλαυσε παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ πόσα, καὶ πρὸ τῶν τοῦ Θεοῦ δωρεῶν, ἀπὸ τῆς μετανοίας ἐκαρπώσατο ἀγαθά. Καθάπερ γὰρ ὑετοῦ καταῤῥαγέντος σφοδροῦ αἰθρία γίνεται καθαρά, οὕτω καὶ δακρύων καταφερομένων γαλήνη γίνεται καὶ εὐδία, καὶ τὸ ἐκ τῶν ἁμαρτημάτων ἀφανίζεται σκότος. Καὶ ὥσπερ ἐξ ὕδατος καὶ πνεύματος, οὕτως ἀπὸ δακρύων καὶ ἐξομολογήσεως καθαιρόμεθα πάλιν, ἂν μὴ πρὸς ἐπίδειξιν τοῦτο ποιῶμεν καὶ πρὸς φιλοτιμίαν. Τὴν γὰρ οὕτω δακρύουσαν τῆς καλλωπιζομένης καὶ ὑπογραφαῖς καὶ ἐπιτρίμμασι μᾶλλον κατηγορεῖσθαι φαίην ἂν εἶναι δίκαιον. Ἐγὼ γὰρ ἐκεῖνα ζητῶ τὰ δάκρυα τὰ μὴ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς κατάνυξιν γινόμενα· τὰ λάθρα καὶ ἐν τοῖς ταμιείοις καὶ μηδενὸς ὁρῶντος, ἀλλ' ἠρέμα καὶ ἀψοφητὶ στάζοντα· τὰ ἀπὸ βάθους διανοίας, τὰ ἐν τῷ θλίβεσθαι καὶ ὀδυνᾶσθαι τὰ διὰ τὸν Θεὸν μόνον γινόμενα, οἷα τὰ τῆς Ἄννης ἦν. «Τὰ γὰρ χείλη αὐτῆς», φησίν, «ἐκινεῖτο, καὶ ἡ φωνὴ αὐτῆς οὐκ ἠκούετο». Ἀλλὰ τὰ δάκρυα μόνα σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν. Διὰ δὴ τοῦτο καὶ τὴν μήτραν ἀνέ-

1. Τὰ περὶ αὐτῆς βλ. Λουκ. 7, 37 - 50
2. Α' Βασ. 1,13

νὰ βλαστήσῃ αἰωνία καὶ ἀμάραντη χαρά. Ἔτσι καὶ ἡ πόρνη [1], ἐπειδὴ ἐκυριεύθη ἀπὸ αὐτὴν τὴν φλόγα, ἔγινε σεμνοτέρα ἀπὸ τὰ ἁγνὰ κορίτσια. Ἐπειδὴ δηλαδὴ μετενόησε μὲ ὅλην τὴν φλόγα τῆς ψυχῆς της, ἔνοιωσεν ἔπειτα ἄπειρην ἀγάπην διὰ τὸν Χριστὸν καὶ ἔλυσε τὰ μαλλιά της, ἔβρεξε τὰ ἅγια πόδια μὲ τὰ δάκρυα, τὰ ἐσκούπισε μὲ τὰ μαλλιά της καὶ τὰ ἐρράντισε μὲ ὅσα ἀρώματα εἶχεν. Ὅλα αὐτὰ ἦσαν ἐξωτερικαὶ ἐκδηλώσεις. Ὅσα συνέβαιναν εἰς τὴν ψυχήν της, ἦσαν πολὺ θερμότερα ἀπὸ αὐτά. Αὐτὰ ὅμως τὰ ἔβλεπε μόνον ὁ Θεός. Διὰ τοῦτο ἀκριβῶς συμμετέχει εἰς τὴν χαράν της ὅποιος ἀκούει τί ἔκαμε καὶ εὐχαριστεῖται διὰ τὰ κατορθώματά της καὶ τῆς συγχωρεῖ ὅλας τὰς ἁμαρτίας της.

Ἀφοῦ ἐμεῖς οἱ σκληρόκαρδοι τὴν συγχωροῦμεν, σκέψου τί τῆς ἐχάρισεν ὁ φιλάνθρωπος Θεὸς καὶ πόσα ἀγαθὰ ἐκέρδισεν ἀπὸ τὴν μετάνοιάν της, πρὶν ἀκόμη τὴν ἀνταμείψῃ ὁ Θεός. Διότι, ὅπως γίνεται κατακάθαρος ὁ οὐρανὸς μετὰ ἀπὸ σφοδρὴν καταιγίδα, ἔτσι καὶ μετὰ ἀπὸ τὰ πολλὰ δάκρυα ἀκολουθεῖ ψυχικὴ γαλήνη καὶ ἠρεμία καὶ ἐξαφανίζεται τὸ σκότος τῆς ἁμαρτίας. Καὶ ὅπως καθαριζόμεθα μὲ τὸ νερὸ καὶ μὲ τὸ ἅγιον Πνεῦμα, ἔτσι καθαριζόμεθα ἐπίσης μὲ τὰ δάκρυα καὶ τὴν ἐξομολόγησιν, ἂν δὲν ἐνεργοῦμεν πρὸς ἐπίδειξιν καὶ ἀπὸ φιλοδοξίαν. Διότι ἐγὼ θὰ ἔλεγα ὅτι εἶναι δίκαιον νὰ ἐπικρίνεται περισσότερον ἐκείνη ποὺ κλαίει κατ' αὐτὸν τὸν τρόπον, παρὰ ἐκείνη ποὺ καλλωπίζεται μὲ βαψίματα καὶ καλλυντικά. Ἐγὼ δηλαδὴ σᾶς ζητῶ δάκρυα ποὺ τρέχουν ὄχι πρὸς ἐπίδειξιν, ἀλλὰ ἀπὸ βαθεῖαν εὐσέβειαν. Δάκρυα ποὺ στάζουν κρυφὰ καὶ μέσα εἰς τὰ ἰδιαίτερα δωμάτιά σας, ἥσυχα καὶ χωρὶς θόρυβον, καὶ δὲν τὰ βλέπει κανείς. Δάκρυα ποὺ βγαίνουν ἀπὸ τὰ βάθη τῆς ψυχῆς σας, ποὺ ὀφείλονται εἰς θλῖψιν καὶ ὀδύνην, ποὺ ἀπευθύνονται ἀποκλειστικῶς εἰς τὸν Θεόν, ὅπως ἦσαν τὰ δάκρυα τῆς Ἄννης· «Τὰ χείλη αὐτῆς», λέγει, «ἐκινεῖτο καὶ ἡ φωνὴ αὐτῆς οὐκ ἠκούετο»[2]. Ἀλλὰ μόνα αὐτὰ τὰ δάκρυα ἔβγαζαν φωνὴν δυνατωτέραν ἀπὸ τῆς σάλπιγγος. Διὰ τοῦτο ἔκαμεν ὁ

ῳξεν ὁ Θεός, καὶ τὴν σκληρὰν πέτραν ἀπαλὴν ἄρουραν εἰργάσατο.

6. Ἂν οὕτω καὶ αὐτὸς δακρύῃς, μιμητὴς τοῦ Δεσπότου σου γέγονας. Καὶ γὰρ καὶ αὐτὸς ἐδάκρυσε καὶ ἐπὶ Λαζάρου καὶ ἐπὶ τῆς πόλεως, καὶ ἐπὶ τοῦ Ἰούδα διεταράχθη. Καὶ τοῦτο μὲν πολλάκις ἔστιν ἰδεῖν αὐτὸν ποιοῦντα, γελῶντα δε οὐδαμοῦ· ἀλλ' οὐδὲ μειδιῶντα ἠρέμα· οὐκοῦν τῶν εὐαγγελιστῶν οὐδεὶς εἴρηκε. Διὰ τοῦτο καὶ Παῦλος, ὅτι μὲν ἐδάκρυσε, καὶ τριετίαν νύκτα καὶ ἡμέραν τοῦτο ἐποίει καὶ αὐτὸς περὶ ἑαυτοῦ, καὶ ἕτεροι περὶ αὐτοῦ τοῦτο λέγουσιν· ὅτι δὲ ἐγέλασεν, οὐδαμοῦ οὔτε αὐτὸς εἴρηκεν, οὔτε ἄλλος οὐδὲ εἷς τῶν ἁγίων, οὔτε περὶ ἑαυτοῦ, οὔτε περὶ ἑτέρου τινὸς τοιούτου· ἀλλὰ περὶ Σάῤῥας μόνης τοῦτο εἴρηται, ἡνίκα ἐπετιμήθη· καὶ περὶ τοῦ υἱοῦ Νῶε, ὅτε ἀντ' ἐλευθέρου δοῦλος γέγονε. Καὶ ταῦτα λέγω, οὐ τὸν γέλωτα ἐκκόπτων, ἀλλὰ τὴν διάχυσιν ἀναιρῶν. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, θρύπτῃ καὶ διαῤῥέεις, τοσαύταις εὐθύναις ἔνοχος ὢν ἔτι, καὶ φοβερῷ μέλλων παραστήσεσθαι δικαστηρίῳ καὶ πάντων παρέχειν λόγον μετὰ ἀκριβείας τῶν ἐνταῦθα γεγενημένων; Καὶ γὰρ ὧν ἑκόντες καὶ ὧν ἄκοντες ἡμάρτομεν, δώσομεν λόγον· «Ὃς γὰρ ἂν ἀρνήσηταί με», φησίν, «ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου». Καίτοιγε ἀκούσιος ἡ τοιαύτη ἄρνησις, ἀλλ' ὅμως οὐ διαφεύγει τὴν κόλασιν, ἀλλὰ καὶ ταύτης διδόαμεν εὐθύνας· καὶ ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν· «Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα», φησίν, «ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι». Καὶ ὧν κατὰ ἄγνοιαν, καὶ ὧν κατὰ γνῶσιν· «Μαρτυρῶ γὰρ αὐτοῖς», φησίν, «ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν»· ἀλλ' ὅμως οὐκ ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν αὐτοῖς. Καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγε· «Φο-

---

1. Τὴν Ἱερουσαλήμ, ἡ ὁποία ἐπρόκειτο νὰ ἴδῃ ὀλεθρίας ἡμέρας ἕνεκα τῆς ἀπιστίας της (Ἰω. 11,35· Λουκᾶ 19,41)

2. Ἡ Σάρρα ἐγέλασεν, ὅταν τῆς ἀνεκοινώθη ὅτι θὰ γεννήσῃ υἱόν, διότι «ἐξέλιπε τῇ Σάρρᾳ γίγνεσθαι τὰ γυναικεῖα». Βλ. Γεν. 18, 9 - 15.

3. Ματθ. 10,35

Θεὸς καρποφόρον τὴν κοιλίαν της καὶ μετέβαλε τὴν σκληρὰν πέτραν εἰς ἁπαλὴν γῆν.

6. Ἂν δακρύζῃς καὶ σὺ ἔτσι, εἶσαι μιμητὴς τοῦ Κυρίου. Διότι καὶ ἐκεῖνος ἐδάκρυσε καὶ διὰ τὸν Λάζαρον καὶ διὰ τὴν πόλιν [1] καὶ ἐστενοχωρήθη πολὺ διὰ τὸν Ἰούδαν. Καὶ εἶναι δυνατὸν νὰ τὸν ἰδῇς νὰ δακρύζῃ πολλὲς φορές, πουθενὰ ὅμως δὲν θὰ τὸν ἰδῇς νὰ γελᾷ· οὔτε κἂν νὰ χαμογελᾷ· οὐδεὶς τοὐλάχιστον εὐαγγελιστὴς ἀναφέρει ὅτι ἐγέλασε. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει καὶ ὁ ἴδιος διὰ τὸν ἑαυτόν του καὶ ἄλλοι δι' αὐτὸν ὅτι ἐδάκρυσε καὶ μάλιστα ὅτι ἐπὶ τρία χρόνια ἐδάκρυζε νύκτα καὶ ἡμέραν· Οὔτε ὁ ἴδιος ὅμως λέγει πουθενὰ ὅτι κανεὶς ἅγιος διὰ τὸν ἑαυτόν του οὔτε δι' ἄλλον ἅγιον ὅτι ἐγέλασε. Μόνον διὰ τὴν Σάρραν λέγεται ὅτι ἐγέλασεν, ἀλλὰ ὁ Θεὸς τὴν κατέκρινε δι' αὐτὸ [2]. Καὶ διὰ τὸν υἱὸν τοῦ Νῶε, ὅταν ἀπὸ ἐλεύθερος ἔγινε δοῦλος. Καὶ τὰ λέγω αὐτὰ ὄχι ἐπειδὴ θέλω νὰ ἐξαφανίσω τὸν γέλωτα, ἀλλὰ ἐπειδὴ θέλω νὰ ἐξαλείψω τὴν ἠθικὴν χαλάρωσιν. Διατί, εἰπέ μου, ἐνῷ εἶσαι ὑπόλογος διὰ πολλὰς ἁμαρτίας καὶ πρόκειται νὰ παρουσιασθῇς ἐνώπιον φοβεροῦ δικαστηρίου καὶ νὰ λογοδοτήσῃς λεπτομερῶς διὰ ὅλας τὰς ἐπὶ τῆς γῆς ἐνεργείας σου, διασκεδάζεις καὶ καλοπερνᾷς; Ἀφοῦ θὰ λογοδοτήσωμεν διὰ τὰ ἑκούσια καὶ διὰ τὰ ἀκούσια ἁμαρτήματά μας. «Ὃς γὰρ ἂν ἀρνήσηταί με», λέγει, «ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου»[3]. Ἂν καὶ ἡ ἄρνησις αὐτὴ εἶναι ἀκουσία, δὲν διαφεύγει τὴν τιμωρίαν, ἀλλὰ ἔχομεν εὐθύνας καὶ δι' αὐτήν. Καὶ δι' ὅσα γνωρίζομεν καὶ δι' ὅσα ἀγνοοῦμεν· «Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα», λέγει ὁ Παῦλος, «ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι»[4]. Καὶ δι' ὅσα ἐπράξαμεν ὑπὸ ἄγνοιαν καὶ ὅσα μὲ ἐπίγνωσιν. «Μαρτυρῶ γὰρ αὐτοῖς», λέγει, «ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν»[5]. Ἀλλὰ δὲν εἶναι ἀρκετὸν αὐτὸ πρὸς ἀθώωσίν των. Καὶ εἰς ἐπιστολήν του πρὸς τοὺς Κορινθίους

---

4. Α' Κορ. 4,4
5. Ρωμ. 10,2

βοῦμαι, μήπως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ, τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν». Τοσούτων τοίνυν μέλλων διδόναι εὐθύνας, κάθῃ γελῶν καὶ ἀστεῖα λέγων καὶ τρυφῇ προσέχων;

Ἂν γὰρ μὴ ταῦτα ποιήσω, φησίν, ἀλλὰ πενθήσω, τί τὸ ὄφελος;

Μέγιστον μὲν οὖν, καὶ τοσοῦτον ὅσον οὐδὲ τῷ λόγῳ παραστῆσαι δυνατόν. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων, ὅσα ἂν δακρύσῃς, οὐκ ἂν ἐκφεύξῃ τὴν κόλασιν μετὰ τὴν ἀπόφασιν· ἐνταῦθα δέ, ἂν στυγνάσῃς μόνον, ἔλυσας τὴν ψῆφον, καὶ συγγνώμης ἀπέλαυσας. Διὰ τοῦτο πολλὰ περὶ πένθους ἡμῖν ὁ Χριστὸς διαλέγεται, καὶ μακαρίζει τοὺς πενθοῦντας, καὶ ταλανίζει τοὺς γελῶντας. Οὐ γάρ ἐστι τὸ θέατρον τοῦτο γέλωτος, οὐδὲ διὰ τοῦτο συνήλθομεν, ἵνα ἀνακαγχάζωμεν, ἀλλ' ἵνα στενάζωμεν, καὶ βασιλείαν ἐκ τοῦ στεναγμοῦ τούτου κληρονομήσωμεν. Σὺ δὲ βασιλεῖ μὲν παρεστώς, οὐδὲ ἁπλῶς μειδιᾶσαι ἀνέχῃ· τὸν δὲ τῶν ἀγγέλων Δεσπότην ἔχων ἔνοικον οὐχ ἕστηκας μετὰ τρόμου καὶ σωφροσύνης τῆς προσηκούσης, ἀλλὰ γελᾷς, αὐτοῦ πολλάκις ὀργιζομένου; καὶ οὐκ ἐννοεῖς ὅτι τῶν ἁμαρτημάτων ταύτῃ μειζόνως παροξύνεις αὐτόν; Οὐ γὰρ οὕτω τοὺς ἁμαρτάνοντας, ὡς τοὺς μετὰ τὴν ἁμαρτίαν μὴ συστελλομένους ἀποστρέφεσθαι εἴωθεν ὁ Θεός. Ἀλλ' ὅμως οὕτως εἰσὶν ἀναισθήτως τινὲς διακείμενοι, ὡς καὶ μετὰ ταῦτα τὰ ῥήματα λέγειν· ἐμοὶ δὲ μὴ γένοιτο δακρῦσαί ποτε, ἀλλὰ δῴη μοι γελᾶν καὶ παίζειν ὁ Θεὸς πάντα τὸν χρόνον. Καὶ τί ταύτης τῆς διανοίας παιδικώτερον γένοιτ' ἄν; Οὐ γὰρ ὁ Θεὸς δίδωσι παίζειν, ἀλλ' ὁ διάβολος. Ἄκουσον γοῦν, οἱ παίζοντες τί ἔπαθον· «Ἐκάθισε», φησίν, «ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν».Τοιοῦτοι ἦ-

1. Β' Κορ. 11,3
2. Πρόκειται διὰ τοὺς Ἰσραηλίτας, οἱ ὁποῖοι εὑρίσκοντο ἀκόμη εἰς τὸν δρόμον ἀπὸ τὴν Αἴγυπτον εἰς τὴν γῆν τῆς Ἐπαγγελίας.
3. Ἐξ. 32,6

τοὺς ἔγραφε· «Φοβοῦμαι μήπως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν»[1]. Ἐνῷ λοιπὸν πρόκειται νὰ λογοδοτήσῃς διὰ τόσον πολλά, κάθεσαι καὶ γελᾷς καὶ ἀστειεύεσαι καὶ ἔχεις τὸν νοῦν σου εἰς τὴν καλοπέρασιν;

Θέτει ὅμως κάποιος τὸ ἐρώτημα: Ἂν ἀποφύγω ὅλα αὐτὰ καὶ πενθήσω, τί θὰ κερδίσω;

Ἀσφαλῶς κάτι τὸ πολὺ μεγάλον, τόσον μεγάλον, ὅσον δὲν ἠμπορῶ νὰ σοῦ παραστήσω οὔτε μὲ τὰ λόγια. Διότι εἰς τὰ ἀνθρώπινα δικαστήρια δὲν θὰ ἀποφύγῃς τὴν τιμωρίαν μετὰ τὴν ἀπόφασιν, ὅσα δάκρυα καὶ ἂν χύσῃς. Εἰς αὐτὸ ὅμως τὸ δικαστήριον, ἔστω καὶ ἂν σκυθρωπάσῃς μόνον, ἀκυρώνεις τὴν ἀπόφασιν καὶ συγχωρεῖσαι. Διὰ τοῦτο ὁ Χριστὸς μᾶς λέγει πολλὰ περὶ θλίψεως καὶ μακαρίζει τοὺς θλιβομένους καὶ ἐλεεινολογεῖ τοὺς γελῶντας. Διότι δὲν γίνεται ἡ συνάθροισις αὐτὴ διὰ νὰ γελοῦμεν, οὔτε ἤλθαμεν εἰς αὐτὴν διὰ νὰ καγχάζωμεν, ἀλλὰ διὰ νὰ θρηνοῦμεν καὶ νὰ κληρονομήσωμεν μὲ τὸν θρῆνον αὐτὸν τὴν αἰωνίαν βασιλείαν. Ἐσύ, ὅταν εὑρίσκεσαι ἐμπρὸς εἰς τὸν βασιλέα, δὲν τολμᾷς οὔτε νὰ μειδιάσῃς ἁπλῶς. Καὶ ἐδῶ, ποὺ εὑρίσκεσαι εἰς τὸ ἴδιο σπίτι μὲ τὸν Κύριον τῶν ἀγγέλων, δὲν στέκεσαι μὲ τρόμον καὶ μὲ τὸν ἀπαιτούμενον σεβασμόν, ἀλλὰ γελᾷς πολλὲς φορὲς καὶ ὅταν ἐκεῖνος ὀργίζεται; Δὲν καταλαβαίνεις ὅτι μὲ αὐτὸν τὸν τρόπον τὸν ἐξοργίζεις περισσότερον παρὰ μὲ τὰς ἁμαρτίας σου; Διότι ὁ Θεὸς δὲν ὀργίζεται τόσον μὲ ὅσους ἁμαρτάνουν, ὅσον ὀργίζεται μὲ ἐκείνους ποὺ δὲν δείχνουν ταπείνωσιν μετὰ τὴν ἁμαρτίαν. Ἀλλὰ μερικοὶ εἶναι τόσον ἀσυγκίνητοι, ὥστε ἐξακολουθοῦν νὰ λέγουν καὶ μετὰ ἀπὸ ὅσα ἀκούετε: Εὔχομαι νὰ μὴ ἀναγκασθῶ ποτὲ νὰ δακρύσω, ἀλλὰ ὁ Θεὸς νὰ δώσῃ νὰ γελῶ καὶ νὰ διασκεδάζω εἰς ὅλην μου τὴν ζωήν. Ὑπάρχει ἐπιπολαιότερη ἀπὸ αὐτὴν τὴν σκέψιν; Τὴν διασκέδασιν δὲν τὴν δίδει ὁ Θεός, ἀλλὰ ὁ διάβολος· Ἄκουσε ἑπομένως τί ἔπαθαν ἐκεῖνοι ποὺ διεσκέδαζαν· «Ἐκάθισε», λέγει, «ὁ λαὸς[2] φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν»[3]. Τέτοιοι ἦσαν οἱ κάτοικοι τῶν Σοδόμων, τέ-

σαν οἱ ἐν Σοδόμοις, τοιοῦτοι οἱ ἐπὶ τοῦ κατακλυσμοῦ. Καὶ γὰρ καὶ περὶ ἐκείνων φησίν, «Ὅτι ἐν ὑπερηφανίᾳ καὶ ἐν εὐθηνίαις καὶ ἐν πλησμονῇ ἄρτων ἐσπατάλων». Καὶ οἱ κατὰ τὸν Νῶε ὄντες τὴν κιβωτὸν ἐπὶ τοσούτοις ὁρῶντες κατασκευαζομένην ἔτεσιν, ἀναλγήτως εὐφραίνοντο, μηδὲν τῶν μελλόντων προορώμενοι. Διὰ τοῦτο καὶ πάντας αὐτοὺς ἐπελθὼν παρέσυρεν ὁ κατακλυσμὸς καὶ τὸ κοινὸν τῆς οἰκουμένης ναυάγιον τότε εἰργάσατο.

7. *Μὴ τοίνυν αἴτει παρὰ τοῦ Θεοῦ ταῦτα, ἃ παρὰ τοῦ διαβόλου λαμβάνεις. Τοῦ γὰρ Θεοῦ, δοῦναι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, νήφουσαν, σωφρονοῦσαν καὶ κατεσταλμένην, μετανοοῦσαν καὶ κατανενυγμένην. Ταῦτα ἐκείνου τὰ δῶρα, ἐπειδὴ καὶ τούτου ἡμῖν χρεία μάλιστα. Καὶ γὰρ ἀγὼν ἐφέστηκε χαλεπός, καὶ πρὸς τὰς ἀοράτους ἡμῖν δυνάμεις ἡ πάλη, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἡ μάχη, πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας ὁ πόλεμος· καὶ ἀγαπητὸν σπουδάζοντας ἡμᾶς καὶ νήφοντας καὶ διεγηγερμένους, δυνηθῆναι τὴν ἀγρίαν ἐκείνην φάλαγγα ἐνεγκεῖν. Ἂν δὲ γελῶμεν καὶ παίζωμεν καὶ διαπαντὸς ῥᾳθυμῶμεν καὶ πρὸ τῆς συμβολῆς ὑπὸ τῆς οἰκείας καταπεσούμεθα ῥᾳθυμίας. Οὐ τοίνυν ἡμέτερον τὸ γελᾶν διηνεκῶς καὶ θρύπτεσθαι καὶ τρυφᾶν, ἀλλὰ τῶν ἐπὶ σκηνῆς, τῶν πορνευομένων γυναικῶν, τῶν εἰς τοῦτο ἐξυρημένων ἀνδρῶν, τῶν παρασίτων, τῶν κολάκων· οὐ τῶν ἐπὶ τὸν οὐρανὸν κεκλημένων, οὐ τῶν εἰς τὴν ἄνω πόλιν ἐγγεγραμμένων, οὐ τῶν ὅπλα βασταζόντων πνευματικά, ἀλλὰ τῶν τῷ διαβόλῳ τελουμένων. Ἐκεῖνος γάρ ἐστιν, ἐκεῖνος, ὁ καὶ τέχνην τὸ πρᾶγμα ποιήσας, ἵνα τοὺς στρατιώτας ἐκλύσῃ τοῦ Χριστοῦ, καὶ μαλακώτερα αὐτῶν ποιήσῃ τῆς προθυμίας τὰ νεῦρα. Διὰ τοῦτο καὶ θέατρα ᾠκοδόμησεν ἐν ταῖς πόλεσι, καὶ τοὺς γελωτοποιοὺς ἐκείνους ἀσκήσας, διὰ τῆς ἐκείνων λύμης κατὰ τῆς πόλεως ἁπάσης τὸν τοιοῦτον ἐνσκήπτει λοιμόν· ἃ φεύγειν ὁ Παῦλος ἐκέλευσε, τὴν*

1. Ἰεζ. 16,49
2. Ἐφ. 6,12

τοιοι ὅσοι ἐζοῦσαν κατὰ τὸν κατακλυσμόν. Διὰ τοῦτο λέγει καὶ δι' ἐκείνους· «Ὅτι ἐν ὑπερηφανίᾳ καὶ ἐν εὐθηνίαις καὶ ἐν πλησμονῇ ἄρτων ἐσπατάλων»[1]. Καὶ ὅσοι ἐζοῦσαν τὴν ἐποχὴν τοῦ Νῶε, ἂν καὶ ἔβλεπαν ἐπὶ τόσα ἔτη ὅτι ἐκεῖνος κατεσκεύαζε τὴν κιβωτόν, ἀδιαφοροῦσαν ἐντελῶς διὰ τὸ μέλλον καὶ διεσκέδαζαν μὲ ἀπάθειαν. Διὰ τοῦτο ἐπῆλθεν ὁ κατακλυσμὸς καὶ τοὺς ἔπνιξεν ὅλους καὶ ἔκαμε νὰ ναυαγήσῃ ὅλη ἡ οἰκουμένη.

7. Μὴ ζητῇς λοιπὸν ἀπὸ τὸν Θεὸν ἐκεῖνα ποὺ δίδει ὁ διάβολος. Διότι ὁ Θεὸς δίδει σοβαρὸν καὶ ταπεινὸν λογισμόν, ἤρεμον, φρόνιμον καὶ αὐτοκυριαρχούμενον, μετανοοῦντα καὶ εὐσεβῆ. Αὐτὰ εἶναι τὰ δῶρα τοῦ Θεοῦ, ἐπειδὴ μᾶς εἶναι χρησιμώτατα. Διότι μᾶς ἔχει ἐπιβληθῆ ἀγώνας δύσκολος, παλεύομεν κατὰ δυνάμεων ποὺ δὲν τὰς βλέπομεν, μαχόμεθα κατὰ τῶν πονηρῶν πνευμάτων, διεξάγεται πόλεμος κατὰ τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν[2]. Καὶ εἶναι ἀρκετὸν νὰ ἠμπορέσωμεν νὰ ἀποκρούσωμεν μὲ τὸν ζῆλον, τὴν πραότητα καὶ τὴν ἐπαγρύπνησίν μας τὰ ἄγρια αὐτὰ στρατεύματα. Ἂν ὅμως γελοῦμεν καὶ διασκεδάζωμεν καὶ γενικῶς ἐπιδεικνύωμεν ἀδράνειαν, θὰ νικηθοῦμεν πρὶν ἀπὸ τὴν σύγκρουσιν, ἕνεκα τῆς ἰδικῆς μας ἀδρανείας. Δὲν μᾶς ταιριάζει λοιπὸν νὰ γελοῦμεν συνεχῶς, καὶ νὰ ζοῦμεν ἀκόλαστα καὶ νὰ καλοπερνοῦμεν, ἀλλὰ ταιριάζει εἰς τοὺς θεατρίνους, εἰς τὰς πόρνας, εἰς τοὺς θηλυπρεπεῖς, εἰς τὰ παράσιτα καὶ εἰς τούς κόλακας. Ὄχι εἰς τοὺς προσκαλεσμένους εἰς τὸν οὐρανόν, ὄχι εἰς ἐκείνους ποὺ περιλαμβάνονται εἰς τὸν κατάλογον τῆς πολιτείας τοῦ οὐρανοῦ, ὄχι εἰς ἐκείνους ποὺ κρατοῦν πνευματικὰ ὅπλα, ἀλλὰ εἰς ἐκείνους ποὺ εἶναι ὑποχείριοι τοῦ διαβόλου. Διότι ὁ διάβολος εἶναι, ὁ διάβολος εἶναι ποὺ μετέβαλε τὰς ἐκδηλώσεις αὐτὰς εἰς τέχνασμα, διὰ νὰ ἀποχαυνώσῃ τοὺς στρατιώτας τοῦ Χριστοῦ καὶ νὰ ἐξασθενήσῃ τὴν δύναμιν τῆς θελήσεώς των. Διὰ τοῦτο ἔκτισε θέατρα μέσα εἰς τὰς πόλεις, ἤσκησε τοὺς γελωτοποιοὺς καὶ ἐκσφενδόνισεν ἐναντίον ὁλοκλήρου τῆς πόλεως μὲ τὰς φθοροποιοὺς ἐνεργείας ἐκείνων τὴν φοβερὰν αὐτὴν ἐπιδημίαν. Αὐτά, τὴν μωρολογίαν καὶ τὰ αἰσχρὰ καὶ ἀνόητα ἀστεῖα, συμβουλεύει ὁ Παῦλος νὰ

μωρολογίαν καὶ τὴν εὐτραπελίαν, ταῦτα διώκειν ἀναπείθων. Καὶ τὸ δὴ χαλεπώτερον τούτων ἡ τοῦ γέλωτός ἐστιν ὑπόθεσις. Ὅταν μὲν γὰρ βλάσφημόν τι εἴπωσιν ἢ αἰσχρὸν οἱ μῖμοι τῶν γελείων ἐκείνων, τότε πολλοὶ τῶν ἀνοητοτέρων γελῶσι καὶ τέρπονται, ὑπὲρ ὧν αὐτοὺς λιθάζειν ἐχρῆν, ὑπὲρ τούτων κροτοῦντες, καὶ τὴν κάμινον τοῦ πυρὸς διὰ τῆς ἡδονῆς ταύτης κατὰ τῆς ἑαυτῶν ἕλκοντες κεφαλῆς. Οἱ γὰρ ἐπαινοῦντες τοὺς ταῦτα λέγοντας, οὗτοι μάλιστά εἰσιν οἱ λέγειν ἀναπείθοντες· διὸ καὶ τῆς κολάσεως τῆς ἐπὶ τούτοις κειμένης δικαιότερον ἂν εἶεν ὑπεύθυνοι. Εἰ γὰρ μηδεὶς ἦν ὁ τὰ τοιαῦτα θεώμενος, οὐδ' ἂν ὁ ἀγωνιζόμενος ἦν· ὅταν δὲ ἴδωσιν ὑμᾶς καὶ ἐργαστήρια καὶ τέχνας καὶ τὴν ἐκ τούτων πρόσοδον καὶ πάντα ἁπλῶς ὑπὲρ τῆς ἐκεῖ διατριβῆς ἀφέντας, μείζονα δέχονται τὴν προθυμίαν, καὶ πλείονα περὶ ταῦτα ποιοῦνται σπουδήν.

Καὶ ταῦτα οὐκ ἐκείνους ἀπαλλάττων ἐγκλημάτων λέγω, ἀλλ' ἵνα ὑμεῖς μάθητε ὅτι τὴν ἀρχὴν καὶ τὴν ῥίζαν τῆς τοιαύτης παρανομίας ὑμεῖς μάλιστά ἐστε οἱ παρέχοντες, οἱ τὴν ἡμέραν ἅπασαν εἰς ταῦτα καταναλίσκοντες, καὶ τὰ σεμνὰ τοῦ γάμου πράγματα ἐκπομπεύοντες, καὶ τὸ μυστήριον τὸ μέγα παραδειγματίζοντες. Οὐδὲ γὰρ οὕτως ἐκεῖνος ὁ ταῦτα ὑποκρινόμενός ἐστιν ὁ πλημμελῶν, ὡς πρὸ ἐκείνου σύ, ὁ ταῦτα κελεύων ποιεῖν· μᾶλλον δὲ οὐ κελεύων μόνον, ἀλλὰ καὶ σπουδάζων καὶ εὐφρανόμενος καὶ γελῶν καὶ ἐπαινῶν τὰ γινόμενα, καὶ παντὶ τρόπῳ συγκροτῶν τὰ τοιαῦτα ἐργαστήρια τῶν δαιμόνων. Ποίοις οὖν ὀφθαλμοῖς, εἰπέ μοι, λοιπὸν τὴν γυναῖκα ἐπὶ τῆς οἰκίας ὄψει, ἰδὼν αὐτὴν ὑβριζομένην ἐκεῖ; Πῶς δὲ οὐκ ἐρυθριᾷς ἀναμιμνῃσκόμενος τὴν συνοίκου, ἡνίκα ἂν τὴν φύσιν αὐτὴν παραδειγματιζομένην ἴδῃς;

8. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ὑπόκρισίς ἐστι τὰ γινόμενα· ἡ γὰρ ὑπόκρισις αὕτη πολλοὺς εἰργάσατο μοιχοὺς καὶ πολλὰς ἀνέτρεψεν οἰκίας. Καὶ διὰ τοῦτο μάλιστα στένω, ὅτι οὐδὲ δο-

1. Ἐφ. 5,4

τὰ ἀποφεύγωμεν καὶ προσπαθεῖ νὰ μᾶς πείσῃ νὰ τὰ θεωροῦμεν ἀπηγορευμένα [1]. Τὸ χειρότερον ἀπὸ αὐτὰ εἶναι βεβαίως ὅτι γελοῦμεν. Ὅταν δηλαδὴ εἰποῦν οἱ γελωτοποιοὶ ἐκεῖνοι καμμίαν βλασφημίαν ἢ αἰσχρολογίαν, τότε γελοῦν καὶ διασκεδάζουν πολλοὶ ἀνόητοι, καὶ χειροκροτοῦν διὰ πράγματα, διὰ τὰ ὁποῖα ἔπρεπε νὰ τοὺς λιθοβολοῦν, καὶ μὲ τὴν διασκέδασιν αὐτὴν ἐπισύρουν κατὰ τῆς κεφαλῆς των τὴν κάμινον τοῦ πυρός. Διότι, ὅσοι ἐπαινοῦν αὐτοὺς ποὺ λέγουν αὐτὰς τὰς ἀνοησίας, αὐτοὶ πρὸ πάντων εἶναι ἐκεῖνοι ποὺ τοὺς πείθουν νὰ τὰς ἐπαναλαμβάνουν. Διὰ τοῦτο εἶναι περισσότερον ὑπεύθυνοι διὰ τὴν τιμωρίαν, ποὺ ἐπιβάλλεται δι' αὐτά. Διότι, ἂν δὲν ὑπῆρχαν θεαταί, δὲν θὰ ὑπῆρχαν καὶ θεατρῖνοι. Ὅταν ὅμως βλέπουν ὅτι ἐγκαταλείπομεν τὰ ἐργαστήρια καὶ τὰς ἐργασίας μας καὶ τὰ ἔσοδα, ποὺ ἔχομεν ἀπὸ αὐτάς, καὶ ὅλα γενικῶς, διὰ νὰ τρέξωμεν νὰ τοὺς ἰδοῦμεν, αὐξάνεται ἡ προσπάθεια καὶ ἡ ὄρεξίς των.

Αὐτὰ δὲν τὰ λέγω διὰ νὰ τοὺς ἀπαλλάξω ἀπὸ τὰς εὐθύνας των, ἀλλὰ διὰ νὰ κατανοήσετε ὅτι ἐσεῖς κυρίως ποὺ δαπανᾶτε ὅλην σας τὴν ἡμέραν εἰς αὐτὰ καὶ διαπομπεύετε σεβαστὰς γαμηλίους ἐκδηλώσεις καὶ ἐξευτελίζετε τὸ μεγάλον αὐτὸ μυστήριον, ἀποτελεῖτε τὴν βάσιν καὶ τὰ θεμέλια αὐτῶν τῶν ἀνηθίκων ἐκδηλώσεων. Διότι δὲν ἁμαρτάνει τόσον ἐκεῖνος ποὺ ἀναλαμβάνει τὸν ρόλον τοῦ θεατρίνου, ὅσον ἐσὺ ποὺ τὸν ὠθεῖς νὰ τὸν ἀναλαμβάνῃ. Καὶ δὲν εἶναι ὅτι τὸν ὠθεῖς μόνον, ἀλλὰ καὶ δείχνεις ἐνδιαφέρον καὶ διασκεδάζεις καὶ γελᾷς, καὶ ἐπαινεῖς ὅσα γίνονται καὶ ὀργανώνεις μὲ κάθε τρόπον τὰ ἐργαστήρια αὐτὰ τῶν διαβόλων. Εἰπέ μου λοιπόν, μὲ τί μάτια θὰ ἰδῇς τὴν γυναῖκα σου εἰς τὸ σπίτι σου, ὅταν τὴν βλέπῃς νὰ ἐξευτελίζεται ἐκεῖ; Καὶ πῶς ἐνθυμεῖσαι τὴν γυναῖκα σου καὶ δὲν κοκκινίζεις, ὅταν βλέπῃς ὅτι διαπομπεύεται τὸ γυναικεῖον φῦλον;

8. Μὴ μοῦ φέρῃς τὸ ἐπιχείρημα ὅτι αὐτὸ εἶναι μίμησις καὶ ὄχι πραγματικότης. Διότι ἡ μίμησις αὐτὴ ὡδήγησε πολλοὺς εἰς τὴν μοιχείαν καὶ διέλυσε πολλὰς οἰκογενείας. Αὐτὸ

κεῖ πονηρὸν εἶναι τὸ γινόμενον, ἀλλὰ καὶ κρότοι καὶ κραυγὴ καὶ γέλως πολύς, μοιχείας τολμωμένης τοσαύτης. Τί λέγεις; Ὑπόκρισις τὰ γινόμενα; Δι᾽ αὐτὸ μὲν οὖν τοῦτο μυρίων ἂν εἶεν ἐκεῖνοι θανάτων ἄξιοι, ὅτι ἃ φεύγειν οἱ νόμοι καλεύουσιν ἅπαντες, ταῦτα μιμεῖσθαι ἐσπουδάκασιν ἐκεῖνοι. Εἰ γὰρ αὐτὸ κακόν, καὶ ἡ μίμησις τούτου κακόν. Καὶ οὔπω λέγων, πόσους ἐργάζονται μοιχοὺς οἱ τὰ τοιαῦτα τῆς μοιχείας ὑποκρινόμενοι δράματα, πῶς ἰταμοὺς καὶ ἀναισχύντους κατασκευάζουσι τοὺς τῶν τοιούτων θεωρούς· οὐδὲν γὰρ πορνικώτερον καὶ ἰταμώτερον ὀφθαλμοῦ τοιαῦτα βλέπειν ἀνεχομένου. Σὺ δὲ ἐν ἀγορᾷ μὲν οὐκ ἂν ἕλοιο γυναῖκα γυμνουμένην ἰδεῖν, μᾶλλον δὲ οὐδὲ ἐν οἰκίᾳ, ἀλλὰ καὶ ὕβριν τὸ πρᾶγμα καλεῖς· ἐπὶ δὲ τὸ θέατρον ἀναβαίνεις, ἵνα τὸ κοινὸν τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν ἐνυβρίσῃς γένος, καὶ τοὺς σαυτοῦ αἰσχύνῃς ὀφθαλμούς; Μὴ γὰρ δὴ τοῦτο εἴπῃς, ὅτι πόρνη ἐστὶν ἡ γυμνουμένη, ἀλλ᾽ ὅτι ἡ αὐτὴ φύσις καὶ σῶμα τὸ αὐτὸ καὶ τῆς πόρνης καὶ τῆς ἐλευθερίας. Εἰ γὰρ οὐδὲν ἄτοπον τοῦτο, τίνος ἕνεκεν ἐπ᾽ ἀγορᾶς ἂν ἴδῃς τοῦτο γινόμενον, καὶ αὐτὸς ἀποπηδᾷς, καὶ τὴν ἀσχημονοῦσαν ἐλαύνεις; ἢ ὅταν μὲν διῃρημένοι ὦμεν, τότε ἄτοπον τὸ τοιοῦτον· ὅταν δὲ συνηγμένοι καὶ πάντες ὁμοῦ καθήμενοι, οὐκέτι ὁμοίως αἰσχρόν; Ἀλλὰ γέλως ταῦτα καὶ ὄνειδος, καὶ ἐσχάτης παραπληξίας ῥήματα· καὶ βέλτιον πηλῷ καὶ βορβόρῳ τὴν ὄψιν ἀναχρῶσαι πᾶσαν ἢ τοιαύτην θεωρῆσαι παρανομίαν. Οὔτε γὰρ οὕτως ὀφθαλμῷ βλάβη βόρβορος, ὡς ἀκόλαστος ὄψις, καὶ γεγυμνωμένης γυναικὸς θεωρία. Ἄκουσον γοῦν τί τὴν γύμνωσιν ἐποίησεν ἐξ ἀρχῆς, καὶ φοβήθητι τῆς τοιαύτης ἀσχημοσύνης τὴν ὑπόθεσιν. Τί οὖν ἐποίησε τὴν γύμνωσιν; Ἡ παρακοὴ καὶ ἡ τοῦ διαβόλου συμβουλή. Οὕτως ἄνωθεν καὶ ἐξ ἀρχῆς, ἐκείνου τοῦτο γέγονε

εἶναι ποὺ μὲ κάμνει νὰ στενοχωροῦμαι περισσότερον, τὸ ὅτι δὲν θεωρεῖτε ἀνήθικα αὐτὰ ποὺ γίνονται, ἀλλά, ἐνῷ τολμοῦν τόσα ἀνήθικα, ἐσεῖς χειροκροτεῖτε καὶ ἐπιδοκιμάζετε καὶ γελᾶτε πολύ. Τί λέγεις; Εἶναι ἁπλῆ μίμησις αὐτὰ ποὺ γίνονται; Διὰ τοῦτο ἀκριβῶς ἀξίζει νὰ θανατωθοῦν αὐτοὶ χίλιες φορές, διότι προσπαθοῦν νὰ μιμοῦνται ἐκεῖνα ποὺ ὅλοι οἱ νόμοι προστάσσουν νὰ τὰ ἀποφεύγωμεν. Διότι, ἂν εἶναι μία ἐνέργεια ἀνήθικη, εἶναι ἀνήθικη καὶ ἡ μίμησίς της. Καὶ δὲν ἀνέφερα καθόλου πόσους ὁδηγοῦν εἰς τὴν μοιχείαν αὐτοὶ ποὺ παίζουν τὰ ἀνήθικα αὐτὰ δράματα, πόσον ἀνηθίκους καὶ ἀδιαντρόπους κάμνουν ὅσους τὰ παρακολουθοῦν. Διότι δὲν ὑπάρχει τίποτε περισσότερον ἀδιάντροπον καὶ ἀνήθικον, ἀπὸ τὰ μάτια ποὺ ἀνέχονται νὰ βλέπουν τέτοια θεάματα. Ἐσὺ δὲν θὰ ἀνεχόσουν νὰ ἰδῇς νὰ γυμνώνεται μία γυναῖκα εἰς τὴν ἀγορὰν ἢ μᾶλλον οὔτε μέσα εἰς κάποιαν οἰκίαν, ἀλλὰ θὰ ἐθεωροῦσες τὴν ἐνέργειαν αὐτὴν μεγάλην ἀναίδειαν. Καὶ πηγαίνεις εἰς τὸ θέατρον, διὰ νὰ ἐξευτελίσῃς τὸ γένος τῶν ἀνθρώπων καὶ νὰ ἀναγκάσῃς τὰ μάτια σου νὰ ἐντρέπωνται; Καὶ μὴ ἰσχυρισθῇς ὅτι εἶναι πόρνη αὐτὴ ποὺ γυμνώνεται, διότι καὶ ἡ πόρνη καὶ κάθε ἄλλη γυναῖκα ἔχουν τὴν ἰδίαν φύσιν καὶ τὸ ἴδιο σῶμα. Ἐὰν λοιπὸν δὲν εἶναι τίποτε αὐτό, διατί, ἂν ἰδῇς νὰ γίνεται εἰς τὴν ἀγοράν, φεύγεις ὁλοταχῶς καὶ διώχνεις καὶ ἐκείνην ποὺ ἀσχημονεῖ; Ἢ εἶναι ἀνήθικον αὐτό, ὅταν εἴμεθα σκορπισμένοι, ἐνῷ, ὅταν συγκεντρωθοῦμεν καὶ καθίσωμεν ὅλοι μαζί, δὲν εἶναι ἐξ ἴσου ἀνήθικον; Αὐτὰ εἶναι γελοῖα καὶ ἀδιάντροπα, δείχνουν τρομερὴν παραφροσύνην καὶ εἶναι προτιμότερον νὰ ἀλείψῃς τὸ πρόσωπόν σου μὲ βοῦρκον καὶ μὲ λάσπην, παρὰ νὰ παρακολουθήσῃς αὐτὸ τὸ ἀνήθικον θέαμα. Διότι δὲν εἶναι τόσον βλαβερὸς ὁ βοῦρκος διὰ τὰ μάτια, ὅσον τὸ ἀνήθικον θέαμα, ἡ θέα γυμνῆς γυναίκας. Ἄκουσε λοιπὸν ποία εἶναι ἡ αἰτία ποὺ ἔνοιωσε διὰ πρώτην φορὰν γυμνὸς ὁ ἄνθρωπος καὶ σκέψου πόσον φοβερὰ εἶναι αὐτὴ ἡ ἀνήθικη ἐνέργεια. Ποία εἶναι λοιπὸν ἡ αἰτία ποὺ ἔνοιωσε γυμνὸς ὁ ἄνθρωπος; Ἡ παρακοὴ καὶ ἡ προτροπὴ τοῦ διαβόλου. Ἔτσι τὸ ἔργον αὐτὸ εἶναι ἀπὸ

τὸ ἐπιτήδευμα. Ἀλλ' ἐκεῖνοι μὲν κἂν ᾐσχύνοντο γυμνοὶ ὄντες· ὑμεῖς δὲ καὶ ἐγκαλλωπίζεσθε, κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο, «Ἐν τῇ αἰσχύνῃ τὴν δόξαν ἔχοντες».

Πῶς οὖν ὄψεταί σε λοιπὸν ἡ γυνὴ ἀπὸ τῆς τοιαύτης ἐπανελθόντα παρανομίας; Πῶς δέξεται; Πῶς προσερεῖ, οὕτως ἀτίμως τὸ κοινὸν τῆς γυναικείας παραδειγματίσαντα φύσεως, καὶ αἰχμάλωτον ὑπὸ τῆς τοιαύτης ὄψεως καὶ δοῦλον γεγενημένον τῆς πορνευθείσης γυναικός;

Εἰ δὲ ἀλγεῖτε ταῦτα ἀκούοντες, χάριν ὑμῖν ἔχω πολλήν· «Τίς γάρ ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;». Μὴ δὴ παύσησθέ ποτε στένοντες ἐπὶ τούτοις καὶ δακνόμενοι· καὶ γὰρ προοίμιον ὑμῖν ἔσται τῆς ἐπὶ τὰ κρείττω μεταβολῆς ἡ ἐκ τῶν τοιούτων ὀδύνη. Διὰ τοῦτο κἀγὼ σφοδρότερον τὸν λόγον ἐποιησάμην, ἵνα βαθυτέραν δοὺς τὴν τομήν, ἀπαλλάξω τῆς σηπεδόνος τῶν μεθυσκόντων ὑμᾶς· ἵνα πρὸς καθαρὰν ἐπαναγάγω ψυχῆς ὑγείαν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύοντας διὰ πάντων, καὶ τῶν κειμένων ἐπάθλων τοῖς κατορθώμασι τούτοις ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Φιλιπ. 3,19
2. Β' Κορ. 2,2.

τὴν ἀρχήν του καὶ τὴν ρίζαν του διαβολικόν. Ἀλλὰ οἱ πρωτόπλαστοι ἔνοιωθαν τοὐλάχιστον ἐντροπὴν ἐπειδὴ ἦσαν γυμνοί. Ἐσεῖς ὅμως καμαρώνετε, «ἐν αἰσχύνῃ τὴν δόξαν ἔχοντες»[1], ὅπως λέγει ὁ Ἀπόστολος.

Πῶς θὰ σὲ ἰδῇ λοιπὸν ἡ γυναῖκα σου ὅταν ἐπιστρέψῃς ἀπὸ αὐτὸ τὸ ἁμαρτωλὸν θέαμα; Πῶς θὰ σὲ ὑποδεχθῇ; Πῶς θὰ σοῦ ὁμιλήσῃ, ἀφοῦ ἐξευτέλισες μὲ τόσην ἀδιαντροπιὰν ὅλον τὸ γυναικεῖον φῦλον καὶ ἔγινες, ἕνεκα τοῦ θεάματος αὐτοῦ, αἰχμάλωτος καὶ δοῦλος τῆς πόρνης;

Θὰ σᾶς χρεωστῶ μεγάλην χάριν, ἂν σᾶς στενοχωρῇ ποὺ ἀκούετε αὐτά· «Τίς γάρ ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ»[2]; Καὶ μὴ παύσετε ποτὲ νὰ ἀναστενάζετε καὶ νὰ πονῆτε δι' αὐτά. Διότι ἡ θλῖψις διὰ τὴν διαγωγὴν αὐτὴν θὰ ἀποτελέσῃ τὴν βάσιν τῆς βελτιώσεώς σας. Διὰ τοῦτο ὡμίλησα αὐστηρότερα, διὰ νὰ κάμω βαθυτέραν τὴν ἐγχείρησιν καὶ νὰ σᾶς ἀπαλλάξω ἀπὸ τὴν σῆψιν τῆς ἀνηθικότητος. Διὰ νὰ σᾶς ἐπαναφέρω εἰς τὴν πλήρη ὑγείαν τῆς ψυχῆς. Καὶ εὔχομαι νὰ τὴν ἀπολαύσετε ὅλοι εἰς ὅλην σας τὴν ζωὴν καὶ νὰ κερδίσετε μὲ τὰ κατορθώματά σας τὰ καθιερωμένα βραβεῖα, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου ἡ δόξα καὶ ἡ δύναμις εἶναι αἰωνία. Ἀμήν.

ΟΜΙΛΙΑ Ζʹ
Ματθ. 2, 4 - 10

«Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. Οἱ δὲ εἶπον αὐτῷ· 'Εν Βηθλεὲμ τῆς 'Ιουδαίας».

1. Εἶδες ἅπαντα εἰς ἔλεγχον γινόμενα 'Ιουδαϊκόν; Ἕως μὲν γὰρ αὐτὸν οὐκ ἐθεώρουν, οὐδὲ ὑπὸ τῆς βασκανίας ἡλίσκοντο, τὸ μετὰ ἀληθείας τὰς μαρτυρίας διηγόρευον· ἐπειδὴ δὲ εἶδον τὴν ἀπὸ τῶν θαυμάτων ἐγγινομένην δόξαν, ὑπὸ τοῦ φθόνου κατασχεθέντες λοιπὸν προὔδωκαν τὴν ἀλήθειαν. 'Αλλ' ἡ ἀλήθεια διὰ πάντων εἴρετο, καὶ ὑπὸ τῶν ἐχθρῶν μειζόνως συνεκροτεῖτο.

Ὅρα γοῦν καὶ ἐνταῦθα πῶς θαυμαστὰ καὶ παράδοξα οἰκονομεῖται πράγματα. Ὁμοῦ τε γὰρ καὶ μανθάνουσί τε πλέον παρ' ἀλλήλων, καὶ διδάσκουσιν ἀλλήλους, οἵ τε βάρβαροι καὶ οἱ 'Ιουδαῖοι. Οἱ μὲν γὰρ 'Ιουδαῖοι παρὰ τῶν μάγων ἤκουον ὅτι καὶ ἀστὴρ αὐτὸν ἐπὶ τῆς Περσῶν ἐκήρυξε χώρας· οἱ δὲ μάγοι παρὰ τῶν 'Ιουδαίων ἐμάνθανον ὅτι τοῦτον, ὃν ὁ ἀστὴρ ἐκήρυξε, καὶ προφῆται πρὸ πολλῶν ἄνωθεν διηγόρευον χρόνων· καὶ τῆς ἐρωτήσεως ἡ ὑπόθεσις διδασκαλίας σαφεστέρας τε καὶ ἀκριβεστέρας ἑκατέροις ἀπόδειξις γέγονε.

Καὶ οἱ τῆς ἀληθείας ἐχθροὶ τὰ ὑπὲρ τῆς ἀληθείας καὶ ἄκοντες ἀναγκάζονται ἀναγινώσκειν γράμματα, καὶ τὴν προφητείαν ἑρμηνεύειν, εἰ καὶ μὴ πᾶσαν. Εἰπόντες γὰρ τὴν Βηθλεέμ, καὶ ὅτι ἐξ αὐτῆς ἐξελεύσεται ὁ ποιμαίνων τὸ 'Ισραήλ, λοιπὸν οὐκέτι προσέθηκαν τὸ ἑξῆς, κολακεύοντες τὸν βασιλέα. Τί δὲ τοῦτο ἦν; Ὅτι «Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν

ΟΜΙΛΙΑ Ζ'
Ματθ. 2, 4-10

«Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. Οἱ δὲ εἶπαν αὐτῷ· Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας».

1. Εἶδες ὅτι ὅλα γίνονται διὰ νὰ ἐλεγχθοῦν οἱ Ἰουδαῖοι; Ἐφ' ὅσον δὲν τὸν ἔβλεπαν καὶ δὲν εἶχαν καταληφθῆ ἀπὸ τὸν φθόνον, ἔδιδαν εἰς τὰς προφητείας τὸ ἀληθὲς νοημά των. Ὅταν ὅμως εἶδαν τὴν δόξαν ποὺ ἐκέρδιζεν ἀπὸ τὰ θαύματα, ἐκυριεύθησαν ἀπὸ τόν φθόνον καὶ ἐπρόδωσαν τὴν ἀλήθειαν. Ἡ ἀλήθεια ὅμως μὲ ὅλα αὐτὰ ἐξυψώνετο καὶ ἐσφυρηλατεῖτο ἀπὸ τοὺς ἐχθρούς της ἰσχυροτέρα.

Πρόσεξε λοιπὸν πῶς συμβαίνουν καὶ ἐδῶ ἀξιοθαύμαστα καὶ παράδοξα πράγματα. Μὲ κοινὴν συνεργασίαν μαθαίνουν κάτι περισσότερον οἱ βάρβαροι καὶ οἱ Ἰουδαῖοι καὶ διαφωτίζουν ὁ ἕνας τὸν ἄλλον. Οἱ Ἰουδαῖοι ἤκουσαν ἀπὸ τοὺς μάγους ὅτι ἀκόμη καὶ ἕνα ἀστέρι τὸν ἀνήγγειλεν εἰς τὴν χώραν τῶν Περσῶν. Οἱ μάγοι πάλιν ἐπληροφοροῦντο ἀπὸ τοὺς Ἰουδαίους ὅτι δι' αὐτὸν ποὺ τοὺς ἀνήγγειλε τὸ ἀστέρι καὶ οἱ προφῆται ἐπίσης εἶχαν πρὸ πολλῶν ἐτῶν ὁμιλήσει ἐμπνευσθέντες ἀπὸ τὸν οὐρανόν. Καὶ τὸ θέμα τῆς ἐρωτήσεώς των ἔγινε διὰ τοὺς μὲν καὶ τοὺς δὲ ἔκθεσις διδασκαλίας μὲ μεγαλυτέραν σαφήνειαν καὶ ἀκρίβειαν.

Καὶ οἱ ἐχθροὶ τῆς ἀληθείας καὶ χωρὶς νὰ θέλουν ἀναγκάζονται νὰ διαβάσουν τὰς λέξεις ποὺ μαρτυροῦν τὴν ἀλήθειαν καὶ νὰ ἑρμηνεύουν τὴν προφητείαν, ἔστω καὶ ὄχι ὁλόκληρον. Ἀνέφεραν δηλαδὴ τὴν Βηθλεὲμ καὶ ὅτι ἀπὸ αὐτὴν θὰ προέλθῃ αὐτὸς ποὺ θὰ ποιμάνῃ τὸν Ἰσραήλ, κολακεύοντες ὅμως τὸν βασιλέα δὲν ἐπρόσθεσαν τὴν συνέχειαν καὶ αὐτὴ ἦτο· «Αἱ ἔ-

αἰῶνος». Καὶ τίνος ἕνεκεν, φησίν, εἰ ἐκεῖθεν ἔμελλε παραγίνεσθαι, ἐν Ναζαρὲτ μετὰ τὸν τόκον διῆγε καὶ συνεσκίαζε τὴν προφητείαν;

Καὶ μὴν οὐ συνεσκίασεν, ἀλλὰ καὶ μᾶλλον ἐξεκάλυψε. Τὸ γὰρ ἐκεῖ τῆς μητρὸς οἰκούσης διαπαντός, ἐνταῦθα γεννηθῆναι δείκνυσιν ἐξ οἰκονομίας τὸ πρᾶγμα γινόμενον. Διά τοι τοῦτο οὐδὲ εὐθέως τεχθεὶς ἐξῆλθεν ἐκεῖθεν, ἀλλ' ἐποίησεν ἡμέρας τεσσαράκοντα, τοῖς βουλομένοις περιεργάζεσθαι διδοὺς μετὰ ἀκριβείας ἐξετάζειν ἅπαντα.

Καὶ γὰρ πολλὰ ἦν τὰ κινοῦντα πρὸς τὴν τοιαύτην ζήτησιν, εἴ γε προσέχειν ἐβούλοντο. Καὶ γὰρ ἐλθόντων τῶν μάγων ἀνεπτερώθη πᾶσα ἡ πόλις, καὶ μετὰ τῆς πόλεως ὁ βασιλεύς, καὶ ὁ προφήτης εἰς μέσον παρήγετο, καὶ δικαστήριον μέγιστον συνεκροτεῖτο, καὶ ἕτερα δὲ πλείονα γέγονεν αὐτόθι, ἅπερ ὁ Λουκᾶς μετὰ ἀκριβείας διηγεῖται ἅπαντα· οἷον τὰ κατὰ τὴν Ἄνναν καὶ τὸν Συμεὼν καὶ τὸν Ζαχαρίαν καὶ τοὺς ἀγγέλους καὶ τοὺς ποιμένας, ἅπερ ἅπαντα τοῖς προσέχουσιν ἱκανὰ ἦν παρασχεῖν ἀφορμὰς τὸ γεγενημένον εὑρεῖν. Εἰ γὰρ ἀπὸ Περσίδος ἐλθόντες οἱ μάγοι οὐκ ἠγνόησαν τὸν τόπον, πολλῷ μᾶλλον οἱ ἐκεῖ διατρίβοντες ταῦτα μαθεῖν ἠδύναντο.

Ἔδειξε μὲν οὖν ἐξ ἀρχῆς ἑαυτὸν διὰ πολλῶν θαυμάτων· ἐπειδὴ δὲ οὐκ ἠθέλησεν ἰδεῖν, κρύψας τὸν μεταξὺ χρόνον ἑαυτόν, πάλιν ἐξ ἑτέρας ἀπεκάλυψε λαμπροτέρας ἀρχῆς. Οὐδὲ γὰρ οἱ μάγοι λοιπόν, οὐδὲ ὁ ἀστήρ, ἀλλ' ὁ πατὴρ ἄνωθεν ἐκήρυττεν ἐπὶ τῶν Ἰορδανείων ῥείθρων, καὶ τὸ Πνεῦμα δὲ ἐπεφοίτα, τὴν φωνὴν ἐκείνην ἕλκον ἐπὶ τὴν κεφαλὴν τοῦ βαπτιζομένου· καὶ Ἰωάννης μετὰ παρρησίας ἁπάσης πανταχοῦ τῆς Ἰουδαίας ἐβόα, τὴν οἰκουμένην, τὴν ἀοίκητον τῆς τοιαύτης διδασκαλίας πληρῶν· καὶ ἡ τῶν θαυμάτων δὲ μαρτυρία καὶ γῆ καὶ θάλατ-

1. Μιχ. 5, 2.

2. Περὶ τῆς προφήτιδος Ἄννης, θυγατρὸς τοῦ Φανουήλ, ποὺ ἀποτελεῖ παράλληλον πρὸς τὸν Συμεὼν τὸν ὑποδεχθέντα τὸν Χριστὸν εἰς τὸν ναὸν βλέπε Λουκ. 2, 36 - 38.

ξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος [1]. Καὶ διὰ ποῖον λόγον, παρατηρεῖ, ἀφοῦ ἐπρόκειτο νὰ ἔλθῃ ἀπὸ ἐκεῖ, ἐζοῦσεν εἰς τὴν Ναζαρὲτ μετὰ τὴν γέννησίν του καὶ ἐσυσκότιζε τὴν προφητείαν;

Ἀλλὰ βέβαια δὲν τὴν ἐσυσκότισε παρὰ τὴν ἐπαρουσίασεν ἀκόμη σαφεστέραν. Διότι μὲ τὸ νὰ γεννηθῇ ἐδῶ, ἐνῷ ἡ μητέρα του ἐκατοικοῦσε μονίμως ἐκεῖ, δείχνει ὅτι τὸ πρᾶγμα ἔγινε κατ' οἰκονομίαν. Διὰ τοῦτο βέβαια δὲν ἔφυγεν ἀπ' ἐκεῖ εὐθὺς μόλις ἐγεννήθη, ἀλλὰ συνεπλήρωσε σαράντα ἡμέρας παρέχων τὴν δυνατότητα εἰς ἐκείνους, ποὺ θέλουν νὰ λεπτολογοῦν, νὰ ὑποβάλουν τὰ πάντα εἰς ἀκριβῆ ἔλεγχον.

Διότι ἦσαν πολλὰ ἐκεῖνα ποὺ ἐπαρακινοῦσαν εἰς τὴν ἔρευναν αὐτήν, ἐὰν ἤθελαν νὰ προσέχουν. Ὅταν δηλαδὴ ἦλθαν οἱ μάγοι ἐξεσηκώθη ὁλόκληρος ἡ πόλις καὶ μαζὶ μὲ τὴν πόλιν ὁ βασιλεύς, ὁ προφήτης ὡδηγήθη εἰς τὸ μέσον, συνεκροτήθη μέγιστον δικαστήριον, καὶ ἄλλα πολλὰ ἔγιναν ἐκεῖ, τὰ ὁποῖα διηγεῖται ὁ Λουκᾶς ὅλα μὲ ἀκρίβειαν· λόγου χάριν τὰ σχετικὰ μὲ τὴν Ἄνναν [2], μὲ τὸν Συμεών, τὸν Ζαχαρίαν, τοὺς ἀγγέλους, τοὺς βοσκούς. Αὐτὰ ὅλα ἦσαν ἱκανὰ διὰ νὰ δώσουν ἀφορμὴν εἰς αὐτοὺς ποὺ προσέχουν καὶ νὰ εὕρουν τὸ γεννηθέν. Διότι, ἂν ἐγνώρισαν τὸν τόπον οἱ μάγοι ποὺ ἦλθαν ἀπὸ τὴν περσικὴν γῆν, πολὺ περισσότερον θὰ ἠμποροῦσαν νὰ τὰ μάθουν αὐτὰ οἱ μονίμως κατοικοῦντες ἐκεῖ.

Ἐφανέρωσε λοιπὸν ἀπὸ τὴν ἀρχὴν τὸν ἑαυτόν του μὲ πολλὰ θαύματα. Ἐπειδὴ ὅμως δὲν ἠθέλησαν νὰ τὸν ἰδοῦν, ἐκρύβη δι' ἕνα ἐνδιάμεσον διάστημα καὶ ἐφανερώθη πάλιν ἀπὸ ἄλλην λαμπροτέραν ἀρχήν. Διότι οὔτε οἱ μάγοι τότε, οὔτε τὸ ἄστρον, ἀλλὰ τὸ διεκήρυττεν ὁ Πατήρ του εἰς τὰ ρεῖθρα τοῦ Ἰορδάνου. Ἐκατέβη καὶ τὸ Πνεῦμα ποὺ κατηύθυνε τὴν φωνὴν αὐτὴν εἰς τὴν κεφαλὴν τοῦ βαπτιζομένου. Καὶ ὁ Ἰωάννης ἐν συνεχείᾳ μὲ πλήρη παρρησίαν ἐφώναξεν εἰς ὅλην τὴν Ἰουδαίαν καὶ ἐγέμισε μὲ τὴν διδασκαλίαν αὐτὴν κάθε κατοικούμενον καὶ κάθε ἀκατοίκητον μέρος. Ἀλλὰ καὶ ἡ μαρτυρία διὰ τὰ θαύματα, ἡ γῆ, ἡ θάλασσα, ὅλη ἡ κτίσις ἐβροντοφώναξε

τα καὶ ἡ κτίσις ἅπασα λαμπρὰν ὑπὲρ αὐτοῦ ἠφίει φωνήν. Παρὰ δὲ τὸν καιρὸν τῶν ὠδίνων τοσαῦτα ἐγίνετο, ὅσα εἰκὸς ἠρέμα δεῖξαι τὸν παραγεγονότα. Ἵνα γὰρ μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι οὐκ ἴσμεν πότε ἐτέχθη, οὐδὲ ἐν ποίῳ χωρίῳ, τά τε κατὰ τοὺς μάγους πάντα ᾠκονομήθη, καὶ τὰ ἄλλα ἅπερ εἰρήκαμεν· ὥστε οὐδεμίαν αἰτίαν ἂν ἔχοιεν εἰπεῖν, μὴ ζητήσαντες τὸ γεγενημένον.

2. Σκόπει δὲ καὶ τῆς προφητείας τὴν ἀκρίβειαν. Οὐ γὰρ εἶπεν, ὅτι ἐν Βηθλεὲμ μενεῖ, ἀλλ', «ἐξελεύσεται». Ὥστε καὶ τοῦτο προφητείας ἦν, τὸ γεννηθῆναι ἐκεῖ μόνον. Τινὲς δὲ αὐτῶν ἀναισχυντοῦντές φασι, περὶ τοῦ Ζοροβάβελ ταῦτα εἰρῆσθαι· καὶ πῶς ἂν ἔχοιεν λόγον; Οὐ γὰρ δή, «αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος». Πῶς δὲ τὸ ἐν ἀρχῇ λεχθέν, ὅτι «Ἐκ σοῦ ἐξελεύσεται», ἁρμόσειεν ἂν ἐκείνῳ; Οὐ γὰρ ἐν τῇ Ἰουδαίᾳ, ἀλλ' ἐν τῇ Βαβυλῶνι ἐτέχθη· ὅθεν καὶ Ζοροβάβελ ἐκλήθη, διὰ τὸ ἐκεῖ σπαρῆναι. Καὶ ὅσοι τὴν Σύρων ἴσασι γλῶτταν, ἴσασι τὸ λεγόμενον. Μετὰ δὲ τῶν εἰρημένων, καὶ ὁ μετὰ ταῦτα χρόνος ἅπας ἱκανὸς συστῆσαι τὴν μαρτυρίαν. Τί γάρ φησιν; «Οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»· καὶ τὴν αἰτίαν προστίθησι τῆς περιφανείας, λέγων, ὅτι, «ἐκ σοῦ ἐξελεύσεται». Οὐδεὶς δὲ ἕτερος λαμπρὸν καὶ περιφανὲς ἐκεῖνο τὸ χωρίον ἐποίησεν, ἀλλ' ἢ μόνος αὐτός.

Μετὰ γοῦν τὸν τόκον ἐκεῖνον, ἀπὸ τῶν περάτων τῆς οἰκουμένης ἔρχονται ὀψόμενοι τὴν φάτνην καὶ τῆς καλύβης τὸν τόπον· ὅπερ ἄνωθεν ὁ προφήτης προανεφώνησε λέγων· «Οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»· τουτέστιν, ἐν τοῖς φυλάρχοις. Τοῦτο δὲ εἰπὼν καὶ τὴν Ἱερουσαλὴμ

1. Βαβυλωνιακὴ λέξις σημαίνουσα «σπέρμα τῆς Βαβέλ». Ὁ Ζοροβάβελ ἦτο ἄρχων τοῦ Ἰούδα, διατελέσας αἰχμάλωτος εἰς Βαβυλῶνα. Ἐτέθη ἐπὶ κεφαλῆς 42.360 Ἰουδαίων ἐπιστρεφόντων εἰς τὴν πάτριον γῆν ἐκ τῆς Βαβυλωνιακῆς ἐξορίας. Εἰς Ἱερουσαλὴμ ἐπεμελήθη τῆς ἀνοικοδομήσεως τοῦ Ναοῦ, ποὺ εἶχε καταστραφῆ τὸ 587 π.Χ. ὑπὸ τοῦ Ναβουχοδονόσορος. Ἦτο μέγας ἐμψυχωτὴς τοῦ λαοῦ, ὡς δηλοῖ ὁ διαγωνισμὸς πάλης πρὸς τοὺς σωματοφύλακας τοῦ Δαρείου καὶ ἡ νίκη του ἐπ' αὐτῶν. Μετὰ τὴν κτίσιν τοῦ Ναοῦ, ποὺ συνεπληρώθη τὸ 517 π.Χ., δὲν γίνεται λόγος δι' αὐτόν.

δι' αὐτόν. Κατὰ τὴν διάρκειαν τῶν ὠδίνων ἐγίνοντο τόσα πολλά, ὅσα ἦτο φυσικὸν νὰ δείξουν ἀθορύβως αὐτὸν ποὺ εἶχεν ἔλθει. Διὰ νὰ μὴ λέγουν οἱ Ἰουδαῖοι· δὲν γνωρίζομεν πότε ἐγεννήθη, οὔτε εἰς ποῖον μέρος ἐξοικονομήθη ὅλη ἡ ἐπίσκεψις τῶν μάγων καὶ τὰ ἄλλα ποὺ εἴπαμεν. Ὥστε καμμίαν δικαιολογίαν δὲν ἠμποροῦν νὰ προβάλλουν, ποὺ δὲν ἐζήτησαν τὸ γεννηθέν.

2. Πρόσεξε τώρα τὴν ἀκρίβειαν τῆς προφητείας. Δὲν εἶπε· θὰ μείνῃ εἰς τὴν Βηθλεέμ, ἀλλά· «θὰ προέλθῃ». Ὥστε καὶ τοῦτο ἀπετέλει προφητείαν, ὅτι μόνον θὰ γεννηθῇ ἐκεῖ. Μερικοὶ ὅμως ἀπὸ αὐτοὺς ὑποστηρίζουν μὲ ἀναισχυντίαν ὅτι αὐτὰ ἐλέχθησαν περὶ Ζοροβάβελ [1]. Πῶς ὅμως ἠμποροῦν νὰ δικαιολογηθοῦν; Δὲν ἠμποροῦν βέβαια, ἐπειδὴ· «Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος» [2] καὶ πῶς αὐτὸ ποὺ ἐλέχθη εἰς τὴν ἀρχὴν θὰ ἐφαρμοσθῇ εἰς αὐτόν; Διότι δὲν ἐγεννήθη βέβαια εἰς τὴν Ἰουδαίαν, ἀλλ' εἰς τὴν Βαβυλῶνα. Διὰ τοῦτο ὠνομάσθη ἄλλωστε Ζοροβάβελ, ἐπειδὴ ἐκεῖ τὸν συνέλαβεν ἡ μητέρα του. Ὅσοι γνωρίζουν τὴν γλῶσσαν τῶν Σύρων [3], ἐννοοῦν αὐτὸ ποὺ λέγομεν. Ἀλλὰ μαζὶ μὲ τὰ λεχθέντα καὶ ὅλος ὁ χρόνος ποὺ ἠκολούθησεν ἀρκεῖ διὰ νὰ στηρίξῃ τὴν μαρτυρίαν. Τί μᾶς λέγει; «Οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα». Καὶ προσθέτει καὶ τὴν αἰτίαν τῆς λαμπρότητος μὲ τὸν λόγον ὅτι· «Ἀπὸ σὲ θὰ προέλθῃ». Καὶ κανεὶς ἄλλος δὲν ἐλάμπρυνε τὸ μέρος ἐκεῖνο παρὰ αὐτὸς μόνον.

Ἔπειτα λοιπὸν ἀπὸ τὴν γέννησιν ἐκείνην ἔρχονται ἀπὸ τὰ πέρατα τῆς οἰκουμένης διὰ νὰ ἰδοῦν τὴν φάτνην καὶ τὴν θέσιν τῆς καλύβης, πρᾶγμα ποὺ κατὰ ἔμπνευσιν τοῦ οὐρανοῦ προανήγγειλεν ὁ προφήτης λέγων· «Οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα» [4], δηλαδὴ ὡς πρὸς τοὺς φυλάρχους. Εἰς τὸν λόγον αὐτὸν συμπεριέλαβε καὶ τὴν Ἰερουσαλήμ. Καὶ

---

2. Μιχ. 5, 2.
3. Διὰ τὸν λαὸν αὐτὸν χρησιμοποιεῖται σήμερον ἡ λέξις Ἀσσύριοι.
4. Μιχ. 5, 2.

περιέλαβεν. Ἀλλ' οὐδὲ οὕτω προσεῖχον, καίτοι τῆς ὠφελείας εἰς αὐτοὺς διαβαινούσης. Καὶ γὰρ διὰ τοῦτο οὐδαμοῦ περὶ τῆς ἀξίας αὐτοῦ διαλέγονται οἱ προφῆται ἐν ἀρχῇ τοσοῦτον, ὅσον περὶ τῆς εὐεργεσίας τῆς παρ' αὐτοῦ γενομένης εἰς αὐτούς. Καὶ γὰρ ἡνίκα ἔτικτεν ἡ παρθένος. «Καλέσεις», φησί, «τὸ ὄνομα αὐτοῦ Ἰησοῦν»· καὶ ἐπάγει λέγων· «Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν». Καὶ οἱ μάγοι δὲ οὐκ ἔλεγον ποῦ ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ἀλλ' «Ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων». Καὶ ἐνταῦθα πάλιν οὐκ εἶπεν ὅτι ἐκ σοῦ ἐξελεύσεται ὁ Υἱὸς τοῦ Θεοῦ· ἀλλ' «Ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ». Ἔδει γὰρ καὶ συγκαταβατικώτερον διαλέγεσθαι ἐν προοιμίοις, ἵνα μὴ σκανδαλίζωνται, καὶ τὰ περὶ τῆς σωτηρίας αὐτῶν κηρύττειν, ἵνα τούτῳ μᾶλλον ἐνάγωνται.

Ὅσαι γοῦν πρῶται φέρονται μαρτυρίαι, καὶ ὧν εὐθέως παρὰ τὴν γέννησιν καιρὸς ἦν, οὐδὲν μέγα, οὐδὲ ὑψηλὸν περὶ αὐτοῦ λέγουσιν, οὐδὲ οἷον αἱ μετὰ τὴν τῶν σημείων ἐπίδειξιν· ἐκεῖναι γὰρ τρανότερον περὶ τῆς αὐτοῦ ἀξίας διαλέγονται. Ὅτε γοῦν μετὰ πολλὰ θαύματα παιδία ὕμνους εἰς αὐτὸν ᾖδον, ἄκουσον τί φησιν ὁ Προφήτης· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»· καὶ πάλιν· «Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου»· ὅπερ δημιουργὸν αὐτὸν δείκνυσι τοῦ παντὸς ὄντα. Καὶ ἡ μετὰ τὴν ἀνάληψιν δὲ παραχθεῖσα μαρτυρία τὸ πρὸς τὸν Πατέρα ὁμότιμον δηλοῖ· «Εἶπε» γάρ, φησίν, «ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου». Καὶ ὁ Ἠσαΐας δέ φησιν, ὅτι· «Ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι». Πῶς δέ φησι τὴν Βηθλεὲμ ἐν τοῖς ἡγεμόσιν Ἰούδα οὐκ εἶναι ἐλαχίστην; Οὐδὲ γὰρ ἐν Παλαιστίνῃ μόνον, ἀλλὰ καὶ τῇ οἰκουμένῃ πάσῃ περίβλεπτος γέγονεν ἡ κώμη. Ἀλλὰ τέως πρὸς Ἰουδαίους ὁ λόγος· διὸ καὶ ἐπήγαγε· «Ποιμανεῖ τὸν λαόν

---

1. Ψαλμ. 8, 3.
2. Ψαλμ. 8, 4.
3. Ψαλμ. 109, 1.

πάλιν ὅμως δὲν ἐπρόσεχαν, μολονότι ἡ ὠφέλεια μετέβαινεν εἰς αὐτούς. Καὶ διὰ τοῦτο οἱ προφῆται πουθενὰ εἰς τὴν ἀρχὴν δὲν ὁμιλοῦν περὶ τοῦ ἀξιώματός του τόσον, ὅσον περὶ τῆς εὐεργεσίας ποὺ δέχονται ἀπὸ αὐτόν. Διότι ὅταν ἐγεννοῦσεν ἡ παρθένος, ὁ προφήτης λέγει· «Καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν». Καὶ προσθέτει· «Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν». Ἀλλὰ καὶ οἱ μάγοι δὲν ἔλεγαν ποῦ εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ ἀλλὰ ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἐδῶ πάλιν δὲν εἶπεν ὅτι ἀπὸ σὲ θὰ προέλθῃ ὁ Υἱὸς τοῦ Θεοῦ ἀλλ' «Ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ». Διότι ἔπρεπεν εἰς τὸ προοίμιον τῆς ζωῆς του νὰ γίνεται μετριοπαθέστερος λόγος, διὰ νὰ μὴ σκανδαλίζωνται καὶ νὰ γίνεται διδασκαλία περὶ τῆς σωτηρίας των, διὰ νὰ προσελκύωνται ἔτσι περισσότερον.

Αἱ μαρτυρίαι λοιπὸν ποὺ προσκομίζονται πρῶται καὶ ποὺ ἐπαρουσιάσθησαν εὐθὺς κατὰ τὸν χρόνον τῆς γεννήσεως, δὲν λέγουν δι' αὐτὸν τίποτε μεγάλο οὔτε ὑψηλόν, ὅπως ὅσαι ἀκολουθοῦν μετὰ τὴν ἐμφάνισιν τῶν σημείων. Αὐταὶ αἱ τελευταῖαι ὁμιλοῦν περὶ τοῦ ἀξιώματός του μεγαλοφωνότερα. Ὅταν ὅμως ἔπειτα ἀπὸ πολλὰ θαύματα τὰ παιδιὰ ἔψαλλαν ὕμνους εἰς αὐτόν, ἄκουσε τί λέγει ὁ προφήτης· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»[1]. Καὶ ἀλλοῦ· «Ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου»[2]. Τοῦτο τὸν παρουσιάζει ὡς δημιουργὸν τοῦ παντός. Ἀλλὰ καὶ ἡ μαρτυρία ποὺ παρεσχέθη μετὰ τὴν ἀνάληψιν τὸν ἀνακηρύττει ὁμότιμον πρὸς τὸν Πατέρα· «Εἶπε γὰρ ὁ Κύριος τῷ Κυρίῳ μου», λέγει, «Κάθου ἐκ δεξιῶν μου»[3]. Καὶ ὁ Ἠσαΐας λέγει[3]· «Ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν»[4]. Πῶς ὅμως λέγει ὅτι ἡ Βηθλεὲμ δὲν εἶναι ἐλαχίστη ὡς πρὸς τοὺς ἡγεμόνας τοῦ Ἰσραήλ; Διότι ὄχι μόνον εἰς τὴν Παλαιστίνην ἀλλὰ καὶ εἰς τὸν κόσμον ὁλόκληρον ἔγινεν ἡ κώμη περίβλεπτος. Ἀλλὰ τότε ὁ λόγος ἀφοροῦσε τοὺς Ἰουδαίους, διὰ τοῦ-

4. Ἠσ. 11, 10.

μου τὸ Ἰσραήλ»· καίτοιγε τὴν οἰκουμένην ἐποίμανεν· ἀλλ', ὅπερ ἔφην, οὐ βούλεται σκανδαλίσαι τέως τὸν περὶ τῶν ἐθνῶν ἐκκαλύπτων λόγον.

Καὶ πῶς οὐκ ἐποίμανε, φησί, τὸν λαὸν τὸν Ἰουδαϊκόν;

Μάλιστα μὲν καὶ αὐτὸ γέγονε· τὸν γὰρ Ἰσραὴλ ἐνταῦθα εἰπών, τοὺς αὐτῷ πεπιστευκότας ἐξ Ἰουδαίων ᾐνίξατο. Καὶ τοῦτο ἑρμηνεύων ὁ Παῦλος ἔλεγεν· «Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, ἀλλ' ὅσοι διὰ πίστεως καὶ ἐπαγγελίας ἐγεννήθησαν». Εἰ δὲ μὴ πάντας ἐποίμανε, τοῦτο αὐτῶν ἔγκλημα καὶ κατηγορία. Δέον γὰρ αὐτοὺς προσκυνῆσαι μετὰ τῶν μάγων, καὶ δοξάσαι τὸν Θεόν, ὅτι ἐπέστη καιρὸς τοιοῦτος, πάντα λύων αὐτῶν τὰ ἁμαρτήματα· καὶ γὰρ οὐδὲν περὶ δικαστηρίων ἤκουσαν, οὐδὲ εὐθυνῶν, ἀλλὰ περὶ ἡμέρου καὶ πράου ποιμένος· οἱ δὲ τοὐναντίον ποιοῦσι, καὶ ταράττονται, καὶ θορυβοῦσι, καὶ μυρίας μετὰ ταῦτα κατασκευάζουσιν ἐπιβουλάς.

«Τότε Ἡρώδης καλέσας λάθρα τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος»· ἐπιχειρῶν ἀνελεῖν τὸ τεχθέν, ὅπερ ἐσχάτης ἀνοίας ἦν, οὐχὶ μανίας μόνον. Καὶ γὰρ τὰ εἰρημένα καὶ τὰ γεγενημένα ἱκανὰ ἦν ἀποστῆσαι αὐτὸν πάσης τῆς τοιαύτης ἐπιχειρήσεως. Οὐδὲ γὰρ κατὰ ἄνθρωπον ἦν τὰ συμβάντα. Τὸ γὰρ ἀστέρα καλέσαι τοὺς μάγους ἄνωθεν, καὶ τὸ βαρβάρους ἄνδρας τοσαύτην ἀποδημίαν στείλασθαι, ὥστε προσκυνῆσαι τὸν ἐν σπαργάνοις καὶ φάτνῃ κείμενον, καὶ τὸ προφήτας δὲ ἄνωθεν ταῦτα πάντα προαναφωνεῖν, καὶ τὰ ἄλλα πάντα, μείζονα ἢ κατὰ ἄνθρωπον ἦν· ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων κατεῖχε.

3. Τοιοῦτον γὰρ ἡ πονηρία· ἑαυτῇ περιπίπτει, καὶ ἀνηνύτοις ἀεὶ πράγμασιν ἐπιχειρεῖ.

Σκόπει δὲ τὴν ἄνοιαν. Εἰ μὲν ἐπίστευε τῇ προφητείᾳ, καὶ ἀκίνητον αὐτὴν εἶναι ἐνόμιζεν, εὔδηλον ὅτι ἀδυνάτοις ἐπεχείρει

1. Ρωμ. 9, 6.

το καὶ ἐπρόσθεσε· «Θὰ ποιμάνῃ τὸν λαόν μου τὸν Ἰσραήλ». Μολονότι ἔγινε ποιμὴν τῆς οἰκουμένης. Ἀλλά, ὅπως εἶπα, δὲν ἤθελε τότε νὰ σκανδαλίσῃ ἀποκαλύπτων τὸν λόγον ποὺ ἀφοροῦσε τὰ ἔθνη.

Καλά, καὶ πῶς τὸν ἐποίμανε, λέγει, τὸν Ἰουδαϊκὸν λαόν;

Βεβαίως ἔγινε τοῦτο. Διότι λέγων ἐδῶ Ἰσραὴλ ὑπονοεῖ ὅσους ἀπὸ τοὺς Ἰουδαίους ἐπίστευσαν εἰς αὐτόν. Τοῦτο ἀκριβῶς ἐξηγῶν ὁ Παῦλος ἔλεγεν· «Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, ἀλλ' ὅσοι διὰ πίστεως καὶ ἐπαγγελίας ἐγεννήθησαν» [1]. Ἂν δὲν τοὺς ἐποίμανεν ὅλους, ἡ αἰτία καὶ ἡ κατηγορία εἶναι ἰδική των. Δὲν εἶχαν δηλαδὴ ἀκούσει τίποτε περὶ δικαστηρίων οὔτε περὶ εὐθυνῶν, ἤκουσαν μόνον δι' ἕνα ἥμερον καὶ πρᾶον ποιμένα καὶ ἐνῷ ἔπρεπε νὰ προσκυνήσουν μαζὶ μὲ τοὺς μάγους καὶ νὰ δοξάσουν τὸν Θεόν, ἀφοῦ ἔφθασε μία τέτοια στιγμὴ ποὺ νὰ ἀφεθοῦν τὰ ἁμαρτήματά των, αὐτοὶ κάμουν τὸ ἀντίθετον· ταράσσονται, προκαλοῦν ἀνησυχίαν, πλέκουν ἀπείρους σκευωρίας.

«Τότε ὁ Ἡρώδης καλέσας λάθρα τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος». Ἀπέβλεπεν εἰς τὸν φόνον τοῦ νεογεννήτου, πρᾶγμα ποὺ ἐμαρτυροῦσεν ἐσχάτην ἀνοησίαν καὶ ὄχι μόνον παραφροσύνην. Διότι ὅσα εἶχαν λεχθῆ καὶ συμβῆ ἦσαν ἀρκετὰ νὰ τὸν ἀπομακρύνουν ἀπὸ ὅλην αὐτὴν τὴν προσπάθειαν. Ἀφοῦ μάλιστα τὰ συμβάντα ἦσαν ὑπερανθρώπινα, τὸ νὰ καλέσῃ δηλαδὴ τὸ ἄστρον ἀπὸ τὸν οὐρανὸν τοὺς μάγους καὶ νὰ ἐπιχειρήσουν τόσον μακρυνὸν ταξίδι ἄνδρες βάρβαροι, διὰ νὰ προσκυνήσουν ἐκεῖνον ποὺ ἐκοίτετο εἰς τὰ σπάργανα καὶ τὴν φάτνην, καὶ τὸ νὰ προαναγγείλουν ὅλα αὐτὰ οἱ προφῆται μὲ θεῖον ὁρισμόν, καὶ ὅλα τὰ ἄλλα ἦσαν ἀνώτερα ἀπὸ τὴν δύναμιν τοῦ ἀνθρώπου. Ἀλλ' ὅμως κανένα ἀπὸ αὐτὰ δὲν τὸν συνεκράτησε.

3. Τέτοια εἶναι ἡ πονηρία· πέφτει εἰς τὰς παγίδας ποὺ στήνει καὶ πάντοτε ἐπιχειρεῖ ἔργα ἀκατόρθωτα.

Πρόσεξε τώρα τὴν ἀνοησίαν. Ἐὰν ἐπίστευεν εἰς τὴν προφητείαν καὶ τὴν ἐθεωροῦσεν ἀμετακίνητον, θὰ ἦτο ὁλοφανε-

πράγμασιν· εἰ δὲ ἠπίστει πάλιν, καὶ οὐ προσεδόκα ἐκβήσεσθαι τὰ λεγόμενα, δεδοικέναι καὶ φοβεῖσθαι οὐκ ἐχρῆν, οὐδὲ διὰ τοῦτο ἐπιβουλεύειν· ὥστε ἑκατέρωθεν περιττὸς ὁ δόλος ἦν.

Καὶ τοῦτο δὲ ἀνοίας ἐσχάτης, τὸ νομίσαι τοὺς μάγους αὐτὸν προτιμήσειν τοῦ τεχθέντος, ὑπὲρ οὗ τοσαύτην ἦλθον ἀποδημίαν. Εἰ γὰρ πρὶν ἰδεῖν οὕτως ἦσαν ἐκκεκαυμένοι τῷ πόθῳ, μετὰ τὸ θεάσασθαι καὶ πιστωθῆναι παρὰ τῆς προφητείας, πῶς ἤλπιζεν αὐτοὺς πεῖσαι προδοῦναι τὸ παιδίον αὐτῷ;

Ἀλλ' ὅμως καὶ τοσούτων ὄντων τῶν ἀπαγόντων αὐτόν, ἐπεχείρει, «Καὶ καλέσας λάθρα τοὺς μάγους, ἐπυνθάνετο παρ' αὐτῶν». Καὶ γὰρ ἐνόμιζεν Ἰουδαίους κήδεσθαι τοῦ παιδίου· καὶ οὐ ἂν προσεδόκησεν εἰς τοῦτο μανίας ἐξολισθαίνειν αὐτούς, ὡς τὸν προστάτην καὶ Σωτῆρα, καὶ ἐπ' ἐλευθερίᾳ τοῦ ἔθνους παραγενόμενον βούλεσθαι ἐκδιδόναι τοῖς ἐχθροῖς. Διὰ τοῦτο καὶ λάθρα καλεῖ, καὶ ζητεῖ τὸν χρόνον οὐ τοῦ παιδίου, ἀλλὰ τοῦ ἀστέρος, ἐκ πολλῆς τῆς περιουσίας τιθεὶς τὸ θήραμα. Καὶ γὰρ πρὸ πολλοῦ χρόνου δοκεῖ μοι ὁ ἀστὴρ φανῆναι. Ἐπειδὴ γὰρ πολὺν κατὰ τὴν ὁδοιπορίαν ἔμελλον ἀναλίσκειν οἱ μάγοι χρόνον, ἵνα εὐθέως ἐπιστῶσι τῷ τεχθέντι· ἔδει γὰρ ἐν αὐτοῖς προσκυνηθῆναι τοῖς σπαργάνοις αὐτόν, ὥστε τὸ θαυμαστὸν καὶ παράδοξον φανῆναι τοῦ πράγματος, πρὸ πολλοῦ τοῦ χρόνου δείκνυσιν ἑαυτὸν ὁ ἀστήρ. Εἰ γὰρ ἡνίκα ἐτέχθη ἐν Παλαιστίνῃ, τότε αὐτοῖς ὤφθη ἐν τῇ ἀνατολῇ, πολὺν κατὰ τὴν ὁδοιπορίαν διατρίβοντες χρόνον, οὐκ ἂν ἐν σπαργάνοις εἶδον αὐτὸν παραγενόμενοι.

Εἰ δὲ ἀπὸ διετοῦς ἀναιρεῖ καὶ κατωτέρω, μὴ θαυμάσωμεν· ὁ γὰρ θυμὸς καὶ τὸ δέος ὑπὲρ πλείονος ἀσφαλείας καὶ πλείονα προσετίθει χρόνον, ὥστε μηδένα διαφυγεῖν. Καλέσας οὖν αὐτούς, φησί· «Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ

ρον ὅτι ἐπιχειροῦσεν ἀδύνατα πράγματα. Ἂν πάλιν δὲν ἐπίστευε καὶ δὲν ἐπερίμενεν ὅτι θὰ πραγματοποιηθοῦν τὰ λεγόμενα, δὲν ἔπρεπε νὰ τρέμῃ καὶ νὰ φοβᾶται, οὔτε νὰ ἐπιδίδεται εἰς ἐπιβουλάς. Ὥστε εἴτε ἔτσι εἴτε ἀλλιῶς ὁ δόλος ἦτο περιττός.

Καὶ τοῦτο ὅμως εἶναι ἀπόδειξις ἐσχάτης ἀνοησίας, ἡ ἰδέα ὅτι οἱ μάγοι θὰ προτιμοῦσαν αὐτὰ ἀπὸ τὸ νεογέννητον, χάριν τοῦ ὁποίου ἀνέλαβαν τόσον μεγάλο ταξίδι. Διότι ἂν ἐφλέγοντο τόσον ἀπὸ τὸν πόθον προτοῦ τὸ ἰδοῦν, ἀφοῦ τὸ εἶδαν καὶ ἐβεβαιώθησαν ἀπὸ τὴν προφητείαν, πῶς ἤλπιζεν ὅτι θὰ τοὺς πείσῃ νὰ προδώσουν εἰς αὐτὸν τὸ παιδί;

Μολονότι ὅμως τόσον πολλὰ τὸν ἀπέτρεπαν, ἐκεῖνος ἐσυνέχιζε· «Καὶ καλέσας λάθρα τοὺς μάγους, ἐπυνθάνετο παρ' αὐτῶν». Ἐνόμιζεν ὅτι οἱ Ἰουδαῖοι ἐπροστάτευαν τὸ παιδί, δὲν ἤλπισεν ὅτι θὰ ἔφθαναν εἰς τέτοιο σημεῖον μανίας, ὥστε νὰ θέλουν νὰ παραδώσουν εἰς τοὺς ἐχθρούς του τὸν προστάτην καὶ Σωτῆρα των, ποὺ ἦλθε διὰ τὴν ἐλευθερίαν τοῦ ἔθνους των. Διὰ τοῦτο καὶ τοὺς καλεῖ κρυφὰ καὶ ζητεῖ τὸν χρόνον ὄχι τοῦ παιδιοῦ ἀλλὰ τοῦ ἄστρου, προσέχων ἰδιαιτέρως τὸ θήραμα. Διότι μοῦ φαίνεται ὅτι τὸ ἄστρον ἐφάνη πρὸ πολλοῦ χρόνου. Ὁ Χριστὸς ἔπρεπε νὰ δεχθῇ τὴν προσκύνησιν μέσα εἰς τὰ σπάργανα ἀκόμη, διὰ νὰ φανῇ τὸ ἀξιοθαύμαστον καὶ παράδοξον γεγονός. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ τοὺς χρειασθῇ πολὺς χρόνος διὰ τὸ ταξίδι των, διὰ νὰ φθάσουν οἱ μάγοι ἐγκαίρως εἰς τὸ νεογέννητον, διὰ τοῦτο τὸ ἄστρον παρουσιάζεται πρὸ πολλοῦ χρόνου. Διότι ἂν ἐπαρουσιάσθη εἰς τὴν ἀνατολὴν εἰς αὐτούς, τὴν στιγμὴν ποὺ ἐγεννᾶτο εἰς τὴν Παλαστίνην, ἀπὸ τὸν πολὺν χρόνον ποὺ θὰ τοὺς ἐχρειάζετο διὰ τὴν ὁδοιπορίαν των, ὅταν ἔφθαναν δὲν θὰ τὸν ἔβλεπαν εἰς τὰ σπάργανα.

Καὶ ἐὰν φονεύῃ ἀπὸ διετῆ παιδιὰ καὶ πιὸ κάτω, ἂς μὴ ἀπορήσωμεν· ὁ θυμὸς ἀφ' ἑνὸς καὶ ὁ φόβος ἀφ' ἑτέρου προσέθεσαν περισσότερον χρόνον χάριν περισσοτέρας ἀσφαλείας, ὥστε νὰ μὴ διαφύγῃ κανείς. Ἀφοῦ τοὺς ἐκάλεσε λοιπόν, τοὺς λέγει· «Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου· ἐπὰν

παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ».

Εἶδες τὴν ἄνοιαν; Εἰ μὲν γὰρ ἐξ ἀληθείας ταῦτα λέγεις, τίνος ἕνεκεν λάθρα ἐρωτᾷς; εἰ δὲ ἐπιβουλεῦσαι βουλόμενος, πῶς οὐ συνεῖδες, ὡς ἐκ τοῦ λάθρα ἐρωτᾶσθαι δυνήσονται συνιδεῖν οἱ μάγοι τὸν δόλον; Ἀλλ', ὅπερ ἔφην, ψυχὴ ὑπὸ πονηρίας ἁλοῦσα, πάντων ἀνοητοτέρα γίνεται.

Καὶ οὐκ εἶπεν, ἀπελθόντες μάθετε περὶ τοῦ βασιλέως, ἀλλ' «Περὶ τοῦ παιδίου»· οὐδὲ γὰρ τὸ ὄνομα τῆς ἀρχῆς καλέσαι ἠνέσχετο. Ἀλλ' οἱ μάγοι τούτων οὐδὲν συνιδόντες ὑπὸ πολλῆς εὐλαβείας — οὐ γὰρ προσεδόκησαν, ὅτι εἰς τοσοῦτον πονηρίας ἐξῆλθεν ἂν ἐκεῖνος, καὶ οὕτω θαυμαστῇ οἰκονομίᾳ ἐπιβουλεῦσαι ἐπεχείρησεν — ἀπέρχονται τούτων οὐδὲν ὑφορώμενοι, ἀλλ' ἐκ τῶν καθ' ἑαυτοὺς καὶ τὰ τῶν ἄλλων στοχαζόμενοι ἅπαντα. «Καὶ ἰδοὺ ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς». Διὰ γὰρ τοῦτο καὶ ἐκρύβη, ἵνα ἀπολέσαντες τὸν χειραγωγοῦντα, εἰς ἀνάγκην ἐμπέσωσιν ἐρωτῆσαι τοὺς Ἰουδαίους, καὶ πᾶσι κατάδηλον τὸ πρᾶγμα γένηται. Ἐπειδὴ γὰρ ἠρώτησαν καὶ διδασκάλους ἔσχον τοὺς ἐχθρούς, φαίνεται πάλιν αὐτοῖς. Καὶ σκόπει ἀκολουθίαν ἀρίστην γινομένην. Ἀπὸ μὲν γὰρ τοῦ ἀστέρος δέχεται αὐτοὺς ὁ τῶν Ἰουδαίων δῆμος καὶ ὁ βασιλεύς, καὶ τὸν προφήτην εἰσάγουσι διδάσκοντα τὸ φαινόμενον. Ἀπὸ δὲ τοῦ προφήτου πάλιν ἄγγελος αὐτοὺς παραλαβὼν πάντα ἐδίδαξε· τέως δὲ ἀπὸ Ἱεροσολύμων εἰς Βηθλεὲμ διὰ τοῦ ἀστέρος βαδίζουσιν· ὁ γὰρ ἀστὴρ πάλιν κἀκεῖθεν συνώδευσεν· ἵνα μάθῃς κἀντεῦθεν, ὅτι οὐ τῶν πολλῶν εἷς ἦν οὗτος· οὐδὲ γὰρ ἔχει ταύτην τὴν φύσιν ἀστὴρ οὐδὲ εἷς. Καὶ οὐχ ἁπλῶς ἐβάδιζεν, ἀλλὰ προῆγεν αὐτοὺς ἕλκων καὶ χειραγωγῶν ἐν ἡμέρᾳ μέσῃ.

4. Καὶ τί τοῦ ἀστέρος τούτου ἔδει, φησί, λοιπὸν τοῦ χωρίου γνωρισθέντος;

δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ».

Βλέπεις τὴν ἀνοησίαν; Ἂν τὰ λέγῃς αὐτὰ μὲ εἰλικρίνειαν, διατί ἐρωτᾷς κρυφά; Ἂν ὅμως σχεδιάζῃς ἐπιβουλήν, πῶς δὲν ἀντελήφθης ὅτι θὰ κατανοήσουν οἱ μάγοι τὸν δόλον ἀπὸ τὴν μυστικότητα τῆς ἐρωτήσεως; Τὸ εἶπα ὅμως· ψυχὴ ποὺ κατελήφθη ἀπὸ τὴν πονηρίαν γίνεται τὸ πλέον ἀνόητον πρᾶγμα.

Καὶ δὲν τοὺς εἶπε, πηγαίνετε νὰ μάθετε διὰ τὸν βασιλέα, ἀλλά· «Διὰ τὸ παιδί»· δὲν εἶχε τὴν δύναμιν οὔτε τὸ εἶδος τῆς ἐξουσίας του νὰ κατονομάσῃ. Τίποτε ὅμως ἀπὸ αὐτὰ δὲν ἀντελήφθησαν οἱ μάγοι λόγῳ τῆς πολλῆς εὐλαβείας των· δὲν ἐσκέφθησαν ὅτι θὰ ἔφθανεν ἐκεῖνος εἰς τέτοιο σημεῖον κακίας καὶ ὅτι θὰ ἔκαμε τέτοιο ἀξιοθαύμαστον σχέδιον ἐπιβουλῆς. Φεύγουν λοιπὸν χωρὶς καμμίαν ὑποψίαν ἀλλὰ ἀπὸ τὸν ἑαυτόν των ἔκριναν καὶ τὴν συμπεριφορὰν τῶν ἄλλων· «Καὶ ἰδού, ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς». Διότι εἶχε κρυβῆ διὰ τοῦτο ἀκριβῶς· νὰ χάσουν τὸν ὁδηγόν, καὶ νὰ εὑρεθοῦν εἰς τὴν ἀνάγκην νὰ ἐρωτήσουν τοὺς Ἰουδαίους καὶ νὰ γίνῃ τὸ πρᾶγμα πασίδηλον. Ὅταν λοιπὸν ἠρώτησαν καὶ εἶχαν ὡς πληροφοριοδότας τοὺς ἐχθρούς του, φαίνεται πάλιν εἰς αὐτούς. Καὶ πρόσεξε τὴν ἀρίστην ἀκολουθίαν τῶν γεγονότων. Ἐξ αἰτίας τοῦ ἄστρου τοὺς δέχεται ὁ λαὸς τῶν Ἰουδαίων καὶ ὁ βασιλεύς, προσκομίζουν τὴν μαρτυρίαν τοῦ προφήτου ποὺ ὁμιλεῖ διὰ τὸ φαινόμενον. Καὶ ἔπειτα ἀπὸ τὸν προφήτην τοὺς παραλαμβάνει πάλιν ὁ ἄγγελος καὶ τοὺς τὰ ἐξηγεῖ ὅλα. Καὶ μὲ τὴν ὁδηγίαν τοῦ ἄστρου βαδίζουν τότε ἀπὸ τὰ Ἰεροσόλυμα εἰς τὴν Βηθλεέμ. Τὸ ἄστρον τοὺς συνώδευσε καὶ ἀπὸ ἐκεῖ. Διὰ νὰ μάθῃς καὶ ἀπὸ αὐτό, ὅτι δὲν ἦτο ἕνα ἀπὸ τὰ πολλὰ ἄστρα, ἐπειδὴ οὔτε ἕνα ἄστρον δὲν ἔχει αὐτὴν τὴν φύσιν. Καὶ δὲν ἐπροχωροῦσεν ἁπλῶς, ἀλλὰ τοὺς ἔσυρεν ἀπὸ τὸ χέρι καὶ τοὺς καθωδηγοῦσεν ἡμέρα μεσημέρι.

4. Καὶ τί ἐχρειάζετο τὸ ἄστρον τοῦτο, ἐρωτᾷ, ἀφοῦ εἶχε γίνει γνωστὸν τὸ μέρος;

Ἵνα καὶ τὸ παιδίον ὀφθῇ. Οὐδὲ γὰρ ἦν τι τὸ δηλοῦν αὐτό· ἐπειδὴ οὐδὲ ἡ οἰκία περιφανὴς ἦν, οὔτε ἡ μήτηρ λαμπρὰ καὶ ἐπίσημος. Ἔδει τοίνυν τοῦ ἀστέρος τοῦ ἐπιστήσοντος αὐτοὺς τῷ τόπῳ. Διὸ καὶ ἀπὸ Ἱεροσολύμων ἐξελθοῦσι φαίνεται, καὶ οὐ πρότερον ἵσταται, ἕως τὴν φάτνην κατέλαβε. Καὶ θαῦμα συνήπτετο θαύματι· καὶ γὰρ ἀμφότερα παράδοξα ἦν, καὶ τὸ τοὺς μάγους προσκυνεῖν, καὶ τὸ τὸν ἀστέρα προάγειν, καὶ ἱκανὰ καὶ τοὺς σφόδρα λιθίνους ἐπισπάσασθαι. Εἰ μὲν γὰρ εἶπον οἱ μάγοι, ὅτι προφητῶν ἤκουσαν ταῦτα λεγόντων ἢ ὅτι ἄγγελοι κατ' ἰδίαν αὐτοῖς διελέχθησαν, κἂν ἠπιστήθησαν· νῦν δὲ τῆς ὄψεως τοῦ ἀστέρος ἄνωθεν φαινομένης, καὶ οἱ σφόδρα ἀναισχυντοῦντες ἐπεστομίζοντο. Εἶτα ἐπειδὴ ἐπέστη τῷ παιδίῳ, ἔστη πάλιν ὁ ἀστήρ· ὅπερ καὶ αὐτὸ μείζονος δυνάμεως ἢ κατὰ ἀστέρα ἦν, τὸ νῦν μὲν κρύπτεσθαι, νῦν δὲ φαίνεσθαι, καὶ φανέντα ἵστασθαι.

Ἐντεῦθεν κἀκεῖνοι προσθήκην πίστεως ἐλάμβανον. Διὰ τοῦτο καὶ ἐχάρησαν, ὅτι τὸ ζητούμενον εὗρον, ὅτι ἄγγελοι ἀληθείας γεγόνασι, ὅτι οὐκ εἰκῇ τοσαύτην ἦλθον ὁδόν· οὕτω πολύν τινα πόθον περὶ τὸν Χριστὸν εἶχον. Καὶ γὰρ ἐλθὼν κατ' αὐτῆς ἔστη τῆς κεφαλῆς, δεικνὺς ὅτι θεῖόν ἐστι τὸ γέννημα· καὶ σταθείς, ἐπὶ τὴν προσκύνησιν ἄγει οὐχ ἁπλῶς βαρβάρους, ἀλλὰ τοὺς σοφωτέρους παρ' ἐκείνοις. Ὁρᾷς ὅτι εἰκότως ἀστὴρ ἐφάνη; Καὶ γὰρ μετὰ τὴν προφητείαν, καὶ μετὰ τὴν τῶν ἀρχιερέων καὶ γραμματέων ἐξήγησιν, ἔτι τούτῳ προσεῖχον.

Αἰσχυνέσθω Μαρκίων, αἰσχυνέσθω Παῦλος ὁ Σαμοσατεύς.

---

1. Ὁ Μαρκίων ἦτο αἱρεσιάρχης τοῦ β' αἰ., ποὺ συνεκρότησε διαρχικὸν θεολογικὸν σύστημα. Δέχεται μόνον τὸ εὐαγγέλιον τοῦ Λουκᾶ, ὡς μαθητοῦ τοῦ Παύλου. Ὠργάνωσεν ἰδικήν του ἐκκλησίαν. Ὁ Χριστὸς κατ' αὐτὸν ἐνεφανίσθη ὡς ἐνῆλιξ αἰφνιδίως, ἡ δὲ σταύρωσίς του ἦτο φαινομενική. Κατεπολεμήθη ὑπὸ διαπρεπῶν θεολόγων, ὅπως ὁ Ἰουστῖνος, ὁ Εἰρηναῖος, ὁ Τερτυλλιανὸς κ.ἄ.

2. Ὁ Παῦλος ὁ Σαμοσατεὺς ἦτο αἱρετικὸς τοῦ γ' αἰ., χρηματίσας ἐπίσκοπος Ἀντιοχείας (260 - 268). Ἦτο ὑλόφρων, ἀγέρωχος, ἐπιδεικτικός. Ἠρνεῖτο τὸ δόγμα τῆς ἁγ. Τριάδος καὶ τὸ τῆς ἐνανθρωπήσεως, μὴ παραδεχόμενος τὰς αἰωνίους ὑποστάσεις τοῦ Υἱοῦ καὶ τοῦ ἁγ. Πνεύματος. Διέφυγε

Διὰ νὰ γίνῃ ὁρατὸν καὶ τὸ παιδί. Διότι δὲν ὑπῆρχε κανένα σημεῖον ποὺ νὰ τὸ δεικνύῃ· οὔτε τὸ σπίτι ἦτο μεγαλοπρεπὲς οὔτε ἡ μητέρα λαμπρὰ καὶ ἐπίσημος. Ἐχρειάζετο λοιπὸν τὸ ἄστρον ποὺ θὰ τοὺς ἐσταματοῦσεν εἰς τὸν ὡρισμένον τόπον. Διὰ τοῦτο καὶ ἐμφανίζεται εἰς αὐτούς, ὅταν ἐξῆλθαν ἀπὸ τὰ Ἱεροσόλυμα καὶ δὲν ἐσταμάτησε προηγουμένως, ὥσπου ἔφθασαν εἰς τὴν φάτνην. Τὸ θαῦμα συνεδυάζετο μὲ θαῦμα, διότι καὶ τὰ δύο ἦσαν παράδοξα· καὶ οἱ μάγοι ποὺ προσκυνοῦν καὶ τὸ ἄστρον ποὺ ὡδηγοῦσεν, ἀλλὰ καὶ ἱκανὰ ἦσαν νὰ ἀποσπάσουν τὴν προσοχὴν ἀνθρώπων ἀπὸ λίθον. Διότι ἂν οἱ μάγοι ἔλεγαν, ὅτι ἤκουσαν ἀπὸ τοὺς προφήτας νὰ τὰ λέγουν αὐτὰ ἢ ὅτι οἱ ἄγγελοι εἶχαν εἰς αὐτοὺς ὁμιλήσει ἰδιαιτέρως, θὰ ἠμποροῦσαν νὰ μὴ γίνουν πιστευτοί. Τώρα ὅμως, ποὺ ἐφαίνετο τὸ ἄστρον εἰς τὸν οὐρανόν, ἀπεστομώνοντο καὶ οἱ πλέον ἀναίσχυντοι. Καὶ ἔπειτα ὅταν ἔφθασεν ἐπάνω ἀπὸ τὸ παιδί, τὸ ἄστρον ἐσταμάτησε πάλιν. Καὶ τοῦτο ὑπερέβαλλε τὴν δύναμιν τοῦ ἄστρου, τώρα νὰ κρύπτεται, ἔπειτα νὰ φαίνεται καὶ μετὰ τὴν ἐμφάνισιν νὰ σταματᾷ.

Ἀπὸ αὐτὰ καὶ ἐκεῖνοι ἐλάμβαναν ἐνίσχυσιν εἰς τὴν πίστιν των. Καὶ διὰ τοῦτο καὶ ἐχάρησαν· ἐπειδὴ εὑρῆκαν ὅ,τι ἐζητοῦσαν, ἐπειδὴ ἔγιναν ἀγγελιοφόροι τῆς ἀληθείας, ἐπειδὴ δὲν ἔκαμαν ἄδικα τόσον δρόμον. Τόσον μέγας ἦτο ὁ πόθος των διὰ τὸν Χριστόν. Καὶ ἀφοῦ ἦλθεν ἐστάθη ἐπάνω εἰς τὴν κεφαλήν του καὶ ἐδείκνυεν ὅτι τὸ παιδὶ ἦτο θεῖον. Καὶ ἀφοῦ ἐστάθη ὠθεῖ εἰς προσκύνησιν ὄχι ἁπλῶς βαρβάρους ἀλλὰ τοὺς πλέον σοφοὺς μεταξὺ αὐτῶν. Βλέπεις ὅτι εὐλόγως ἐνεφανίσθη τὸ ἄστρον; Ἀκόμη καὶ μετὰ τὴν προφητείαν καὶ ἔπειτα ἀπὸ τὴν ἐξήγησιν τῶν ἀρχιερέων καὶ γραμματέων, ἐπρόσεχαν εἰς αὐτό.

Ἂς ἐντρέπεται ὁ Μαρκίων [1], ἂς ἐντρέπεται ὁ Παῦλος [2]

κατὰ τὴν πρώτην ἐναντίον του γενομένην τὸ 264 σύνοδον ἐπισκόπων τοῦ πατρ)κοῦ θρόνου Ἀντιοχείας, ἀλλὰ ἀπεγυμνώθη ἀπὸ τὰ ἐπιχειρήματά του κατὰ τὴν δευτέραν καὶ εὐρυτέραν σύνοδον τοῦ 268 ἀπὸ τὸν πρεσβύτερον Μαλχίωνα.

μὴ βουληθέντες ἰδεῖν ἅπερ οἱ μάγοι εἶδον, οἱ τῆς Ἐκκλησίας πρόγονοι· οὐδὲ γὰρ αἰσχύνομαι οὕτως αὐτοὺς καλῶν. Αἰσχυνέσθω Μαρκίων, ὁρῶν Θεὸν ἐν σαρκὶ προσκυνούμενον. Αἰσχυνέσθω Παῦλος, ὁρῶν οὐχ ὡς ἄνθρωπον προσκυνούμενον ἁπλῶς. Ἀλλ' ὅτι μὲν ἐν σαρκί, τὰ σπάργανα δείκνυσι καὶ ἡ φάτνη· ὅτι δὲ οὐχ ὡς ψιλὸν ἄνθρωπον προσεκύνουν, δηλοῦσιν ἐν ἀώρῳ τῆς ἡλικίας τοιαῦτα δῶρα προσάγοντες, ἃ Θεῷ προσάγειν εἰκὸς ἦν. Αἰσχυνέσθωσαν μετ' αὐτῶν καὶ Ἰουδαῖοι, βαρβάρους καὶ μάγους ὁρῶντες αὐτοὺς φθάνοντας, καὶ οὐδὲ μετ' ἐκείνους ἐλθεῖν ἀνεχόμενοι. Καὶ γὰρ τύπος ἦν τῶν μελλόντων τὰ τότε γινόμενα· καὶ ἐξ αὐτῶν τῶν προοιμίων ἐδηλοῦτο, ὅτι φθάσει τὸν δῆμον τὸν ἐκείνων τὰ ἔθνη.

Καὶ πῶς, φησίν, οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μετὰ ταῦτα ἔλεγε· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη»;

Ὅτι τοῦ μέλλοντος, ὅπερ ἔφην, γίνεσθαι τύπος ἦν τὸ συμβαῖνον, καὶ προαναφώνησίς τις. Τὸ μὲν γὰρ ἀκόλουθον ἦν, Ἰουδαίους προσελθεῖν πρώτους· ἐπειδὴ δὲ ἑκόντες προὔδωκαν τὴν οἰκείαν εὐεργεσίαν, ἀντιστρόφως τὰ πράγματα γέγονεν. Ἐπεὶ οὐδὲ ἐνταῦθα πρὸ τῶν Ἰουδαίων ἔδει τοὺς μάγους ἐλθεῖν· οὐδὲ τοὺς ἐκ τοσούτου διαστήματος προλαβεῖν τοὺς παρ' αὐτὴν τὴν πόλιν καθημένους· οὐδὲ τοὺς οὐδὲν ἀκηκοότας φθάσαι τοὺς προφητείαις συντραφέντας τοσαύταις. Ἐπειδὴ δὲ μεθ' ὑπερβολῆς τὰ οἰκεῖα ἠγνόησαν καλά, οἱ ἀπὸ Περσίδος τοὺς ἐν Ἱεροσολύμοις προλαμβάνουσιν· ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν· «Ὑμῖν ἀναγκαῖον ἦν πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Κυρίου· ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς ἐκρίνατε, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Εἰ γὰρ καὶ μὴ πρὸ τούτου ἐπείθοντο, παρὰ γοῦν τῶν μάγων ἀκούσαντες ἔδει δραμεῖν· ἀλλ' οὐκ ἠθέλησαν· διὰ τοῦτο, καθευδόντων ἐκείνων, οὗτοι προτρέχουσιν.

---

1. Ματθ. 28, 19.
2. Πρ. 13, 46

ἀπὸ τὰ Σαμόσατα, ποὺ δὲν ἠθέλησαν νὰ ἰδοῦν ὅ,τι εἶδαν οἱ μάγοι, οἱ πρόδρομοι τῆς Ἐκκλησίας. Δὲν ἐντρέπομαι νὰ τοὺς ἀποκαλῶ ἔτσι. Ἂς ἐντρέπεται ὁ Μαρκίων βλέπων τὸν Θεὸν ἐνσαρκωμένον νὰ δέχεται προσκύνησιν. Ἂς ἐντρέπεται ὁ Παῦλος βλέπων νὰ προσκυνῆται ὄχι ὡς ἁπλοῦς ἄνθρωπος. Ὅτι εἶναι ἔνσαρκος τὸ φανερώνουν τὰ σπάργανα καὶ ἡ φάτνη· ὅτι τὸν προσκυνοῦν ὄχι ὡς ἁπλοῦν ἄνθρωπον τὸ φανερώνουν μὲ τὴν προσφορὰν τόσων δώρων εἰς ἐντελῶς ἄωρον ἡλικίαν, τὰ ὁποῖα φυσικὸν ἦτο νὰ προσφέρουν εἰς Θεόν. Ἂς ἐντρέπωνται μαζί τους καὶ οἱ Ἰουδαῖοι, ποὺ τοὺς βλέπουν νὰ καταφθάνουν, ἂν καὶ βάρβαροι καὶ μάγοι, καὶ δὲν θέλουν ἐν τούτοις οὔτε ἔπειτ' ἀπὸ αὐτοὺς νὰ ἔλθουν. Τὰ ὅσα ἐγίνοντο τότε ἦσαν προτύπωσις τῶν μελλοντικῶν, καὶ ἐγίνετο φανερὸν ἀμέσως ἀπὸ τὰ προοίμια ὅτι τὰ ἔθνη θὰ ἔφθαναν τὸν Ἰουδαϊκὸν λαόν.

Ἀλλὰ διατί, ἐρωτᾷ, δὲν τὸ εἶπεν ἀπὸ τὴν ἀρχὴν ἀλλὰ ἀργότερα· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη» [1];

Διότι, ὅπως εἶπα, ὅ,τι συμβαίνει ἦτο διὰ νὰ γίνῃ προτύπωσις, ἕνα εἶδος προαναγγελία. Τὸ λογικὸν θὰ ἦτο νὰ προσέλθουν πρῶτοι οἱ Ἰουδαῖοι. Ἐπειδὴ ὅμως μὲ τὴν θέλησίν των ἐπεριφρόνησαν τὴν πρὸς αὐτοὺς εὐεργεσίαν, τὰ πράγματα ἔγιναν ἀντιστρόφως. Ἄλλως οὔτε ἐδῶ δὲν ἔπρεπε νὰ ἔλθουν οἱ μάγοι πρὸ τῶν Ἰουδαίων οὔτε νὰ προλάβουν ἐκεῖνοι ποὺ ἦλθαν ἀπὸ τόσην ἀπόστασιν αὐτοὺς ποὺ ἔμεναν εἰς τὴν ἰδίαν πόλιν· οὔτε αὐτοὶ ποὺ δὲν εἶχαν ἀκούσει τίποτε νὰ προφθάσουν αὐτοὺς ποὺ εἶχαν μεγαλώσει μέσα εἰς τόσον πολλὰς προφητείας. Ἐπειδὴ ἔδειξαν ὑπερβολικὴν ἄγνοιαν διὰ τὰ ἰδικά των προνόμια, προλαμβάνουν οἱ ὁδοιπόροι τῆς Περσικῆς, τοὺς κατοίκους τῶν Ἱεροσολύμων, πρᾶγμα ποὺ λέγει καὶ ὁ Παῦλος· «Ὑμῖν ἀναγκαῖον ἦν πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Κυρίου· ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς ἐκρίνατε ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη» [2]. Καὶ ἂν ἀκόμη δὲν ἐπείθοντο πρὶν ἀπὸ τοῦτο, ἔπρεπε νὰ τρέξουν ὅταν τοὐλάχιστον ἤκουσαν ἀπὸ τοὺς μάγους. Δὲν ἠθέλησαν· καὶ διὰ τοῦτο ἐνῷ ἐκεῖνοι ἐκοιμῶντο, προσέρχονται αὐτοί.

5. Ἀκολουθήσωμεν τοίνυν καὶ ἡμεῖς τοῖς μάγοις, καὶ τῆς βαρβάρου συνηθείας ἀπαλλαγῶμεν, καὶ πολὺ τὸ διάστημα ποιήσωμεν, ἵνα ἴδωμεν τὸν Χριστὸν ἐπεὶ κἀκεῖνοι εἰ μὴ μακρὰν τῆς αὐτῶν ἐγένοντο χώρας, οὐκ ἂν αὐτὸν εἶδον. Ἀποστῶμεν τῶν γηίνων πραγμάτων. Καὶ γὰρ οἱ μάγοι, ἕως μὲν ἦσαν ἐν τῇ Περσίδι, τὸν ἀστέρα ἑώρων· ἐπειδὴ δὲ ἀπέστησαν τῆς Περσίδος, τὸν ἥλιον τῆς δικαιοσύνης ἐθεάσαντο· μᾶλλον δὲ οὐδὲ τὸν ἀστέρα ἂν εἶδον, εἰ μὴ προθύμως ἐκεῖθεν ἀνέστησαν.

Ἀναστῶμεν οὖν καὶ ἡμεῖς· κἂν πάντες ταράττωνται, ἡμεῖς ἐπὶ τὴν οἰκίαν τοῦ παιδίου τρέχωμεν· κἂν βασιλεῖς, κἂν δῆμοι, κἂν τύραννοι τὴν ὁδὸν ταύτην ἐκκόπτωσι, μὴ καταλύωμεν τὸν πόθον. Οὕτω γὰρ πάντα τὰ ἐπικείμενα, διακρουσόμεθα δεινά. Ἐπεὶ καὶ οὗτοι, εἰ μὴ τὸ παιδίον εἶδον, οὐκ ἂν τὸν κίνδυνον ἐξέφυγον τὸν παρὰ τοῦ βασιλέως. Πρὶν ἢ τὸ παιδίον ἰδεῖν, φόβοι καὶ κίνδυνοι καὶ ταραχαὶ πάντοθεν ἐπέκειντο· μετὰ δὲ τὴν προσκύνησιν, γαλήνη καὶ ἀσφάλεια· καὶ οὐκέτι ἀστήρ, ἀλλ' ἄγγελος αὐτοὺς δέχεται, ἱερέας ἀπὸ τῆς προσκυνήσεως γενομένους· καὶ γὰρ καὶ δῶρα προσέφερον.

Ἀφεὶς τοίνυν καὶ σὺ τὸν Ἰουδαϊκὸν λαόν, τὴν ταραττομένην πόλιν, τὸν φονῶντα τύραννον, τὴν βιωτικὴν φαντασίαν, σπεῦσον ἐπὶ τὴν Βηθλεέμ, ὅπου ὁ οἶκος τοῦ ἄρτου τοῦ πνευματικοῦ. Κἂν γὰρ ποιμὴν ᾖς καὶ ἐνταῦθα ἔλθῃς, ὄψει τὸ παιδίον ἐν καταλύματι. Κἂν βασιλεὺς ᾖς καὶ μὴ παραγένῃ, οὐδέν σοι τῆς πορφυρίδος ὄφελος· κἂν μάγος ᾖς, οὐδέν σε κωλύσει τοῦτο, μόνον ἂν ἐπὶ τῷ τιμῆσαι ἔλθῃς καὶ προσκυνῆσαι, καὶ μὴ καταπατῆσαι τὸν Υἱὸν τοῦ Θεοῦ· ἂν μετὰ τρόμου καὶ χαρᾶς τοῦτο ποιῇς· ἔστι γὰρ ταῦτα ὁμοῦ συνελθεῖν ἀμφότερα. Ἀλλ' ὅρα μὴ κατὰ τὸν Ἡρώδην γένῃ καὶ εἴπῃς· «Ὅπως ἐλθὼν προσκυνήσω αὐτόν», καὶ ἐλθὼν ἀνελεῖν βουληθῇς. Τούτῳ γὰρ ἐοίκασιν οἱ τῶν μαρτυρίων

5. Ἂς ἀκολουθήσωμεν λοιπὸν καὶ ἡμεῖς τοὺς βαρβάρους μάγους καὶ ἂς ἀπαλλαγοῦμεν ἀπὸ τὴν βάρβαρον συνήθειαν καὶ ἂς βαδίσωμεν μακρυνὴν ἀπόστασιν, διὰ νὰ ἰδοῦμεν τὸν Χριστόν, διότι καὶ ἐκεῖνοι, ἂν δὲν ἐταξίδευαν μακρὰν ἀπὸ τὴν γῆν των, δὲν θὰ τὸν ἔβλεπαν. Ἂς ἀφήσωμεν τὰ γήινα πράγματα. Διότι οἱ μάγοι, ἐνόσῳ εὑρίσκοντο εἰς τὴν Περσίαν ἔβλεπαν τὸ ἄστρον, ὅταν ὅμως ἐγκατέλειψαν τὴν Περσίαν, ἀντίκρυσαν τὸν ἥλιον τῆς δικαιοσύνης. Ἢ μᾶλλον οὔτε τὸ ἄστρον θὰ ἔβλεπαν, ἂν δὲν ἀναχωροῦσαν προθύμως ἀπὸ αὐτήν.

Ἂς σηκωθοῦμεν λοιπὸν καὶ ἡμεῖς. Καὶ ἂν ταράσσωνται ὅλοι, ἐμεῖς ἂς τρέξωμεν πρὸς τὸ σπίτι τοῦ παιδιοῦ. Καὶ ἂν μᾶς ἐμποδίζουν εἰς τὸν δρόμον μας αὐτὸν εἴτε βασιλεῖς εἴτε πλήθη εἴτε τύραννοι, ἂς μὴ ἀφήσωμεν τὸν πόθον μας νὰ σβήσῃ. Ἔτσι θὰ ἀποκρούσωμεν τὰ δεινὰ ποὺ μᾶς ἀπειλοῦν. Διότι καὶ αὐτοί, ἂν δὲν ἔβλεπαν τὸ παιδί, δὲν θὰ ἐξέφευγαν τὸν κίνδυνον ἐκ μέρους τοῦ βασιλέως. Πρὶν ἰδοῦν τὸ παιδὶ ἐπρομηνύοντο ἀπὸ παντοῦ φόβοι καὶ κίνδυνοι καὶ ταραχαί· μετὰ τὴν προσκύνησιν ἡ γαλήνη καὶ ἡ ἀσφάλεια. Ὄχι πλέον ἄστρον ἀλλὰ τοὺς ἀναλαμβάνει ὁ ἄγγελος, ἀφοῦ ἔγιναν ἔπειτα ἀπὸ τὴν προσκύνησιν ἱερεῖς, ἀφοῦ ἄλλωστε προσφέρουν καὶ δῶρα.

Ἄφησε λοιπὸν καὶ σὺ τὸν Ἰουδαϊκὸν λαόν, τὴν πόλιν ποὺ ταράσσεται, τὸν αἱμοδιψῆ τύραννον, τὴν πλάνην τοῦ βίου καὶ σπεῦσε εἰς τὴν Βηθλεέμ, ὅπου εἶναι ὁ οἶκος τοῦ ἄρτου τοῦ πνευματικοῦ. Ἂν εἶσαι βοσκὸς καὶ ἔλθῃς ἐδῶ, θὰ ἰδῇς τὸ παιδὶ εἰς τὸ κατάλυμα. Ἂν εἶσαι βασιλεὺς καὶ δὲν ἔλθῃς, εἰς τίποτε δὲν θὰ σὲ ὠφελεῖ ἡ πορφύρα. Ἂν εἶσαι μάγος, κανένα ἐμπόδιον ἀπὸ τὴν ἰδιότητά σου, φθάνει νὰ ἔλθῃς διὰ ν' ἀποδώσῃς τιμὴν καὶ προσκύνησιν καὶ ὄχι νὰ καταπατήσῃς τὸν Υἱὸν τοῦ Θεοῦ· ἂν προσέλθῃς μὲ τρόμον καὶ χαρὰν—διότι εἶναι δυνατὸν νὰ συνδυασθοῦν αὐτὰ τὰ δύο. Πρόσεξε μόνον μὴ ὁμοιάσῃς μὲ τὸν Ἡρώδην καὶ εἰπῇς· Διὰ νὰ ἔλθω καὶ ἐγὼ νὰ τὸν προσκυνήσω, καὶ ὅταν ἔλθῃς θελήσῃς νὰ τὸν φονεύσῃς. Διότι μὲ αὐτὸν ὁμοιάζουν ὅσοι μετέχουν ἀνάξια εἰς τὰ μυστή-

ἀναξίως μετέχοντες. «Ἔνοχος γὰρ ὁ τοιοῦτος ἔσεται», φησί, «τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου». Καὶ γὰρ ἔχουσιν ἐν ἑαυτοῖς τὸν τύραννον ἀλγοῦντα τῇ βασιλείᾳ τοῦ Χριστοῦ, τὸν ἐκείνου τοῦ Ἡρώδου παρανομώτερον μαμωνᾶν. Οὗτος γὰρ βούλεται κρατεῖν, καὶ πέμπει τοὺς οἰκείους τοὺς ἑαυτοῦ, προσκυνήσοντας μὲν σχήματι, σφάττοντας δὲ ἐν τῷ προσκυνεῖν.

Φοβηθῶμεν τοίνυν μή ποτε σχῆμα μὲν ἱκετῶν καὶ προσκυνητῶν ἔχωμεν, ἐν δὲ τῷ ἔργῳ τὰ ἐναντία ἐπιδειξώμεθα. Καὶ πάντα ἀπὸ τῶν χειρῶν ῥίψωμεν, προσκυνεῖν μέλλοντες. Κἂν χρυσὸν ἔχωμεν, αὐτῷ προσενέγκωμεν, καὶ μὴ κατορύξωμεν. Εἰ γὰρ οἱ βάρβαροι τότε ἐκεῖνοι εἰς τιμὴν προσήνεγκαν, τίς ἔσῃ μηδὲ τῷ χρείαν ἔχοντι διδούς; Εἰ ἐκεῖνοι τοσαύτην ἦλθον ὁδόν, ἵνα τεχθέντα ἴδωσι, ποίαν ἕξεις ἀπολογίαν σύ, μηδὲ στενωπὸν ἕνα ἀπιών, ἵνα ἀῤῥωστοῦντα ἐπισκέψῃ καὶ δεδεμένον; Καίτοιγε κάμνοντας καὶ δεδεμένους, καὶ τοὺς ἐχθροὺς ἐλεοῦμεν· σὺ δὲ οὐδὲ τὸν εὐεργέτην τὸν σὸν καὶ Δεσπότην. Κἀκεῖνοι μὲν χρυσίον προσήνεγκαν· σὺ δὲ ἄρτον μόλις δίδως. Ἐκεῖνοι εἶδον τὸν ἀστέρα, καὶ ἐχάρησαν· σὺ δὲ αὐτὸν ὁρῶν τὸν Χριστὸν ξένον ὄντα καὶ γυμνὸν οὐκ ἐπικάμπτῃ. Τίς γὰρ ὑμῶν διὰ τὸν Χριστὸν τοσαύτην ἀποδημίαν ἀπεδήμησε τῶν μυρία εὐεργετηθέντων, ὅσην ἐκεῖνοι οἱ βάρβαροι, μᾶλλον δὲ οἱ φιλοσόφων φιλοσοφώτερα;

Καὶ τί λέγω τοσαύτην ὁδόν; Πολλαὶ γὰρ τῶν γυναικῶν οὕτως ἡμῖν μαλακίζονται, ὡς μηδὲ ἄμφοδον ἓν ὑπερβῆναι, καὶ ἰδεῖν αὐτὸν ἐπὶ τῆς φάτνης τῆς πνευματικῆς, εἰ μὴ ἡμιόνων ἐπιλάβοιντο. Ἕτεροι δὲ ἐπειδὴ βαδίζειν ἔχουσιν, οἱ μὲν βιωτικῶν πραγμάτων ὄχλον, οἱ δὲ θέατρα τῆς ἐνταῦθα ἀφίξεως προτιθέασι. Καὶ οἱ μὲν βάρβαροι πρὶν ἰδεῖν αὐτὸν τοσαύτην ἠνυ-

---

1. Α' Κορ. 11, 27

ρια. «Ἔνοχος γάρ», μᾶς λέγει, «ὁ τοιοῦτος ἔσεται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου»[1]. Διότι ἔχουν μέσα των τὸν τύραννον ποὺ βασανίζεται ἀπὸ τὴν βασιλείαν τοῦ Θεοῦ καὶ εἶναι παρανομώτερος ἀπὸ ἐκεῖνον τὸν Ἡρώδην, τὸν τύραννον Μαμωνᾶν. Αὐτὸς ἐπιθυμεῖ νὰ ἐπικρατήσῃ καὶ στέλλει τοὺς ἰδικούς του, διὰ νὰ προσκυνήσουν κατὰ τύπους, ποὺ φονεύουν ὅμως κατὰ τὴν προσκύνησιν.

Ἂς φοβηθοῦμεν λοιπὸν μήπως λαμβάνωμεν κάποτε τὴν μορφὴν ἱκετῶν ὡς προσκυνητῶν, δείξωμεν ὅμως εἰς τὴν πρᾶξιν συμπεριφορὰν ἀντίθετον. Ἂς πετάξωμεν τὰ πάντα ἀπὸ τὰ χέρια μας, ὅταν πρόκειται νὰ προσκυνήσωμεν. Ἂν ἔχωμεν χρυσόν, ἂς τὸν προσφέρωμεν εἰς αὐτὸν καὶ ἂς μὴ τὸν κρύψωμεν εἰς τὴν γῆν. Ἂν οἱ βάρβαροι τότε ἐκεῖνοι τὸν προσέφεραν τιμητικῶς, ποῖος εἶσαι σὺ ποὺ δὲν δίδεις εἰς αὐτὸν ποὺ ἔχει ἀνάγκην; Ἐὰν ἐκεῖνοι ἔκαμαν τόσον δρόμον, διὰ νὰ ἰδοῦν τὸν γεννηθέντα, τί θὰ ἀπολογηθῇς σύ, ποὺ μήτε ἕνα στενορρύμι δὲν ἐπέρασες, διὰ νὰ ἐπισκεφθῇς ἕναν ἄρρωστον καὶ φυλακισμένον; Μολονότι, ὅταν ὑποφέρουν καὶ εἶναι φυλακισμένοι, ἐλεοῦμε καὶ τοὺς ἐχθρούς. Σὺ ὅμως δὲν ἐλεεῖς οὔτε τὸν εὐεργέτην καὶ Κύριόν σου. Καὶ ἐκεῖνοι προσέφεραν χρυσόν· ἐνῷ σὺ μὲ δυσκολίαν δίδεις ὀλίγο ψωμί. Ἐκεῖνοι εἶδαν τὸ ἄστρον καὶ ἐχάρησαν· σὺ ὅμως μολονότι βλέπεις τὸν ἴδιον τὸν Χριστὸν νὰ εἶναι ξένος καὶ γυμνός, δὲν σκύβεις ἐπάνω του. Ποῖος ἀπὸ σᾶς, ποὺ ἐδέχθητε ἀπείρους εὐεργεσίας, ἐπεχείρησε χάριν τοῦ Χριστοῦ τόσον μεγάλο ταξίδι, ὅσον ἐκεῖνοι οἱ βάρβαροι ἢ μᾶλλον ἐκεῖνοι οἱ φιλοσοφώτεροι ἀπὸ τοὺς φιλοσόφους;

Καὶ διατί λέγω τόσον δρόμον; Πολλαὶ γυναῖκες τόσον πολὺ μᾶς κάμνουν τὰς ἀδυνάτους, ὥστε μήτε ἕνα δρομάκι δὲν περνοῦν, διὰ νὰ τὰς ἰδοῦν ἐπάνω εἰς τὴν πνευματικὴν φάτνην, ἂν δὲν ἐξασφαλίσουν ὑποζύγιον. Ἄλλοι δὲ ποὺ δύνανται νὰ βαδίσουν, εἴτε θέτουν εἰς τὴν πρώτην μοῖραν τὸ πλῆθος τῶν βιοτικῶν φροντίδων εἴτε προτιμοῦν τὰ θέατρα ἀπὸ τὸ νὰ ἔλθουν ἐδῶ. Καὶ οἱ μὲν βάρβαροι προτοῦ νὰ ἰδοῦν διήνυσαν τόσον δρόμον πρὸς χάριν του. Σὺ ὅμως καὶ ἀφοῦ τὸν εἶδες, δὲν

σαν ὁδὸν δι' αὐτόν· σὺ δὲ οὐδὲ μετὰ τὸ ἰδεῖν ἐκείνους ζηλοῖς, ἀλλ' ἀφεὶς αὐτὸν μετὰ τὸ ἰδεῖν, τρέχεις ἵνα τὸν μῖμον ἴδῃς (τῶν γὰρ αὐτῶν ἅπτομαι πάλιν ὧν καὶ πρώην)· καὶ κείμενον τὸν Χριστὸν ὁρῶν ἐπὶ φάτνης, καταλιμπάνεις, ἵνα γυναῖκας ἐπὶ σκηνῆς ἴδῃς. Πόσων οὐκ ἄξια ταῦτα σκηπτῶν;

6. Εἰπὲ γάρ μοι, εἴ τίς σε εἰς βασίλεια εἰσαγαγεῖν ἐπηγγέλλετο, καὶ δείξειν τὸν βασιλέα καθήμενον, ἆρα ἂν εἵλου τὸ θέατρον ἀντὶ τούτων ἰδεῖν; Καίτοιγε οὐδὲν οὐδὲ ἐκεῖθεν κερδᾶναι ἦν. Ἐνταῦθα δὲ πηγὴ πυρὸς πνευματικὴ ἀπὸ ταύτης ἀναβλύζει τῆς τραπέζης· καὶ σὺ ταύτην ἀφείς, κατατρέχεις εἰς τὸ θέατρον, ἰδεῖν νηχομένας γυναῖκας καὶ φύσιν παραδειγματιζομένην, καταλιπὼν τὸν Χριστὸν παρὰ τὴν πηγὴν καθήμενον; Καὶ γὰρ καὶ νῦν παρὰ τὴν πηγὴν κάθηται, οὐ Σαμαρείτιδι διαλεγόμενος, ἀλλ' ὁλοκλήρῳ πόλει· τάχα δὲ καὶ νῦν Σαμαρείτιδι μόνῃ. Οὐδεὶς γὰρ αὐτῷ πάρεστιν οὐδὲ νῦν· ἀλλ' οἱ μὲν τοῖς σώμασι μόνοις, οἱ δὲ οὐδὲ αὐτοῖς. Ἀλλ' ὅμως αὐτὸς οὐκ ἀναχωρεῖ, ἀλλὰ μένει, καὶ παρ' ἡμῶν αἰτεῖ πιεῖν, οὐχ ὕδωρ, ἀλλ' ἁγιωσύνην· τὰ γὰρ ἅγια τοῖς ἁγίοις δίδωσιν. Οὐδὲ γὰρ ὕδωρ ἀπὸ ταύτης ἡμῖν παρέχει τῆς πηγῆς, ἀλλ' αἷμα ζῶν· καὶ μὴν θανάτου ἐστὶ σύμβολον, ἀλλὰ ζωῆς γέγονεν αἴτιον. Σὺ δὲ ἀφεὶς τὴν πηγὴν τοῦ αἵματος, τὸ ποτήριον τὸ φρικῶδες, εἰς πηγὴν ἀπέρχῃ διαβολικήν, ὥστε νηχομένην πόρνην ἰδεῖν, καὶ ναυάγιον ὑπομεῖναι ψυχῆς. Τὸ γὰρ ὕδωρ ἐκεῖνο πέλαγος ἀσελγείας ἐστίν, οὐ σώματα ποιοῦν ὑποβρύχια, ἀλλὰ ψυχῶν ναυάγια ἐργαζόμενον. Ἀλλ' ἡ μὲν νήχεται γυμνουμένη τὸ σῶμα, σὺ δὲ ὁρῶν καταποντίζῃ πρὸς τὸν τῆς ἀσελγείας βυθόν. Τοιαύτη γὰρ ἡ τοῦ διαβόλου σαγήνη· οὐκ εἰς αὐτὸ κατιόντας τὸ ὕδωρ, ἀλλ' ἄνωθεν καθημένους τῶν ἐκεῖ καλινδουμένων μᾶλλον ὑποβρυχίους ποιεῖ, καὶ χαλεπώτερον ἀποπνίγει τοῦ Φαραώ, τοῦ μετὰ

---

1. Θεατρικὸν εἶδος, γνωστὸν καὶ σήμερον.

ζηλεύεις ἐκείνους ἀλλὰ τὸν ἀφήνεις μόλις τὸν εἶδες καὶ τρέχεις διὰ νὰ παρακολουθήσῃς τὸν μῖμον [1] —ἔρχομαι πάλιν εἰς αὐτὰ ποὺ ἔλεγα καὶ προηγουμένως. Καὶ ἀφήνεις τὸν Χριστὸν ἐνῷ τὸν βλέπεις ἐπάνω εἰς τὴν φάτνην, διὰ νὰ ἴδῃς γυναῖκας ἐπάνω εἰς τὴν σκηνήν. Διὰ πόσους κεραυνοὺς δὲν εἶναι ἄξια ὅλα αὐτά;

6. Εἰπέ μου. Ἂν σοῦ ὑπέσχετο κάποιος ὅτι θὰ σὲ ὡδηγοῦσεν εἰς τὰ ἀνάκτορα καὶ θὰ σοῦ ἔδειχνε τὸν βασιλέα εἰς τὸν θρόνον, θὰ ἐπροτιμοῦσες ἄραγε νὰ ἴδῃς τὸ θέαμα καὶ ὄχι τὰ ἀνάκτορα; Μολονότι καὶ ἀπὸ αὐτὰ βέβαια δὲν ἔχεις νὰ κερδίσῃς τίποτε. Ἐνῷ ἐδῶ ἀπὸ αὐτὴν τὴν τράπεζαν ἀναβλύζει πυρίνη, πνευματικὴ πηγή, ποὺ σὺ τὴν ἀφήνεις καὶ τρέχεις εἰς τὸ θέατρον, νὰ ἴδῃς γυναῖκας ποὺ κολυμβοῦν καὶ ἐξευτελίζουν τὴν φύσιν των· ἀφήνεις τὸν Χριστὸν νὰ κάθεται κοντὰ εἰς τὴν πηγήν. Διότι καὶ τώρα κάθεται κοντὰ εἰς τὸ πηγάδι, μόνον ποὺ δὲν συνομιλεῖ μὲ τὴν Σαμαρείτιδα ἀλλὰ μὲ ὁλόκληρον τὴν πόλιν· ἴσως ὅμως καὶ μὲ τὴν Σαμαρείτιδα μόνον. Διότι καὶ τώρα δὲν στέκεται κοντά του κανείς· ἀλλὰ μὲ τὰ σώματά των μόνον οἱ μέν, ἐνῷ οἱ δὲ οὔτε μὲ τὰ σώματα. Καὶ ὅμως αὐτὸς δὲν φεύγει ἀλλὰ μένει καὶ ζητεῖ ἀπὸ ἡμᾶς νὰ πιῇ ὄχι νερὸ ἀλλὰ ἁγιωσύνην. Διότι προσφέρει τὰ ἅγια εἰς τοὺς ἁγίους. Ἀπὸ αὐτὴν τὴν πηγὴν δὲν μᾶς δίδει νερὸ ἀλλὰ αἷμα ζωντανόν, ποὺ εἶναι βέβαια σύμβολον θανάτου, ἔγινεν ὅμως αἰτία ζωῆς. Σὺ ὅμως ἄφησες τὴν πηγὴν τοῦ αἵματος, τὸ φρικτὸν ποτήριον, καὶ κατευθύνεσαι πρὸς πηγὴν διαβολικήν, διὰ νὰ ἴδῃς πόρνην ποὺ κολυμβᾷ καὶ νὰ ὑπομείνῃς ἕνα ναυάγιον ψυχικόν. Διότι τὸ νερὸ ἐκεῖνο εἶναι πέλαγος ἀσελγείας, ποὺ δὲν κάμνει τὰ σώματα νὰ βουλιάζουν ἀλλὰ προξενεῖ ψυχικὰ ναυάγια. Καὶ ἐκείνη μὲ γυμνὸν σῶμα κολυμβᾷ, ἐνῷ σὺ βουλιάζεις εἰς τὸ πέλαγος τῆς ἀσελγείας. Αὐτὸ εἶναι τὸ δίκτυον τοῦ διαβόλου· ὄχι αὐτοὺς ποὺ εὑρίσκονται εἰς τὸ ὕδωρ ἀλλὰ ἐκείνους ποὺ μολονότι κάθηνται ὑψηλὰ εἰς τὴν ὄχθην, τοὺς κάμνει νὰ βουλιάζουν εἰς τὸ νερὸ περισσότερον ἀπὸ ὅσους κυλίονται εἰς αὐτὸ καὶ τοὺς πνίγει χειρότερα ἀπὸ ὅ,τι τὸν Φαραώ, ποὺ

τῶν ἵππων καὶ τῶν ἁρμάτων καταποντισθέντος τότε. Καὶ εἴγε ἦν ψυχὰς ἰδεῖν, πολλὰς ἂν ὑμῖν ἔδειξα ἐπιπλεούσας τοῖς ὕδασι τούτοις, ὥσπερ τῶν Αἰγυπτίων τότε τὰ σώματα.

Ἀλλὰ τὸ χαλεπώτερον ἐκεῖνό ἐστιν, ὅτι καὶ τέρψιν τὴν τοιαύτην πανωλεθρίαν καλοῦσι, καὶ τὸ πέλαγος τῆς ἀπωλείας ἡδονῆς εὔριπον ὀνομάζουσι.

Καίτοιγε εὐκολώτερον ἄν τις τὸ Αἰγαῖον καὶ Τυῤῥηνικὸν παραδράμοι πέλαγος μετὰ ἀσφαλείας ἢ τὴν θεωρίαν ταύτην. Πρῶτον μὲν γὰρ δι' ὅλης νυκτὸς προλαμβάνει τῇ προσδοκίᾳ τὰς ψυχὰς ὁ διάβολος, εἶτα δείξας τὸ προσδοκηθέν, ἔδησεν εὐθέως καὶ αἰχμαλώτους ἐποίησε. Μὴ γὰρ ἐπειδὴ μὴ ἐμίγης τῇ πόρνῃ, καθαρὸς εἶναι νομίσης τῆς ἁμαρτίας· τῇ γὰρ προθυμίᾳ τὸ πᾶν ἀπήρτισας. Εἰ μὲν γὰρ ὑπὸ ἐπιθυμίας κατέχῃ, μείζονα τὴν φλόγα ἀνῆψας· εἰ δὲ οὐδὲν πάσχεις πρὸς τὰ ὁρώμενα, μείζονος κατηγορίας εἶ ἄξιος, ἑτέροις σκάνδαλον γινόμενος τῇ τῶν θεαμάτων τούτων προτροπῇ, καὶ τὴν σεαυτοῦ καταισχύνων ὄψιν, καὶ μετὰ τῆς ὄψεως τὴν ψυχήν.

Ἀλλὰ γὰρ ἵνα μὴ μόνον ἐπιτιμῶμεν, φέρε καὶ τρόπον ἐπινοήσωμεν διορθώσεως. Τίς οὖν ὁ τρόπος ἔσται; Ταῖς γυναιξὶν ὑμᾶς παραδοῦναι βούλομαι ταῖς ὑμετέραις, ἵνα αὗται ὑμᾶς παιδεύσωσιν. Ἔδει γάρ, κατὰ τὸν τοῦ Παύλου νόμον, ὑμᾶς εἶναι τοὺς διδασκάλους· ἐπειδὴ δὲ ἡ τάξις ἀντεστράφη διὰ τῆς ἁμαρτίας, καὶ ἄνω μὲν τὸ σῶμα, κάτω δὲ ἡ κεφαλὴ γέγονε, κἂν ταύτην ἐλώμεθα τὴν ὁδόν. Εἰ δὲ αἰσχύνῃ διδάσκαλον ἔχων γυναῖκα, φύγε τὴν ἁμαρτίαν, καὶ δυνήσῃ ταχέως ἐπὶ τὸν θρόνον ἀναβῆναι τὸν παρὰ τοῦ Θεοῦ σοι δοθέντα. Ὡς ἕως ἂν πλημμελῆς, οὐχὶ πρὸς γυναῖκα μόνον, ἀλλὰ καὶ πρὸς ἄλογά σε εὐτελέστερα πέμπει ἡ Γραφή· καὶ οὐκ αἰσχύνεται τὸν λόγον τετιμημένον τῷ μύρμηκι πέμπουσα μαθητήν. Οὐ γὰρ τῆς Γραφῆς τοῦτο κατηγο-

---

1. Ἡ διασκέδασις εἶναι τόπος ναυαγίου ὅπου αἱ ψυχαί, πτώματα τυμπανιαῖα, ἐπιπλέουν νεκραὶ καὶ ἄχρηστοι εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδα-

κατεποντίσθη τότε μαζὶ μὲ ἵππους καὶ ἅρματα. Καὶ ἂν ἦτο δυνατὸν νὰ ἰδοῦμεν τὰς ψυχάς, θὰ μᾶς ἐπαρουσίαζε νὰ ἐπιπλέουν [1] εἰς τὰ νερὰ αὐτά, ὅπως τότε τὰ σώματα τῶν Αἰγυπτίων.

Τὸ τραγικώτερον ὅμως εἶναι τοῦτο· ὅτι τὴν γενικὴν αὐτὴν καταστροφὴν τὴν ἀποκαλοῦν διασκέδασιν καὶ τὴν θάλασσαν τῆς ἀπωλείας τὴν ὀνομάζουν πέλαγος τῆς ἡδονῆς.

Μολονότι εὐκολώτερον ἠμπορεῖ νὰ διαπλεύσῃ κανεὶς μὲ ἀσφάλειαν τὸ Αἰγαῖον πέλαγος καὶ τὸ Τυρρηνικὸν παρὰ νὰ προσπεράσῃ τὸ θέαμα τοῦτο. Πρῶτον, ὅλην τὴν νύκτα προετοιμάζει ὁ διάβολος τὰς ψυχὰς μὲ τὴν προσδοκίαν· ἔπειτα παρουσιάζει εἰς αὐτὰς ὅ,τι ἐπροσδοκοῦσαν, τὰς δεσμεύει ἀμέσως καὶ τὰς αἰχμαλωτίζει. Μὴ νομίζῃς, ἐπειδὴ δὲν ἐπλησίασες τὴν πόρνην, ὅτι εἶσαι καθαρὸς ἀπὸ τὴν ἁμαρτίαν. Μὲ τὴν ἐπιθυμίαν ὡλοκλήρωσες τὸ πρᾶγμα. Ἐὰν κατέχεσαι ἀπὸ ἐπιθυμίαν, ἔχεις ἀνάψει ἐντονωτέραν τὴν φλόγα. Ἂν ὅμως δὲν ἐπηρεάζεσαι καθόλου ἀπὸ ὅσα βλέπεις, εἶσαι ἄξιος μεγαλυτέρας κατηγορίας, ἐπειδὴ γίνεσαι σκάνδαλον διὰ τοὺς ἄλλους μὲ τὴν προτροπὴν εἰς τὰ θεάματα αὐτά, ἐξευτελίζεις τὴν ὅρασίν σου καὶ μαζὶ μὲ τὴν ὅρασιν καὶ τὴν ψυχήν.

Ἀλλὰ διὰ νὰ μὴ κατηγοροῦμεν μόνον, ἐμπρὸς ἂς προτείνωμεν καὶ κάποιον τρόπον διορθώσεως. Ποῖος θὰ εἶναι ὁ τρόπος; Θέλω νὰ σᾶς παραδώσω εἰς τὰς γυναῖκας σας, διὰ νὰ σᾶς διδάξουν ἐκεῖναι. Ἔπρεπε κατὰ τὸν νόμον ποὺ ὁρίζει ὁ Παῦλος νὰ εἶσθε σεῖς οἱ διδάσκαλοι. Ἐπειδὴ ὅμως λόγῳ τῆς ἁμαρτίας ἡ τάξις ἔχει ἀντιστραφῆ καὶ εὑρέθη τὸ σῶμα ἐπάνω καὶ κάτω ἡ κεφαλή, ἂς ἀκολουθήσωμεν τοὐλάχιστον τὸν δρόμον αὐτόν. Ἐὰν ἐπιτρέπεται νὰ ἔχῃς διδάσκαλον τὴν γυναῖκα σου, ἀπόφυγε τὴν ἁμαρτίαν καὶ θὰ ἠμπορέσῃς νὰ ἀναβῇς ταχέως εἰς τὸν θρόνον ποὺ σοῦ ἐδόθη ἀπὸ τὸν Θεόν. Ἕως ὅτου ἁμαρτάνῃς, ἡ Γραφὴ σὲ παραπέμπει ὄχι μόνον εἰς τὴν γυναῖκα ἀλλὰ καὶ εἰς ἄλογα ζῷα μηδαμινά. Δὲν διστάζει νὰ παραπέμπῃ εἰς τὸν μύρμηγκα ὡς μαθητὴν ἐσένα ποὺ ἔχεις τιμηθῆ μὲ λόγον.

τος. Εἰκὼν τραγικῆς ἐμπνεύσεως καὶ μεγαλείου.

ρία, ἀλλὰ τῶν οὕτω τὴν ἑαυτῶν εὐγένειαν προδιδόντων. Τοῦτο δὴ καὶ ἡμεῖς ποιήσομεν· καὶ νῦν μέν σε τῇ γυναικὶ παραδώσομεν· ἂν δὲ ταύτης καταφρονήσῃς, καὶ εἰς τὸν τῶν ἀλόγων διδασκαλεῖον ἀποστελοῦμεν, καὶ δείξομεν πόσοι μὲν ὄρνιθες, πόσοι δὲ ἰχθύες, πόσα δὲ τετράποδα καὶ ἑρπετὰ σοῦ σεμνότερα καὶ σωφρονέστερα φαίνεται. Εἰ δὲ αἰσχύνῃ τὴν σύγκρισιν καὶ ἐρυθριᾷς, ἀνάβηθι πρὸς τὴν οἰκείαν εὐγένειαν, καὶ τὸ τῆς γεέννης πέλαγος καὶ τὸν τοῦ πυρὸς ποταμὸν φύγε, τὴν ἐν τῷ θεάτρῳ κολυμβήθραν. Αὕτη γὰρ ἡ κολυμβήθρα ἐκεῖνο τὸ πέλαγος προξενεῖ, καὶ τὴν ἄβυσσον ἐκείνην ἀνάπτει τῆς φλογός.

7. Εἰ γὰρ «ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν»· ὁ καὶ γυμνὴν ἀναγκαζόμενος ἰδεῖν, πῶς οὐ μυριάκις αἰχμάλωτος γίνεται; Οὐχ οὕτως ὁ ἐπὶ τοῦ Νῶε κατακλυσμὸς τὸ τῶν ἀνθρώπων ἀπώλεσε γένος, ὡς αὗται αἱ νηχόμενα ἅπαντας ἐκεῖ μετὰ πολλῆς ἀποπνίγουσι τῆς αἰσχύνης. Ἐκεῖνος μὲν γὰρ ὁ ὑετός, εἰ καὶ θάνατον εἰργάσατο σώματος, ἀλλὰ τὴν τῆς ψυχῆς κακίαν ἀνέκοψεν· οὗτος δὲ τοὐναντίον ποιεῖ, τῶν σωμάτων μενόντων, τὴν ψυχὴν ἀπόλλυσιν. Ὑμεῖς δὲ ὅταν μὲν προεδρίας ᾖ λόγος, ἀξιοῦτε τῆς οἰκουμένης προκαθῆσθαι πάσης, ἐπειδὴ πρώτη ἡ πόλις ἡμῶν τὸ τῶν Χριστιανῶν ἀνεδήσατο ὄνομα· ἐν δὲ τῷ τῆς σωφροσύνης ἀγῶνι καὶ τῶν ἀγροικοτέρων πόλεων ἔλαττον φέροντες οὐκ αἰσχύνεσθε;

Ναί, φησί· καὶ τί κελεύεις ποιεῖν; Τὰ ὄρη καταλαμβάνειν καὶ μοναχοὺς γίνεσθαι;

Διὰ γὰρ τοῦτο στένω, ὅτι μόνοις ἐκείνοις ἡγεῖσθε ἁρμόζειν κοσμιότητα καὶ σωφροσύνην· καίτοιγε ὁ Χριστὸς κοινοὺς τοὺς νόμους ἔθηκε. Καὶ γὰρ ὅταν λέγῃ, «Ἐάν τις ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι», οὐ τῷ μονάζοντι λέγει, ἀλλὰ καὶ τῷ γυναῖκα

---

1. Ματθ. 5, 28.

2. Εἰς τὰς Πράξεις τῶν Ἀποστόλων κεφ. 11, 26 ἀναγράφεται· «Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς».

Δὲν ἀφορᾷ τὴν Γραφὴν ἡ κατηγορία αὐτή, ἀλλὰ ἐκείνους ποὺ προδίδουν ἔτσι τὴν εὐγένειάν των. Αὐτὸ θὰ κάμωμεν καὶ ἡμεῖς τώρα· θὰ σὲ παραδώσωμεν εἰς τὴν γυναῖκα σου. Καὶ ἂν τὴν περιφρονήσῃς θὰ σὲ παραπέμψωμεν εἰς τὸ σχολεῖον τῶν ἀλόγων ζώων καὶ θὰ σοῦ δείξωμεν πόσα πουλιά, πόσα εἴδη ἰχθύων, πόσα τετράποδα καὶ ἑρπετὰ εἶναι σεμνότερα καὶ φρονιμώτερά σου. Ἂν ἐντρέπεσαι καὶ κοκκινίζῃς διὰ τὴν σύγκρισιν, ὑψώσου εἰς τὸ ὕψος τῆς εὐγενείας σου, ἀπόφυγε τὸ πέλαγος τῆς γεέννης καὶ τὸν ποταμὸν τοῦ πυρός, τὸ λουτρὸν τοῦ θεάτρου. Διότι αὐτὸ τὸ λουτρὸν προκαλεῖ τὸ πέλαγος ἐκεῖνο καὶ ἀνάπτει ἐκείνην τὴν ἄβυσσον τῆς φλογός.

7. Ἂν «ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν» [1] αὐτὸς ποὺ ἀναγκάζεται νὰ τὴν ἰδῇ γυμνήν, πῶς δὲν γίνεται ἀπείρους φορὰς αἰχμάλωτός της; Δὲν ἐξηφάνισε κατ' αὐτὸν τὸν τρόπον τὸ γένος τῶν ἀνθρώπων ὁ κατακλυσμὸς ἐπὶ Νῶε, ὅπως δηλαδὴ αὐταὶ ποὺ κολυμβοῦν, πνίγουν ἐκεῖ τοὺς θεατάς των μὲ πολὺν ἐξευτελισμόν. Διότι ἡ νεροποντὴ ἐκείνη, μολονότι ἐπροξένησε τὸν θάνατον τοῦ σώματος, ἐσταμάτησεν ὅμως τὴν κακίαν τῆς ψυχῆς· αὐτὴ ἐδῶ κάμνει τὸ ἀντίθετον· ἀφήνει τὰ σώματα καὶ καταστρέφει τὴν ψυχήν. Ἐνῷ σεῖς ὅταν γίνεται λόγος διὰ πρωτοκαθεδρίαν, ἔχετε τὴν ἀξίωσιν νὰ εἶσθε οἱ πρωτοκάθεδροι τῆς οἰκουμένης, ἐπειδὴ ἡ πόλις μας πρώτη ἐδέχθη τὸ ὄνομα τῶν Χριστιανῶν [2]. Δὲν ἐντρέπεσθε ὅμως νὰ εἶσθε εἰς τὸν ἀγῶνα τῆς σωφροσύνης κατώτεροι ἀπὸ τὰς πιὸ καθυστερημένας πόλεις.

-Ναί, λέγει. Καὶ τί μᾶς συμβουλεύεις νὰ κάμωμεν; Νὰ πάρωμεν τὰ βουνὰ καὶ νὰ γίνωμεν μοναχοί;

Διὰ τοῦτο ἀκριβῶς στενάζω, ἐπειδὴ νομίζετε ὅτι εἰς αὐτοὺς μόνον ἁρμόζει ἡ κοσμιότης καὶ ἡ σωφροσύνη, ἂν καὶ ὁ Χριστὸς ἔθεσε κοινοὺς τοὺς νόμους δι' ὅλους. Διότι ὅταν λέγῃ· «Ἐάν τις ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι» [3] δὲν ἀπευθύνεται μόνον εἰς τὸν μοναχὸν ἀλλὰ καὶ εἰς ἐκεῖνον ποὺ ἔχει

3. Ματθ. 5, 28

ἔχοντι· καὶ γὰρ τὸ ὄρος ἐκεῖνο τότε πάντων τῶν τοιούτων πεπληρωμένον ἦν»·

Ἐννόησον τοίνυν ἐκεῖνο τὸ θέατρον, καὶ μίσησον τοῦτο τὸ διαβολικόν, καὶ μὴ καταγνῷς τοῦ λόγου βαρύτητα. Οὐδὲ γὰρ κωλύω γαμεῖν, οὐδὲ ἐμποδίζω τέρπεσθαι· ἀλλὰ μετὰ σωφροσύνης τοῦτο βούλομαι γίνεσθαι, οὐ μετὰ αἰσχύνης καὶ κατηγορίας καὶ μυρίων ἐγκλημάτων. Οὐ νομοθετῶ τὰ ὄρη καταλαμβάνειν καὶ τὰς ἐρημίας, ἀλλὰ χρηστὸν εἶναι καὶ ἐπιεικῆ καὶ σώφρονα, μέσην οἰκοῦντα τὴν πόλιν. Καὶ γὰρ πάντα ἡμῖν τὰ τῶν νόμων κοινὰ πρὸς τοὺς μοναχούς ἐστι, πλὴν τοῦ γάμου· μᾶλλον δὲ καὶ ἐν τούτῳ κελεύει ὁ Παῦλος ἐν ἅπασιν ἐξισοῦσθαι αὐτοῖς λέγων· «Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τοῦτο, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν».

Ὥστε, φησίν, οὐ κελεύω τὰς κορυφὰς τῶν ὀρέων καταλαμβάνειν· ἐβουλόμην μὲν γάρ, διὰ τὸ τὰς πόλεις μιμεῖσθαι τὰ ἐν Σοδόμοις γινόμενα· πλὴν οὐκ ἀναγκάζω τοῦτο. Μένε οἰκίαν ἔχων καὶ παιδία καὶ γυναῖκα· ἀλλὰ μὴ ὕβριζε τὴν γυναῖκα, μηδὲ παραδειγμάτιζε τὰ παιδία, μηδὲ εἰσήγαγε εἰς τὴν οἰκίαν τὴν ἀπὸ τῶν θεάτρων λύμην. Οὐκ ἀκούεις Παύλου λέγοντος, «Ὁ ἀνὴρ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος, ἀλλ' ἡ γυνή»· καὶ κοινοὺς ἀμφοτέροις τιθέντος νόμους; Σὺ δέ, ἂν μὲν εἰς ἐκκλησίαν συνεχῶς ἐμβάλλῃ ἡ γυνή, βαρὺς κατήγορος γίνῃ· αὐτὸς δὲ εἰς θέατρα διημερεύων, οὐχ ἡγῇ κατηγορίας ἄξιος εἶναι· ἀλλὰ περὶ μὲν τὴν τῆς γυναικὸς σωφροσύνην οὕτως εἶ ἀκριβής, ὡς καὶ περιττὸς εἶναι καὶ ἄμετρος, καὶ μηδὲ τὰς ἀναγκαίας ἐξόδους συγχωρεῖν· σαυτῷ δὲ νομίζεις πάντα ἐξεῖναι. Ἀλλ' οὐκ ἐπιτρέπει σοι Παῦλος, ὁ καὶ τῇ γυναικὶ τὴν αὐτὴν ἐξουσίαν διδούς, καὶ γάρ· «Τῇ γυναικί», φησίν, «ὁ ἀνὴρ τὴν ὀφειλομένην τιμὴν ἀποδιδότω». Ποία οὖν αὕτη ἡ τιμή, ὅταν ἐν τοῖς καιc

1. Α' Κορ. 7, 29.
2. Α' Κορ. 7, 4.
3. Α' Κορ. 7, 3.

γυναῖκα. Διότι τὸ ὄρος ἐκεῖνο τότε ἦτο γεμᾶτο ἀπὸ αὐτοὺς τοὺς ἀνθρώπους.

Κατανόησε λοιπὸν ἐκεῖνο τὸ θέατρον καὶ μίσησε τὸ διαβολικὸν τοῦτο καὶ μὴ καταδικάσῃς ὡς βαρὺν τὸν λόγον. Δὲν ἀπαγορεύω τὸν γάμον, οὔτε ἐμποδίζω νὰ διασκεδάζετε. Θέλω ὅμως νὰ γίνεται τοῦτο μὲ σωφροσύνην, ὄχι νὰ συνεπάγεται ἐξευτελισμὸν καὶ κατηγορίαν καὶ ἀπείρους κακὰς συνεπείας. Δὲν θέτω νόμον νὰ ἀποχωρῆτε εἰς τὰ ὄρη καὶ τὰς ἐρήμους ἀλλὰ νὰ εἶσθε ἠθικοί, μετριοπαθεῖς, σώφρονες καὶ νὰ κατοικῆτε εἰς τὸ κέντρον τῆς πόλεως. Ὅλοι οἱ νόμοι εἶναι κοινοὶ ἀνάμεσα εἰς ἡμᾶς καὶ τοὺς μοναχούς, ἐκτὸς ἀπὸ τὸν γάμον. Ἀλλὰ καὶ εἰς αὐτὸν ἀκόμη ὁ ἀπόστολος Παῦλος ὁρίζει, νὰ ἐξισωνώμεθα πρὸς αὐτούς, μὲ τοὺς λόγους· «Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν» [1].

Ὥστε δὲν προτρέπω νὰ ἔλθετε εἰς τὰς κορυφὰς τῶν βουνῶν. Βεβαίως καὶ θὰ τὸ ἤθελα τοῦτο, ἐπειδὴ αἱ πόλεις ἀντιγράφουν ὅσα ἔγιναν εἰς τὰ Σόδομα. Δὲν σᾶς ὑποχρεώνω ὅμως εἰς τοῦτο. Μένε εἰς τὸ σπίτι σου μὲ τὴν γυναῖκα καὶ τὰ παιδιά σου ἀλλὰ μὴ προσβάλλῃς τὴν γυναῖκα, μήτε νὰ ἐξευτελίζῃς τὰ παιδιά σου, μήτε νὰ φέρῃς εἰς τὸ σπίτι τὴν ἀκαθαρσίαν τοῦ θεάτρου. Δὲν ἀκούεις ποὺ ὁ ἀπόστολος Παῦλος λέγει· «Ὁ ἀνὴρ οὐκ ἐξουσιάζει τοῦ ἰδίου σώματος ἀλλ' ἡ γυνὴ» [2] καὶ θέτει νόμους κοινοὺς καὶ διὰ τοὺς δύο; Σὺ ὅμως, ἂν ἡ σύζυγός σου εἰσέρχεται συνεχῶς εἰς τὴν ἐκκλησίαν, γίνεσαι δριμὺς κατήγορός της· ὁ ἴδιος ὅμως, μολονότι περνᾷς τὴν ἡμέραν σου εἰς τὸ θέατρον, δὲν θεωρεῖς τὸν ἑαυτόν σου ἄξιον κατηγορίας. Ἀλλὰ διὰ τὴν σωφροσύνην τῆς γυναικὸς εἶσαι τόσον λεπτολόγος, ὥστε γίνεσαι σχολαστικὸς καὶ ὑπερβολικὸς καὶ δὲν τῆς ἐπιτρέπεις οὔτε τὰς πλέον ἀπαραιτήτους ἐξόδους· εἰς τὸν ἑαυτόν σου ὅμως νομίζεις ὅτι ὅλα ἐπιτρέπονται. Δὲν σοῦ τὰ ἐπιτρέπει ὅμως ὁ Παῦλος, ὁ ὁποῖος δίνει τὴν ἰδίαν ἐξουσίαν καὶ εἰς τὴν γυναῖκα. Μᾶς λέγει· «Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην τιμὴν ἀποδιδότω» [3]. Ποῦ εἶναι λοιπὸν αὐτὴ

ρίοις αὐτὴν ὑβρίζῃς, καὶ τὸ σῶμα αὐτῆς ταῖς πόρναις παρέχῃς; Τὸ γὰρ σὸν ἐκείνης σῶμά ἐστιν· ὅταν θορύβους καὶ πολέμους εἰσάγῃς εἰς τὴν οἰκίαν; ὅταν τοιαῦτα ποιῇς ἐν ἀγορᾷ, ἃ διηγούμενος ἐν οἰκίᾳ καταισχύνεις μὲν τὴν ἀκούουσαν γυναῖκα, αἰσχύνεις δὲ τὴν παροῦσαν θυγατέρα, καὶ πρό γε ἐκείνων σαυτόν; Ἀνάγκη γὰρ ἢ σιγᾶν ἢ τοιαῦτα ἀσχημονεῖν, ἐφ᾿ οἷς καὶ τοὺς οἰκέτας μαστίζεσθαι δίκαιον. Τίνα οὖν ἕξεις ἀπολογίαν, εἰπέ μοι, ἃ μηδὲ εἰπεῖν καλόν, ταῦτα βλέπων μετὰ πολλῆς τῆς σπουδῆς; ἃ μηδὲ διηγήσασθαι ἀνεκτόν, ταῦτα πάντων προτιθείς;

Τέως μὲν οὖν, ὥστε μὴ γενέσθαι φορτικώτερος, ἐνταῦθα καταλύσω τὸν λόγον. Ἐὰν δὲ τοῖς αὐτοῖς ἐπιμείνητε, ὀξύτερον τὸ σιδήριον ποιήσας, βαθυτέραν δώσω τὴν τομήν· καὶ οὐ παύσομαι, ἕως ἂν διασκεδάσας τοῦ διαβόλου τὸ θέατρον, καθαρὸν ποιήσω τῆς Ἐκκλησίας τὸν σύλλογον. Οὕτω γὰρ καὶ τῆς παρούσης αἰσχύνης ἀπαλλαγησόμεθα, καὶ τὴν μέλλουσαν καρπωσόμεθα ζωήν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἡ τιμή, ὅταν τὴν προσβάλλῃς εἰς τὰ οὐσιώδη καὶ διαθέτῃς τὸ σῶμα της εἰς τὰς πόρνας; Διότι τὸ σῶμα σου εἶναι ἰδικόν της. Ὅταν εἰσάγῃς εἰς τὸ σπίτι σου ταραχὰς καὶ μάχας. Ὅταν κάμῃς τέτοια πράγματα εἰς τὴν ἀγοράν, ποὺ ὅταν τὰ διηγῆσαι μόνον εἰς τὸ σπίτι, γεμίζεις ἀπὸ ἐντροπὴν τὴν γυναῖκά σου ποὺ σὲ ἀκούει καὶ τὴν θυγατέρα σου ποὺ εἶναι ἐκεῖ, καὶ ποὺ ἐξευτελίζεις τὸν ἑαυτόν σου πρὶν ἀπὸ αὐτά; Εἶναι ἀνάγκη ἢ νὰ σιωπᾷς ἢ νὰ μὴ κάμῃς τὰς ἀσχημίας αὐτάς, διὰ τὰς ὁποίας καὶ οἱ ὑπηρέται ἀκόμη πρέπει νὰ μαστιγώνωνται. Πῶς λοιπὸν θὰ ἀπολογηθῇς, εἰπέ μου, ὅταν, αὐτὰ ποὺ μήτε νὰ τὰ ἀναφέρῃς δὲν εἶναι ὡραῖον, τὰ παρακολουθῇς μὲ πολὺ ἐνδιαφέρον; Ὅταν, αὐτὰ ποὺ δὲν εἶναι ἀνεκτὸν νὰ διηγῆσαι, τὰ προτιμᾷς ἀπὸ ὅλα τὰ ἄλλα;

Πρὸς τὸ παρὸν λοιπόν, διὰ νὰ μὴ γίνω πολὺ φορτικός, σταματῶ ἐδῶ τὰ λόγια μου. Ἐὰν ὅμως δείξετε ἐπιμονὴν εἰς τὰ ἴδια, ἀφοῦ ἀκονήσω περισσότερον τὴν μάχαιραν, θὰ κάμω βαθυτέραν τὴν τομήν. Καὶ δὲν θὰ σταματήσω, ἕως ὅτου διασκορπίσω τὸ θέατρον τοῦ διαβόλου, καταστήσω καθαρὰν τὴν συνάθροισιν τῆς ἐκκλησίας. Διότι ἔτσι θὰ ἀπαλλαγοῦμεν καὶ ἀπὸ τὸ παρὸν αἶσχος καὶ θὰ ἀπολαύσωμεν τὴν μελλοντικὴν ζωήν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Η'
Ματθ. 2, 11 - 15

Καὶ εἰσελθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν καὶ λίβανον καὶ σμύρναν».

1. Πῶς οὖν φησιν ὁ Λουκᾶς ὅτι ἐπὶ τῆς φάτνης κείμενον ἦν; Ὅτι τεκοῦσα μὲν εὐθέως αὐτὸ κατέκλινεν ἐκεῖ· ἅτε γὰρ πολλῶν συνιόντων διὰ τὴν ἀπογραφήν, οὐκ ἦν οἰκίαν εὑρεῖν· ὅπερ οὖν καὶ ὁ Λουκᾶς ἐπισημαίνεται λέγων «ὅτι διὰ τὸ μὴ εἶναι τόπον, ἀνέκλινεν αὐτόν». Μετὰ δὲ ταῦτα ἀνείλετο, καὶ ἐπὶ τῶν γονάτων εἶχεν. Ὁμοῦ τε γὰρ ἀπέβη τῆς Βηθλεέμ, καὶ τὰς ὠδῖνας ἔλυσεν· ἵνα μάθῃς κἀντεῦθεν τὴν οἰκονομίαν πᾶσαν, ἃ καὶ ὅτι οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε ταῦτα ἐγίνετο, ἀλλὰ κατὰ πρόνοιάν τινα θείαν καὶ προφητείας ἀκολουθίαν ταῦτα πάντα ἐπληροῦτο.

Ἀλλὰ τί τὸ πεῖσαν αὐτοὺς προσκυνῆσαι; Οὔτε γὰρ ἡ Παρθένος ἐπίσημος ἦν, οὔτε ἡ οἰκία περιφανής, οὔτε ἄλλο τι τῶν ὁρωμένων ἱκανὸν ἐκπλῆξαι καὶ ἐπισπάσασθαι. Οἱ δὲ οὐ μόνον προσκυνοῦσιν, ἀλλὰ καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, δῶρα προσάγουσι, καὶ δῶρα οὐχ ὡς ἀνθρώπῳ, ἀλλὰ ὡς Θεῷ. Ὁ γὰρ λιβανωτὸς καὶ ἡ σμύρνα τούτου σύμβολον ἦν. Τί οὖν τὸ πεῖσαν αὐτούς; Τὸ παρασκευάσαν οἴκοθεν ἀναστῆναι καὶ τοσαύτην ἐλθεῖν ὁδόν· τοῦτο δὲ ἦν ὅ τε ἀστήρ, καὶ ἡ παρὰ τοῦ Θεοῦ γενομένη τῇ διανοίᾳ αὐτῶν ἔλλαμψις, κατὰ μικρὸν αὐτοὺς πρὸς τὴν τελειοτέραν ὁδηγοῦσα γνῶσιν. Οὐδὲ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τῶν

---

1. Λουκ. 2, 7.

ΟΜΙΛΙΑ Η'
Ματθ. 2, 11 - 15.

«Καὶ εἰσελθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτῶν· καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν».

1. Πῶς λοιπὸν διηγεῖται ὁ Λουκᾶς ὅτι ἐκοίτετο εἰς τὴν φάτνην. Μόλις ἐγέννησεν, τὸ ἐξάπλωσεν ἀμέσως ἐκεῖ. Δὲν ἦτο δυνατὸν νὰ εὕρουν σπίτι, ἐπειδὴ εἶχαν συγκεντρωθῆ πολλοὶ ἐξ' αἰτίας τῆς ἀπογραφῆς. Τοῦτο ὑπογραμμίζει καὶ ὁ Λουκᾶς ὅταν λέγῃ ὅτι, «Διὰ τὸ μὴ εἶναι τόπον, ἀνέκλινεν αὐτὸν» [1]. Ἔπειτα τὸν ἐσήκωσε καὶ τὸν ἐκράτησεν εἰς τὰ γόνατά της. Ἡ ἄφιξις εἰς τὴν Βηθλεὲμ ἐσήμανε καὶ τὸ τέλος τῆς ἐγκυμοσύνης. Ἀντιλαμβανόμεθα κατ' αὐτὸν τὸν τρόπον τὴν θείαν οἰκονομίαν εἰς τὸ σύνολόν της· τί ἔγινε δηλ. καὶ ὅτι δὲν ἔγινεν ἁπλῶς καὶ τυχαίως, ἀλλὰ ἐξεπληροῦντο ὅλα σύμφωνα μὲ σχέδιον τοῦ Θεοῦ καὶ μὲ ἀκολουθίαν προφητειῶν.

Τί ἦτο ὅμως ἐκεῖνο, τὸ ὁποῖον ἔκαμε νὰ προσκυνήσουν; Οὔτε ἡ Παρθένος ἦτο ἀπὸ ἀνωτέραν τάξιν οὔτε ὁ οἶκος της περιφανὴς οὔτε κάτι ἄλλο ἀπὸ ὅσα ἔβλεπαν ἦτο ἱκανὸν νὰ προκαλέσῃ τὴν ἔκπληξιν καὶ νὰ προσελκύσῃ. Καὶ αὐτοὶ ὄχι μόνον προσκυνοῦν ἀλλὰ καὶ ὅταν ἤνοιξαν τὰ θησαυροφυλάκια των, προσφέρουν δῶρα, ὄχι ὅπως κάνομεν εἰς ἄνθρωπον, ἀλλὰ ὅπως εἰς Θεόν. Σύμβολόν του ὁ λιβανωτὸς καὶ ἡ σμύρνα. Τί ἦτο λοιπὸν αὐτό, τὸ ὁποῖον τοὺς ἔπεισε νὰ ξεκινήσουν ἀπὸ τὴν πατρίδα των καὶ νὰ διανύσουν τόσον δρόμον; Ἦτο τὸ ἄστρον καὶ ὁ φωτισμός, τὸ ὁποῖον ἔστειλεν ὁ Θεὸς εἰς τὸ πνεῦμα των καὶ τοὺς ὡδηγοῦσεν ὅλο καὶ περισσότερον εἰς τελειοτέραν γνῶσιν. Ἐὰν δὲν ἦτο τοῦτο, δὲν θὰ ἔ-

φαινομένων εὐτελῶν ὄντων ἁπάντων, τοσαύτην ἐπεδείξαντο τιμήν. Διὰ τοῦτο οὐδὲν τῶν αἰσθητῶν μέγα ἐκεῖ, ἀλλὰ φάτνη καὶ καλύβη καὶ μήτηρ πτωχή· ἵνα γυμνὴν τῶν μάγων ἴδῃς τὴν φιλοσοφίαν, καὶ μάθῃς ὅτι οὐχ ὡς ἀνθρώπῳ ψιλῷ, ἀλλ' ὡς Θεῷ προσήεσαν καὶ εὐεργέτῃ. Διόπερ οὐδενὶ τῶν ὁρωμένων ἔξωθεν ἐσκανδαλίζοντο, ἀλλὰ καὶ προσεκύνουν καὶ δῶρα προσῆγον, τῆς μὲν Ἰουδαϊκῆς ἀπηλλαγμένα παχύτητος· οὐδὲ γὰρ πρόβατα καὶ μόσχους ἔθυσαν· τῆς δὲ ἐκκλησιαστικῆς ἐγγὺς ὄντα φιλοσοφίας· ἐπίγνωσιν γὰρ καὶ ὑπακοὴν καὶ ἀγάπην αὐτῷ προσῆγον.

«Χρηματισθέντες δὲ κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν». Θέα κἀντεῦθεν τὴν πίστιν αὐτῶν, πῶς οὐκ ἐσκανδαλίσθησαν, ἀλλ' εἰσὶν εὐήνιοι καὶ εὐγνώμονες, καὶ οὐ θορυβοῦνται οὐδὲ διαλογίζονται πρὸς ἑαυτοὺς λέγοντες· Καὶ μὴν εἰ μέγα τὸ παιδίον ἐστὶ τοῦτο καὶ ἔχει τινὰ ἰσχύν, τίς χρεία φυγῆς καὶ λαθραίας ἀναχωρήσεως; Καὶ τί δήποτε φανερῶς ἐλθόντας ἡμᾶς καὶ μετὰ παῤῥησίας, καὶ πρὸς δῆμον τοσοῦτον καὶ πρὸς βασιλέως μανίαν σταντας, ὡς δραπέτας καὶ φυγάδας ἐκπέμπει ὁ ἄγγελος τῆς πόλεως; Ἀλλ' οὐδὲν τούτων οὔτε εἶπον, οὔτε ἐνενόησαν. Τοῦτο γὰρ μάλιστα πίστεως, τὸ μὴ ζητεῖν εὐθύνας τῶν προστεταγμένων, ἀλλὰ πείθεσθαι τοῖς ἐπιταττομένοις μόνον.

«Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου φαίνεται τῷ Ἰωσὴφ κατ' ὄναρ, λέγων· Ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον». Ἄξιον ἐνταῦθα διαπορῆσαι καὶ ὑπὲρ τῶν μάγων καὶ ὑπὲρ τοῦ παιδίου. Εἰ γὰρ καὶ ἐκεῖνοι μὴ ἐθορυβήθησαν, ἀλλὰ μετὰ πίστεως πάντα ἐδέξαντο, ἡμᾶς ἄξιον ζητῆσαι διατί μὴ παρόντες σῴζονται ἐκεῖνοι καὶ τὸ παιδίον, ἀλλ' οἱ μὲν εἰς Περσίδα, τὸ δὲ εἰς Αἴγυπτον φυγαδεύεται μετὰ τῆς μητρός;

δειχναν βεβαίως τόσον σεβασμὸν εἰς πράγματα, τὰ ὁποῖα ἐφαίνοντο ἀσήμαντα. Διὰ τοῦτο κανένα ἀπὸ τὰ αἰσθητὰ δὲν ἦτο μέγα ἐκεῖ· ἡ φάτνη, ἡ καλύβη, ἡ πτωχὴ μητέρα. Ἔτσι βλέπομεν καθαρὰν τὴν διάθεσιν τῶν μάγων καὶ ἀντιλαμβανόμεθα ὅτι δὲν τὸν ἐπλησίαζαν ὡς ἁπλοῦν ἄνθρωπον ἀλλὰ ὡς Θεὸν καὶ εὐεργέτην. Διὰ τοῦτο κανένα ἀπὸ τὰ ἐξωτερικὰ ποὺ ἔβλεπαν δὲν τοὺς ἐσκανδάλιζεν. Ἀλλὰ τὸν ἐπροσκυνοῦσαν καὶ τοῦ ἐπρόσφεραν δῶρα ἀπηλλαγμένα ἀπὸ τὴν Ἰουδαϊκὴν προσήλωσιν εἰς τὰ ὑλικά. Διὰ τοῦτο δὲν ἐθυσίαζαν πρόβατα καὶ μόσχους. Τὰ δῶρα των εἶχον τὴν σφραγῖδα τοῦ ἐκκλησιαστικοῦ πνεύματος· τοῦ ἐπρόσφεραν ἐπίγνωσιν, ὑπακοήν, ἀγάπην.

«Χρηματισθέντες δὲ κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν». Πρόσεξε καὶ ἀπὸ τὸ σημεῖον τοῦτο τὴν πίστιν των· δὲν ἐσκανδαλίσθησαν, ἀλλὰ εἶναι πειθήνιοι καὶ γεμᾶτοι εὐγνωμοσύνην. Δὲν ταράσσονται, οὔτε κάμνουν μέσα των τὴν σκέψιν· Ἐὰν εἶναι μέγα τοῦτο τὸ παιδὶ καὶ ἔχῃ κάποιαν δύναμιν, τί χρειάζονται ἡ φυγὴ καὶ ἡ μυστικὴ ἀναχώρησις; Καὶ διατί, ἐνῷ ἤλθαμεν φανερὰ καὶ μὲ θάρρος καὶ ἐστάθημεν ἐμπρὸς εἰς τόσον λαὸν καὶ τὴν μανίαν τοῦ βασιλέως, μᾶς ἐκβάλλει ὁ ἄγγελος ἀπὸ τὴν πόλιν ὡς δραπέτας καὶ φυγάδας; Τίποτε ἀπὸ αὐτὰ οὔτε ἐξέφρασαν οὔτε ἀνελογίσθησαν. Αὐτὴ εἶναι ἡ μεγαλυτέρα ἀπόδειξις πίστεως· νὰ μὴ ζητᾷς τὸ νόημα τῆς διαταγῆς, ἀλλὰ νὰ πείθεσαι μόνον εἰς αὐτήν.

«Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου φαίνεται τῷ Ἰωσὴφ κατ' ὄναρ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον». Ἀξίζει ἐδῶ νὰ διατυπωθῇ ἡ ἀπορία καὶ διὰ τοὺς μάγους καὶ διὰ τὸ παιδί. Διότι ἐὰν ἐκεῖνοι δὲν ἐταράχθησαν, ἀλλὰ ἐδέχθησαν τὰ πάντα μὲ πίστιν, ἀξίζει νὰ ἐρευνήσωμεν ἡμεῖς, διατί δὲν σώζονται καὶ ἐκεῖνοι καὶ τὸ παιδὶ χωρὶς νὰ φύγουν, ἀλλὰ αὐτοὶ ἀναχωροῦν εἰς τὴν Περσίαν καὶ ἐκεῖνο φυγαδεύεται μὲ τὴν μητέρα του εἰς τὴν Αἴγυπτον;

Ἀλλὰ τί; Ἔδει αὐτὸν ἐμπεσεῖν εἰς τὰς χεῖρας τοῦ Ἡρώδου, καὶ ἐμπεσόντα μὴ κατακόπτεσθαι; Ἀλλ' οὐκ ἂν ἐνομίσθη σάρκα ἀνειληφέναι οὐκ ἂν ἐπιστεύθη τῆς οἰκονομίας τὸ μέγεθος. Εἰ γὰρ τούτων γινομένων, καὶ πολλῶν ἀνθρωπίνων οἰκονομουμένων, ἐτόλμησάν τινες εἰπεῖν ὅτι μῦθος ἡ τῆς σαρκὸς ἀνάληψις, ποῦ οὐκ ἂν ἐξέπεσον ἀσεβείας, εἰ πάντα θεοπρεπῶς καὶ κατὰ τὴν αὐτοῦ δύναμιν ἔπραττε; Τοὺς δὲ μάγους ἐκπέμπει ταχέως, ὁμοῦ μὲν διδασκάλους ἀποστέλλων τῇ Περσῶν χώρᾳ, ὁμοῦ δὲ ἐκκόπτων τοῦ τυράννου τὴν μανίαν, ἵνα μάθῃ ὅτι ἀνηνύτοις ἐπιχειρεῖ πράγμασι, καὶ τὸν θυμὸν σβέσῃ, καὶ τῆς ματαιοπονίας ἑαυτὸν ἀπαγάγῃ ταύτης. Οὐ γὰρ δὴ τὸ μετὰ παῤῥησίας περιγίνεσθαι τῶν ἐχθρῶν μόνον, ἀλλὰ καὶ τὸ μετ' εὐκολίας αὐτοὺς ἀπατᾶν, τῆς αὐτοῦ δυνάμεως ἄξιον. Οὕτω γοῦν καὶ τοὺς Αἰγυπτίους ἐπὶ τῶν Ἰουδαίων ἠπάτησε, καὶ δυνάμενος φανερῶς τὸν ἐκείνων πλοῦτον εἰς τὰς τῶν Ἑβραίων μεταστῆσαι χεῖρας, λάθρα καὶ μετὰ ἀπάτης τοῦτο κελεύει ποιεῖν, ὅπερ οὐκ ἔλαττον τῶν ἄλλων σημείων φοβερόν, αὐτὸν παρὰ τοῖς ἐναντίοις ἐποίησεν.

2. Οἱ γοῦν Ἀσκαλωνῖται καὶ οἱ λοιποὶ πάντες, ἡνίκα τὴν κιβωτὸν ἔλαβον, καὶ πληγέντες λοιπὸν παρῄνουν τοῖς οἰκείοις μὴ πολεμεῖν, μηδὲ ἐξ ἐναντίας ἵστασθαι, μετὰ τῶν ἄλλων θαυμάτων καὶ τοῦτο εἰς μέσον ἦγον λέγοντες·«Ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν, καθὼς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραώ; Οὐχ ὅτε ἐνέπαιξεν αὐτοῖς, τότε ἐξαπέστειλε τὸν λαὸν αὐτοῦ καὶ ἀπῆλθον».Ταῦτα δὲ ἔλεγον, τῶν ἄλλων σημείων τῶν φανερῶς γενο-

---

1. Ὑπεστηρίχθη ὅτι ὁ Χριστὸς δὲν ἔλαβε πραγματικὸν ἀλλὰ φαινομενικὸν σῶμα. Οἱ δεχόμενοι τὴν ἄποψιν αὐτὴν ἠρνοῦντο τὴν ἐνσάρκωσιν τοῦ Θεοῦ λόγου εἰς τὸν Χριστόν. Ἡ αἱρετικὴ αὐτὴ διδασκαλία τῶν πρώτων χριστιανικῶν χρόνων λέγεται δοκητισμὸς καὶ οἱ ὀπαδοί της δοκηταί, διότι τὸ σῶμα τοῦ Χριστοῦ ὑπῆρχε κατὰ δόκησιν καὶ ὄχι πραγματικῶς.

2. Ἀσκάλων ἦτο ἀκμαιοτάτη παραλιακὴ πόλις τῶν Φιλισταίων μεταξὺ Γάζης καὶ Ἀζώτου, κέντρον λατρείας τῆς συριακῆς θεᾶς Ἀταργάτιος. Ἀρχικῶς διετέθη ἐχθρικῶς ἔναντι τοῦ Χριστιανισμοῦ. Κατὰ τῆς πόλεως αὐ-

Τί έπρεπε ἀλήθεια νὰ γίνῃ; Νὰ πέσῃ εἰς τὰς χεῖρας τοῦ Ἡρώδου καὶ παρ' ὅλον τοῦτο νὰ μὴ φονευθῇ; Δὲν θὰ ἐγίνετο πιστευτὸν ὅτι ἔλαβε σάρκα, θὰ ὑπῆρχε δυσπιστία ἐμπρὸς εἰς τὸ μέγεθος τῆς οἰκονομίας. Διότι ἐὰν μερικοὶ ἐτόλμησαν νὰ εἰποῦν ὅτι ἦτο μῦθος [1] ἡ πρόσληψις τῆς σαρκὸς παρ' ὅλον ὅτι ἔγιναν ταῦτα καὶ πολλὰ οἰκονομήθησαν, ὅπως ἁρμόζει εἰς ἀνθρώπους, σκεφθῆτε εἰς ποίαν μεγάλην ἀσέβειαν θὰ ἐξέπιπταν, ἐὰν τὰ ἔπραττεν ὅλα ὅπως ἁρμόζει εἰς τὸν Θεὸν καὶ ἀνάλογα μὲ τὴν δύναμίν του; Ταχέως στέλλει τοὺς μάγους, διὰ νὰ τοὺς κάμῃ διδασκάλους εἰς τὴν περσικὴν χώραν καὶ διὰ νὰ θεραπεύσῃ τὴν μανίαν τοῦ τυράννου. Διὰ νὰ μάθῃ ὅτι ἐπιχειρεῖ τὰ ἀκατόρθωτα, νὰ πνίξῃ τὸν θυμόν του καὶ νὰ σταματήσῃ τὴν ματαίαν προσπάθειαν. Διότι δὲν εἶναι ἄξιον τῆς δυνάμεώς του νὰ νικᾷ μόνον φανερὰ τοὺς ἐχθρούς του ἀλλὰ καὶ τὸ νὰ τοὺς ἐξαπατᾷ εὐκόλως. Ὁμοίως ἐξηπάτησε καὶ τοὺς Αἰγυπτίους πρὸς χάριν τῶν Ἰουδαίων, καὶ ἐνῷ ἠμποροῦσε νὰ μεταφέρῃ φανερὰ τὸν πλοῦτον τους εἰς τὰ χέρια τῶν Ἑβραίων, ὁρίζει νὰ γίνῃ τοῦτο κρυφίως καὶ μὲ ἀπάτην, καὶ τοῦτο τὸν κάμνει φοβερὸν εἰς τοὺς ἀντιπάλους του, καθόλου ὀλιγώτερον ἀπὸ ὅ,τι τὰ ἄλλα σημεῖα.

2. Οἱ Ἀσκαλωνῖται [2] λοιπὸν καὶ ὅλοι οἱ ἄλλοι, ὅταν ἐπῆραν τὴν κιβωτόν, καὶ δεχθέντες ἐπίθεσιν παρακινοῦσαν τοὺς ἰδικούς των νὰ μὴ πολεμοῦν καὶ νὰ μὴ τοὺς ἀντιμετωπίζουν, μαζὶ μὲ τὰ ἄλλα θαύματα ἀνέφεραν καὶ τοῦτο καὶ ἔλεγον· «Ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν καθὼς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραώ; Οὐχ ὅτε ἐνέπαιξεν αὐτοῖς, τότε ἐξαπέστειλε τὸν λαὸν αὐτοῦ καὶ ἀπῆλθον;»[3], ἐπειδὴ ἐνόμιζαν ὅτι δὲν ἦτο μικρότερον

τῆς, πάντοτε ἐχθρικῶς διακειμένης κατὰ τῶν Ἰουδαίων, ἐπροφήτευσαν οἱ προφῆται Ἱερεμίας (29, 7), Ἀμὼς (1, 8), Σοφονίας (2, 4 - 7) καὶ Ζαχαρίας (9, 5) (Α' Βασιλ. 6, 6).

3. Α', Βασ. 6, 6.

μένων οὐκ ἔλαττον καὶ τοῦτο νομίζοντες εἶναι, εἰς τὴν τῆς δυνάμεως αὐτοῦ καὶ τῆς μεγαλωσύνης ἀπόδειξιν.

Ὃ δὴ καὶ ἐνταῦθα γέγονεν, ἱκανὸν ἐκπλῆξαι τὸν τύραννον. Ἐννόησον γὰρ οἷα πάσχεις εἰκὸς ἦν τὸν Ἡρώδην, καὶ πῶς ἀποπνίγεσθαι, ἀπατηθέντα παρὰ τῶν μάγων καὶ οὕτω καταγελασθέντα. Τί γάρ, εἰ μὴ γέγονε βελτίων; Οὐ τοῦ ταῦτα οἰκονομήσαντος ἔγκλημα, ἀλλὰ τῆς ἐκείνου μανίας ἡ ὑπερβολή, μηδὲ τοῖς δυναμένοις αὐτὸν παραμυθήσασθαι καὶ ἀποστῆσαι τῆς πονηρίας εἴκοντος, ἀλλ' ἐπεξιόντος περαιτέρω, ἵνα καὶ χαλεπωτέραν δέξηται δίκην τῆς τοιαύτης ἀνοίας. Καὶ τίνος ἕνεκέν φησιν, «Εἰς Αἴγυπτον τὸ παιδίον πέμπεται»; Μάλιστα μὲν καὶ ὁ εὐαγγελιστὴς τὴν αἰτίαν εἴρηκεν· Ἵνα πληρωθῇ γάρ, φησίν, «Ὅτι ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου»· ἅμα δὲ καὶ χρηστῶν προοίμια λοιπὸν ἐλπίδων τῇ οἰκουμένῃ προανεφωνεῖτο. Ἐπειδὴ γὰρ Βαβυλὼν καὶ Αἴγυπτος μάλιστα τῆς γῆς ἁπάσης τῇ φλογὶ τῆς ἀσεβείας ἦσαν ἐκκεκαυμέναι, ἐκ προοιμίων δεικνὺς ὅτι ἀμφοτέρας διορθώσεται καὶ βελτίους ποιήσει, καὶ πείθων διὰ τούτων καὶ περὶ τῆς ὅλης οἰκουμένης τὰ χρηστὰ προσδοκᾶν, τῇ μὲν τοὺς μάγους ἀπέστειλε, τῇ δὲ αὐτὸς ἐπέβη μετὰ τῆς μητρός.

Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἕτερον ἐντεῦθεν παιδευόμεθα, οὐ μικρὸν εἰς φιλοσοφίαν ἡμῖν συντεῖνον. Ποῖον δὴ τοῦτο; Τὸ ἐκ προοιμίων πειρασμοὺς προσδοκᾶν καὶ ἐπιβουλάς. Ὅρα γοῦν ἀπὸ τῶν σπαργάνων εὐθέως τοῦτο γινόμενον. Καὶ γὰρ τεχθέντος αὐτοῦ, καὶ τύραννος μαίνεται, καὶ φυγὴ καὶ μετάστασις γίνεται πρὸς τὴν ὑπερορίαν, καὶ οὐδὲν ἀδικήσασα ἡ μήτηρ εἰς τὴν τῶν βαρβάρων φυγαδεύεται χώραν· ἵνα σὺ ταῦτα ἀκούων, ὅταν καταξιωθῇς διακονήσασθαί τινι πνευματικῷ πράγματι, εἶτα ἴδῃς σεαυτὸν πάσχοντα τὰ ἀνήκεστα καὶ μυρίους ὑπομένοντα κινδύνους, μὴ διαταραχθῇς, μηδὲ εἴπῃς· Τί ποτε τοῦτό ἐστι; Καὶ μὴν στεφανοῦσθαί με ἔδει καὶ ἀνακηρύττεσθαι, καὶ

1. Ὠσ. 11, 1.

ἀπὸ τὰ ἄλλα σημεῖα, τὰ ὁποῖα ἔγιναν φανερά, διὰ νὰ ἀποδείξη τὴν δύναμιν καὶ μεγαλωσύνην του.

Αὐτὸ λοιπὸν ποὺ ἔγινεν ἐδῶ ἦτο ἱκανὸν νὰ προκαλέση ἔκπληξιν εἰς τὸν τύραννον. Ἀναλογίσου τί ἦτο φυσικὸν νὰ πάθη ὁ Ἡρώδης, ποίαν ἀσφυξίαν νὰ αἰσθανθῇ, ὅταν ἠπατήθη ἀπὸ τοὺς μάγους καὶ ἐγελοιοποιήθη. Δὲν ἔγινε βέβαια καλύτερος. Αὐτὸ ὅμως δὲν ἦτο ἔγκλημα ἐκείνου, ὁ ὁποῖος οἰκονόμησε ταῦτα, ἀλλὰ ἀποτέλεσμα τῆς ἰδικῆς του ὑπερβολικῆς μανίας. Δὲν ὑπεχωροῦσεν εἰς ἐκείνους, οἱ ὁποῖοι ἠμποροῦσαν νὰ τὸν παρηγορήσουν καὶ νὰ τὸν ἐλευθερώσουν ἀπὸ τὴν κακίαν ἀλλὰ ἐπροχωροῦσε περισσότερον, διὰ νὰ δεχθῇ ἀκόμη βαρυτέραν τιμωρίαν διὰ τὴν ἀνοησίαν του αὐτήν. Καὶ διατί, ἐρωτοῦν, στέλλει τὸ παιδὶ «Εἰς τὴν Αἴγυπτον»; Μὲ ἀκρίβειαν ἀναφέρει τὴν αἰτίαν ὁ Εὐαγγελιστής· «Ἵνα πληρωθῇ γὰρ ὁ λόγος· Ὅτι ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου»[1]. Συγχρόνως ἀπευθύνοντο εἰς τὴν οἰκουμένην προμηνύματα ἀγαθῶν ἐλπίδων. Ἡ Βαβυλὼν καὶ ἡ Αἴγυπτος περισσότερον ἀπὸ κάθε ἄλλο μέρος τῆς γῆς κατεκαίοντο ἀπὸ τὸ πῦρ τῆς ἀσεβείας. Δεικνύουν λοιπὸν ἐξ ἀρχῆς ὅτι θὰ διορθώση καὶ τὰ δύο καὶ θὰ τὰς κάμη καλυτέρας, καὶ δημιουργῶν μὲ αὐτὰ τὴν πίστιν νὰ προσδοκοῦμεν τὸ καλὸν δι' ὅλην τὴν οἰκουμένην, εἰς τὴν μίαν ἀπέστειλεν τοὺς μάγους, εἰς τὴν ἄλλην ἐπῆγεν ὁ ἴδιος μὲ τὴν μητέρα του.

Ἐκτὸς τῶν ὅσων εἴπαμεν καὶ κάτι ἄλλο διδασκόμεθα, τὸ ὁποῖον δὲν συντελεῖ ὀλίγον εἰς τὴν πνευματικὴν κατάρτισιν μας. Ὅτι ἐξ ἀρχῆς πρέπει νὰ περιμένωμεν πειρασμοὺς καὶ ἐπιβουλάς. Βλέπεις ὅτι τοῦτο γίνεται ἀπὸ τὰ σπάργανα. Εὐθὺς ὡς ἐγεννήθη, μαίνεται ὁ τύραννος, ἀκολουθεῖ ἡ φυγὴ καὶ ἡ ἐγκατάστασις εἰς χώραν ἐξορίας καὶ ἐξορίζεται ἡ ἀθώα μητέρα εἰς χώραν βαρβαρικήν. Ἀκούων αὐτά, ὅταν ἀξιωθῇς νὰ ἀναλάβῃς πνευματικὴν διακονίαν καὶ ἔπειτα ἴδῃς νὰ σὲ εὑρίσκουν συμφοραὶ ἀθεράπευτοι καὶ νὰ ὑπομένῃς μυρίους κινδύνους, πρόσεξε νὰ μὴ ταραχθῇς. Καὶ κυρίως νὰ μὴ εἴπῃς· Τί σημαίνει τοῦτο; Καὶ ὅμως ἔπρεπε νὰ στεφανωθῶ καὶ νὰ ἀνα-

λαμπρὸν εἶναι καὶ περιφανῆ, πρόσταγμα πληροῦντα δεσποτικόν· ἀλλ' ἔχων τοῦτο τὸ ὑπόδειγμα, φέρῃς πάντα γενναίως, εἰδὼς ὅτι μάλιστα αὕτη τῶν πνευματικῶν ἡ ἀκολουθία ἐστί, τὸ πανταχοῦ πειρασμοὺς συγκεκληρωμένους ἔχειν. Ὅρα γοῦν οὐκ ἐπὶ τῆς μητρὸς καὶ τοῦ παιδίου τοῦτο γινόμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν βραρβάρων ἐκείνων. Καὶ γὰρ ἐκεῖνοι λάθρα ἀναχωροῦσιν ἐν τάξει φυγάδων· καὶ αὕτη πάλιν, οὐδέποτε τὴν οἰκίαν ὑπερβᾶσα, μακρὰν οὕτω ταλαιπωρίας ὁδὸν ὑπομένειν κελεύεται, διὰ τὸν θαυμαστὸν τοῦτον τόκον καὶ τὰς πνευματικὰς ὠδῖνας. Καὶ θέα τὸ παράδοξον πάλιν. Παλαιστίνη μὲν ἐπιβουλεύει, Αἴγυπτος δὲ ὑποδέχεται καὶ διασῴζει τὸν ἐπιβουλευόμενον. Οὐ γὰρ δὴ μόνον ἐπὶ τῶν παίδων τοῦ πατριάρχου τύποι συνέβαινον, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ Δεσπότου. Πολλὰ γοῦν διὰ τῶν ὑπ' αὐτοῦ γινομένων τότε προανεκηρύττετο τῶν ὕστερον συμβαίνειν μελλόντων· ὅπερ οὖν καὶ ἐπὶ τῆς ὄνου καὶ ἐπὶ τοῦ πώλου γέγονε.

Φανεὶς τοίνυν ὁ ἄγγελος, οὐχὶ τῇ Μαρίᾳ, ἀλλὰ τῷ Ἰωσὴφ διαλέγεται· καὶ τί φησιν; «Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ». Ἐνταῦθα οὐκέτι λέγει, 'Τὴν γυναῖκά σου', ἀλλὰ «Τὴν μητέρα αὐτοῦ». Ἐπειδὴ γὰρ ὁ τόκος ἐξέβη καὶ ἡ ὑποψία ἐλύθη καὶ ὁ ἀνὴρ ἐπιστώθη, μετὰ παῤῥησίας λοιπὸν διαλέγεται ὁ ἄγγελος, οὔτε παιδίον, οὔτε γυναῖκα αὐτοῦ καλῶν· ἀλλά, «Παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ· καὶ φεῦγε εἰς Αἴγυπτον»· καὶ τὴν αἰτίαν λέγει τῆς φυγῆς· «Μέλλει γὰρ ὁ Ἡρώδης», φησί, «ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου».

3. Ταῦτα ἀκούσας ὁ Ἰωσὴφ οὐκ ἐσκανδαλίσθη, οὐδὲ εἶπεν· Αἴνιγμα τὸ πρᾶγμά ἐστιν· οὐ πρώην ἔλεγες ὅτι σώσει τὸν λαὸν αὐτοῦ; καὶ νῦν οὐδὲ ἑαυτὸν σῴζει, ἀλλὰ φυγῆς ἡμῖν χρεία καὶ ἀποδημίας καὶ μακρᾶς μεταστάσεως· ἐναντία τῇ ὑποσχέσει γινόμενα. Ἀλλ' οὐδὲν τούτων λέγει· πιστὸς γὰρ ἦν ὁ ἀνήρ·

---

1. Διάβασε τὰ σχετικὰ μὲ τὴν προφητείαν αὐτὴν εἰς Ματθ. 21,2 ἑ.

κηρυχθῶ νικητής, νὰ ἀποκτήσω ὄνομα καὶ δόξαν, ἐφ' ὅσον ἔπραξα τὴν ἐντολὴν τοῦ Κυρίου. Ἀντιθέτως, νὰ δεχθῇς τὰ πάντα μὲ γενναιότητα, γνωρίζων ὅτι αὐτὴ ἀκριβῶς εἶναι ἡ ἀκολουθία τῆς πνευματικῆς ζωῆς· ἔχει παντοῦ πειρασμοὺς κληρουμένους μαζὶ μὲ αὐτήν. Κοίταξε πῶς δὲν συμβαίνει τοῦτο εἰς τὸ παιδὶ μόνον καὶ εἰς τὴν μητέρα του ἀλλὰ καὶ εἰς τοὺς βαρβάρους ἐκείνους. Καὶ ἐκεῖνοι κρυφά, ὡς φυγάδες, ἀναχωροῦν. Καὶ ἐκείνη πάλιν, ἡ ὁποία οὐδέποτε διεσκέλισε τὸ κατώφλιον τοῦ σπιτιοῦ της, λαμβάνει ἐντολὴν νὰ ὑπομείνῃ τόσον δρόμον, γεμᾶτον ταλαιπωρίας, ἐξ αἰτίας τοῦ θαυμαστοῦ παιδιοῦ της καὶ τῶν πνευματικῶν ὠδίνων. Πρόσεξε καὶ ἐδῶ τὸ παράδοξον. Ἡ Παλαιστίνη καταδιώκει, καὶ ἡ Αἴγυπτος ὑποδέχεται καὶ σώζει τὸν καταδιωκόμενον. Διότι δὲν ἐγίνοντο μόνον εἰς τὰ τέκνα τοῦ Ἰακὼβ προεικονίσεις ἀλλὰ καὶ εἰς αὐτὸν τὸν Χριστὸν καὶ ἐπρομηνοῦσαν ὅσα θὰ ἐξελίσσοντο ἀργότερον. Ὅπως ἔγινεν εἰς τὴν περίπτωσιν τοῦ ὄνου καὶ τοῦ πώλου[1].

Ἐπαρουσιάσθη λοιπὸν ὁ ἄγγελος καὶ δὲν ἀπευθύνεται εἰς τὴν Μαρίαν ἀλλὰ εἰς τὸν Ἰωσήφ. Καὶ τοῦ λέγει· «Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ». Δὲν λέγει ἐδῶ τὴν γυναῖκα σου, ἀλλὰ τὴν μητέρα του. Ἀφοῦ ἐγεννήθη τὸ παιδὶ καὶ εἶχε διαλυθῆ ἡ ὑποψία καὶ εἶχε βεβαιωθῆ ὁ Ἰωσήφ, ὁμιλεῖ ἀπροκάλυπτα ὁ ἄγγελος· καὶ δὲν ὁμιλεῖ οὔτε διὰ παιδὶ ἰδικόν του, οὔτε διὰ γυναῖκα του. Ἀλλὰ τοῦ λέγει· «Παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον». Συμπληρώνει δὲ τὴν αἰτίαν τῆς φυγῆς. «Μέλλει γὰρ ὁ Ἡρώδης», λέγει, «ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου».

3. Δὲν ἐσκανδαλίσθη ὁ Ἰωσήφ, ὅταν τὰ ἤκουσεν αὐτά, οὔτε εἶπε τὸ πρᾶγμα εἶναι αἴνιγμα· δὲν ἔλεγες προηγουμένως, ὅτι «Σώσει τὸν λαὸν αὐτοῦ»[2]. Τώρα οὔτε τὸν ἑαυτόν του δὲν σώζει, ἀλλὰ εἶναι ἀνάγκη νὰ φύγωμεν, νὰ ἀποδημήσωμεν καὶ νὰ ζήσωμεν ἀλλοῦ πολὺν καιρόν. Τὰ πράγματα εἶναι ἀντίθετα πρὸς τὰς ὑποσχέσεις. Δὲν λέγει τίποτε ἀπὸ

---

2. Ματθ. 1, 21.

οὐδὲ περιεργάζεται τῆς ἐπανόδου τὸν χρόνον, καὶ ταῦτα τοῦ ἀγγέλου ἀδιορίστως αὐτὸν τεθεικότος· «Ἕως γὰρ ἂν εἴπω σοι, ἴσθι ἐκεῖ». Ἀλλ' ὅμως οὐδὲ πρὸς τοῦτο ἐνάρκησεν, ἀλλ' ὑπακούει καὶ πείθεται, πάντα μετὰ χαρᾶς τοὺς πειρασμοὺς ὑπομένων.

Καὶ γὰρ ὁ φιλάνθρωπος Θεὸς τοῖς ἐπιπόνοις τούτοις καὶ ἡδέα ἀνέμιξεν· ὅπερ καὶ ἐπὶ πάντων τῶν ἁγίων ποιεῖ, οὔτε τοὺς κινδύνους, οὔτε τὰς ἀνέσεις συνεχεῖς τιθείς, ἀλλὰ καὶ διὰ τούτων καὶ δι' ἐκείνων ὑφαίνων τὸ τῶν δικαίων βίον. Ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε· σκόπει γάρ. Εἶδε κύουσαν τὴν Παρθένον· εἰς ταραχὴν αὐτὸν ἐνέβαλε τοῦτο καὶ τὸν ἔσχατον θόρυβον· ἐπὶ μοιχείᾳ γὰρ τὴν κόρην ὑπώπτευεν· ἀλλ' εὐθέως ἐπέστη ὁ ἄγγελος, τήν τε ὑποψίαν λύων καὶ τὸν φόβον ἀναιρῶν τοῦτον· καὶ τὸ παιδίον τεχθὲν ὁρῶν, χαρὰν ἐκαρπώσατο μεγίστην. Πάλιν τὴν χαρὰν ταύτην κίνδυνος οὐ μικρὸς διαδέχεται, τῆς πόλεως ταραττομένης, καὶ τοῦ βασιλέως μαινομένου, καὶ τὸν τεχθέντα ἐπιζητοῦντος. Ἀλλὰ τὸν θόρυβον τοῦτον ἑτέρα πάλιν διεδέξατο χαρά· ὁ ἀστὴρ καὶ ἡ τῶν μάγων προσκύνησις. Πάλιν μετὰ τὴν ἡδονὴν ταύτην φόβος καὶ κίνδυνος· «Ζητεῖ γάρ», φησίν, «Ἡρώδης τὴν ψυχὴν τοῦ παιδίου»· καὶ δεῖ φυγεῖν καὶ μεθίστασθαι ἀνθρωπίνως.

Θαυματουργεῖν γὰρ τέως οὐκ ἔδει. Εἰ γὰρ ἐκ πρώτης ἡλικίας θαύματα ἐπεδείξατο, οὐδ ἂν ἐνομίσθη ἄνθρωπος εἶναι. Διά τοι τοῦτο οὐδὲ ἁπλῶς ναὸς πλάττεται, ἀλλὰ καὶ κύησις γίνεται, καὶ ἐννεαμηνιαῖος χρόνος, καὶ ὠδῖνες, καὶ τόκος καὶ γαλακτοτροφία, καὶ διὰ παντὸς ἡσυχία τοῦ χρόνου, καὶ ἀναμένει τὴν ἀνδράσι πρέπουσαν ἡλικίαν· ἵνα διὰ πάντων εὐπαράδεκτον γένηται τῆς οἰκονομίας τὸ μυστήριον.

Τίνος οὖν ἕνεκεν καὶ ταῦτα τὰ σημεῖα ἐγένετο, φησίν, ἐξ ἀρχῆς;

Διὰ τὴν μητέρα, διὰ τὸν Ἰωσήφ, διὰ τὸν Συμεὼν μέλλοντα ἀπιέναι λοιπόν, διὰ τοὺς ποιμένας, διὰ τοὺς μάγους, διὰ τοὺς Ἰουδαίους. Εἰ γὰρ ἐβούλοντο προσέχειν μετὰ ἀκριβείας τοῖς γινομένοις, οὐ μικρὰ καὶ ἐντεῦθεν ἂν πρὸς τὰ μέλλοντα ἐκαρπώ-

αὐτά. Ἐπίστευεν εἰς τὸν Θεόν. Οὔτε διὰ τὸν χρόνον τῆς ἐπιστροφῆς δείχνει περιέργειαν, μολονότι ὁ ἄγγελος ὡμίλησεν ἀορίστως δι' αὐτόν. «Ἕως γὰρ ἂν εἴπω σοι, ἴσθι ἐκεῖ». Οὔτε καὶ εἰς αὐτὸ ἔδειξεν ἀπροθυμίαν. Ὑπακούει, τὸν πιστεύει καὶ ὑπομένει μετὰ χαρᾶς ὅλους τοὺς πειρασμούς.

Διότι συνεδύασεν μὲ τὰ ὀδυνηρὰ αὐτὰ ὁ φιλάνθρωπος Θεὸς καὶ εὐχάριστα· δὲν δίδει οὔτε τοὺς κινδύνους οὔτε τὰ εὐχάριστα, κατὰ συνέχειαν, ἀλλὰ καὶ μὲ αὐτὰ καὶ μὲ ἐκεῖνα ὑφαίνει τὸν βίον τῶν δικαίων. Τὸ ἴδιο ἔκαμε καὶ ἐδῶ. Ὅταν ἐπρόσεξεν ὁ Ἰωσὴφ τὴν ἐγκυμοσύνην τῆς Παρθένου, ἐταράχθη καὶ εὑρέθη εἰς τὴν ἐσχάτην ἀμηχανίαν. Ὑπωπτεύθη τὴν κόρην διὰ μοιχείαν. Ἦλθεν ὅμως εὐθὺς ὁ ἄγγελος, ὁ ὁποῖος διέλυσε τὴν ὑποψίαν καὶ ἐξεδίωξε τὸν φόβον. Ὅταν εἶδε τὸ παιδί, τὸ ὁποῖον ἐγεννήθη, ἐδοκίμασε τὴν μεγαλυτέραν χαράν. Τὴν χαρὰν ὅμως αὐτὴν διεδέχθη κίνδυνος καὶ μάλιστα ὄχι μικρός· ἡ πόλις ἦτο ταραγμένη, ὁ βασιλεὺς μαινόμενος ἀναζητοῦσε τὸ νεογέννητον. Τὴν ταραχὴν ὅμως αὐτὴν διαδέχεται ἄλλη χαρά, ὁ ἀστὴρ καὶ ἡ προσκύνησις τῶν μάγων. Καὶ ἄλλην μίαν φορὰν μετὰ τὴν εὐχαρίστησιν αὐτὴν ἐπακολουθεῖ φόβος καὶ κίνδυνος. «Ζητεῖ γάρ», φησίν, «ὁ Ἡρώδης τὴν ψυχὴν τοῦ παιδίου»· καὶ εἶναι ἀνάγκη νὰ φύγῃ καὶ κατὰ τὸ ἀνθρώπινον νὰ μετοικήσῃ.

Δὲν ἔπρεπε νὰ θαυματουργήσῃ ἀπὸ τότε. Ἐὰν ἔκαμνε θαύματα ἀπὸ μικρᾶς ἡλικίας, δὲν θὰ ἐθεωρεῖτο ἄνθρωπος. Διὰ τοῦτο δὲν δημιουργεῖται ἀμέσως τέλειος ναός, ἀλλὰ προηγεῖται ἡ κυοφορία, τὸ διάστημα τῶν ἐννέα μηνῶν, αἱ ὠδῖνες, ὁ τοκετός, ὁ θηλασμός, ἡ πολυχρόνιος ἡσυχία ἐν ἀναμονῇ τῆς ἀνδρικῆς ἡλικίας. Διὰ νὰ γίνῃ μὲ ὅλα αὐτὰ εὐκόλως δεκτὸν τὸ μυστήριον τῆς οἰκονομίας.

Διὰ ποῖον λοιπὸν ἔγιναν αὐτὰ τὰ σημεῖα ἐξ ἀρχῆς; ἐρωτᾷ.

Διὰ τὴν μητέρα, διὰ τὸν Ἰωσήφ, διὰ τὸν Συμεών, ὁ ὁποῖος ἐπρόκειτο νὰ ἀποθάνῃ, διὰ τοὺς ποιμένας, διὰ τοὺς μάγους, διὰ τοὺς Ἰουδαίους. Ἐὰν ἤθελον νὰ προσέξουν εἰς αὐτά, δὲν

σαντο. Εἰ δὲ μὴ λέγουσιν οἱ Προφῆται τὰ περὶ τῶν μάγων, μὴ θορυβηθῇς· οὔτε γὰρ πάντα προεῖπον, οὔτε πάντα ἐσιώπησαν. Ὥσπερ γὰρ τὸ μηδὲν ἀκούσαντας ἰδεῖν παραγινόμενα τὰ πράγματα, πολλὴν ἐποίει τὴν ἔκπληξιν καὶ τὸν θόρυβον· οὕτω καὶ τὸ πάντα μαθεῖν καθεύδειν παρεσκεύαζε τὸν ἀκροατήν, καὶ τοῖς εὐαγγελισταῖς οὐδὲν ἠφίει πλέον.

Εἰ δὲ περὶ τῆς προφητείας ἀμφιβάλλοιεν Ἰουδαῖοι λέγοντες, τό, «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου», ἐπ' αὐτῶν εἰρῆσθαι· εἴποιμεν ἂν πρὸς αὐτούς, ὅτι καὶ οὗτος προφητείας νόμος, τὸ πολλὰ πολλάκις λέγεσθαι μὲν ἐπ' ἄλλων, πληροῦσθαι δὲ ἀφ' ἑτέρων, οἷον τὸ ἐπὶ τοῦ Συμεὼν καὶ Λευὶ εἰρημένον ἐστι· «Διαμεριῶ γὰρ αὐτούς», φησίν, «ἐν Ἰακώβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ». Καίτοι γε οὐκ ἐπ' αὐτῶν τοῦτο γέγονεν, ἀλλ' ἐπὶ τῶν ἐγγόνων· καὶ τὸ ἐπὶ τοῦ Χαναὰν δὲ παρὰ τοῦ Νῶε λεχθέν, εἰς τοὺς Γαβαωνίτας τοὺς ἐγγόνους τοῦ Χαναὰν ἐξέβη. Καὶ τὸ ἐπὶ τοῦ Ἰακὼβ οὕτως ἴδοι τις ἂν συμβάν· εἰ γὰρ εὐλογίαι ἐκεῖναι αἱ λέγουσαι, «Γίνου Κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνησάτωσάν σε οἱ υἱοὶ τοῦ πατρός σου», οὐκ ἐπ' αὐτοῦ τέλος ἔσχον, (πῶς γάρ, τοῦ δεδοικότος καὶ τρέμοντος καὶ μυριάκις αὐτὸν προσκυνοῦντος;), ἀλλ' ἐπὶ τῶν ἐγγόνων τῶν αὐτοῦ. Ὃ δὴ καὶ ἐνταῦθα εἴποι τις ἄν. Τίς γὰρ ἀληθέστερος Υἱὸς Θεοῦ λεχθείη; ὁ μόσχον προσκυνῶν, καὶ τῷ Βεελφεγὼρ τελούμενος, καὶ τοὺς υἱοὺς θύων τοῖς δαιμονίοις ἢ ὁ φύσει Υἱός, καὶ τὸν γεγεννηκότα τιμῶν; Ὥστε εἰ μὴ παρεγένετο οὗτος, οὐκ ἂν ἡ προφητεία τέλος ἔλαβε τὸ προσῆκον.

---

1. Δευτερότοκος υἱὸς τοῦ Ἰακὼβ καὶ τῆς Λείας ἔλαβε μέρος μαζὶ μὲ τὸν Λευὶ εἰς τὴν ἀγρίαν σφαγὴν τῶν Σιχεμιτῶν, οἱ ὁποῖοι εἶχαν ἀτιμάσει τὴν ἀδελφήν των Δείναν (Γεν. κεφ. 34). Τὰς συνεπείας τῆς πράξεώς των βλέπε εἰς Γεν. 45,. 5 - 7. Ὁ Ἰακὼβ ἀπεδοκίμασε τὴν σφαγὴν ἀλλὰ ὑπὸ τῶν Ἰουδαίων ἐπῃνέθη ὁ πατριωτικοθρησκευτικὸς ζῆλος τοῦ Συμεών.

2. Γέν. 49, 7.

3. Ὁ Χαναὰν ἦτο υἱὸς τοῦ Χάμ, υἱοῦ τοῦ Νῶε. Ἐκ τοῦ Χαναὰν προέρχονται οἱ Χαναναῖοι, οἱ προϊσραηλῖται κάτοικοι τῆς Παλαιστίνης (Γέν. 10, 6).

θὰ ἀπεκόμιζαν μικρὰν ὠφέλειαν διὰ τὴν μελλοντικὴν ζωήν. Ἐὰν οἱ προφῆται δὲν κάμνουν λόγον διὰ τοὺς μάγους, μὴ ταταραχθῇς. Δὲν ὡμίλησαν βέβαια δι' ὅλα οὔτε καὶ δι' ὅλα ἐκράτησαν σιγήν. Ὅπως τὸ νὰ ἴδῃς νὰ ἔρχωνται τὰ πράγματα χωρὶς νὰ ἔχῃς ἀκούσει τίποτε δι' αὐτὰ σοῦ προκαλεῖ μεγάλην ἔκπληξιν καὶ ταραχήν, ὁμοίως καὶ ἡ ἐνημέρωσις δι' ὅλα θὰ ἔκαμε τὸν ἀκροατὴν νὰ κοιμᾶται καὶ δὲν θὰ ἄφηνε τίποτε εἰς τοὺς Εὐαγγελιστάς.

Καὶ ἐὰν ἀμφιβάλλουν οἱ Ἰουδαῖοι διὰ τὴν προφητείαν λέγοντες ὅτι δι' αὐτοὺς ἐλέχθη ὁ λόγος· «ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου», θὰ τοὺς ἀπαντήσωμεν ὅτι αὐτὸς εἶναι ὁ νόμος τῆς προφητείας· πολλαὶ ἀπὸ αὐτὰς πολλάκις διατυπώνονται δι' ἄλλα πράγματα καὶ ἐκπληρώνονται εἰς ἄλλα. Ὅπως ἡ προφητεία διὰ τὸν Συμεὼν [1] καὶ τὸν Λευΐ· «Διαμεριῶ γὰρ αὐτοὺς ἐν Ἰακὼβ καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ»[2]. Αὐτὸ ὅμως ἐξεπληρώθη εἰς τοὺς ἀπογόνους των. Καὶ ὅ,τι εἶπεν ὁ Νῶε διὰ τὸν Χαναὰν [3], ἐξεπληρώθη εἰς τοὺς Γαβαωνίτας, τοὺς ἀπογόνους τοῦ Χαναάν. Τὸ αὐτὸ γίνεται καὶ εἰς τὸν Ἰακώβ. Αἱ ὑποσχέσεις, αἱ ὁποῖαι ἔλεγον «Γίνου Κύριος τοῦ ἀδελφοῦ σου καὶ προσκυνησάτωσάν σε οἱ υἱοὶ τοῦ πατρός σου»[4], δὲν ὡλοκληρώθησαν εἰς αὐτὸν ἀλλὰ εἰς τοὺς ἀπογόνους του. Πῶς θὰ ὡλοκληρώνοντο εἰς αὐτόν, ὁ ὁποῖος ἐφοβεῖτο καὶ ἔτρεμεν τὸν ἀδελφόν του καὶ τὸν ἐπροσκυνοῦσεν ἀμετρήτους φοράς; Τὸ ἴδιο ἠμπορεῖ κανεὶς νὰ εἰπῇ καὶ ἐδῶ. Ποῖος θὰ ἠδύνατο νὰ ὀνομασθῇ γνησιώτερος υἱὸς τοῦ Θεοῦ; Ἐκεῖνος, ὁ ὁποῖος ἀπονέμει προσκύνησιν εἰς τὸν μόσχον, ὁ ὁποῖος ὑπηρετεῖ τὸν Βεελφεγὼρ καὶ θυσιάζει τοὺς υἱούς του εἰς τὰ δαιμόνια ἢ ὁ κατὰ φύσιν Υἱός, ὁ ὁποῖος τιμᾷ τὸν γεννήτορά του; Ὥστε ἐὰν δὲν ἤρχετο ὁ Χριστός, ἡ προφητεία δὲν θὰ ἐλάμβανε τὴν προσήκουσαν ἐκπλήρωσιν.

---

4. Πρόκειται περὶ τῆς εὐλογίας τοῦ Ἰακὼβ ὑπὸ τοῦ Ἰσαάκ. Ἀξίζει νὰ ἀναγνώσῃ κανεὶς ἐκ νέου τὴν ἀληθινὰ βιβλικὴν σκηνὴν τῆς εὐλογίας τοῦ Ἰακὼβ εἰς Γέν. 27, 25 - 29.

4. Ὅρα γοῦν πῶς αὐτὸ καὶ ὁ Εὐαγγελιστὴς αἰνίττεται λέγων, «Ἵνα πληρωθῇ», δεικνὺς ὅτι οὐκ ἂν ἐπληρώθη, εἰ μὴ παραγέγονεν. Οὐχ ὡς ἔτυχε δὲ καὶ τὴν Παρθένον λαμπρὰν τοῦτο ποιεῖ καὶ περιφανῆ. Ὅπερ γὰρ εἶχεν ὁ δῆμος ἅπας ἐν ἐγκωμίου τάξει, τοῦτο καὶ αὐτὴ λοιπὸν ἔχειν ἠδύνατο. Ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ἐπὶ τῷ ἀνελθεῖν ἐξ Αἰγύπτου καὶ ἐκόμπαζον. Ὅπερ οὖν καὶ ὁ Προφήτης αἰνιττόμενος ἔλεγεν· «Οὐχὶ τοὺς ἀλλοφύλους ἀνήγαγον ἐκ Καππαδοκίας, καὶ τοὺς Ἀσσυρίους ἐκ βόθρου;». Ποιεῖ καὶ τῆς Παρθένου τὸ προτέρημα τοῦτο. Μᾶλλον δὲ καὶ ὁ λαὸς καὶ ὁ πατριάρχης καταβάντες ἐκεῖ καὶ ἀναβάντες ἐκεῖθεν, τὸν τῆς ἀνόδου ταύτης τύπον ἐπλήρουν. Καὶ γὰρ ἐκεῖνοι θάνατον φεύγοντες τὸν ἀπὸ τοῦ λιμοῦ, κατῄεσαν· καὶ οὗτος θάνατον τὸν ἐξ ἐπιβουλῆς. Ἀλλ' ἐκεῖνοι μὲν κατελθόντες, τοῦ λιμοῦ τότε ἀπηλλάγησαν, οὗτος δὲ καταβάς, τὴν χώραν πᾶσαν διὰ τῆς ἐπιβάσεως ἡγίασε.

Σκόπει γοῦν πῶς μεταξὺ τῶν ταπεινῶν καὶ τὰ τῆς θεότητος ἐκκαλύπτεται. Καὶ γὰρ ὁ ἄγγελος, εἰπών, «Φεῦγε εἰς Αἴγυπτον», οὐκ ἐπηγγείλατο αὐτοῖς συνοδοιπορεῖν οὔτε κατιοῦσιν, οὔτε ἀνιοῦσιν, αἰνιττόμενος ὅτι μέγαν ἔχουσι συνοδοιπόρον, τὸ τεχθὲν παιδίον· ὃς καὶ τὰ πράγματα πάντα μετέβαλεν ὁμοῦ φανείς, καὶ τοὺς ἐχθροὺς παρεσκεύασε πολλὰ πρὸς τὴν οἰκονομίαν διακονήσασθαι ταύτην. Καὶ γὰρ μάγοι καὶ βάρβαροι τὴν πατρῴαν δεισιδαιμονίαν ἀφέντες, ἔρχονται προσκυνήσοντες· καὶ ὁ Αὔγουστος ὑπηρετεῖται τῷ ἐν Βηθλεὲμ τόκῳ, διὰ τοῦ προστάγματος τῆς ἀπογραφῆς· ἡ Αἴγυπτος διασῴζει δεξαμένη φεύγοντα καὶ ἐπιβουλευόμενον, καὶ λαμβάνει τινὰ τῆς πρὸς αὐτὸν οἰκιώσεως ἀφορμήν· ἵν' ὅταν μέλλῃ κηρυττόμενον αὐτὸν ἀκούειν παρὰ τῶν Ἀποστόλων, καὶ ἐπὶ τούτῳ καλλωπίζηται, ἅτε αὐτὸν δεξαμένη πρώτη.

Καὶ μὴν τῆς Παλαιστίνης ἦν τὸ προτέρημα τοῦτο μόνης· ἀλλ' αὕτη θερμοτέρα ἐκείνης γέγονε. Καὶ νῦν ἐλθὼν εἰς τὴν ἔρημον τῆς Αἰγύπτου, παραδείσου παντὸς βελτίω τὴν ἔρημον ταύ-

1. Ἀμὼς 9, 7.

4. Πρόσεξε πῶς καὶ ὁ Εὐαγγελιστὴς κάμνει δι' αὐτὸ ὑπαινιγμόν· «Ἵνα πληρωθῇ». Δεικνύει κατ' αὐτὸν τὸν τρόπον ὅτι δὲν θὰ ἐξεπληρώνετο, ἐὰν δὲν ἤρχετο ἐκεῖνος. Καὶ δὲν προσδίδει τοῦτο τυχαίως λάμψιν εἰς τὴν Παρθένον καὶ δόξαν. Ὅ,τι ἐθεώρει ὁ λαὸς καύχημα, ἠμποροῦσε νὰ τὸ ἔχῃ καὶ ἐκείνη. Ἐμεγαλοφρονοῦσαν ἐπειδὴ ἀνέβηκαν ἀπὸ τὴν Αἴγυπτον καὶ διὰ τοῦτο ἐκαυχῶντο. Τοῦτο ὑπονοῶν ὁ προφήτης ἔλεγεν· «Οὐχὶ τοὺς ἀλλοφύλους ἀνήγαγον εἰς Καππαδοκίας καὶ τοὺς Ἀσσυρίους ἐκ βόθρου;[1]». Ἀποδίδει καὶ εἰς τὴν Παρθένον τὸ πλεονέκτημα τοῦτο. Ἢ μᾶλλον ὁ λαὸς καὶ ὁ πατριάρχης, ἀφοῦ ἐπῆγαν καὶ ἐπέστρεψαν, ἐξεπλήρωσαν τὸν τύπον αὐτῆς τῆς ἐπιστροφῆς. Καὶ ἐκεῖνοι κατέβαιναν ἀποφεύγοντες τὸν θάνατον ἐκ πείνης καὶ αὐτοὶ θάνατον ἐξ ἐπιβουλῆς. Ἐκεῖνοι ὅμως μὲ τὴν κάθοδόν των ἐκεῖ, ἐσώθησαν ἀπὸ τὴν πεῖναν· ἐνῷ ὁ Χριστὸς κατερχόμενος ἐκεῖ ἡγίασεν ὁλόκληρον τὴν χώραν.

Πρόσεξε πῶς γίνεται μεταξὺ τῶν ταπεινῶν καὶ ἡ ἀποκάλυψις τῆς θεότητος. Ὅταν ὁ ἄγγελος εἶπε «Φεῦγε εἰς τὴν Αἴγυπτον», δὲν ὑπεσχέθη ὅτι θὰ τοὺς συνοδεύσῃ οὔτε ὅταν ἐπήγαιναν οὔτε ὅταν θὰ ἐπέστρεφον. Τοῦτο ἦτο ὑπαινιγμὸς ὅτι θὰ εἶχαν μέγαν συνοδοιπόρον, τὸ νεογέννητον παιδί. Αὐτὸς ἔφερε γενικὴν ἀλλαγὴν εἰς ὅλα καὶ ἔκαμε τοὺς ἐχθροὺς νὰ βοηθήσουν πολὺ τὴν οἰκονομίαν αὐτήν. Καὶ βλέπομεν τοὺς βαρβάρους μάγους νὰ ἐγκαταλείπουν τὴν προγονικὴν δεισιδαιμονίαν των καὶ νὰ ἔρχωνται νὰ προσκυνήσουν. Ὑπηρετεῖ καὶ ὁ Αὔγουστος τὴν γέννησιν εἰς Βηθλεὲμ διὰ τοῦ προστάγματος τῆς ἀπογραφῆς. Ἡ Αἴγυπτος τὸν δέχεται, ὅταν φεύγῃ κυνηγημένος ἀπὸ τὴν ἐπιβουλήν, καὶ τὸν σώζει. Εὑρίσκει κατ' αὐτὸν τὸν τρόπον ἀφορμὴν διὰ νὰ μὴ τοῦ εἶναι ξένη. Ὥστε, ὅταν θὰ ἀκούσῃ νὰ τὸν κηρύττουν οἱ Ἀπόστολοι, νὰ ἔχῃ ὡς καύχημα ὅτι αὐτὴ τὸν ἐδέχθη πρώτη.

Τὸ πλεονέκτημα τοῦτο ἀνῆκε βεβαίως εἰς μόνην τὴν Παλαιστίνην· ἔγινεν ὅμως ἡ Αἴγυπτος θερμοτέρα. Καὶ ὅταν ἔλθῃς εἰς τὴν ἔρημον τῆς Αἰγύπτου, θὰ εὕρῃς αὐτὴν καλυτέραν

την ὄψει γεγενημένην, καὶ χοροὺς ἀγγέλων μυρίους ἐν ἀνθρωπίνοις σχήμασι, καὶ δήμους μαρτύρων, καὶ συλλόγους παρθένων· καὶ πᾶσαν μὲν τοῦ διαβόλου τὴν τυραννίδα καταλελυμένην, τὴν δὲ τοῦ Χριστοῦ βασιλείαν διαλάμπουσαν. Καὶ τὴν ποιητῶν καὶ σοφῶν καὶ μάγων μητέρα, καὶ τὴν πᾶν εἶδος μαγγανείας εὑροῦσαν καὶ τοῖς ἄλλοις διαδοῦσαν, ταύτην ὄψει νῦν ἐπὶ τοῖς ἁλιεῦσι καλλωπιζομένην, καὶ ἐκείνων μὲν καταφρονοῦσαν ἁπάντων, τὸν δὲ τελώνην καὶ σκηνοποιὸν πανταχοῦ περιφέρουσαν, καὶ τὸν σταυρὸν προβαλλομένην. Καὶ ταῦτα οὐκ ἐν ταῖς πόλεσι μόνον τὰ ἀγαθά, ἀλλὰ καὶ ἐν ταῖς ἐρήμοις μᾶλλον ἢ ἐν ταῖς πόλεσι. Καὶ γὰρ ἔστιν ἰδεῖν πανταχοῦ τῆς χώρας ἐκείνης τοῦ Χριστοῦ τὸ στρατόπεδον, καὶ τὴν βασιλικὴν ἀγέλην, καὶ τὴν τῶν ἄνω δυνάμεων πολιτείαν.

Καὶ ταῦτα οὐκ ἐπ' ἀνδράσι μόνον, ἀλλὰ καὶ ἐν γυναικείᾳ φύσει κρατοῦντα εὕροι τις ἄν. Καὶ γὰρ καὶ ἐκεῖναι οὐχ ἧττον ἀνδρῶν φιλοσοφοῦσιν, οὐκ ἀσπίδα λαμβάνουσαι καὶ ἀναβαίνουσαι ἵππον, καθάπερ οἱ σεμνοὶ τῶν Ἑλλήνων κελεύουσι νομοθέται καὶ φιλόσοφοι, ἀλλ' ἑτέραν πολὺ χαλεπωτέραν ἀναδεχόμεναι μάχην. Κοινὸς γὰρ αὐταῖς καὶ ἀνδράσιν ὁ πόλεμος πρὸς τὸν διάβολον καὶ τὰς ἐξουσίας· καὶ οὐδαμοῦ τὸ τῆς φύσεως ἁπαλὸν ἐμπόδιον γίνεται ταῖς τοιαύταις συμβολαῖς· οὐ γὰρ σωμάτων φύσει, ἀλλὰ ψυχῆς προαιρέσει ταῦτα κρίνεται τὰ παλαίσματα. Διὰ τοῦτο καὶ γυναῖκες ἀνδρῶν μᾶλλον ἠγωνίσαντο πολλάκις, καὶ σφοδρότερα τρόπαια ἔστησαν. Οὐ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ ποικίλῳ τῶν ἄστρων χορῷ, ὡς ἡ ἔρημος Αἰγύπτου, τὰς σκηνὰς πανταχόθεν ἡμῖν δεικνύουσα τῶν μοναχῶν.

5. Εἴ τις τὴν παλαιὰν Αἴγυπτον ἐκείνην, τὴν θεομάχον καὶ μαινομένην, τὴν τῶν αἰλούρων δούλην, τὴν κρόμμυα δεδοι-

---

1. Ὁ Πλάτων π.χ. εἰς τὸ μέγα σύγγραμμα τῆς πρεσβυτικῆς του ἡλικίας, τοὺς Νόμους, θεσπίζει μεταξὺ ἄλλων αἱ γυναῖκες νὰ λαμβάνουν κάποιαν ἐκπαίδευσιν πολεμικήν, διὰ νὰ δύνανται τοὐλάχιστον νὰ ὑπερασπί-

ἀπὸ κάθε παράδεισον, γεμάτην ἀπὸ ἀμετρήτους χοροὺς ἀγγέλων μὲ ἀνθρώπινα σχήματα καὶ ἀπὸ λαὸν μαρτύρων καὶ κυψέλας παρθένων. Κάθε δύναμις τοῦ διαβόλου ἔχει ἐκεῖ καταλυθῆ, ἐνῷ κυριαρχεῖ ὁλόλαμπρος ἡ βασιλεία τοῦ Χριστοῦ. Καὶ τὴν μητέρα τῶν ποιητῶν, τῶν σοφῶν, τῶν μάγων, αὐτήν, ἡ ὁποία εὑρῆκε κάθε εἶδος μαγείας καὶ τὸ ἔδωσε καὶ εἰς τοὺς ἄλλους, αὐτὴν θὰ τὴν ἰδῇς τώρα νὰ περιφρονῇ ὅλους αὐτοὺς καὶ νὰ θεωρῇ καλλωπίσματά της τοὺς ἁλιεῖς, νὰ περιφέρῃ παντοῦ τὸν τελώνην καὶ τὸν σκηνοποιὸν καὶ νὰ προβάλλῃ τὸν σταυρόν. Καὶ τὰ ἀγαθὰ αὐτὰ δὲν ὑπάρχουν μόνον εἰς τὰς πόλεις· περισσότερον εἰς τὰς ἐρήμους. Εἰς ὅλα τὰ μέρη τῆς χώρας ἐκείνης ἠμπορεῖς νὰ ἰδῇς τὸ στρατόπεδον τοῦ Χριστοῦ, τὸ κοπάδι τὸ βασιλικόν, τὴν πολιτείαν τῶν οὐρανίων δυνάμεων.

Καὶ αὐτὰ ἐπιδιώκονται ὄχι μόνον ἀπὸ τοὺς ἄνδρας ἀλλὰ καὶ ἀπὸ τὰς γυναῖκας. Καὶ ἐκεῖναι δὲν ἐπιδίδονται ὀλιγώτερον ἀπὸ τοὺς ἄνδρας εἰς τὴν πνευματικὴν ζωήν. Δὲν λαμβάνουν βεβαίως τὴν ἀσπίδα, οὔτε ἱππεύουν, ὅπως ὁρίζουν οἱ μεγάλοι νομοθέται [1] καὶ φιλόσοφοι τῶν Ἑλλήνων. Ἀποδέχονται ἄλλον βαρύτερον ἀγῶνα. Εἶναι ὁ κοινὸς εἰς αὐτὰς καὶ εἰς τοὺς ἄνδρας πόλεμος πρὸς τὸν διάβολον καὶ τὰς δυνάμεις του. Καὶ εἰς οὐδὲν σημεῖον εἰς τὰς συγκρούσεις τοῦ εἴδους τούτου δὲν ἐμποδίζει ἡ φυσική των ἀσθένεια. Διότι δὲν κρίνονται ἀπὸ τὴν δύναμιν τοῦ σώματος ἀλλὰ ἀπὸ τὴν διάθεσιν τῆς ψυχῆς οἱ ἀγῶνες αὐτοί. Ὑπάρχουν γυναῖκες, αἱ ὁποῖαι ἠγωνίσθησαν μὲ περισσοτέραν δύναμιν ἀπὸ τοὺς ἄνδρας καὶ ἔστησαν λαμπρότερα τρόπαια. Δὲν εἶναι τόσον λαμπρὸς ὁ οὐρανὸς μὲ τὴν ποικιλίαν τῶν ἀστρικῶν χορῶν, ὅπως ἡ ἔρημος τῆς Αἰγύπτου, ἡ ὁποία πανταχόθεν μᾶς παρουσιάζει τὰ σκηνώματα τῶν μοναχῶν.

5. Ἐὰν γνωρίζῃ κανεὶς τὴν παλαιὰν ἐκείνην Αἴγυπτον, τὴν θεομάχον καὶ μαινομένην, ἡ ὁποία ἦτο δούλη τῶν αἰ-

---

ζωνται τὰ τέκνα των, ὅταν κινδυνεύουν (Νόμοι 794, d).

κυῖαν καὶ τρέμουσαν οἶδεν, οὗτος εἴσεται καλῶς τοῦ Χριστοῦ τὴν ἰσχύν. Μᾶλλον δὲ οὐ χρεία ἡμῖν παλαιῶν διηγημάτων· ἔτι γὰρ καὶ νῦν τῆς ἀνοήτου ἐκείνης λείψανα μένει πρὸς ἀπόδειξιν τῆς προτέρας μανίας. Ἀλλ' ὅμως οὗτοι οἱ τὸ παλαιὸν πάντες πρὸς τοσαύτην ἀποῤῥαγέντες μανίαν, περὶ οὐρανοῦ καὶ τῶν ὑπὲρ οὐρανὸν φιλοσοφοῦσι πραγμάτων, καὶ καταγελῶσι τῶν πατρῴων ἐθῶν, καὶ τοὺς προγόνους ταλανίζουσι, καὶ τῶν φιλοσόφων οὐδένα ποιοῦνται λόγον. Ἔμαθον γὰρ διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι τὰ μὲν ἐκείνων γραϊδίων μεθυόντων ἐστὶν εὑρήματα, ἡ δὲ ὄντως φιλοσοφία καὶ τῶν οὐρανῶν ἀξία αὕτη ἐστὶν ἡ διὰ τῶν ἁλιέων αὐτοῖς καταγγελθεῖσα. Διὰ δὴ τοῦτο μετὰ τῆς τοσαύτης ἀκριβείας τῶν δογμάτων, καὶ τὴν ἀπὸ τοῦ βίου πολλὴν ἐνδείκνυνται σπουδήν. Τὰ γὰρ ὄντα ἀποδυσάμενοι πάντα, καὶ τῷ κόσμῳ σταυρωθέντες παντί, καὶ περαιτέρω πάλιν ἐλαύνουσι, τῇ τοῦ σώματος ἐργασίᾳ πρὸς τὴν τῶν δεομένων ἀποχρώμενοι τροφήν. Οὐδὲ γὰρ ἐπειδὴ νηστεύουσι καὶ ἀγρυπνοῦσιν, ἀργεῖν μεθ' ἡμέραν ἀξιοῦσιν· ἀλλὰ τὰς μὲν νύκτας τοῖς ἱεροῖς ὕμνοις καὶ ταῖς παννυχίσι, τὰς δὲ ἡμέρας εἰς εὐχάς τε ὁμοῦ καὶ τὴν ἀπὸ τῶν χειρῶν ἐργασίαν καταναλίσκουσι, τὸν ἀποστολικὸν μιμούμενοι ζῆλον.

Εἰ γὰρ ἐκεῖνος, τῆς οἰκουμένης πρὸς αὐτὸν βλεπούσης, ἵνα τοὺς δεομένους διατρέφῃ, καὶ ἐργαστήριον κατέλαβε, καὶ τέχνην μετεχείρισε, καὶ οὐδὲ τὰς νύκτας ἐκάθευδε τοῦτο ποιῶν, πολλῷ μᾶλλον ἡμᾶς, φησί, τοὺς ἔρημον κατειληφότας, καὶ οὐδὲν κοινὸν πρὸς τοὺς ἐν ταῖς πόλεσι θορύβους ἔχοντας, τῇ τῆς ἡσυχίας σχολῇ, εἰς ἐργασίαν πνευματικὴν καταχρήσασθαι δίκαιον.

Αἰσχυνώμεθα τοίνυν ἅπαντες, καὶ οἱ πλουτοῦντες καὶ οἱ πενόμενοι, ὅταν ἐκεῖνοι μὲν μηδὲν ὅλως ἔχοντες, ἀλλ' ἢ σῶμα μόνον καὶ χεῖρας, βιάζωνται καὶ φιλονεικῶσι πρόσοδον τοῖς δεο-

1. Ἀναφέρει ἐδῶ ὁ Ἰ. Χρυσόστομος μερικὰ στοιχεῖα τῆς πρωτογόνου θρησκείας τῶν Αἰγυπτίων μὲ διάθεσιν εἰρωνείας.

λούρων [1], ἡ ὁποία ἐφοβεῖτο καὶ ἔτρεμεν τὰ κρεμμύδια, αὐτὸς θὰ κατανοήσῃ καλῶς τὴν δύναμιν τοῦ Χριστοῦ. Ἢ μᾶλλον δὲν ἔχομεν ἀνάγκην τῶν παλαιῶν διηγήσεων· μένουν ἀκόμη ὡς λείψανα τῆς παλαιᾶς καὶ ἀνοήτου μανίας. Ὅλοι ὅμως αὐτοί, οἱ ὁποῖοι εἶχαν περιπέσει κατὰ τὸ παρελθὸν εἰς τόσην μανίαν, φιλοσοφοῦν τώρα διὰ τὸν οὐρανὸν καὶ τὴν πέραν τοῦ οὐρανοῦ πραγματικότητα, περιφρονοῦν τὰ προγονικὰ ἔθιμα, οἰκτίρουν τοὺς προγόνους των καὶ δὲν δίδουν εἰς τοὺς φιλοσόφους καμμίαν σημασίαν. Ἐδιδάχθησαν ἀπὸ τὰ ἴδια τὰ πράγματα, ὅτι αἱ δοξασίαι των ἦσαν ἐπινοήσεις μεθυσμένων γραιῶν, ἐνῷ ἡ ἀληθινὴ φιλοσοφία, ἡ ἀξία τῶν οὐρανῶν εἶναι αὐτή, τὴν ὁποίαν ἐκήρυξαν οἱ ἁλιεῖς. Διὰ τοῦτο, ἐκτὸς τῆς αὐστηρότητος εἰς τὰ δόγματα, ἐνδιαφέρονται πολὺ διὰ τὴν πρακτικὴν ζωήν. Ἀφοῦ ἀπέθεσαν τὰ ὑπάρχοντά των καὶ ἐνεκρώθησαν διὰ τὸν κόσμον, προχωροῦν ἀκόμη περισσότερον, χρησιμοποιοῦν τὴν σωματικήν των ἐργασίαν διὰ τὴν διατροφὴν τῶν πεινώντων. Οὔτε ἐπειδὴ νηστεύουν καὶ ἀγρυπνοῦν, ἔχουν τὴν ἀξίωσιν νὰ ἡσυχάζουν τὴν ἡμέραν. Ἀλλὰ καταναλίσκουν τὰς νύκτας εἰς ἱεροὺς ὕμνους καὶ ὁλονυκτίας, καὶ τὰς ἡμέρας εἰς προσευχὰς καὶ χειρωνακτικὴν ἐργασίαν, μιμούμενοι τὸν ἀποστολικὸν ζῆλον.

Διότι ἐὰν ἐκεῖνος, εἰς τὸν ὁποῖον εἶχεν στρέψει τὰ βλέμματα ἡ οἰκουμένη, διὰ τὴν διατροφὴν τῶν πεινώντων ἦλθεν εἰς ἐργαστήριον, ἤσκησε τέχνην, καὶ δὲν ἐκοιμᾶτο οὔτε κατὰ τὴν νύκτα, εἶναι, λέγουν, πολὺ δικαιότερον νὰ καταναλίσκωμεν ἡμεῖς τὴν σχολὴν καὶ ἡσυχίαν μας εἰς πνευματικὴν ἐργασίαν, ἡμεῖς, οἱ ὁποῖοι ζῶμεν εἰς τὴν ἔρημον καὶ ἡ ταραχὴ τῶν πόλεων οὐδόλως μᾶς ἐμποδίζει.

Νὰ αἰσθανώμεθα ἐντροπὴν ὅλοι, καὶ οἱ πλούσιοι καὶ οἱ πτωχοί, ὅταν ἐκεῖνοι, μὴ ἔχοντες τίποτε ἐκτὸς ἀπὸ τὸ σῶμα καὶ τὰς χεῖρας των, βιάζωνται καὶ φιλονεικοῦν διὰ νὰ ἐξοικονομήσουν τὰ ἀπαραίτητα διὰ τοὺς πτωχούς, ἐνῷ ἡμεῖς, μὲ ὁ-

μένοις ἐντεῦθεν εὑρεῖν· ἡμεῖς δέ, μυρίων ἔνδον ἀποκειμένων, μηδὲ τῶν περιττῶν εἰς ταῦτα ἁπτώμεθα. Ποίαν οὖν ἕξομεν ἀπολογίαν, εἰπέ μοι; τίνα δὲ συγγνώμην;

Καίτοιγε ἐννόησον, πῶς τὸ παλαιὸν ἦσαν οὗτοι καὶ φιλοχρήματοι καὶ γαστρίμαργοι, μετὰ τῶν ἄλλων κακῶν. Ἐκεῖ γὰρ ἦσαν οἱ λέβητες τῶν κρεῶν, ὧν οἱ Ἰουδαῖοι μέμνηνται· ἐκεῖ ἡ πολλὴ τῆς γαστρὸς τυραννίς· ἀλλ' ὅμως ἐπειδὴ ἐβουλήθησαν μετεβάλοντο, καὶ τὸ πῦρ τοῦ Χριστοῦ δεξάμενοι, πρὸς τὸν οὐρανὸν ἀθρόον μεθωρμίσαντο· καὶ θερμότεροι τῶν ἄλλων ὄντες, καὶ πρὸς ὀργὴν καὶ πρὸς ἡδονὴν σωμάτων προπετέστεροι, τὰς ἀσωμάτους δυνάμεις τῇ ἐπιεικείᾳ καὶ τῇ λοιπῇ τῆς φιλοσοφίας ἀπαθείᾳ μιμοῦνται. Καὶ εἴ τις ἐν τῇ χώρᾳ γέγονεν, οἶδεν ἃ λέγω.

Εἰ δέ τις οὐδέποτε ἐπέβη τῶν σκηνῶν ἐκείνων, ἐννοείτω τὸν μέχρι νῦν ἐν τοῖς ἁπάντων στόμασιν ὄντα, ὃν μετὰ τοὺς Ἀποστόλους ἡ Αἴγυπτος ἤνεγκε, τὸν μακάριον καὶ μέγαν Ἀντώνιον, καὶ λογιζέσθω ὅτι καὶ οὗτος ἐν ἐκείνῃ τῇ χώρᾳ γέγονεν, ἐν ᾗ καὶ Φαραώ· ἀλλ' ὅμως οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ θείας ὄψεως κατηξιώθη, καὶ τοιοῦτον ἐπεδείξατο βίον, οἷον οἱ τοῦ Χριστοῦ νόμοι ζητοῦσι. Καὶ τοῦτο εἴσεταί τι μετὰ ἀκριβείας, ἐντυχὼν τῷ βιβλίῳ τῷ τὴν ἱστορίαν ἔχοντι τῆς ἐκείνου ζωῆς, ἐν ᾧ καὶ πολλὴν ὄψεται τὴν προφητείαν. Καὶ γὰρ περὶ τῶν τὰ Ἀρείου νοσούντων προανεφώνησέ τε καὶ εἶπε τὴν ἐξ ἐκείνων μέλλουσαν γίνεσθαι βλάβην, τοῦ Θεοῦ δείξαντος αὐτῷ τότε, καὶ πρὸ τῶν ὀφθαλμῶν τὰ μέλλοντα ὑπογράψαντος ἅπαντα· ὃ δὴ μάλιστα μετὰ τῶν ἄλλων τῆς ἀληθείας ἐστὶν ἀπόδειξις, τὸ μηδεμίαν τῶν ἔξωθεν αἱρέσεων ἄνδρα τοιοῦτον ἔχειν. Ἀλλ' ἵνα μὴ παρ' ἡμῶν ταῦτα ἀκούσητε, τοῖς γράμμασιν ἐγκύψαντες τοῖς τοῦ βιβλίου πάντα μαθήσεσθε μετὰ ἀκριβείας, καὶ πολλὴν παι-

---

1, Ἐξ. 16, 3.

2. Βίον τοῦ Μ. Ἀντωνίου, τοῦ καθηγητοῦ τῆς ἐρήμου, ἔχει ὡς γνωστὸν συγγράψει ὁ Μ. Ἀθανάσιος, πού ἔγινε μέγας βιογράφος ἐξ ἴσου μεγάλου βιογραφουμένου.

λην τὴν ἀφθονίαν ἀγαθῶν τὴν ὁποίαν ἔχομεν, δὲν διαθέτομεν διὰ τὸν σκοπὸν αὐτὸν οὔτε τὰ ἄχρηστα εἰς ἡμᾶς. Πῶς θὰ ἀπολογηθῶμεν καὶ πῶς θὰ δεχθῶμεν τὴν συγχώρησιν;

Καὶ νὰ σκεφθῇ κανεὶς ὅτι αὐτοὶ κατὰ τὴν παλαιὰν ἐποχὴν ἦσαν καὶ φιλοχρήματοι καὶ κοιλιόδουλοι ἐκτὸς τῶν ἄλλων κακῶν. Διότι ἐκεῖ ἦσαν οἱ λέβητες διὰ τὰ κρέατα [1], ποὺ ἐνθυμοῦνται οἱ Ἰουδαῖοι, ἐκεῖ ἡ τυραννικὴ κυριαρχία τῆς κοιλίας. Μετεβλήθησαν ὅμως ὅταν τὸ ἠθέλησαν καὶ ἀφοῦ ἐδέχθησαν τὴν φωτιὰν τοῦ Χριστοῦ μετεφέρθησαν ὅλοι μαζὶ εἰς τὸν οὐρανὸν καὶ ἐνῷ ἦσαν θερμότεροι ἀπὸ τοὺς ἄλλους καὶ περισσότερον ἐπιρρεπεῖς εἰς τὸν θυμὸν καὶ τὴν σωματικὴν ἡδονήν, μιμοῦνται τὰς ἀσωμάτους δυνάμεις εἰς τὴν μετριοπάθειαν καὶ τὴν λοιπὴν πνευματικὴν ἀταραξίαν. Ἂν ἔχῃ ἐπισκεφθῇ κάποιος τὴν χώραν, ἐννοεῖ αὐτὰ ποὺ λέγω.

Ἂν ὅμως κάποιος δὲν ἔχει πατήσει ποτὲ τὸ πόδι του εἰς ἐκείνας τὰς σκηνάς, ἂς φέρῃ εἰς τὸν νοῦν του ἐκεῖνον, ποὺ εἶναι ἀκόμη εἰς τὰ στόματα ὅλων, αὐτὸν ποὺ μᾶς ἔδωσεν ἡ Αἴγυπτος ἀμέσως ἔπειτα ἀπὸ τοὺς ἀποστόλους, τὸν μακάριον καὶ μέγαν Ἀντώνιον. Ἂς συλλογισθῇ ὅτι καὶ αὐτὸς ἔζησεν εἰς τὴν χώραν ὅπου ἔζησε καὶ ὁ Φαραώ. Εἰς τίποτε ὅμως δὲν ἐζημιώθη ἀλλὰ καὶ τὸν Θεὸν ἠξιώθη νὰ ἀντικρύσῃ καὶ παρουσίασε τέτοιον βίον, ὅπως ἀπαιτοῦν οἱ νόμοι τοῦ Χριστοῦ. Θὰ τὸ μάθῃ τοῦτο κανεὶς μὲ ἀκρίβειαν ἂν ἀναγνώσῃ τὸ βιβλίον ποὺ περιέχει τὴν ἱστορίαν τῆς ζωῆς ἐκείνου [2], εἰς τὸ ὁποῖον θὰ συναντήσῃ καὶ πολλὰς ἐκδηλώσεις τοῦ προφητικοῦ χαρίσματος. Ἐπροφήτευσε διὰ τοὺς προσβληθέντας ἀπὸ τὴν ἀρειανὴν νόσον καὶ ὡμίλησε διὰ τὴν βλάβην, ποὺ αὐτοὶ θὰ ἐπροκαλοῦσαν, ἀφοῦ ὁ Θεὸς τοῦ ὑπέδειξε τότε καὶ προδιέγραψεν ἐμπρὸς εἰς τὰ μάτια του ὅλα τὰ μελλοντικά. Ἀποτελεῖ καὶ τοῦτο μίαν ἀπόδειξιν ἐκτὸς τῶν ἄλλων, ὅτι καμμία ἀπὸ τὰς αἱρέσεις δὲν διαθέτει τέτοιαν προσωπικότητα. Ἀλλά, διὰ νὰ μὴ τὰ πληροφορηθῆτε ὅλα ἀπὸ ἐμέ, ἐγκύψατε εἰς τὰ γραφόμενα τοῦ βιβλίου καὶ θὰ τὰ μάθετε ὅλα μὲ ἀκρίβειαν καὶ πολλὴν πνευμα-

μένοις ἐντεῦθεν εὑρεῖν· ἡμεῖς δέ, μυρίων ἔνδον ἀποκειμένων, μηδὲ τῶν περιττῶν εἰς ταῦτα ἁπτώμεθα. Ποίαν οὖν ἕξομεν ἀπολογίαν, εἰπέ μοι; τίνα δὲ συγγνώμην;

Καίτοιγε ἐννόησον, πῶς τὸ παλαιὸν ἦσαν οὗτοι καὶ φιλοχρήματοι καὶ γαστρίμαργοι, μετὰ τῶν ἄλλων κακῶν. Ἐκεῖ γὰρ ἦσαν οἱ λέβητες τῶν κρεῶν, ὧν οἱ Ἰουδαῖοι μέμνηνται· ἐκεῖ ἡ πολλὴ τῆς γαστρὸς τυραννίς· ἀλλ' ὅμως ἐπειδὴ ἐβουλήθησαν μετεβάλοντο, καὶ τὸ πῦρ τοῦ Χριστοῦ δεξάμενοι, πρὸς τὸν οὐρανὸν ἀθρόον μεθωρμίσαντο· καὶ θερμότεροι τῶν ἄλλων ὄντες, καὶ πρὸς ὀργὴν καὶ πρὸς ἡδονὴν σωμάτων προπετέστεροι, τὰς ἀσωμάτους δυνάμεις τῇ ἐπιεικείᾳ καὶ τῇ λοιπῇ τῆς φιλοσοφίας ἀπαθείᾳ μιμοῦνται. Καὶ εἴ τις ἐν τῇ χώρᾳ γέγονεν, οἶδεν ἃ λέγω.

Εἰ δέ τις οὐδέποτε ἐπέβη τῶν σκηνῶν ἐκείνων, ἐννοείτω τὸν μέχρι νῦν ἐν τοῖς ἁπάντων στόμασιν ὄντα, ὃν μετὰ τοὺς Ἀποστόλους ἡ Αἴγυπτος ἤνεγκε, τὸν μακάριον καὶ μέγαν Ἀντώνιον, καὶ λογιζέσθω ὅτι καὶ οὗτος ἐν ἐκείνῃ τῇ χώρᾳ γέγονεν, ἐν ᾗ καὶ Φαραώ· ἀλλ' ὅμως οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ θείας ὄψεως κατηξιώθη, καὶ τοιοῦτον ἐπεδείξατο βίον, οἷον οἱ τοῦ Χριστοῦ νόμοι ζητοῦσι. Καὶ τοῦτο εἴσεταί τι μετὰ ἀκριβείας, ἐντυχὼν τῷ βιβλίῳ τῷ τὴν ἱστορίαν ἔχοντι τῆς ἐκείνου ζωῆς, ἐν ᾧ καὶ πολλὴν ὄψεται τὴν προφητείαν. Καὶ γὰρ περὶ τῶν τὰ Ἀρείου νοσούντων προανεφώνησέ τε καὶ εἶπε τὴν ἐξ ἐκείνων μέλλουσαν γίνεσθαι βλάβην, τοῦ Θεοῦ δείξαντος αὐτῷ τότε, καὶ πρὸ τῶν ὀφθαλμῶν τὰ μέλλοντα ὑπογράψαντος ἅπαντα· ὃ δὴ μάλιστα μετὰ τῶν ἄλλων τῆς ἀληθείας ἐστὶν ἀπόδειξις, τὸ μηδεμίαν τῶν ἔξωθεν αἱρέσεων ἄνδρα τοιοῦτον ἔχειν. Ἀλλ' ἵνα μὴ παρ' ἡμῶν ταῦτα ἀκούσητε, τοῖς γράμμασιν ἐγκύψαντες τοῖς τοῦ βιβλίου πάντα μαθήσεσθε μετὰ ἀκριβείας, καὶ πολλὴν παι-

---

1, Ἐξ. 16, 3.

2. Βίον τοῦ Μ. Ἀντωνίου, τοῦ καθηγητοῦ τῆς ἐρήμου, ἔχει ὡς γνωστὸν συγγράψει ὁ Μ. Ἀθανάσιος, ποὺ ἔγινε μέγας βιογράφος ἐξ ἴσου μεγάλου βιογραφουμένου.

λην τὴν ἀφθονίαν ἀγαθῶν τὴν ὁποίαν ἔχομεν, δὲν διαθέτομεν διὰ τὸν σκοπὸν αὐτὸν οὔτε τὰ ἄχρηστα εἰς ἡμᾶς. Πῶς θὰ ἀπολογηθῶμεν καὶ πῶς θὰ δεχθῶμεν τὴν συγχώρησιν;

Καὶ νὰ σκεφθῇ κανεὶς ὅτι αὐτοὶ κατὰ τὴν παλαιὰν ἐποχὴν ἦσαν καὶ φιλοχρήματοι καὶ κοιλιόδουλοι ἐκτὸς τῶν ἄλλων κακῶν. Διότι ἐκεῖ ἦσαν οἱ λέβητες διὰ τὰ κρέατα[1], ποὺ ἐνθυμοῦνται οἱ Ἰουδαῖοι, ἐκεῖ ἡ τυραννικὴ κυριαρχία τῆς κοιλίας. Μετεβλήθησαν ὅμως ὅταν τὸ ἠθέλησαν καὶ ἀφοῦ ἐδέχθησαν τὴν φωτιὰν τοῦ Χριστοῦ μετεφέρθησαν ὅλοι μαζὶ εἰς τὸν οὐρανὸν καὶ ἐνῷ ἦσαν θερμότεροι ἀπὸ τοὺς ἄλλους καὶ περισσότερον ἐπιρρεπεῖς εἰς τὸν θυμὸν καὶ τὴν σωματικὴν ἡδονήν, μιμοῦνται τὰς ἀσωμάτους δυνάμεις εἰς τὴν μετριοπάθειαν καὶ τὴν λοιπὴν πνευματικὴν ἀταραξίαν. Ἂν ἔχῃ ἐπισκεφθῆ κάποιος τὴν χώραν, ἐννοεῖ αὐτὰ ποὺ λέγω.

Ἂν ὅμως κάποιος δὲν ἔχει πατήσει ποτὲ τὸ πόδι του εἰς ἐκείνας τὰς σκηνάς, ἂς φέρῃ εἰς τὸν νοῦν του ἐκεῖνον, ποὺ εἶναι ἀκόμη εἰς τὰ στόματα ὅλων, αὐτὸν ποὺ μᾶς ἔδωσεν ἡ Αἴγυπτος ἀμέσως ἔπειτα ἀπὸ τοὺς ἀποστόλους, τὸν μακάριον καὶ μέγαν Ἀντώνιον. Ἂς συλλογισθῇ ὅτι καὶ αὐτὸς ἔζησεν εἰς τὴν χώραν ὅπου ἔζησε καὶ ὁ Φαραώ. Εἰς τίποτε ὅμως δὲν ἐζημιώθη ἀλλὰ καὶ τὸν Θεὸν ἠξιώθη νὰ ἀντικρύσῃ καὶ παρουσίασε τέτοιον βίον, ὅπως ἀπαιτοῦν οἱ νόμοι τοῦ Χριστοῦ. Θὰ τὸ μάθῃ τοῦτο κανεὶς μὲ ἀκρίβειαν ἂν ἀναγνώσῃ τὸ βιβλίον ποὺ περιέχει τὴν ἱστορίαν τῆς ζωῆς ἐκείνου[2], εἰς τὸ ὁποῖον θὰ συναντήσῃ καὶ πολλὰς ἐκδηλώσεις τοῦ προφητικοῦ χαρίσματος. Ἐπροφήτευσε διὰ τοὺς προσβληθέντας ἀπὸ τὴν ἀρειανὴν νόσον καὶ ὡμίλησε διὰ τὴν βλάβην, ποὺ αὐτοὶ θὰ ἐπροκαλοῦσαν, ἀφοῦ ὁ Θεὸς τοῦ ὑπέδειξε τότε καὶ προδιέγραψεν ἐμπρὸς εἰς τὰ μάτια του ὅλα τὰ μελλοντικά. Ἀποτελεῖ καὶ τοῦτο μίαν ἀπόδειξιν ἐκτὸς τῶν ἄλλων, ὅτι καμμία ἀπὸ τὰς αἱρέσεις δὲν διαθέτει τέτοιαν προσωπικότητα. Ἀλλά, διὰ νὰ μὴ τὰ πληροφορηθῆτε ὅλα ἀπὸ ἐμέ, ἐγκύψατε εἰς τὰ γραφόμενα τοῦ βιβλίου καὶ θὰ τὰ μάθετε ὅλα μὲ ἀκρίβειαν καὶ πολλὴν πνευμα-

δευθήσεσθε τὴν φιλοσοφίαν ἐκεῖθεν. Τοῦτο δὲ παρακαλῶ, οὐχ ἵνα ἐπέλθωμεν τὰ γεγραμμένα μόνον, ἀλλ' ἵνα καὶ ζηλώσωμεν, καὶ μήτε χώραν, μήτε ἀνατροφήν, μήτε προγόνων πονηρίαν προβαλλώμεθα. Ἂν γὰρ θέλωμεν ἑαυτοῖς προσέχειν, οὐδὲν τούτων ἡμῖν ἔσται κώλυμα. Ἐπεὶ καὶ Ἀβραὰμ ἀσεβῆ πατέρα ἔσχεν, ἀλλ' οὐ διεδέξατο τὴν παρανομίαν· καὶ ὁ Ἐζεκίας τὸν Ἄχαζ, ἀλλ' ὅμως οὗτος φίλος τῷ Θεῷ ἐγένετο· καὶ ὁ Ἰωσὴφ δὲ ἐν μέσῃ τότε Αἰγύπτῳ τοὺς τῆς σωφροσύνης ἀνεδήσατο στεφάνους· καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ἐν Βαβυλῶνι μέσῃ, καὶ ἐν οἰκίᾳ μέσῃ, Συβαριτικῆς παρακειμένης τραπέζης, τὴν ἄκραν ἐπεδείξαντο φιλοσοφίαν· καὶ Μωϋσῆς δὲ ἐν Αἰγύπτῳ, καὶ ὁ Παῦλος ἐν τῇ οἰκουμένῃ· καὶ οὐδὲν οὐδενὶ τούτων ἐγένετο κώλυμα πρὸς τὸν τῆς ἀρετῆς δρόμον.

Ταῦτ' οὖν καὶ ἡμεῖς πάντα ἐννοοῦντες, τὰς μὲν περιττὰς ταύτας σκέψεις καὶ προφάσεις ἐκ μέσου ποιησώμεθα, τῶν δὲ ὑπὲρ τῆς ἀρετῆς ἱδρώτων ἁψώμεθα. Οὕτω γὰρ καὶ τὸν Θεὸν ἐπὶ μείζονα ἐπισπασόμεθα εὔνοιαν, καὶ πείσομεν συνεφάψασθαι τῶν ἀγώνων ἡμῖν, καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

---

1. Σύβαρις, πόλις τῆς Μεγάλης Ἑλλάδος, φημισμένη γιὰ τὸν πλοῦτον καὶ τὴν τρυφὴν μέσα εἰς τὴν ὁποίαν ἔζουσαν οἱ κάτοικοί της. Συβαριτισμὸς ἡ νοοτροπία ποὺ ἀποδέχεται τὸν συβαριτικὸν τρόπον ζωῆς.

τικὴν κατάρτισιν θὰ ἀντλήσετε ἀπὸ ἐκεῖ. Εἰς αὐτὸ καὶ σᾶς προτρέπω. Ὄχι διὰ νὰ ἀναγνώσωμεν μόνον τὰ γραφόμενα ἀλλὰ καὶ διὰ νὰ τὰ μιμηθοῦμεν καὶ νὰ μὴ προβάλλωμεν ὡς δικαιολογίαν οὔτε τὴν πατρίδα, οὔτε τὴν ἀνατροφὴν οὔτε τὴν κακίαν τῶν προγόνων. Ἂν θέλωμεν νὰ προσέξωμεν τὸν ἑαυτόν μας, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ μᾶς ἐμποδίσῃ. Διότι καὶ ὁ Ἀβραὰμ εἶχε πατέρα εἰδωλολάτρην, δὲν ἐσυνέχισεν ὅμως τὴν παρανομίαν του. Καὶ ὁ Ἐζεκίας ἐπίσης τὸν Ἄχαζ, ἀλλ' ὅμως καὶ αὐτὸς ἔγινε φίλος τοῦ Θεοῦ. Καὶ ὁ Ἰωσὴφ εἰς τὸ κέντρον τῆς Αἰγύπτου τότε ἐκέρδισε τὸν στέφανον τῆς σωφροσύνης, καθὼς ἐπίσης καὶ οἱ τρεῖς παῖδες εἰς τὴν καρδίαν τῆς Βαβυλῶνος καὶ εἰς τὸ κέντρον τοῦ ἀνακτόρου, ἐνῷ ἦτο ἐμπρός των ἐστρωμένη συβαριτική[1] τράπεζα, ἔδειξαν τὸ ἄκρον ἄωτον τῆς πνευματικότητος. Ἐπίσης ὁ Μωϋσῆς μέσα εἰς τὴν Αἴγυπτον καὶ ὁ Παῦλος ἐνώπιον ὅλης τῆς οἰκουμένης. Καὶ διὰ κανένα ἀπὸ αὐτοὺς δὲν εὑρέθη ἐμπόδιον εἰς τὸν δρόμον τῆς ἀρετῆς.

Αὐτὰ ἂς ἔχωμεν καὶ ἡμεῖς εἰς τὸν νοῦν μας καὶ ἂς θέσωμεν ἐκποδὼν τὰς περιττὰς αὐτὰς προφάσεις καὶ δικαιολογίας καὶ ἂς ἀναλάβωμεν τοὺς ἱδρῶτας τῆς ἀρετῆς. Ἔτσι θὰ προσελκύσωμεν καὶ τὸν Θεὸν εἰς μεγαλυτέραν ἀγάπην πρὸς ἡμᾶς, θὰ τὸν πείσωμεν νὰ βοηθήσῃ τοὺς ἀγῶνας μας καὶ θὰ ἀπολαύσωμεν τὰ αἰώνια ἀγαθά. Εἴθε νὰ τὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ'

Ματθ. 2, 16 - 23

«Τότε ἰδὼν Ἡρώδης ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων».

1. Καὶ μὴν οὐκ ἐχρῆν θυμωθῆνα , ἀλλὰ φοβηθῆνα καὶ συσταλῆνα , καὶ ἰδεῖν ὅτ ἀνηνύτοις ἐπιχειρεῖ πράγμασιν. Ἀλλ' οὐ καταστέλλεται· Ὅταν γὰρ ἀγνώμων ᾖ ψυχὴ καὶ ἀνίατος, οὐδενὶ εἴκει τῶν παρὰ τοῦ Θεοῦ δεδομένων φαρμάκων. Ὅρα γοῦν καὶ τοῦτον τοῖς προτέροις ἐπαγωνιζόμενον, καὶ φόνῳ φόνους συνάπτοντα, καὶ κατὰ κρημνοῦ πανταχοῦ φερόμενον. Ὥσπερ γὰρ ὑπό τινος δαίμονος τῆς ὀργῆς ταύτης καὶ τῆς βασκανίας ἐκβαχευθείς, οὐδενὸς ποιεῖται λόγον, ἀλλὰ καὶ κατὰ τῆς φύσεως αὐτῆς μαίνεται, καὶ τὴν ὀργὴν τὴν κατὰ τῶν ἐμπαιξάντων μάγων, κατὰ τῶν οὐδὲν ἠδικηκότων παίδων ἀφίησι, συγγενὲς δρᾶμα τῶν ἐν Αἰγύπτῳ γενομένων τότε ἐν Παλαιστίνῃ τολμῶν. «Ἀποστείλας» γάρ, φησίν, «ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων».

Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε. Καὶ γὰρ πολλοὶ πολλὰ φλυαροῦσιν ὑπὲρ τῶν παίδων τούτων, ἀδικίαν ἐγκαλοῦντες τοῖς γεγενημένοις· καὶ οἱ μὲν ἐπιεικέστερον ὑπὲρ αὐτῶν διαποροῦσιν, οἱ δὲ θρασύτερον καὶ μανικώτερον. Ἵν' οὖν τοὺς

ΟΜΙΛΙΑ Θ'
Ματθ. 2, 16 - 23

«Τότε ἰδὼν Ἡρώδης ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων».

1. Δὲν ἔπρεπε βεβαίως νὰ ὀργισθῇ ἀλλὰ νὰ φοβηθῇ καὶ νὰ μαζευθῇ καὶ νὰ ἐννοήσῃ ὅτι ἐπιχειρεῖ ἀκατόρθωτα πράγματα. Δὲν συγκρατεῖται ὅμως. Ὅταν ἡ ψυχὴ εἶναι ἀχάριστος καὶ ἀνεπίδεκτος δὲν ὑποχωρεῖ εἰς κανένα ἀπὸ τὰ φάρμακα, ποὺ δίδει ὁ Θεός Ἰδού, παρατήρησε καὶ τοῦτον πῶς συναγωνίζεται τοὺς προηγουμένους του· προσθέτει φόνον εἰς τοὺς φόνους καὶ παντοῦ τρέχει κατὰ κρημνοῦ. Σὰν νὰ ἦτο κυριευμένος ἀπὸ κάποιον δαίμονα τῆς ὀργῆς αὐτῆς καὶ τῆς βασκανίας. Δὲν ὑπολογίζει κανένα, μανιάζει καὶ ἐναντίον αὐτῆς τῆς φύσεως, καὶ τὴν ὀργήν του ἐναντίον τῶν μάγων ποὺ τὸν ἐγέλασαν, ἀφήνει νὰ ἐκσπάσῃ κατὰ τῶν παιδιῶν, ποὺ δὲν τὸν εἶχαν εἰς τίποτε βλάψει, καὶ ἀποτολμᾷ εἰς τὴν Παλαιστίνην, δρᾶμα συγγενικὸν μὲ ὅσα εἶχαν τότε συμβῇ εἰς τὴν Αἴγυπτον. Διότι λέγει· «Ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων».

Εἰς τὸ σημεῖον τοῦτο δείξετε παρακαλῶ πολλὴν προσοχήν. Πολλοὶ λέγουν πολλὰς φλυαρίας χάριν τῶν παιδιῶν τούτων, καὶ χαρακτηρίζουν ὡς ἀδικίαν τὰ γενόμενα. Καὶ ἄλλοι ἀπὸ αὐτοὺς διατυπώνουν μετριοπαθέστερα τὴν ἀπορίαν των, ἄλλοι δὲ μὲ μεγαλύτερον θράσος καὶ πεῖσμα. Διὰ νὰ ἀπαλλάξωμεν λοιπὸν τοὺς μὲν ἀπὸ τὸ πεῖσμα των καὶ τοὺς ἄλ-

μὲν τῆς μανίας, τοὺς δὲ τῆς ἀπορίας ἀπαλλάξωμεν, ἀνάσχεσθε μικρὸν διαλεγομένων ἡμῶν περὶ τῆς ὑποθέσεως ταύτης.

Εἰ γὰρ δὴ τοῦτο ἐγκαλοῦσιν, ὅτι περιώφθη τὰ παιδία ἀναιρούμενα, ἐγκαλέσουσι καὶ τῇ τῶν στρατιωτῶν σφαγῇ τῶν τὸν Πέτρον φυλαττόντων. Ὥσπερ γὰρ ἐνταῦθα τοῦ παιδίου φυγόντος, ἕτερα παιδία ἀντὶ τοῦ ζητουμένου κατασφάττεται, οὕτω δὴ καὶ τότε τὸν Πέτρον τοῦ δεσμωτηρίου καὶ τῶν ἁλύσεων ἀπαλλάξαντος τοῦ ἀγγέλου, ὁμώνυμός τις τοῦ τυράννου τούτου καὶ ὁμότροπος ζητήσας καὶ οὐχ εὑρών, τοὺς τηροῦντας αὐτὸν στρατιώτας ἀπέκτεινεν ἀντ' ἐκείνου.

Καὶ τί τοῦτο; φησί· τοῦτο γὰρ οὐ λύσις, ἀλλὰ προσθήκη τοῦ ζητουμένου.

Οἶδα κἀγώ, καὶ διὰ τοῦτο εἰς μέσον πάντα φέρω τὰ τοιαῦτα, ἵνα πᾶσι μίαν ἐπαγάγω τὴν λύσιν. Τίς οὖν ἐστι τούτων ἡ λύσις; Καὶ τίνα ἂν ἔχοιμεν λόγον εὐπρόσωπον εἰπεῖν; Ὅτι οὐχ ὁ Χριστὸς τῆς σφαγῆς αὐτοῖς αἴτιος γέγονεν, ἀλλ' ἡ ὠμότης τοῦ βασιλέως· ὥσπερ οὖν οὐδὲ ἐκείνοις ὁ Πέτρος ἀλλ' ἡ ἄνοια τοῦ Ἡρώδου. Εἰ μὲν γὰρ τοῖχον διορυγέντα εἶδεν ἢ θύρας ἀνατραπείσας, εἶχεν ἴσως ῥαθυμίαν ἐγκαλέσαι τοῖς φυλάττουσι τὸν Ἀπόστολον στρατιώταις· νυνὶ δὲ πάντων ἐπὶ σχήματος μενόντων, καὶ τῶν θυρῶν ἀποκεκλεισμένων, καὶ τῶν ἁλύσεων ταῖς χερσὶ τῶν φυλαττόντων συμβεβλημμένων (καὶ γὰρ ἦσαν αὐτῷ συνδεδεμένοι), ἠδύνατο συλλογίσασθαι ἐκ τούτων, εἴγε ὀρθῶς ἐδίκαζε τοῖς γινομένοις, ὅτι οὐκ ἀνθρωπίνης δυνάμεως ἦν, οὐδὲ κακουργίας τὸ γινόμενον, ἀλλὰ θείας τινὸς καὶ παραδοξοποιοῦ δυνάμεως, καὶ προσκυνῆσαι τὸν ποιήσαντα ταῦτα, ἀλλ' οὐ πολεμῆσαι τοῖς φυλάττουσιν. Οὕτω γὰρ ὁ Θεὸς ἐποίησεν ἅπερ ἐποίησεν ἅπαντα, ὡς μὴ μόνον τοὺς φύλακας μὴ προδοῦναι, ἀλλὰ καὶ τὸν βασιλέα δι' αὐτῶν χειραγωγῆσαι πρὸς τὴν ἀλήθειαν. Εἰ δὲ ἀγνώμων ἐκεῖνος ἐφάνη, τί πρὸς τὸν σοφὸν τῶν ψυχῶν ἰατρὸν καὶ πάντα ἐπ' εὐεργεσίᾳ πραγματευόμενον ἡ τοῦ κάμνοντος ἀταξία;

---

1. Βλέπε Πραξ. κεφ. 12 ἀπὸ τὴν ἀρχήν.

λους ἀπὸ τὴν ἀπορίαν, ζητῶ νὰ ἔχω τὴν ἀνοχήν σας, διὰ νὰ σᾶς ὁμιλήσω διὰ τὸ ζήτημα τοῦτο.

Ἂν ἡ κατηγορία των εἶναι αὐτή, ὅτι δηλαδὴ ἐπεδείχθη ἀδιαφορία διὰ τὴν θανάτωσιν τῶν παιδιῶν, ἂς κατηγορήσουν καὶ τὴν σφαγὴν τῶν στρατιωτῶν, ποὺ ἐφύλασσαν τὸν Πέτρον. Ἐδῶ ὅταν ἔφυγε τὸ παιδί, σφάζονται ἄλλα παιδιὰ εἰς τὴν θέσιν αὐτοῦ ποὺ ἐζητοῦσαν. Καὶ τότε πάλιν, ὅταν ὁ ἄγγελος ἠλευθέρωσε τὸν Πέτρον ἀπὸ τὴν φυλακὴν καὶ τὰς ἁλύσεις, ἕνας ὁμώνυμος καὶ ὁμότροπος τοῦ τυράννου τούτου, ὅταν τὸν ἐζήτησε καὶ δὲν τὸν εὑρῆκεν, ἐξόντωσεν εἰς τὴν θέσιν του τοὺς στρατιώτας ποὺ τὸν ἐφύλασσαν [1].

Τί σχέσιν ἔχει τοῦτο; θὰ εἰπῇ κάποιος. Τοῦτο δὲν ἀποτελεῖ λύσιν ἀλλὰ περιπλοκὴν τοῦ ζητήματος.

Τὸ γνωρίζω καὶ ἐγὼ καὶ διὰ τοῦτο φέρω εἰς τὴν μέσην ὅλα αὐτά, διὰ νὰ δώσω εἰς ὅλα τὴν ἰδίαν λύσιν. Ποία εἶναι λοιπὸν ἡ λύσις καὶ ποίαν εὐπρόσεκτον δικαιολογίαν ἔχομεν νὰ φέρωμεν; Δὲν εἶναι αἴτιος τῆς σφαγῆς ὁ Χριστὸς ἀλλ' ἡ σκληρότης τοῦ βασιλέως· ὅπως καὶ τῆς σφαγῆς ἐκείνων δὲν εἶναι ὁ Πέτρος ἀλλ' ἡ ἀνοησία τοῦ Ἡρώδου. Ἂν ἔβλεπεν ἕναν τοῖχον τρυπημένον ἢ πύλας νὰ ἔχουν ἀνατραπῆ, θὰ ἠμποροῦσε νὰ κατηγορήσῃ δι' ἀμέλειαν τοὺς στρατιώτας, ποὺ ἐφύλασσαν τὸν Ἀπόστολον. Τώρα ὅμως ὅλα εὑρίσκοντο εἰς τὴν θέσιν των· καὶ αἱ θύραι ἦσαν κλεισμέναι καὶ αἱ ἁλύσεις κλειδωμέναι εἰς τὰ χέρια τῶν φρουρῶν, διότι ἦσαν δεμένοι ὅλοι μὲ αὐτόν. Ἠμποροῦσε λοιπὸν νὰ συμπεράνῃ ἀπὸ αὐτά, ἂν ἔκρινεν ὀρθὰ δι' ὅσα εἶχαν συμβῆ, ὅτι αὐτὸ ποὺ εἶχε γίνει δὲν ἦτο ἔργον ἀνθρώπου οὔτε πρᾶξις κάποιου ἐχθροῦ του, ἀλλὰ ἐνέργεια μιᾶς θείας καὶ θαυματουργικῆς δυνάμεως. Ἔτσι, ἔπρεπε νὰ προσκυνήσῃ τὸν αἴτιον τοῦ γεγονότος καὶ ὄχι νὰ στραφῇ κατὰ τῶν φρουρῶν. Μὲ αὐτὸ τὸ νόημα ὁ Θεὸς ἔπραξεν ὅλα ὅσα ἔπραξεν. Ὄχι μόνον δὲν ἤθελε νὰ θυσιάσῃ τοὺς φρουροὺς ἀλλὰ καὶ τὸν βασιλέα νὰ ὁδηγήσῃ μὲ αὐτὰ εἰς τὴν ἀλήθειαν. Ἂν ἐκεῖνος ἐφάνη ἀγνώμων, τί σχέσιν ἠμπορεῖ νὰ ἔχῃ μὲ τὸν σοφὸν ἰατρὸν τῶν ψυχῶν ἡ ἀταξία τοῦ ἀσθενοῦς;

Ὃ δὴ καὶ ἐνταῦθα ἔστιν εἰπεῖν. Τίνος γὰρ ἕνεκεν ἐθυμώθης, ὦ Ἡρώδη, παρὰ τῶν μάγων ἐμπαιχθείς; Οὐκ ἔγνως ὅτι θεῖος ὁ τόκος ἦν; οὐ σὺ τοὺς ἀρχιερεῖς ἐκάλεσας; οὐ σὺ τοὺς γραμματέας συνήγαγες; οὐχὶ κληθέντες ἐκεῖνοι καὶ τὸν Προφήτην μεθ' ἑαυτῶν εἰς τὸ σὸν εἰσήγαγον δικαστήριον ταῦτα ἄνωθεν προαναφωνοῦντα; οὐκ εἶδες τὰ παλαιὰ τοῖς νέοις συμφωνοῦντα; οὐκ ἤκουσας ὅτι καὶ ἀστὴρ τούτοις διηκονήσατο; οὐκ ᾐδέσθης τῶν βαρβάρων τὴν σπουδήν; οὐκ ἐθαύμασας αὐτῶν τὴν παῤῥησίαν; οὐκ ἔφριξας τοῦ Προφήτου τὴν ἀλήθειαν; οὐκ ἐνενόησας ἀπὸ τῶν προτέρων καὶ τὰ ἔσχατα; Τίνος ἕνεκεν οὐκ ἐλογίσω κατὰ σεαυτὸν ἐκ τούτων ἁπάντων, ὅτι σὺ τῆς ἀπάτης τῶν μάγων ἦν τὸ γινόμενον, ἀλλὰ θείας δυνάμεως πάντα πρὸς τὸ δέον οἰκονομούσης; Εἰ δὲ καὶ ἠπατήθης παρὰ τῶν μάγων, τί πρὸς τὰ παιδία τὰ οὐδὲν ἠδικηκότα;

2. Ναί, φησίν· ἀλλὰ τὸν μὲν Ἡρώδην καλῶς ἀπεστέρησας τῆς ἀπολογίας, καὶ μιαιφόνον ἔδειξας· οὐδέπω δὲ τὸν περὶ τῆς ἀδικίας τῶν γεγενημένων ἔλυσας λόγον. Εἰ γὰρ καὶ ἐκεῖνος ἀδίκως ἔπραττε, τίνος ἕνεκεν ὁ Θεὸς συνεχώρησε;

Τί οὖν ἂν εἴποιμεν πρὸς τοῦτο; Ὅπερ ἀεὶ καὶ ἐν Ἐκκλησίᾳ καὶ ἐν ἀγορᾷ καὶ πανταχοῦ λέγων οὐ παύομαι· ὃ καὶ ὑμᾶς βούλομαι μετ' ἀκριβείας διατηρεῖν· κανὼν γάρ τίς ἐστι πρὸς ἅπασαν ἡμῖν τοιαύτην ἁρμόττων ἀπορίαν. Τίς οὖν ἐστιν ὁ κανών, καὶ τίς ὁ λόγος; Ὅτι οἱ μὲν ἀδικοῦντες πολλοί, ὁ δὲ ἀδικούμενος οὐδεὶ εἷς. Καὶ ἵνα μὴ ἐπὶ πλεῖον ὑμᾶς τὸ αἴνιγμα ταράττῃ, καὶ τὴν λύσιν ἐπάγω ταχέως. Ὅπερ γὰρ ἂν πάθωμεν ἀδίκως παρ' ὁτουοῦν, ἢ εἰς ἁμαρτημάτων διάλυσιν ὁ Θεὸς ἡμῖν λογίζεται τὴν ἀδικίαν ἐκείνην, ἢ εἰς μισθῶν ἀντίδοσιν.

Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ ὑποδείγμα-

---

1. Ἀδικοῦν πολλοὶ ἀλλὰ δὲν ἀδικεῖται κανείς. Εἶναι λοιπὸν τόσον ἀνίκανος ἡ ἀδικία νὰ εὕρῃ τὸν στόχον της; Ἡ πραγματικότης δὲν μαρτυρεῖ διὰ τὸ ἀντίθετον; Καὶ ὅμως θὰ ἠμποροῦσε νὰ ὑποστηρίξῃ κανεὶς ὅτι ἡ σκέψις δὲν εἶναι ἁπλοῦν ὀξύμωρον σχῆμα λόγου, διὰ νὰ προσελκυσθῇ ἡ προσο-

Ἠμποροῦμεν νὰ εἰποῦμεν καὶ ἐδῶ τὸ ἴδιον. Διατί ὠργίσθης, Ἡρώδη, μετὰ τὸ περιγέλασμα τῶν μάγων; Δέν ἀντελήφθης ὅτι τὸ γεννηθὲν ἦτο θεϊκόν; Σὺ δὲν ἐκάλεσες τοὺς ἀρχιερεῖς; Σὺ δὲν συνεκέντρωσες τοὺς γραμματεῖς; Ὅταν ἐκλήθησαν εἰς τὸ δικαστήριόν σου, δὲν ἔφεραν μαζί των καὶ τὸν προφήτην, ποὺ προανήγγειλεν ὅλα αὐτὰ μὲ τὸν φωτισμὸν τοῦ οὐρανοῦ; Δὲν εἶδες ὅτι τὰ παλαιὰ ἦσαν σύμφωνα μὲ τὰ νέα; Δὲν ἤκουσες ὅτι ἀκόμη καὶ τὸ ἄστρον ὑπηρέτησε τὸ γεγονός; Δὲν ἐσεβάσθης τὸν ζῆλον τῶν βαρβάρων; Δὲν ἐθαύμασες τὸ θάρρος των; Δὲν ἐρρίγησες ἀπὸ τὴν ἐπαλήθευσιν τοῦ προφήτου; Δὲν ἀντελήφθης τὰ πρόσφατα ἐπὶ τῇ βάσει τῶν προηγουμένων; Διὰ ποῖον λόγον δὲν ἔκαμες ἀπὸ ὅλα αὐτὰ τὴν σκέψιν ὅτι τὸ πρᾶγμα δὲν ἦτο μία πλεκτάνη τῶν μάγων, ἀλλ' ὅτι ἡ θεία δύναμις οἰκονομοῦσε τὰ πάντα πρὸς τὸ πρέπον; Ἀλλὰ καὶ ἂν ἐξηπατήθη ἀπὸ τοὺς μάγους, τί σχέσιν εἶχαν τὰ παιδιά, ποὺ δὲν εἶχαν κάμει καμμίαν ἀδικίαν;

2. Μάλιστα, μᾶς λέγει. Ὡραῖα ἄφησες ἀναπολόγητον τὸν Ἡρώδην καὶ τὸν ἐπαρουσίασες μιαρὸν φονέα. Δὲν ἀνεσκεύασες ὅμως ἀκόμη τὴν ἔνστασιν τῆς ἀδικίας δι' ὅσα εἶχαν συμβῆ. Ἂν ἐκεῖνος ἔπραττεν ἀδίκως, διατί συγκατετέθη ὁ Θεός;

Τί θὰ ἀπαντήσωμεν εἰς αὐτό; Ὅ,τι πάντοτε καὶ εἰς τὴν ἐκκλησίαν καὶ εἰς τὴν ἀγορὰν δὲν θὰ παύσω νὰ ἐπαναλαμβάνω. Τοῦτο θέλω νὰ τηρῆτε καὶ σεῖς μὲ ἀκρίβειαν· εἶναι ἕνας κανὼν ποὺ ἁρμόζει εἰς κάθε τέτοιαν ἀπορίαν σας. Ποῖος εἶναι αὐτὸς ὁ κανὼν καὶ ποῖος ὁ λόγος; Εἶναι πολλοὶ ὅσοι ἀδικοῦν ἀλλὰ δὲν ἀδικεῖται κανένας [1]. Καὶ διὰ νὰ μὴ σᾶς ταράσσῃ περισσότερον τὸ αἴτημά μου, δίδω ἀμέσως καὶ τὴν λύσιν. Ὅ,τι ἄδικον καὶ ἂν πάθωμεν ἀπὸ κάποιον, ὑπολογίζει ὁ Θεὸς τὴν ἀδικίαν αὐτὴν ἢ πρὸς διαγραφὴν ἁμαρτημάτων ἢ διὰ νὰ μᾶς δώσῃ μισθόν.

Ἂς χρησιμοποιήσωμεν ἕνα παράδειγμα, διὰ ν' ἀποσα-

χὴ τοῦ ἀκροατοῦ. Αὐτὴ εἶναι ἡ μόνη πραγματικότης διὰ τὸν πιστὸν ἀποβλέποντα εἰς τὴν δικαιοσύνην τοῦ Θεοῦ.

τος τὸν λόγον ἀγάγωμεν. Θῶμεν γὰρ εἶναί τινα οἰκέτην πολλὰ ὀφείλοντα τῷ δεσπότῃ χρήματα· εἶτα παρὰ ἀδίκων ἀνδρῶν ἐπηρεασθῆναι τὸν οἰκέτην τοῦτον, καὶ ἀφαιρεθῆναί τινα τῶν αὐτοῦ. Ἂν τοίνυν ὁ δεσπότης ὁ κωλῦσαι δυνάμενος τὸν ἅρπαγα καὶ πλεονέκτην, ἐκεῖνα μὲν μὴ ἀποκαταστήσῃ τὰ χρήματα, εἰς δὲ τὰ ὀφειλόμενα αὐτῷ παρὰ τοῦ δούλου λογίσηται τὰ ἀφαιρεθέντα, ἆρα μὴ ἠδίκηται ὁ οἰκέτης; Οὐδαμῶς. Τί δέ, ἂν καὶ πλείονα ἀποδῷ; Ἆρα οὐχὶ καὶ μειζόνως ἐκέρδανε; Παντί που δῆλον.

Τοῦτο τοίνυν καὶ ἐφ' ὧν ἡμεῖς πάσχομεν, λογισώμεθα. Ὅτι γὰρ ὑπὲρ ὧν πάθωμεν κακῶς, ἢ ἁμαρτήματα διαλυόμεθα, ἢ λαμπροτέρους λαμβάνομεν στεφάνους, ἂν μὴ ἁμαρτήματα τοσαῦτα ἔχωμεν, ἄκουσον τοῦ Παύλου λέγοντος πρὸς τὸν πεπορνευκότα·«Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ». Καὶ τί τοῦτο; φησί. Περὶ γὰρ τῶν ἀδικουμένων παρ' ἑτέρων ὁ λόγος ἦν, οὐ περὶ τῶν παρὰ τῶν διδασκάλων διορθουμένων. Μάλιστα μὲν οὐδὲν τὸ μέσον· τὸ γὰρ ζητούμενον ἦν, εἰ τὸ παθεῖν κακῶς οὐκ ἔστιν ἐπήρεια τῷ παθόντι.

Ἀλλ' ἵνα καὶ πρὸς τὸ ἐγγύτερον τοῦ ζητουμένου ἀγάγω τὸν λόγον, ἀναμνήσθητι τοῦ Δαυίδ, ὃς τὸν Σεμεΐ τότε ὁρῶν ἐπικείμενον καὶ ἐναλλόμενον αὐτοῦ τῇ συμφορᾷ, καὶ μυρίοις αὐτὸν ὀνείδεσι πλύνοντα, βουλομένων ἀνελεῖν τῶν στρατηγῶν, διεκώλυε λέγων· «Ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου, καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας ταύτης ἐν τῇ ἡμέρᾳ ταύτῃ». Καὶ ἐν τοῖς Ψαλμοῖς δὲ ᾄδων ἔλεγεν· «Ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐ-

---

1. Α' Κορ. 5, 5.
2. Βλέπε τὸν Κρίτωνα τοῦ Πλάτωνος.
3. Ὅταν ὁ Δαυΐδ ἀνεζητοῦσε τὸν ἀποστάτην υἱόν του 'Αβεσσαλὼμ συνηντήθη μὲ τὸν ἀπὸ τὴν γενεὰν τοῦ Σαοὺλ καταγόμενον Σεμεΐ, ὁ ὁποῖος τὸν κατηράσθη καὶ τὸν ἐβλασφήμησεν ὡς ἄνδρα αἱμάτων καὶ κακοῦργον.

φηνισθῇ τὸ πρᾶγμα καλύτερα. Ἂς ὑποθέσωμεν ὅτι ἕνας ὑπηρέτης ὀφείλει πολλὰ χρήματα εἰς τὸν κύριόν του. Ἔπειτα ὁ ὑπηρέτης αὐτὸς δέχεται τὴν βίαν ἀδίκων ἀνθρώπων, ποὺ τοῦ ἀφαιροῦν μέρος ἀπὸ τὰ ἰδικά του. Ἂν λοιπὸν ὁ κύριος, ποὺ ἠμπορεῖ νὰ ἐμποδίσῃ τὸν ἅρπαγα καὶ τὸν πλεονέκτην, δὲν βάλῃ εἰς τὴν θέσιν των τὰ χρήματα ἀλλὰ ἐκπέσῃ ἀπὸ τὴν πρὸς αὐτὸν ὀφειλὴν τοῦ δούλου ὅσα τοῦ ἀφήρεσαν, ὁ δοῦλος ἔχει τάχα ἀδικηθῆ; Καθόλου βεβαίως; Καὶ ἂν τοῦ ἀποδώσῃ ἀκόμη περισσότερα; Δὲν ἔχει καὶ μεγαλύτερον κέρδος; Εἶναι φανερὸν εἰς ὅλους.

Ἂς μεταφέρωμεν τοῦτο καὶ εἰς ὅσα πάσχομεν· ὅτι δι' ὅσας ἀδικίας ὑφιστάμεθα ἢ διαγράφονται ἁμαρτήματά μας ἢ κερδίζομεν λαμπροτέρους στεφάνους, ἂν δὲν ἔχωμεν ἀνάλογα ἁμαρτήματα. Ἄκουσε τὸν Παῦλον νὰ λέγῃ πρὸς ἐκεῖνον ποὺ ἔχει πορνεύσει· «Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ» [1]. Ποίαν σχέσιν ἔχει τοῦτο; Ὁ λόγος μας εἶναι δι' ὅσους ἀδικοῦνται ἀπὸ ἄλλους, ὄχι δι' ὅσους διορθώνουν οἱ διδάσκαλοι. Κατ' ἀκρίβειαν οἱ δύο περιπτώσεις δὲν ἔχουν καμμίαν διαφοράν· διότι τὸ ζήτημά μας εἶναι ἂν ἡ ἀδικία δὲν ἀποτελεῖ ζημίαν δι' ἐκεῖνον ποὺ ἠδικήθη[2].

Ἀλλὰ διὰ νὰ φέρω τὸν λόγον μου πλησιέστερον πρὸς τὸ θέμα, ἐνθυμηθῆτε τὸν Δαυίδ. Ὅταν εἶδε τὸν Σεμεΐ [3] νὰ ὁρμᾷ ἐναντίον του, νὰ τοῦ ἐπιτίθεται εἰς τὴν συμφοράν του καὶ νὰ τὸν περιλούῃ μὲ ἀμετρήτους ἐξευτελισμούς, ἐνῷ οἱ στρατηγοὶ ἤθελαν νὰ τὸν φονεύσουν, τοὺς ἠμπόδισεν. «Ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας ταύτης ἐν τῇ ἡμέρᾳ ταύτῃ»[4]. Καὶ εἰς τοὺς Ψαλμούς του ψάλλει· «Ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας

Ἀλλ' ὁ Δαυίδ ἠρνεῖτο νὰ τὸν τιμωρήσῃ ἐλπίζων ὅτι θὰ λάβῃ ἀπὸ τὸν Θεὸν «ἀγαθὰ ἀντὶ τῆς κατάρας ταύτης» (Β' Βασιλ., 16, 5 - 14).

4. Β', Βασ. 16, 11 - 12.

19

μίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου». Καὶ ὁ Λάζαρος δὲ διὰ τοῦτο ἀπέλαυσεν ἀνέσεως, ἐπειδὴ μυρία κατὰ τὸν βίον τοῦτον ἔπαθε κακά. Οὐκ ἄρα ἠδίκηνται οἱ ἀδικηθέντες, ἐὰν γενναίως ἐνέγκωσιν ἅπερ πάσχουσιν ἅπαντα, ἀλλὰ καὶ μειζόνως κερδαίνουσιν, ἄν τε παρὰ τοῦ Θεοῦ πλήττωνται, ἄν τε παρὰ τοῦ διαβόλου μαστίζωνται.

Καὶ ποίαν εἶχον ἁμαρτίαν τὰ παιδία, φησίν, ἵνα ταύτην διαλύσωνται; Περὶ μὲν γὰρ τῶν ἐν ἡλικίᾳ γενομένων καὶ πολλὰ πεπλημμεληκότων εἰκότως ἄν τις ταῦτα εἴποι· οἱ δὲ ἄωρον οὕτως ὑπομείναντες τελευτήν, ποῖα ἁμαρτήματα, δι' ὧν κακῶς ἔπαθον, ἀπέθεντο;

Οὐκ ἤκουσάς μου λέγοντος, ὅτι κἂν ἁμαρτήματα μὴ ᾖ, μισθῶν ἀντίδοσις ἐκεῖ γίνεται τοῖς πάσχουσιν ἐνταῦθα κακῶς; Τί τοίνυν βλάβη τὰ παιδία ἀναιρεθέντα ἐπὶ ὑποθέσει τοιαύτῃ, καὶ πρὸς τὸν ἀκύμαντον ταχέως ἀπενεχθέντα λιμένα; Ὅτι πολλὰ καὶ μεγάλα πολλάκις ἔμελλον, φησί, ζήσαντες κατορθοῦν. Ἀλλὰ διὰ τοῦτο οὐ μικρὸν αὐτοῖς προαποτίθεται τὸν μισθόν, τὸ ἐπὶ ὑποθέσει τοιαύτῃ καταλῦσαι τὸν βίον. Ἄλλως δὲ οὐδ' ἂν εἴασεν, εἰ μεγάλοι τινὲς ἔμελλον ἔσεσθαι οἱ παῖδες προαναρπασθῆναι. Εἰ γὰρ τοὺς ἐν πονηρίᾳ μέλλοντας ζῆν διηνεκῶς, μετὰ μακροθυμίας φέρει τοσαύτης, πολλῷ μᾶλλον τούτους οὐκ ἂν εἴασεν οὕτως ἀπενεχθῆναι, εἰ προῄδει μεγάλα τινὰ ἀνύσοντας.

3. Καὶ οὗτοι μὲν οἱ παρ' ἡμῶν λόγοι· οὐ μὴν ἅπαντες οὗτοι, ἀλλ' εἰσὶ καὶ τούτων ἀποῤῥητότεροι ἕτεροι, οὓς μετὰ ἀκριβείας οἶδεν ὁ ταῦτα οἰκονομῶν αὐτός. Παραχωρήσαντες τοίνυν αὐτῷ τῆς ἀκριβεστέρας ἐν τούτῳ καταλήψεως, τῶν ἑξῆς ἡμεῖς ἐχώμεθα καὶ ἐν ταῖς ἑτέρων συμφοραῖς παιδευώμεθα πάντα φέρειν γενναίως. Καὶ γὰρ οὐ μικρὰ τότε κατέλαβε τὴν Βηθλεὲμ τραγῳδία, τῶν παίδων ἁρπαζομένων ἀπὸ τῆς θηλῆς τῶν

---

1. Ψαλμ. 24, 19, 18.
2. Λουκᾶ κεφ. 16.

τὰς ἁμαρτίας μου»[1]. Διὰ τὸν λόγον αὐτὸν ἔλαβε καὶ ὁ Λάζαρος τὴν ἀμοιβήν του, ἐπειδὴ ὑπέστη εἰς τὴν ζωήν του ἀμέτρητα δεινά[2]. Δὲν ἀδικοῦνται λοιπὸν ὅσοι ἠδικήθησαν, ἂν ὑποφέρουν μὲ γενναιότητα, ὅλα ὅσα ὑφίστανται, ἀλλὰ καὶ μεγαλύτερον κέρδος ἔχουν εἴτε ἀπὸ τὸν Θεὸν παιδεύονται εἴτε ἀπὸ τὸν διάβολον βασανίζονται.

Καὶ ποίαν ἁμαρτίαν εἶχαν τὰ παιδιά, διὰ νὰ διαγραφῇ, ἀντιτείνει κάποιος. Ἕνα τέτοιον ἰσχυρισμὸν ἠμπορεῖ νὰ προβάλῃ κανεὶς δι' ὅσους εἶναι εἰς ἡλικίαν καὶ ἔχουν διαπράξει πολλὰ σφάλματα. Ὅποιοι ὅμως εἶχαν ἕνα τέτοιο πρόωρον τέλος, ποῖα ἁμαρτήματά των ἐξώφλησαν μὲ τὰ δεινοπαθήματά των;

Δὲν ἤκουσες νὰ λέγω, ὅτι καὶ ἂν δέν ὑπάρχουν ἁμαρτήματα, γίνεται ἐκεῖ ἀνταπόδοσις ἀμοιβῆς εἰς αὐτοὺς ποὺ ἐδῶ δεινοπαθοῦν; Μὲ μίαν τέτοιαν προϋπόθεσιν ποίαν ζημίαν ἔπαθαν τὰ παιδιὰ ποὺ ἐφονεύθησαν καὶ μετεφέρθησαν ἀμέσως εἰς τὸ ἀκύμαντον λιμάνι; Ἴσως ἂν ἐζοῦσαν θὰ ἦσαν εἰς θέσιν νὰ κατορθώσουν πολλὰ καὶ μεγάλα πράγματα. Ἀλλὰ διὰ τοῦτο τοὺς ἐπιφυλάσσει ὄχι ἀσήμαντον μισθόν, διὰ τὸ ὅτι ἐτελείωσαν τὴν ζωήν των, ἐνῷ ὑπῆρχε μία τέτοια προοπτική. Ἂν ἦτο ἀλλιῶς, οὔτε ποὺ θὰ ἄφηνε καθόλου νὰ ἀναρπασθοῦν πρόωρα τὰ παιδιά, ἂν ἐπρόκειτο νὰ ἀποβοῦν σπουδαῖαι προσωπικότητες. Ἂν μὲ τόσην μακροθυμίαν ἀνέχεται αὐτοὺς ποὺ πρόκειται νὰ ζοῦν ἀδιακόπως μέσα εἰς τὴν κακίαν, πολὺ περισσότερον δὲν θὰ ἐπέτρεπε νὰ ἀποθάνουν τὰ παιδιὰ κατ' αὐτὸν τὸν τρόπον, ἂν ἐπρόβλεπεν ὅτι θὰ ἐπιτελοῦσαν μεγάλα ἔργα.

3. Αὐτοὶ εἶναι οἱ ἰδικοί μας λόγοι. Καὶ δὲν εἶναι βεβαίως μόνον αὐτοί· ὑπάρχουν καὶ ἄλλοι πιὸ ἀπόρρητοι, ποὺ τοὺς γνωρίζει μὲ ἀκρίβειαν ἐκεῖνος ποὺ οἰκονομεῖ ὅλα αὐτά. Ἂς ἀφήσωμεν εἰς ἐκεῖνον τὴν ἀκριβῆ κατανόησιν τοῦ θέματος τούτου καὶ ἡμεῖς ἂς κρατήσωμεν τὰ ἑξῆς καὶ εἰς τὰς συμφορὰς τῶν ἄλλων ἂς διδασκώμεθα νὰ ὑποφέρωμεν τὰ πάντα μὲ γενναιότητα. Διότι δὲν ἔπεσεν εἰς τὴν Βηθλεὲμ τότε μικρὰ τραγωδία, νὰ ἁρπάζωνται τὰ παιδιὰ ἀπὸ τὴν ἀγκάλην τῶν μητέ-

μητέρων, καὶ ἐπὶ τὴν ἄδικον ταύτην ἀγομένων σφαγήν. Εἰ δὲ ἔτι μικροψυχεῖς καὶ ἐλάττων εἶ τῆς ἐπὶ τούτοις φιλοσοφίας, μάθε τοῦ ταῦτα τολμήσαντος τὸ τέλος, καὶ μικρὸν ἀνάπνευσον. Ταχίστη γὰρ αὐτὸν ὑπὲρ τούτων κατέλαβε δίκη, καὶ τοῦ μιάσματος τούτου τὴν προσήκουσαν ἐδίδου τιμωρίαν, θανάτῳ χαλεπῷ καὶ τοῦ νῦν τολμηθέντος ἐλεεινοτέρῳ καταλύων τὸν βίον, καὶ ἕτερα μυρία πάσχων κακά, ὅπερ εἴσεσθε τὴν 'Ιωσήπου περὶ τούτων ἱστορίαν ἐπελθόντες· ἥν, ἵνα μὴ μακρὸν ποιῶμεν τὸν λόγον καὶ τὴν συνέχειαν διακόπτωμεν, οὐκ ἀναγκαῖον εἶναι ἐνομίσαμεν τοῖς παροῦσιν ἐνθεῖναι.

«Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ 'Ιερεμίου τοῦ προφήτου λέγοντος· Φωνὴ ἐν 'Ραμᾶ ἠκούσθη, 'Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν».'Επειδὴ γὰρ φρίκης ἐνέπλησε τὸν ἀκροατὴν ταῦτα διηγησάμενος, τὴν σφαγὴν τὴν βιαίαν, τὴν ἄδικον, τὴν ὠμοτάτην, τὴν παράνομον, παραμυθεῖται πάλιν αὐτόν, λέγων, ὅτι οὐκ ἀδυνατοῦντος τοῦ Θεοῦ κωλῦσαι ταῦτα ἐγίνετο, οὐδὲ ἀγνοοῦντος, ἀλλὰ καὶ προειδότος καὶ προανακηρύττοντος διὰ τοῦ Προφήτου. Μὴ τοίνυν θορυβηθῇς, μηδὲ καταπέσῃς, εἰς τὴν ἀπόρρητον αὐτοῦ πρόνοιαν ἀφορῶν, ἣν καὶ δι' ὧν ἐνεργεῖ καὶ δι' ὧν συγχωρεῖ, μάλιστά ἐστι ἰδεῖν· ὅπερ οὖν καὶ ἀλλαχοῦ τοῖς μαθηταῖς διαλεγόμενος ᾐνίξατο. 'Επειδὴ γὰρ τὰ δικαστήρια, καὶ τὰς ἀπαγωγάς, καὶ τοὺς τῆς οἰκουμένης πολέμους, καὶ τὴν ἄσπονδον μάχην αὐτοῖς προανεκήρυττεν, ἀνέχων αὐτῶν τὴν ψυχὴν καὶ παραμυθούμενός φησιν· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν

---

1. 'Ο Φλάβιος 'Ιώσηπος, ἱστορικὸς καὶ στρατηγὸς τοῦ ἰουδαϊκοῦ ἐπαναστατικοῦ στρατοῦ εἰς τὴν Γαλιλαίαν κατὰ τὸν πόλεμον ἐναντίον τῆς Ρώμης τὸ 66 - 70, ἐγεννήθη τὸ 37)8 μ.Χ. ἀπὸ ἱερατικὴν οἰκογένειαν. Κατ' ἀρχὰς ἐπολέμησε τοὺς Ρωμαίους, ἀλλ' ἀργότερον διαπιστώσας τὴν ἀκαταμάχητον δύναμίν των συμφιλιωθεὶς μετ' αὐτῶν ἐδέχθη ἀποζημίωσιν ἀπὸ τὸν αὐτοκράτορα. Ἔγραψε τὸν ἰουδαϊκὸν πόλεμον εἰς 7 βιβλία, τὴν 'Ιουδαϊκὴν 'Αρχαιολογίαν εἰς 20 βιβλία, τὸν Βίον του, ὅπου ὑπεραμύνεται τῆς πο-

ρων καὶ νὰ ὁδηγοῦνται εἰς τὴν ἄδικον αὐτὴν σφαγήν. Ἂν ὅμως διατηρῇς ἀκόμη τὴν μικροψυχίαν καὶ δὲν ἐννοῇς τὴν σκοπιμότητα τοῦ γεγονότος, πληροφορήσου τὸ τέλος ἐκείνου, ποὺ τὸ ἐτόλμησε καὶ πάρε μικρὰν ἀναπνοήν. Τὸν εὗρῆκε ταχυτάτη ἡ δίκη δι' αὐτὰ καὶ ἔλαβε τὴν προσήκουσαν τιμωρίαν εἰς τὸ ἀποτρόπαιον ἔγκλημά του. Ἐτελείωσε τὴν ζωήν του μέ σκληρὸν θάνατον ἀθλιώτερον ἀπὸ ἐκεῖνον ποὺ εἶχε τολμήσει. Ἔπαθε καὶ ἄλλα ἄπειρα δεινὰ ποὺ θὰ μάθετε, ὅταν διαβάσετε τὴν σχετικὴν διήγησιν τοῦ Ἰωσήπου [1] καὶ τὴν ὁποίαν δὲν ἐθεωρήσαμεν ἀπαραίτητον νὰ τὴν παρεμβάλωμεν ἐδῶ, διὰ νὰ μὴν κάμωμεν τὸν λόγον μας μακρὸν καὶ διακοπῇ ἡ συνέχειά του.

«Τότε ἐπληρώθη τὸ ρηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος· Φωνὴ ἐν Ραμᾷ ἠκούσθη, Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν» [2]. Ἐπειδὴ ἐπλημμύρισε μὲ φρίκην τὴν ψυχὴν τοῦ ἀκροατοῦ, ὅταν διηγήθη ὅλα αὐτά, τὴν ἀγρίαν σφαγήν, τὴν ἄδικον, τὴν σκληροτάτην, τὴν παράνομον, τὸν παρηγορεῖ πάλιν· τοῦ λέγει ὅτι δὲν ἔγιναν αὐτά, ἐπειδὴ δὲν εἶχε τὴν δύναμιν ὁ Θεὸς νὰ τὰ ἐμποδίσῃ καὶ ἐπειδὴ δὲν ἐγνώριζεν, ἀφοῦ καὶ ἀπὸ προηγουμένως τὰ ἐγνώριζε καὶ τὰ εἶχε προαναγγείλει μὲ τὸ στόμα τοῦ προφήτου. Μὴ ταραχθῇς λοιπὸν καὶ μὴ ἀπογοητευθῇς ἀποβλέπων εἰς τὴν ἀνερεύνητον πρόνοιάν του, ποὺ εἶναι δυνατὸν ἄριστα νὰ τὴν διαπιστώσωμεν καὶ ἀπὸ ὅσα ἐνεργεῖ καὶ ἀπὸ ὅσα συγχωρεῖ. Τοῦτο καὶ εἰς ἄλλο σημεῖον συνομιλῶν μὲ τοὺς μαθητάς του ἄφησε νὰ ἐννοηθῇ. Ὅταν προανήγγειλεν εἰς αὐτοὺς τὰ δικαστήρια, τὰς συλλήψεις, τοὺς πολέμους τῆς οἰκουμένης, τὴν ἀδιάλλακτον καταδρομήν, ἐπρόσθεσε διὰ νὰ ἀνακουφίσῃ τὴν ψυχήν των καὶ νὰ τοὺς παρηγορήσῃ. Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται

λιτείας του, καὶ τέλος τὸν Κατ' Ἀπίωνος, λόγον ποὺ ἀποτελεῖ εὔγλωττον ἀπολογίαν τοῦ Ἰουδαϊσμοῦ.

2. Ἰερ. 31, 15.

οὐρανοῖς». Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐδὲν ἀγνοοῦντος αὐτοῦ γίνεται, ἀλλ᾽ εἰδότος μὲν ἅπαντα, οὐ μὴν πάντα ἐνεργοῦντος. Μὴ τοίνυν, φησί, ταράττεσθε μηδὲ θορυβεῖσθε. Ὁ γὰρ εἰδὼς ἃ πάσχετε, καὶ κωλῦσαι δυνάμενος, εὔδηλον ὅτι προνοῶν ὑμῶν καὶ κηδόμενος οὐ κωλύει· ὅπερ καὶ ἐπὶ τῶν πειρασμῶν τῶν ἡμετέρων ἐννοεῖν δεῖ· καὶ ἱκανὴν ἐντεῦθεν ληψόμεθα τὴν παράκλησιν.

Καὶ τί, φησί, κοινὸν τῇ Ῥαχὴλ πρὸς τὴν Βηθλεέμ, ἴσως εἴποι τις ἄν· «Ῥαχὴλ γάρ», φησί, «κλαίουσα τὰ τέκνα αὐτῆς».

Τί δὲ τῇ Ῥαμᾶ πρὸς τὴν Ραχήλ;

Ἡ Ῥαχὴλ μήτηρ ἦν τοῦ Βενιαμίν, καὶ τελευτήσασαν αὐτὴν εἰς τὸν ἱππόδρομον ἔθαψαν τὸν πλησίον ὄντα τοῦ χωρίου τούτου. Ἐπεὶ οὖν καὶ ὁ τάφος πλησίον, καὶ ὁ κλῆρος τοῦ παιδίου ταύτης ἦν τοῦ Βενιαμὶν (ἡ γὰρ Ῥαμᾶ τῆς Βενιαμίτιδος ἦν φυλῆς), ἀπό τε τοῦ φυλάρχου, ἀπό τε τοῦ τόπου τῆς ἐπαφῆς εἰκότως αὐτῆς τὰ παιδία τὰ σφαγιασθέντα καλεῖ. Εἶτα δεικνὺς ὅτι ἀνίατον ἦν τὸ συμβὰν ἕλκος καὶ ὠμόν, φησίν· «Οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί». Πάλιν καντεῦθεν παιδευόμεθα τοῦτο, ὅπερ ἔμπροσθεν ἔλεγον, τὸ μηδέποτε θορυβεῖσθαι, ὅταν τῇ τοῦ Θεοῦ ὑποσχέσει τὰ γινόμενα ἐναντία ᾖ.

Ἰδοὺ γοῦν παραγενομένου αὐτοῦ ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ, μᾶλλον δὲ ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, οἷα γέγονε τὰ προοίμια. Ἐν φυγῇ μὲν ἡ μήτηρ, συμφοραῖς δὲ ἀνηκέστοις ἡ πατρὶς περιπίπτει, καὶ τολμᾶται φόνος πάντων φόνων ὁ πικρότατος, καὶ θρῆνος καὶ ὀδυρμὸς πολὺς καὶ οἰμωγαὶ πανταχοῦ. Ἀλλὰ μὴ ταραχθῇς· εἴωθε γὰρ ἀεὶ διὰ τῶν ἐναντίων τῆς οἰκονομίας τὰς ἑαυτοῦ πληροῦν, μεγίστην ἐντεῦθεν τῆς αὐτοῦ δυνάμεως παρεχόμενος ἡμῖν ἀπόδειξιν. Οὕτω καὶ τοὺς μαθητὰς ἐνῆγε τοὺς ἑαυτοῦ, καὶ κατορθοῦν πάντα παρεσκεύαζε, διὰ τῶν ἐναντίων τὰ

1. Ματθ. 10, 29.

ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς»[1]. Τὰ ἔλεγε αὐτά, διὰ νὰ δείξῃ εἰς αὐτοὺς ὅτι δὲν γίνεται τίποτε, ποὺ ἐκεῖνος ἀγνοεῖ· τὰ γνωρίζει ὅλα, μόνον ὅτι δὲν ἐπεμβαίνει εἰς ὅλα. Μὴ ταράττεσθε λοιπὸν καὶ μὴ ἀνησυχῆτε. Διότι αὐτὸς ποὺ γνωρίζει ὅσα ὑποφέρετε καὶ εἶναι εἰς θέσιν νὰ τὰ ἐμποδίσῃ, εἶναι φανερὸν ὅτι δὲν τὰ ἐμποδίζει, ἐπειδὴ προνοεῖ καὶ ἐνδιαφέρεται διὰ σᾶς. Τὴν σκέψιν αὐτὴν νὰ κάμωμεν καὶ διὰ τοὺς ἰδικούς μας πειρασμοὺς καὶ ἀπὸ αὐτὴν θὰ ἀντλήσωμεν τὴν ἀπαραίτητον παρηγορίαν.

Καὶ τί κοινὸν ὑπάρχει μεταξὺ Ραχὴλ καὶ Βηθλεέμ, θὰ ἐρωτοῦσε κάποιος. Διότι λέγει· «Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς».

Καὶ τί κοινὸν πάλιν μεταξὺ Ραμᾶ καὶ Ραχήλ;

Ἡ Ραχὴλ ἦτο μήτηρ τοῦ Βενιαμὶν καὶ μετὰ τὸν θάνατόν της τὴν ἔθαψαν εἰς τὸν ἱππόδρομον, ποὺ εὑρίσκεται ἐκεῖ πλησίον. Ἐπειδὴ λοιπὸν καὶ ὁ τάφος ἦτο πλησίον, καὶ ἡ περιοχὴ ἀνῆκεν εἰς τὸν κλῆρον τοῦ παιδιοῦ της Βενιαμίν, (ἡ Ραμᾶ ἀνῆκεν εἰς τὴν φυλὴν τοῦ Βενιαμίν), ἀποκαλεῖ δικαίως ἰδικά της τὰ παιδιὰ καὶ ἐξ αἰτίας τοῦ ἀρχηγοῦ τῆς φυλῆς καὶ ἀπὸ τὸν τόπον τῆς ταφῆς καὶ παρουσιάζων ἐν συνεχείᾳ τὸ γεγονὸς ὡς πληγὴν ἀθεράπευτον καὶ ὀδυνηρὰν λέγει· «Οὐκ ἤθελε παρακληθῆναι ὅτι οὐκ εἰσίν». Ἀπὸ ἐδῶ πάλιν διδασκόμεθα αὐτὸ ποὺ ἔλεγα προηγουμένως· νὰ μὴ ταρασσώμεθα ποτέ, ὅταν ὅσα γίνωνται εἶναι ἀντίθετα πρὸς τὴν ὑπόσχεσιν τοῦ Θεοῦ.

Ἰδοὺ λοιπὸν ποῖα ἦσαν τὰ προοίμια τῆς ἐλεύσεώς του διὰ τὴν σωτηρίαν τοῦ λαοῦ ἢ μᾶλλον διὰ τὴν σωτηρίαν τῆς οἰκουμένης. Ἡ μητέρα του ὑποχρεώνεται εἰς φυγήν, περιπίπτει ἡ πατρίδα του εἰς ἀθεράπευτα δεινὰ καὶ ἀποτολμᾶται ἔγκλημα σκληρότερον ἀπὸ κάθε ἄλλο, θρῆνος πολὺς καὶ ὀδυρμὸς καὶ παντοῦ κραυγαί. Ἀλλὰ μὴ ταραχθῇς. Συνηθίζει νὰ πραγματοποιῇ τὰ σχέδιά του μὲ τὰ ἀντίθετα καὶ μᾶς παρέχει ἔτσι μεγίστην ἀπόδειξιν τῆς δυνάμεώς του. Ἔτσι ὡδηγοῦσε καὶ τοὺς μαθητάς του καὶ τοὺς προετοίμαζε νὰ ἐπιτυγχάνουν τὰ πάντα, ἐπιτελῶν τὴν πραγματοποίησιν τῶν ἀντιθέτων μὲ τὰ ἀντίθετα διὰ νὰ γίνῃ τὸ θαῦμα μεγαλύτερον. Καὶ ἐκεῖνοι ἂν καὶ ἐ-

ἐναντία οἰκονομῶν, ἵνα μεῖζον τὸ θαῦμα γένηται. Μαστιζόμενοι γοῦν κἀκεῖνοι, καὶ ἐλαυνόμενοι καὶ μυρία πάσχοντες δεινά, οὕτω τῶν μαστιζόντων καὶ ἐλαυνόντων περιεγένοντο.

«Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ». Οὐκέτι φησί, Φεῦ γε, ἀλλά, «Πορεύου».

4. Εἶδες πάλιν μετὰ τὸν πειρασμὸν ἄνεσιν; εἶτα μετὰ τὴν ἄνεσιν κίνδυνον πάλιν; Τῆς μὲν γὰρ ὑπερορίας ἀφείθη, καὶ πρὸς τὴν οἰκείαν ἐπανῆλθε χώραν, καὶ τὸν φονέα τῶν παίδων σφαγιασθέντα εἶδεν· ἐπιβὰς δὲ τῆς οἰκείας, πάλιν λείψανα τῶν προτέρων εὑρίσκει κινδύνων, τὸν υἱὸν τοῦ τυράννου ζῶντα καὶ βασιλεύοντα. Καὶ πῶς Ἀρχέλαος ἐβασίλευσε τῆς Ἰουδαίας, Ποντίου Πιλάτου ἡγεμονεύοντος; Πρόσφατος ἦν ἡ τελετὴ γεγενημένη, καὶ οὐδέπω εἰς πολλὰ ἦν διαιρεθεῖσα ἡ βασιλεία· ἀλλ' ὡς ἄρτι καταλύσαντος ἐκείνου, τέως ὁ υἱὸς τὴν ἀρχὴν κατεῖχεν ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ· καὶ γὰρ καὶ τῷ ἀδελφῷ αὐτοῦ τοῦτο ὄνομα ἦν· διὸ προσέθηκεν ὁ Εὐαγγελιστής, «Ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ». Ἀλλ' εἰς τὴν Ἰουδαίαν ἐδεδοίκει, φησί, καταλαβεῖν διὰ τὸν Ἀρχέλαον, ἔδει καὶ τὴν Γαλιλαίαν διὰ τὸν Ἡρώδην φοβηθῆναι. Ἀλλ' εἰ τὸ χωρίον ἤμειψε, τὸ πρᾶγμα συνεσκιάζετο λοιπόν· ἡ γὰρ ὁρμὴ πᾶσα κατὰ τῆς Βηθλεὲμ ἦν καὶ τῶν ὁρίων αὐτῆς. Τῆς τοίνυν σφαγῆς γενομένης, ᾤετο λοιπὸν ὁ παῖς Ἀρχέλαος τέλος ἐσχηκέναι τὸ πᾶν, καὶ ἐν τοῖς πολλοῖς καὶ τὸν ζητούμενον ἀνῃρῆσθαι. Ἄλλως δὲ καὶ τὸν πατέρα οὕτω καταλύσαντα τὸν βίον ἰδών, εὐλαβέστερος πρὸς τὸ περαιτέρω προελθεῖν ἐγένετο, καὶ ἐπαγωνίσασθαι τῇ παρανομίᾳ.

---

1. Ὁ Ἀρχέλαος ἦτο ἕνας ἀπὸ τοὺς τρεῖς υἱοὺς τοῦ Ἡρώδου τοῦ Μεγάλου ἀπὸ τὴν σύζυγόν του Μαλθάκην. Οἱ ἀδελφοί του Ἀντίπας καὶ Φίλιππος, ἐπειδὴ δὲν εἶχαν ἱκανοποιηθῆ ἀπὸ τὴν διαθήκην τοῦ πατρός των κατέφυγαν εἰς τὸν Αὔγουστον, ὁ ὁποῖος ἐδικαίωσε τὸν Ἀρχέλαον καὶ τοῦ παρεχώρησε τὸν τίτλον τοῦ ἐθνάρχου. Ὁ Ἀρχέλαος ἀπεδείχθη τύραννος

μαστιγώνοντο καὶ ἐξεδιώκοντο καὶ ὑπέμεναν ἄπειρα δεινά ἐνίκησαν ἐκείνους οἱ ὁποῖοι τοὺς ἐμαστίγωναν καὶ τοὺς κατεδίωκαν.

«Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ». Δὲν λέγει Φεῦγε, ἀλλὰ «πορεύου».

4. Εἶδες πάλι μετὰ τὸν πειρασμὸν τὴν ἄνεσιν καὶ μετὰ τὴν ἄνεσιν τὸν κίνδυνον πάλιν; Ἠλευθερώθη ἀπὸ τὴν ἀνάγκην τοῦ ἐκπατρισμοῦ, ἐπέστρεψε πάλιν εἰς τὴν πατρικήν του γῆν καὶ εἶδε νὰ ἔχῃ σφαγῇ ὁ φονεὺς τῶν παιδιῶν, καὶ ὅταν ἐπανῆλθεν εἰς τὴν πατρίδα του, εὑρίσκει ὑπόλοιπα τῶν παλαιῶν κινδύνων· νὰ ζῇ δηλαδὴ καὶ νὰ ἔχῃ τὸ βασιλικὸν ἀξίωμα ὁ υἱὸς τοῦ τυράννου. Πῶς τώρα ἐβασίλευεν εἰς τὴν Ἰουδαίαν ὁ Ἀρχέλαος [1], ἐνῷ ἡγεμὼν ἦτο ὁ Πόντιος Πιλάτος; Ἦτο πρόσφατος ὁ θάνατος καὶ δὲν εἶχεν ἀκόμη διαμοιρασθῇ ἡ βασιλεία, ἀλλὰ ἐπειδὴ πρὸ ὀλίγου εἶχεν ἀποθάνει ἐκεῖνος, εἶχε τώρα τὴν ἐξουσίαν ὁ υἱὸς εἰς τὴν θέσιν τοῦ πατρός του. Ὁ ἀδελφός του εἶχε τὸ πατρικὸν ὄνομα καὶ διὰ τοῦτο ἐπρόσθεσεν ὁ Εὐαγγελιστής· «Ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ». Ἂν ὅμως ἐφοβεῖτο νὰ ἔλθῃ εἰς τὴν Ἰουδαίαν ἐξ αἰτίας τοῦ Ἀρχελάου, ἔπρεπε νὰ φοβηθῇ εἰς τὴν Γαλιλαίαν ἐξ αἰτίας τοῦ νέου Ἡρώδου. Ἀφοῦ ὅμως ἤλλαξε τὸ μέρος, ἐδημιουργεῖτο κάποια σύγχυσις· ἡ μανία ὅλη εἶχε στραφῇ κατὰ τῆς Βηθλεὲμ καὶ τῆς περιοχῆς της. Ἀφοῦ εἶχε λοιπὸν ἐκτελεσθῇ ἡ σφαγὴ ἐνόμιζεν ὁ νεαρὸς Ἀρχέλαος ὅτι εἶχε συντελεσθῇ τὸ πᾶν καὶ μέσα εἰς τὰ πολλὰ ὅτι εἶχε φονευθῇ καὶ τὸ παιδὶ ποὺ ἐζητοῦσαν. Ἀφοῦ ἐξ ἄλλου εἶχεν ἰδεῖ καὶ τὸ κακὸν τέλος τοῦ πατρός του, ἔγινε διστακτικώτερος εἰς τὸ νὰ προχωρήσῃ περισσότερον καὶ νὰ τὸν συναγωνισθῇ εἰς τὴν παρανομίαν.

σκληρότερος ἀπὸ τὸν πατέρα του, ἐξ οὗ καὶ ὁ φόβος τοῦ Ἰωσὴφ νὰ ἐγκατασταθῇ εἰς τὴν περιοχήν του. Κατηγγέλθη εἰς τὴν Ρώμην διὰ τὴν σκληρότητά του, ἐξωρίσθη ἔπειτα ἀπὸ ἐννέα ἐτῶν ἡγεμονίαν καὶ ἀπέθανεν εἰς τὴν Βιέννην.

Ἔρχεται τοίνυν ὁ Ἰωσὴφ εἰς τὴν Ναζαρέτ, ὁμοῦ τε τὸν κίνδυνον φεύγων, ὁμοῦ τε ἐμφιλοχωρῶν τῇ πατρίδι. Ἵνα μᾶλλον θαῤῥῇ καὶ χρηματισμὸν δέχεται παρὰ τοῦ ἀγγέλου περὶ τούτου. Καὶ μὴν ὁ Λουκᾶς οὔ φησι κατὰ χρηματισμὸν αὐτὸν ἐληλυθέναι ἐκεῖ, ἀλλ' ὅτι τὸν καθαρμὸν πληρώσαντες πάντα, ὑπέστρεψαν εἰς Ναζαρέτ. Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι τὸν χρόνον τὸν πρὸ τῆς καθόδου τῆς εἰς Αἴγυπτον ἱστορῶν ὁ Λουκᾶς ταῦτα λέγει. Οὐδὲ γὰρ ἂν πρὸ τοῦ καθαρμοῦ κατήγαγεν αὐτοὺς ἐκεῖσε, ὥστε μηδὲν γενέσθαι παράνομον, ἀλλ' ἔμεινε καθαρθῆναι καὶ ἐλθεῖν εἰς Ναζαρέτ, καὶ τότε καταβῆναι εἰς Αἴγυπτον. Εἶτα μετὰ τὸ ἀνελθεῖν κελεύει αὐτοῖς εἰς τὴν Ναζαρὲτ ἐλθεῖν. Πρὸ δὲ τούτου οὐκ ἦσαν χρηματισθέντες ἐκεῖσε ἐλθεῖν, ἀλλ' ἐμφιλοχωροῦντες τῇ πατρίδι αὐτομάτως τοῦτο ἐποίουν. Ἐπειδὴ γὰρ δι' οὐδὲν ἕτερον ἢ διὰ τὴν ἀπογραφὴν ἀνέβησαν, καὶ οὐδὲ στῆναί που εἶχον, πληρώσαντες δι' ὅπερ ἀνῆλθον, κατέβησαν εἰς Ναζαρέτ. Διὰ δὴ τοῦτο καὶ ὁ ἄγγελος αὐτοὺς λοιπὸν ἀναπαύων ἀποδίδωσι τῇ οἰκίᾳ· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καὶ αὐτὸ μετὰ προφητείας· «Ἵνα πληρωθῇ» γάρ, φησί, «τὸ ῥηθὲν ὑπὸ τῶν Προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται».

Καὶ ποῖος προφήτης τοῦτο εἶπε; Μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει. Πολλὰ γὰρ τῶν προφητικῶν ἠφάνισται βιβλίων· καὶ ταῦτα ἐκ τῆς ἱστορίας τῶν Παραλειπομένων ἴδοι τις ἄν. Ῥᾴθυμοι γὰρ ὄντες, καὶ εἰς ἀσέβειαν συνεχῶς ἐμπίπτοντες, τὰ μὲν ἠφίεσαν ἀπόλλυσθαι, τὰ δὲ αὐτοὶ κατέκαιον καὶ κατέκοπτον. Καὶ τὸ μὲν Ἰερεμίας διηγεῖται, τὸ δὲ ὁ τὴν τετάρτην συντιθεὶς τῶν Βασιλειῶν, λέγων μετὰ πολὺν χρόνον μόλις τὸ Δευτερονόμιον εὑρῆσθαι κατορωρυγμένον που καὶ ἠφανισμένον. Εἰ

Ἔρχεται λοιπὸν ὁ Ἰωσὴφ εἰς τὴν Ναζαρὲτ καὶ ἀποφεύγει ἔτσι τὸν κίνδυνον, ἐνῷ συγχρόνως ἐγκαθίσταται εἰς τὴν πατρίδα του. Διὰ περισσοτέραν ἐνθάρρυνσίν του λαμβάνει καὶ τὴν σχετικὴν μὲ αὐτὸ πληροφορίαν τοῦ ἀγγέλου. Ὁ Λουκᾶς δὲν ἀναφέρει ὅτι ἦλθεν ἐκεῖ ἔπειτα ἀπὸ ὑπόδειξιν τοῦ ἀγγέλου ἀλλὰ ὅτι, ἀφοῦ ἐξεπλήρωσαν ὅλοι τὸν ἀπαιτούμενον καθαρμόν, ἐπέστρεψαν εἰς τὴν Ναζαρέτ. Τί ἠμποροῦμεν νὰ εἰποῦμεν; Ὅτι ὁ Λουκᾶς ἀναφέρεται εἰς τὸν χρόνον πρὸ τῆς καθόδου εἰς τὴν Αἴγυπτον. Δὲν ἦτο δυνατὸν νὰ τοὺς ὁδηγήσῃ ἐκεῖ πρὸ τοῦ καθαρμοῦ, διὰ νὰ μὴ διαπραχθῇ παρανομία. Ἐπερίμενε νὰ γίνῃ ὁ καθαρμός, νὰ ἔλθῃ εἰς τὴν Ναζαρὲτ καὶ τότε μόνον νὰ μεταβοῦν εἰς τὴν Αἴγυπτον. Καὶ ἀφοῦ ἐπανῆλθαν ἀπὸ τὴν Αἴγυπτον, τοὺς διατάσσει νὰ ἔλθουν εἰς τὴν Ναζαρέτ. Πρὸ τοῦ γεγονότος τούτου δὲν εἶχαν λάβει τὸν χρηματισμὸν νὰ μεταβοῦν ἐκεῖ ἀλλὰ μὲ τὴν ἐγκατάστασίν των εἰς τὴν πατρίδα των τὸ ἐπραγματοποιοῦσαν τοῦτο αὐτόματα. Ἐπειδὴ δὲν εἶχαν ἔλθει παρὰ διὰ τὴν ἀπογραφὴν μόνον, καὶ ἐπειδὴ δὲν εἶχαν ποῦ νὰ μείνουν, ἀφοῦ ὡλοκλήρωσαν τὸν σκοπόν, διὰ τὸ ὁποῖον εἶχαν ἀνέλθει, ἐπέστρεψαν εἰς τὴν Ναζαρέτ. Διὰ τοῦτο καὶ ὁ ἄγγελος πρὸς καθησυχασμὸν τοὺς ἀποδίδει εἰς τὴν πατρίδα των. Καὶ δὲν τὸ ἐκτελεῖ καὶ τοῦτο ἁπλῶς ἀλλὰ τὸ συνοδεύει μὲ τὴν προφητείαν. Διότι λέγει· «Ἵνα πληρωθῇ τὸ ρηθὲν ὑπὸ τῶν προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται».

Ποῖος προφήτης εἶπε τὴν προφητείαν αὐτήν; Μὴ εἶσαι περίεργος καὶ μὴ ἐρωτᾷς διὰ πολλά. Πολλὰ προφητικὰ βιβλία ἔχουν ἐξαφανισθῆ. Καὶ τοῦτο δύναται νὰ τὸ συμπεράνῃ κανεὶς ἀπὸ τὰ ἱστορικὰ βιβλία τῶν παραλειπομένων. Καθὼς ἦσαν ἀδιάφοροι καὶ διαρκῶς περιέπιπταν εἰς τὴν ἀσέβειαν, ἄλλα ἀπὸ τὰ βιβλία τὰ ἄφηναν νὰ χάνωνται καὶ ἄλλα τὰ ἔκαιαν καὶ τὰ ἔσχιζαν οἱ ἴδιοι. Ἀφ' ἑνὸς ἔχομεν τὴν διήγησιν τοῦ Ἱερεμίου καὶ ἀφ' ἑτέρου τοῦ συγγραφέως τοῦ τετάρτου βιβλίου τῶν Βασιλειῶν, ποὺ μᾶς λέγει ὅτι ἔπειτα ἀπὸ πολὺν χρόνον κατὰ τύχην εὑρέθη τὸ Δευτερονόμιον θαμμένον κάπου καὶ ἐξηφανισμένον. Καὶ ἂν εἶχαν ἔτσι ἐγκαταλείψει τὰ βιβλία

δὲ οὐκ ὄντος βαρβάρου οὕτω τὰ βιβλία προὔδωκαν, πολλῷ μᾶλλον τῶν βαρβάρων ἐπελθόντων. Ἐπεὶ ὅτι γε προεῖπον οἱ Προφῆται, καὶ οἱ ἀπόστολοι πολλαχοῦ Ναζωραῖον καλοῦσι.

Τοῦτο οὖν συνεσκίαζε τὴν προφητείαν, φησί, τὴν περὶ τῆς Βηθλεέμ;

Οὐδαμῶς· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐκίνει, καὶ πρὸς τὴν ἔρευναν διήγειρε τῶν περὶ αὐτοῦ λεγομένων. Οὕτω γοῦν καὶ ὁ Ναθαναὴλ πρὸς τὴν ζήτησιν ἔρχεται τὴν περὶ αὐτοῦ λέγων· «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;». Καὶ γὰρ ἦν εὐτελὲς τὸ χωρίον· μᾶλλον δὲ οὐ τὸ χωρίον μόνον, ἀλλὰ καὶ ἅπαν τὸ μέρος τῆς Γαλιλαίας. Διὰ τοῦτο ἔλεγον οἱ Φαρισαῖοι·«Ἐρώτησον, καὶ ἴδε, ὅτι Προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται». Ἀλλ' ὅμως αὐτὸς οὐδὲ ἐκεῖθεν ἐπαισχύνεται καλεῖσθαι, δεικνὺς ὅτι οὐδενὸς δεῖται τῶν ἀνθρωπίνων καὶ τοὺς μαθητὰς δὲ ἐκ τῆς Γαλιλαίας ἐκλέγεται· πανταχοῦ τὰς σκέψεις περικόπτων τῶν ῥᾳθυμεῖν βουλομένων, καὶ δεικνὺς ὅτι οὐδενὸς ἡμῖν τῶν ἔξωθεν δεῖ, ἐὰν ἀρετὴν ἀσκήσωμεν. Διὰ τοῦτο οὐδὲ οἰκίαν ἐκλέγεται· «Ὁ γὰρ Υἱὸς τοῦ ἀνθρώπου», φησίν, «οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ»· καὶ Ἡρώδου ἐπιβουλεύοντος φεύγει, καὶ ἐν φάτνῃ τεχθεὶς ἀνακλίνεται, καὶ ἐν καταλύματι μένει, καὶ μητέρα εὐτελῆ λαμβάνει· διδάσκων ἡμᾶς μηδὲν τῶν τοιούτων αἰσχρὸν εἶναι νομίζειν, καὶ τὸν ἀνθρώπινον καταπατῶν ἐκ προοιμίων τῦφον, καὶ μόνης εἶναι τῆς ἀρετῆς κελεύων.

5. Τί γὰρ ἐπὶ πατρίδι μέγα φρονεῖς, ὅταν πάσης τῆς οἰκουμένης ξένον εἶναί σε κελεύω; φησίν· ὅταν ἐξῇ σοι γενέσθαι τοιοῦτον, ὡς τὸν κόσμον ἅπαντα μὴ εἶναί σου ἄξιον; Οὕτω γὰρ ταῦτα εὐκαταφρόνητα, ὡς μηδὲ παρὰ τοῖς φιλοσοφοῦσι τῶν Ἑλ-

---

1. Ἰω. 1, 46.
2. Ἰω. 7, 52.
3. Λουκᾶ 9, 58.
4. Ὁ Χριστιανὸς ζῇ μὲ τὴν βεβαιότητα ὅτι εἶναι ξένος καὶ πάροικος εἰς τὴν γῆν καὶ εἶναι ἐν τούτοις γαλήνιος καὶ ἥσυχος. Ὁ μακρὰν τοῦ Χριστοῦ ἄνθρωπος τῆς ἐποχῆς μας ἔχει καὶ αὐτὸς τὸ συναίσθημα ὅτι εἶναι ξένος, εὐ-

χωρὶς νὰ ὑπάρχουν βάρβαροι, πολὺ περισσότερο θὰ τὸ ἔκαμναν, ὅταν εἶχαν ἐπιδρομὰς βαρβάρων. Ἐλέχθησαν αὐτά, διότι ὅπως τὸν προανήγγειλαν οἱ προφῆται, ἔτσι, Ναζωραῖον, τὸν ἀποκαλοῦν καὶ οἱ Ἀπόστολοι εἰς πολλὰ σημεῖα.

Τοῦτο λοιπὸν μήπως ἔρριπτε κάποιαν σκιὰν εἰς τὴν προφητείαν διὰ τὴν Βηθλεέμ; ἐρωτᾷ κάποιος.

Καθόλου. Ἀπεναντίας αὐτὸ ἀκριβῶς κινεῖ καὶ διεγείρει τὸ ἐνδιαφέρον πρὸς ἔρευναν ὅσων λέγονται δι' αὐτόν. Ἔτσι καὶ ὁ Ναθαναὴλ συμμετέχει εἰς τὴν ἀναζήτησιν καὶ λέγει· «Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;» [1]. Ἦτο χωρίον ἄνευ σημασίας καὶ μάλιστα ὄχι ὁ οἰκισμὸς μόνον ἀλλὰ καὶ ὁλόκληρος ἡ περιοχὴ τῆς Γαλιλαίας. Διὰ τοῦτο οἱ Φαρισαῖοι ἔλεγαν· «Ἐρώτησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται» [2]. Αὐτὸς ὅμως δὲν θεωρεῖ ὑποτιμητικὸν νὰ ὁμολογῇ ὅτι κατάγεται ἀπ' ἐκεῖ, ἀποδεικνύων ὅτι δὲν ἔχει ἀνάγκην ἀπὸ κανένα ἀνθρώπινον πιστοποιητικόν. Ἀκόμη καὶ τοὺς μαθητάς του ἀπὸ τὴν Γαλιλαίαν τοὺς ἐκλέγει. Ἔτσι ἀφαιρεῖ παντοῦ τὰς δικαιολογίας ἐκείνων ποὺ ἐπιθυμοῦν τὴν ἡσυχίαν καὶ ἀποδεικνύει ὅτι κανένα ἐξωτερικὸν στοιχεῖον δὲν μᾶς χρειάζεται, ἂν ἀσκήσωμεν τὴν ἀρετήν. Διὰ τοῦτο δὲν φροντίζει οὔτε διὰ σπίτι. Λέγει· «Ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ» [3]. Ὅταν τὸν ἐπιβουλεύεται ὁ Ἡρώδης, φεύγει, καὶ ὅταν ἐγεννήθη, τὸν ἀνακλίνουν εἰς τὴν φάτνην, μένει εἰς τὸν σταῦλον, ἐκλέγει μητέρα ἀφανῆ. Μᾶς διδάσκει ἔτσι κανένα ἀπὸ αὐτὰ νὰ μὴ θεωροῦμεν ἐξευτελιστικόν, ποδοπατεῖ ἐκ προοιμίου κάθε ἀνθρώπινον ἐγωισμόν, διατάζει νὰ εἴμεθα διάκονοι τῆς ἀρετῆς.

5. Διατί μεγαλοφρονεῖς διὰ τὴν πατρίδα σου, ὅταν σὲ διατάσσω νὰ εἶσαι ὁ ξένος [4] ὅλης τῆς οἰκουμένης; μᾶς λέγει. Ὅταν ἔχῃς τὴν ἐξουσίαν νὰ γίνῃς τέτοιος, ὥστε ὁ κόσμος ὁλόκληρος νὰ μὴν εἶναι ἄξιός σου; Ὅλα αὐτὰ εἶναι τόσον μη-

---

ρίσκεται ὅμως εἰς διαρκῆ ἀγωνίαν καὶ ταραχήν. Τοῦτο διότι τὸν χριστιανὸν κατὰ τὴν ἀπόλυτον πίστιν του τὸν ἀναμένει ὁ οὐρανός.

λήνων ἀξιοῦσθαι λόγου τινός, ἀλλὰ τὰ ἐκτὸς καλεῖσθαι, καὶ τὴν ἐσχάτην χώραν κατέχειν.

Καίτοιγε ὁ Παῦλος καταδέχεται, φησίν, οὕτω λέγων· «Κατὰ δὲ τὴν ἐκλογήν, ἀγαπητοί, διὰ τοὺς πατέρας». Ἀλλ' εἰπέ, πότε, καὶ περὶ τίνων, καὶ πρὸς τίνας διαλεγόμενος. Πρὸς γὰρ τοὺς ἐξ ἐθνῶν μέγα φυσῶντας ἐπὶ τῇ πίστει, καὶ τῶν Ἰουδαίων κατεξανισταμένους, καὶ ταύτῃ μειζόνως αὐτοὺς ἀποῤῥηγνύντας· καταστέλλων μὲν ἐκείνων τὸ φύσημα, τούτους δὲ ἐφελκόμενος, καὶ πρὸς τὸν αὐτὸν διεγείρων ζῆλον. Ἐπεὶ ὅταν περὶ τῶν γενναίων ἐκείνων καὶ μεγάλων ἀνδρῶν λέγῃ ἄκουσον πῶς φησιν· «Οἱ δὲ ταῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ ἑτέρας κρείττονος ὀρέγονται». Καὶ πάλιν· «Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἀπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι». Καὶ Ἰωάννης δὲ τοῖς πρὸς αὐτὸν ἐρχομένοις ἔλεγε·«Μὴ δόξητε λέγειν, ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ». Καὶ ὁ Παῦλος πάλιν· «Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, οὐδὲ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ».

Τί γὰρ οἱ τοῦ Σαμουὴλ ἀπώναντο παῖδες, εἰπέ μοι, τῆς εὐγενείας τοῦ πατρός, μὴ γενόμενοι τῆς ἀρετῆς τοῦ πατρὸς κληρονόμοι; Τί δὲ οἱ τοῦ Μωϋσέως ἐκέρδανον, μὴ ζηλώσαντες αὐτοῦ τὴν ἀκρίβειαν; Οὐκοῦν οὐδὲ διεδέξαντο τὴν ἀρχήν· ἀλλ' αὐτοὶ μὲν αὐτὸν ἐπεγράφοντο πατέρα, ἡ δὲ δημαγωγία πρὸς

---

1. Ρωμ. 11, 28.
2. Ἑβρ. 11, 14 - 16.
3. Ἑβρ. 11, 13
4. Λουκᾶ 3, 8.

δαμινά, ὥστε μήτε ἀπὸ τοὺς Ἕλληνας φιλοσόφους νὰ μὴ ἀποδίδεται εἰς αὐτὰ καμμία σημασία καὶ νὰ ἀποκαλοῦνται τὰ ἐκτός, καὶ νὰ κατέχουν τὴν τελευταίαν θέσιν.

Ἀλλὰ βέβαια ὁ Παῦλος τὰ ἀναγνωρίζει καὶ ὁμιλεῖ ὡς ἑξῆς· «Κατὰ δὲ τὴν ἐκλογήν, ἀγαπητοί, διὰ τοὺς πατέρας»[1], ἀντείνει. Ἀλλά, εἰπέ μου, πότε τὸ εἶπε καὶ εἰς ποίους ἀναφερόμενος καὶ πρὸς ποίους ὁμιλῶν; Βέβαια πρὸς τοὺς προερχομένους ἀπὸ εἰδωλολάτρας ὑπερηφανευομένους ὑπερβολικὰ διὰ τὴν πίστιν των καὶ ποὺ μὲ τὸ νὰ ἐπιτίθενται σφοδρὰ κατὰ τῶν Ἰουδαίων, τοὺς ἀπεμάκρυναν ἀκόμη περισσότερον κατ' αὐτὸν τὸν τρόπον. Μὲ τὸν λόγον του ὁ Παῦλος περιώριζε τὴν ὑπερηφάνειαν ἐκείνων, ἐνῷ προσείλκυε τοὺς Ἰουδαίους καὶ τοὺς προέτρεπεν εἰς τὸν ἴδιον ζῆλον. Διότι ὅταν ἀναφέρεται εἰς τοὺς σπουδαίους καὶ μεγάλους ἐκείνους ἄνδρας, ἄκουσε πῶς ὁμιλεῖ· «Οἱ δὲ ταῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ ἑτέρας, κρείτονος ὀρέγονται»[2]. Καὶ ἄλλην φοράν· «Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἀπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι»[3]. Ἀλλὰ καὶ ὁ Ἰωάννης ἔλεγεν εἰς ὅσους ἤρχοντο πρὸς αὐτόν· «Μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ»[4]. Καὶ ὁ Παῦλος πάλιν· «Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, οὐδὲ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέκνα τοῦ Θεοῦ»[5].

Τί ὠφελήθησαν λόγου χάριν τὰ παιδιὰ τοῦ Σαμουὴλ ἀπὸ τὸ γένος τὸ πατρικόν, ἀφοῦ δὲν ἔγιναν κληρονόμοι τῆς πατρικῆς ἀρετῆς; Τί ἐκέρδισαν ἐπίσης τὰ παιδιὰ τοῦ Μωϋσέως[6], ποὺ δὲν ἐμιμήθησαν τὴν αὐστηρὰν εὐσέβειαν τοῦ πατρός των; Δὲν τὸν διεδέχθησαν οὔτε εἰς τὴν ἐξουσίαν ἀλλ' ἐνῷ ἐκεῖνοι τὴν

---

5. Ρωμ. 9, 6.

6. Περὶ τῶν δύο υἱῶν τοῦ Σαμουὴλ βλέπε εἰς Ἔξ. κεφ. 18. Υἱοὶ τοῦ Μωυσέως καὶ τῆς Σεπφώρας ἦσαν ὁ Γηρσὸμ καὶ ὁ Ἐλιέζερ. Τὸ ὄνομα τοῦ πρώτου σημαίνει 'πάροικος', (Ἰεζ. 2, 21 - 22)· τοῦ δευτέρου· 'ὁ Θεὸς εἶνα μαζί μου» (Ἐξ. 18, 3 - 4).

ἕτερον μετέβαινε, τὸν κατ' ἀρετὴν αὐτοῦ γενόμενον υἱόν. Τί δὲ ὁ Τιμόθεος ἐβλάβη, πατρὸς Ἕλληνος ὤν; Τί δ' αὖ πάλιν ὁ τοῦ Νῶε υἱὸς ἐκέρδανεν ἐκ τῆς τοῦ πατρὸς ἀρετῆς, δοῦλος ἀντὶ ἐλευθέρου γενόμενος; Εἶδες πῶς οὐκ ἀρκεῖ πατρὸς εὐγένεια τοῖς γεννωμένοις εἰς προστασίαν; Ἡ γὰρ κακία τῆς προαιρέσεως τοὺς τῆς φύσεως ἐνίκησε νόμους, καὶ οὐ μόνον αὐτὸν τῆς εὐγενείας τῆς πρὸς τὸν γεγεννηκότα, ἀλλὰ καὶ τῆς ἐλευθερίας ἐξέβαλε. Τί δὲ καὶ Ἡσαῦ, οὐχὶ υἱὸς ἦν τοῦ Ἰσαάκ, καὶ τὸν γεννήσαντα εἶχε προϊστάμενον αὐτοῦ; Καὶ γὰρ καὶ ὁ πατὴρ ἐσπούδαζε καὶ ἐπεθύμει μετασχεῖν αὐτὸν τῶν εὐλογιῶν, καὶ αὐτὸς ὑπὲρ τούτου τὰ κελευσθέντα πάντα ἐποίει. Ἀλλ' ὅμως ἐπειδὴ σκαιὸς ἦν, οὐδὲν αὐτὸν τούτων ὤνησεν· ἀλλὰ καὶ τῇ φύσει πρῶτος ὤν, καὶ τὸν πατέρα μεθ' ἑαυτοῦ πάντα ὑπὲρ τούτου πράττοντα ἔχων, ἐπειδὴ τὸν Θεὸν οὐκ εἶχε μεθ' ἑαυτοῦ, πάντων ἐξέπεσε.

Καὶ τί λέγω τοὺς ἀνθρώπους; Υἱοὶ τοῦ Θεοῦ γεγόνασιν οἱ Ἰουδαῖοι, καὶ οὐδὲν ἀπὸ τῆς εὐγενείας ταύτης ἐκέρδαναν. Εἰ δὲ υἱὸς τοῦ Θεοῦ τις γενόμενος, ἂν μὴ τῆς εὐγενείας ταύτης ἀρετὴν ἐπιδείξηται ἀξίαν, καὶ κολάζεται μειζόνως, τί μοι προγόνων καὶ πάππων εὐγένειαν προφέρεις εἰς μέσον; Οὐδὲ γὰρ ἐν τῇ Παλαιᾷ μόνον, ἀλλὰ καὶ ἐν τῇ Καινῇ τοῦτο κεκρατηκὸς εὕροι τις ἄν· «Ὅσοι γὰρ ἔλαβον αὐτόν», φησίν, «ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι».

Ἀλλ' ὅμως τῶν τέκνων τούτων πολλοὺς ἔφησε μηδὲν ὠφελεῖσθαι παρὰ τοῦ πατρὸς ὁ Παῦλος· «Ἐὰν γὰρ περιτέμνησθε», φησί, «Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Εἰ δὲ Χριστὸς οὐδὲν ὠφελεῖ τοὺς μὴ βουλομένους ἑαυτοῖς προσέχειν, πῶς ἄνθρωπος προστήσεται;

Μὴ τοίνυν μήτε ἐπ' εὐγενείᾳ, μήτε ἐπὶ πλούτῳ μέγα φρο-

---

1. Πρόκειται διὰ τὸν υἱὸν τοῦ Νῶε Χάμ, ὁ ὁποῖος προσέβαλε τὸν πατέρα του καὶ διὰ τοῦτο ὁ Νῶε τὸν κατηράσθη νὰ γίνῃ δοῦλος τῶν ἀδελφοῦ του Σὴμ καὶ Ἰάφεθ (Γέν. 9, 18 - 27).

ἔγραφαν εἰς τὸ ὄνομά των ὡς πατέρα των, ἡ ἀρχηγία τοῦ λαοῦ μετεβιβάζετο εἰς ἄλλον, εἰς ἐκεῖνον ποὺ ἔγινεν υἱός του κατὰ τὴν ἀρετήν. Τί ἐζημιώθη ὁ Τιμόθεος ἂν καὶ κατήγετο ἀπὸ Ἕλληνα πατέρα; Καὶ πάλιν, τί ἐκέρδισεν ὁ υἱὸς τοῦ Νῶε [1] ἀπὸ τὴν ἀρετὴν τοῦ πατρός του, ἀφοῦ ἔγινεν ἀπὸ ἐλέυθερος δοῦλος; Βλέπεις ὅτι δὲν ἐπαρκεῖ ἡ εὐγένεια τοῦ πατρὸς διὰ νὰ προστατεύσῃ τὰ παιδιά; Ἡ κακία τῆς προαιρέσεώς των ἐνίκησε τοὺς νόμους τῆς φύσεως καὶ δὲν τὸν ἀπεξένωσε μόνον ἀπὸ τὴν ἀρετὴν τοῦ πατρός του ἀλλὰ τοῦ ἐστέρησε καὶ τὴν ἐλευθερίαν. Καὶ ὁ Ἡσαῦ δὲν ἦτο υἱὸς τοῦ Ἰσαὰκ καὶ δὲν εἶχε προστάτην τὸν πατέρα του; Καὶ ὁ πατήρ του ἐφρόντιζε καὶ ἐπιθυμοῦσε νὰ τὸν κάμῃ μέτοχον τῶν εὐλογιῶν του καὶ ἐκεῖνος πάλι διὰ τοῦτο ἔπραττεν ὅλα τὰ θελήματά του. Ἐπειδὴ ὅμως ἦτο κακὸς τίποτε ἀπὸ αὐτὰ δὲν ἐκέρδισε καὶ ἐνῷ ἦτο μεγαλύτερος καὶ εἶχε τὸν πατέρα μὲ τὸ μέρος του βοηθὸν εἰς ὅλα, ἐπειδὴ δὲν εἶχε μὲ τὸ μέρος του τὸν Θεόν, ἐξέπεσεν ἀπὸ ὅλα.

Καὶ διατί ἀσχολοῦμαι μὲ τοὺς ἀνθρώπους; Οἱ Ἑβραῖοι ἔγιναν υἱοὶ τοῦ Θεοῦ καὶ δὲν ἐκέρδισαν τίποτε ἀπὸ τὴν μοναδικὴν αὐτὴν εὐγένειαν. Καὶ ἂν κάποιος, ὁ ὁποῖος ἔγινε υἱὸς τοῦ Θεοῦ, τιμωρῆται βαρύτερα, ἂν δὲν παρουσιάσῃ ἀρετὴν ἀξίαν τῆς εὐγενείας αὐτῆς, πῶς μοῦ προβάλλεις τὴν εὐγένειαν τῶν προγόνων καὶ τῶν πάππων; Καὶ δὲν θὰ εὕρῃς εἰς τὴν Παλαιὰν μόνον ἀλλὰ καὶ εἰς τὴν Καινὴν Διαθήκην νὰ ἐπικρατῇ ὁ κανὼν αὐτός· «Ὅσοι γὰρ ἔλαβον αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι» [2], λέγει.

Ἀλλ' ὅμως ἀπὸ τὰ παιδιὰ αὐτά, πολλά, εἶπεν ὁ Παῦλος, δὲν ὠφελοῦνται τίποτε ἀπὸ τὸν πατέρα· «Ἂν γὰρ περιτέμνησθε», λέγει, «Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει» [3]. Καὶ ἂν δὲν ὠφελῇ ὁ Χριστὸς εἰς τίποτε ἐκείνους ποὺ δὲν θέλουν νὰ προσέξουν τὴν ζωήν των, πῶς θὰ τοὺς προστατεύσῃ ὁ ἄνθρωπος;

Ἂς μὴ μεγαλοφρονοῦμεν λοιπὸν μήτε διὰ τὴν εὐγενῆ κα-

2. Ἰω. 1, 52.
3. Γαλ. 5, 2.

νῶμεν, ἀλλὰ καὶ καταφρονῶμεν τῶν οὕτω διακειμένων· μήτε ἐπὶ πενίᾳ καταπίπτωμεν· ἀλλ' ἐκεῖνον ζητῶμεν τὸν πλοῦτον, τὸν ἐν ἔργοις ἀγαθοῖς· ἐκείνην φεύγωμεν τὴν πενίαν, τὴν ἐν κακίᾳ καθιστῶσαν ἡμᾶς, δι' ἣν καὶ ὁ πλούσιος ἐκεῖνος πένης ἦν· διόπερ οὐδὲ σταγόνος ἐγένετο κύριος, καὶ ταῦτα πολλὴν θεὶς ἱκετηρίαν. Καίτοι τίς ἂν οὕτω γένοιτο πένης παρ' ἡμῖν ὡς καὶ ὕδατος πρὸς ἀπόλαυσιν ἀπορεῖν; Οὐκ ἔστιν οὐδείς. Καὶ γὰρ καὶ οἱ ἐσχάτῳ λιμῷ τηκόμενοι, σταγόνος ἀπολαῦσαι δύνανται· καὶ οὐδὲ σταγόνος μόνης, ἀλλὰ καὶ πολλῷ πλείονος παραμυθίας. Ἀλλ' οὐχ ὁ πλούσιος ἐκεῖνος, ἀλλὰ καὶ μέχρι τούτου πένης ἦν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ παραμυθήσασθαί ποθεν τὴν πενίαν ἠδύνατο. Τί τοίνυν περὶ τὰ χρήματα κεχήναμεν, ὅταν εἰς τὸν οὐρανὸν ἡμᾶς μὴ εἰσάγῃ; Εἰπὲ γάρ μοι· ὁ βασιλεύς τις τῶν ἐπὶ γῆς εἶπεν, ὅτι τὸν πλουτοῦντα ἀμήχανον ἐν βασιλείοις λάμψαι, ἢ τιμῆς ἀπολαῦσαί τινος, ἆρα οὐκ ἂν ἅπαντες ἀτιμάσαντες ἐρρίψατε τὰ χρήματα; Εἶτα, ἂν μὲν τῆς ἐν τοῖς κάτω βασιλείοις τιμῆς ἡμᾶς ἐκβάλλῃ, εὐκαταφρόνητα ἔσται· τοῦ δὲ τῶν οὐρανῶν Βασιλέως καθ' ἑκάστην ἡμέραν βοῶντος καὶ λέγοντος, ὅτι δύσκολον μετ' αὐτῶν ἐπιβῆναι τῶν προθύρων ἐκείνων τῶν ἱερῶν, οὐ προησόμεθα πάντα, καὶ ἀποστησόμεθα τῶν ὄντων, ἵνα μετὰ παρρησίας εἰς τὴν βασιλείαν εἰσέλθωμεν;

6. Καὶ ποίας ἄξιοι συγγνώμης ἐσμέν, τὰ ἀποτειχίζοντα τὴν ἐκεῖσε ὁδὸν μετὰ πολλῆς περιβαλλόμενοι σπουδῆς, καὶ οὐ μόνον ἐν κιβωτίοις, ἀλλὰ καὶ ἐν γῇ κατακρύπτοντες, παρὸν τῇ τῶν οὐρανῶν αὐτὰ παραδοῦναι φυλακῇ; Ὡς νῦν γε τὸ αὐτὸ ποιεῖς, οἷον ἂν εἴ τις γεωργὸς σῖτον λαβὼν ὥστε σπεῖραι λιπαρὰν ἄρουραν, ἀφεὶς τὴν ἄρουραν, εἰς λάκκον τὸν σῖτον πάντα

1. Λουκᾶ κεφ. 16.

ταγωγήν, μήτε διὰ τὸν πλοῦτον μας, ἀλλὰ ἂς περιφρονοῦμεν καὶ αὐτοὺς ποὺ μεγαλοφρονοῦν δι' αὐτά. Μήτε νὰ ἀποθαρρυνώμεθα διὰ τὴν πτωχείαν μας. Ἂς ἐπιδιώκωμεν τὸν πλοῦτον τῶν ἀγαθῶν ἔργων καὶ ἂς ἀποφεύγωμεν τὴν πτωχείαν ἐκείνην ποὺ ὁδηγεῖ εἰς τὴν κακίαν. Ἐξ αἰτίας αὐτῆς καὶ ὁ πλούσιος ἐκεῖνος ἦτο πτωχός. Διὰ τοῦτο καὶ δὲν ἐπέτυχεν οὔτε μίαν σταγόνα δρόσου παρ' ὅλην τὴν ἱκεσίαν του[1]. Μολονότι ποῖος ἀπὸ ἡμᾶς θὰ ἦτο δυνατὸν νὰ γίνῃ τόσον πτωχός, ὥστε νὰ μὴ ἔχῃ νὰ ἀπολαύσῃ καὶ ὀλίγον νερό; Κανεὶς βεβαίως. Καὶ αὐτοὶ ποὺ βασανίζονται ἀπὸ τὴν μεγαλυτέραν πεῖναν, ἠμποροῦν ὡστόσο νὰ ἀπολαύσουν ὀλίγον νερό. Καὶ ὄχι βέβαια μίαν σταγόνα ὕδατος μόνον ἀλλὰ νὰ ἐπιτύχουν καὶ περισσοτέραν ἀνακούφισιν. Δὲν συνέβαινε τοῦτο εἰς ἐκεῖνον τὸν πλούσιον, ἀλλ' ἦτο πτωχὸς μέχρι τοῦ σημείου τούτου· καὶ τὸ βαρύτερον ὅτι δὲν ὑπῆρχε τρόπος νὰ ἀνακουφίσῃ τὴν πενίαν του. Διατί λοιπὸν χάσκομεν ἐμπρὸς εἰς τὰ χρήματα, ὅταν δὲν μᾶς ὁδηγοῦν εἰς τὸν οὐρανόν; Εἰπέ μου· ἂν κάποιος ἀπὸ τοὺς βασιλεῖς τῆς γῆς ἔλεγεν ὅτι εἶναι ἀδύνατον νὰ διακριθῇ ὁ πλούσιος εἰς τὸ βασίλειόν του καὶ νὰ τιμηθῇ κατὰ κάποιον τρόπον, δὲν θὰ ἐπετούσατε ὅλοι μὲ περιφρόνησιν τὰ χρήματά σας; Εἰς τὴν περίπτωσιν αὐτήν, ἂν σᾶς στερήσουν τῆς τιμῆς εἰς τὰ γήινα αὐτὰ βασίλεια, τὰ χρήματα θὰ εἶναι εὐκαταφρόνητα. Ὅταν ὅμως ὁ βασιλεὺς τῶν οὐρανῶν καθημερινῶς βοᾷ καὶ λέγῃ, ὅτι εἶναι δύσκολον φορτωμένος μὲ αὐτὰ νὰ φθάσῃς εἰς τὰ ἱερὰ ἐκεῖνα προπύλαια, δὲν θὰ τὰ ἐγκαταλείψωμεν ὅλα, δὲν θὰ ἀποξενωθοῦμεν ἀπὸ τὰ ὑπάρχοντά μας, διὰ νὰ εἰσέλθωμεν μὲ θάρρος εἰς τὴν βασιλείαν;

6. Καὶ τοῦτο. Ποίας συγγνώμης θὰ γίνωμεν ἄξιοι, ὅταν μὲ πολλὴν προθυμίαν τοποθετοῦμεν γύρω μας ὅσα ἐμποδίζουν τὸν δρόμον πρὸς τὰ ἐκεῖ; Καὶ ὅταν δὲν τὰ ἀσφαλίζωμεν εἰς χρηματοφυλάκια μόνον ἀλλὰ τὰ κρύπτωμεν εἰς τὴν γῆν, ἐνῷ εἶναι εἰς τὸ χέρι μας νὰ τὰ παραδώσωμεν εἰς τὴν φύλαξιν τῶν οὐρανῶν; Κάμνεις ὅ,τι καὶ ὁ γεωργός, ὁ ὁποῖος ἀντὶ νὰ σπείρῃ τὸ γόνιμον χωράφι, ἀφήνει τὸ χωράφι καὶ καταχώνει

κατορύξῃ, ἵνα μήτε αὐτὸς ἀπολαύσῃ, καὶ ὁ σῖτος διαφθαρεὶς ἀπόληται.

Ἀλλὰ τίς ὁ πολὺς λόγος αὐτῶν, ὅταν ταῦτα ἐγκαλῶμεν ἡμεῖς; Οὐ μικράν τινα παραμυθίαν, φησί, φέρει τὸ εἰδέναι, ὅτι μετὰ ἀσφαλείας ἡμῖν ἀπόκειται ἔνδον ἅπαντα. Τὸ μὴ εἰδέναι μὲν οὖν, ὅτι ἀπόκειται, παραμυθία. Εἰ γὰρ καὶ μὴ λιμὸν δέδοικας, ἀλλ' ἕτερα χαλεπώτερα διὰ τὴν ἀποθήκην ταύτην δεδοικέναι ἀνάγκη, θανάτους, πολέμους, ἐπιβουλάς. Εἰ δὲ λιμός ποτε καταλάβοι, πάλιν ὁ δῆμος ὑπὸ τῆς γαστρὸς καταναγκαζόμενος, τὴν δεξιὰν ὁπλίζει κατὰ τῆς σῆς οἰκίας. Μᾶλλον δὲ ὅταν ταῦτα ποιῇς, σὺ καὶ τὸν λιμὸν εἰσάγεις εἰς τὰς πόλεις, καὶ τοῦ λιμοῦ χαλεπώτερον τουτὶ τὸ βάραθρον τῇ σῇ κατασκευάζεις οἰκίᾳ. Λιμοῦ μὲν γὰρ ἀνάγκῃ οὐκ οἶδά τινας τετελευτηκότας ταχέως· καὶ γὰρ ἔστι πολλὰ πανταχόθεν ἐπινοῆσαι πρὸς τὴν τοῦ κακοῦ τούτου παραμυθίαν· διὰ δὲ χρήματα καὶ πλοῦτον καὶ τὰς τοιαύτας πραγματείας, πολλοὺς ἀνῃρημένους δείκνυμι, τοὺς μὲν λάθρα, τοὺς δὲ δημοσίᾳ.

Καὶ πολλῶν μὲν τοιούτων παραδειγμάτων γέμουσιν αἱ ὁδοί, πολλῶν δὲ τὰ δικαστήρια καὶ αἱ ἀγοραί. Καὶ τί λέγω τὰς ὁδοὺς καὶ τὰ δικαστήρια καὶ τὰς ἀγοράς; Καὶ γὰρ τὴν θάλατταν αὐτὴν ὄψει τῶν αἱμάτων ἐμπεπλησμένην. Οὐ γὰρ δὴ γῆς ἐκράτησεν ἡ τυραννὶς αὕτη, ἀλλὰ καὶ εἰς τὸ πέλαγος μετὰ πολλῆς εἰσεκώμασε τῆς παροινίας. Καὶ ὁ μὲν πλεῖ διὰ χρυσόν, ὁ δὲ σφάττεται δι' αὐτὸ τοῦτο πάλιν· καὶ ἡ αὐτὴ τυραννὶς τὸν μὲν ἔμπορον ἐποίησε, τὸν δὲ ἀνδροφόνον. Τί τοίνυν ἀπιστότερον γένοιτ' ἂν τοῦ μαμωνᾶ, ὅταν δι' αὐτὸν ἀποδημῇ καὶ κινδυνεύῃ καὶ σφάττηται; Ἀλλὰ «Τίς ἐλεήσει», φησίν, «ἐπαοιδὸν ὀφιόδηκτον;». Ἔδει γὰρ εἰδότας τὴν ὠμὴν τυραννίδα, φεύγειν τὴν δουλείαν, καὶ καταλῦσαι τὸν χαλεπὸν ἔρωτα. Καὶ

---

1. Κωμασταὶ εἶναι οἱ λαμβάνοντες μέρος εἰς κῶμον, (ἐξ οὗ ἡ κωμῳδία) ἤτοι εἰς διασκέδασιν μετὰ μουσικῆς καὶ χοροῦ. Μετὰ τὸ πέρας τῆς διασκε-

μέσα εἰς λάκκον ὅλον τὸ σιτάρι· ἔτσι μήτε ὁ ἴδιος θὰ κερδίσῃ καὶ τὸ σιτάρι θὰ χαλάσῃ καὶ θὰ καταστραφῇ.

Καὶ ὅταν ἡμεῖς τοὺς κατηγοροῦμεν διὰ τοῦτο, ποῖο εἶνα[1] τὸ ἀκαταμάχητον ἐπιχείρημά των; Δὲν ἀποτελεῖ, λέγουν, μικρὰν ἀνακούφισιν ἡ γνῶσις ὅτι ἔχομεν ἀσφαλὲς στήριγμα. Ἂν δὲν φοβᾶσαι τὴν πεῖναν, πρέπει νὰ φοβᾶσαι ἄλλα χειρότερα διὰ τὴν ἀποθήκευσιν αὐτήν, θανάτους, πολέμους, ἐπιβουλάς. Καὶ ἂν ποτὲ πέσῃ πεῖνα, πάλιν τὸ πλῆθος πιεζόμενον ἀπὸ τὴν ἀνάγκην τῆς γαστρός, ὁπλίζει κατὰ τοῦ σπιτιοῦ σου τὸ χέρι του. Ἢ μᾶλλον, ὅταν φέρεσαι ἔτσι, σὺ καὶ τὴν πεῖναν φέρεις εἰς τὰς πόλεις καὶ ἑτοιμάζεις διὰ τὸ σπίτι σου βάραθρον μεγαλύτερον ἀπὸ ὅ,τι ἡ πεῖνα. Δὲν γνωρίζω νὰ ἔχουν ἀποθάνει ἀμέσως μερικοὶ ἀπὸ πεῖναν· διότι εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς πολλοὺς τρόπους διὰ τὴν ἀντιμετώπισιν τοῦ δεινοῦ τούτου. Σᾶς παρουσιάζω ὅμως πολλοὺς ποὺ ἔχουν φονευθῆ εἴτε φανερὰ εἴτε κρυφὰ ἐξ αἰτίας τῶν χρημάτων καὶ ἐξ αἰτίας τοῦ πλούτου καὶ διὰ παρομοίας περιπτώσεις.

Ἀπὸ πολλὰ παραδείγματα εἶναι γεμᾶτοι οἱ δρόμοι, τὰ δικαστήρια, ἡ ἀγορά. Καὶ ὄχι μόνον οἱ δρόμοι, τὰ δικαστήρια, ἡ ἀγορά. Θὰ ἰδῇς ἀκόμη καὶ τὴν θάλασσαν γεμάτην ἀπὸ αἵματα. Διότι δὲν ἔγινε τῆς γῆς μόνον κυρία ἡ τυραννικὴ αὐτὴ ἐξουσία ἀλλὰ εἰσώρμησε καὶ εἰς τὸ πέλαγος μὲ μανιώδη μέθην κωμαστῶν [1]. Ἔτσι ὁ ἕνας ταξιδεύει διὰ χρυσὸν καὶ ὁ ἄλλος φονεύεται διὰ τὸν ἴδιον. Καὶ ὁ ἴδιος τύραννος κάμνει τὸν ἕνα ἔμπορον καὶ τὸν ἄλλον δολοφόνον. Ὑπάρχει λοιπὸν πιὸ ὕπουλον πρᾶγμα ἀπὸ τὸν μαμωνᾶν, ὅταν ἐξ αἰτίας του ὁ ἄνθρωπος ἐκπατρίζεται καὶ κινδυνεύῃ καὶ φονεύεται; Ἀλλὰ λέγει· «Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον;»[2]. Ἔπρεπε νὰ γνωρίζωμεν τὸ φοβερὸν πάθος καὶ νὰ ἀποφύγωμεν τὴν δουλείαν εἰς αὐτὸ καὶ νὰ ἐξαλείψωμεν τὸν θανατηφόρον πόθον του. Πῶς

δάσεως οἱ διασκεδασταὶ μὲ προσωπίδας καὶ στεφάνους, ἐνῷ προηγοῦντο λαμπαδηφοροῦντες, περιήρχοντο τὰς ὁδοὺς μὲ χορὸν καὶ ᾄσματα.

2. Σοφ. Σειρ. 12, 13.

πῶς, φησί, τοῦτο δυνατόν; Ἂν ἕτερον εἰσαγάγῃς ἔρωτα, τὸ τῶν οὐρανῶν. Ὁ γὰρ ἐπιθυμῶν βασιλείας, καταγελάσεται πλεονεξίας· ὁ γενόμενος τοῦ Χριστοῦ δοῦλος, οὐκ ἔστι δοῦλος τοῦ μαμωνᾶ, ἀλλὰ καὶ δεσπότης· τὸν μὲν γὰρ φεύγοντα διώκειν εἴωθε, τὸν δὲ διώκοντα φεύγειν. Οὐχ οὕτω τὸν διώκοντα τιμᾷ, ὡς τὸν καταφρονοῦντα αὐτοῦ· οὐδενὸς οὕτω καταγελᾷ, ὡς τῶν ἐπιθυμούντων αὐτοῦ· οὐ καταγελᾷ δὲ μόνον ἀλλὰ καὶ μυρίοις αὐτοὺς περιβάλλει δεσμοῖς.

Λύσωμεν οὖν ὀψέ ποτε τὰς χαλεπὰς ταύτας σειράς. Τί καταδουλοῖς τὴν λογικὴν ψυχὴν τῇ ἀλόγῳ ὕλῃ, τῇ μητρὶ τῶν μυρίων κακῶν; Ἀλλ' ὢ τοῦ γέλωτος! ἡμεῖς μὲν γὰρ αὐτῷ πολεμοῦμεν λόγοις, αὐτὸς δὲ ἡμῖν πολεμεῖ διὰ τῶν ἔργων, καὶ ἄγει πανταχοῦ καὶ περιφέρει, καθάπερ ἀργυρωνήτους καὶ μαστιγίας ἀτιμάζων· οὗ τί γένοιτ' ἂν αἰσχρότερόν τε καὶ ἀτιμότερον; Εἰ γὰρ ὑλῶν ἀναισθήτων οὐ περιγενόμεθα, πῶς τῶν ἀσωμάτων περιεσόμεθα δυνάμεων; εἰ γῆς εὐτελοῦς οὐ καταφρονοῦμεν καὶ λίθων ἀπερριμμένων, πῶς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ὑποτάξομεν; πῶς σωφροσύνης ἀσκήσομεν; Εἰ γὰρ ἄργυρος καταλάμπων ἡμᾶς ἐκπλήττει, πότε κάλλος ὄψεως δυνησόμεθα παραδραμεῖν; Καὶ γὰρ οὕτω τινὲς ἐκδεδομένοι πρὸς ταύτην εἰσὶ τὴν τυραννίδα, ὡς καὶ πρὸς αὐτὴν πάσχειν τι τοῦ χρυσίου τὴν ὄψιν, καὶ χαριεντιζόμενοι λέγειν, ὅτι καὶ ὀφθαλμοὺς ὠφελεῖ νόμισμα χρυσοῦν φαινόμενον.

Ἀλλὰ μὴ παῖζε τοιαῦτα, ἄνθρωπε· οὐδὲν γὰρ οὕτως ἀδικεῖ ὀφθαλμούς, καὶ τοὺς τοῦ σώματος καὶ τοὺς τῆς ψυχῆς, ὡς ἡ τούτων ἐπιθυμία. Οὗτος γοῦν ὁ χαλεπὸς ἔρως τῶν παρθένων ἐκείνων τὰς λαμπάδας ἔσβεσε, καὶ τοῦ νυμφῶνος ἐξέβαλεν. Αὕτη ἡ ὄψις, ἡ τοὺς ὀφθαλμοὺς ὠφελοῦσα, καθὼς ἔ-

---

1. Εἰς τὸ σημεῖον τοῦτο τόσον ἔντονα προσωποποιεῖται ὁ πλοῦτος, ὥστε ἀντὶ τῆς ψυχολογίας τοῦ πλουσίου θὰ ἠμποροῦσε κανεὶς νὰ ὁμιλήσῃ περὶ ψυχολογίας τοῦ πλούτου.

εἶναι τοῦτο δυνατόν; Ἂν τὸν ἀντικαταστήσῃς μὲ τὸν πόθον τῶν οὐρανῶν. Ὅποιος ἐπιθυμεῖ τὴν βασιλείαν τῶν οὐρανῶν, θὰ περιγελάσῃ τὴν πλεονεξίαν· ὅποιος ἔγινε δοῦλος τοῦ Χριστοῦ, δὲν εἶναι τοῦ μαμωνᾶ δοῦλος ἀλλὰ κύριος. Συνηθίζει ὁ πλοῦτος[1] νὰ κυνηγᾷ ὅποιον τὸν ἀποφεύγει καὶ νὰ ἀποφεύγῃ ὅποιον τὸν κυνηγᾷ. Δὲν τιμᾶ αὐτὸν ποὺ τὸν κυνηγᾷ, ὅσον αὐτὸν ποὺ τὸν περιφρονεῖ. Κανένα δὲν περιπαίζει τόσον, ὅσον ἐκείνους ποὺ τὸν ἐπιθυμοῦν. Καὶ δὲν τοὺς περιπαίζει μόνον ἀλλὰ καὶ μὲ ἄπειρα τοὺς δεσμεύει δεσμά.

Ἂς διαλύσωμεν ἔστω καὶ τώρα τὰς βαρείας ἁλύσεις. Διατί ὑποδουλώνεις τὴν λογικὴν ψυχὴν εἰς τὴν ἄλογον ὕλην, τὴν μητέρα ἀπείρων συμφορῶν; Τί κοροϊδία! Ἡμεῖς τὸν καταπολεμοῦμεν μὲ τοὺς λόγους, ἐνῷ ἐκεῖνος μὲ τὰ ἔργα μᾶς σύρει καὶ μᾶς περιφέρει παντοῦ, μᾶς ἐξευτελίζει σὰν δούλους ἀργυρωνήτους καὶ ἀξίους διὰ τὸ μαστίγιον. Δὲν ὑπάρχει μεγαλύτερον αἶσχος καὶ ἀτιμία. Ἂν δὲν γινώμεθα νικηταὶ τῆς ἀναισθήτου ὕλης, πῶς θὰ νικήσωμεν τὰς ἀσωμάτους δυνάμεις; Ἂν δὲν περιφρονοῦμεν τὸ ἀνάξιον χῶμα καὶ τοὺς λίθους τοὺς πεταγένους, πῶς θὰ ὑποτάξωμεν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας; Πῶς θὰ ἀσκήσωμεν τὴν σωφροσύνην; Ἂν μᾶς ἐκπλήττῃ ὁ ἄργυρος ποὺ σκορπίζει τὴν λάμψιν του, πῶς θὰ προσπεράσωμεν τὸ κάλλος τοῦ προσώπου; Εἶναι τόσον ἔκδοτοι μερικοὶ εἰς αὐτὸ τὸ τυραννικὸν πάθος, ὥστε νὰ τοὺς ἐπηρεάζῃ καὶ αὐτὸ τὸ ἀντίκρυσμα τοῦ χρυσοῦ καὶ εὐφυολογοῦντες λέγουν ὅτι ἡ ἐμφάνισις τοῦ χρυσοῦ νομίσματος ὠφελεῖ ἀκόμη καὶ τὴν ὅρασιν.

Μὴ παίζῃς, ἄνθρωπε, μὲ αὐτά. Ἀντιθέτως τίποτε δὲν ζημιώνει τόσον τὰ μάτια καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς, ὅσον ἡ ἐπιθυμία τῶν χρημάτων. Αὐτὴ ἡ ἀγρία ἐπιθυμία τῶν παρθένων[2] τῆς παραβολῆς ἔσβησε τὰς λαμπάδας των καὶ τὰς ἐξεδίωξεν ἀπὸ τὸν νυμφικὸν θάλαμον. Αὐτὴ ἡ θέα ποὺ ὠφελεῖ,

---

2. Αἱ μωραὶ παρθένοι εἶναι γνωσταὶ ὡς σύμβολα ἀπρονοησίας. Ἐδῶ προβάλλονται ὡς σύμβολα φιλαργυρίας.

φης, τὸν ἄθλιον Ἰούδαν οὐκ ἀφῆκεν ἀκοῦσαι τῆς δεσποτικῆς φωνῆς, ἀλλὰ καὶ εἰς βρόχον ἤγαγε, καὶ μέσον λακίσαι ἐποίησε, καὶ μετ' ἐκεῖνα πάντα εἰς γέενναν παρέπεμψε. Τί τοίνυν ταύτης παρανομώτερον γένοιτ' ἄν; Τί δὲ φρικωδέστερον; Οὐ τῆς ὕλης τῶν χρημάτων λέγω, ἀλλὰ τῆς ἐπιθυμίας αὐτῶν τῆς ἀκαίρου καὶ μανικῆς. Καὶ γὰρ αἱμάτων ἀνθρωπίνων, στάζει, καὶ φόνον βλέπει, καὶ θηρίου παντός ἐστι χαλεπωτέρα, κατασπαράττουσα τοὺς ἐμπεσόντας, καὶ ὃ πολλῷ χεῖρόν ἐστιν, οὐδὲ τῶν σπαραγμῶν ἀφίησιν αἰσθάνεσθαι τούτων. Δέον γὰρ οὕτω τοὺς τὰ τοιαῦτα πάσχοντας, καὶ πρὸς τοὺς παρόντας χεῖρα ἐκτείνειν, καὶ εἰς συμμαχίαν καλεῖν, οἱ δὲ καὶ χάριν ἔχουσι τούτων τῶν ἑλκηθμῶν· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον;

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, φύγωμεν τὴν ἀνίατον νόσον, θεραπεύσωμεν αὐτῆς τὰ δήγματα, καὶ μακρὰν ἀποστῶμεν τῆς τοιαύτης λύμης· ἵνα καὶ ἐνταῦθα ἀσφαλῆ καὶ ἀτάραχον ζήσωμεν βίον, καὶ τῶν μελλόντων ἐπιτύχωμεν θησαυρῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅπως εἶπες, τὰ μάτια, δὲν ἄφησε τὸν ἄθλιον Ἰούδα νὰ ἀκούσῃ τὴν δεσποτικὴν φωνὴν ἀλλὰ καὶ εἰς τὴν ἀγχόνην τὸν ὡδήγησε καὶ νὰ σχισθῇ ἡ κοιλία του ἔκαμε καὶ τὸν ἔστειλε καὶ εἰς τὴν γέενναν ἔπειτα ἀπὸ αὐτά. Τί λοιπὸν ὑπάρχει παρανομώτερον ἀπὸ αὐτήν; Τί περισσότερον φρικῶδες; Δὲν ἐννοῶ τὴν ὕλην τῶν χρημάτων ἀλλὰ τὴν ἐπιθυμίαν των, τὴν ἄκαιρον καὶ μανιακήν. Στάζει ἀνθρώπινα αἵματα, βλέπει φόνους, εἶναι ἀγριωτέρα ἀπὸ κάθε θηρίον καὶ κατασπαράζει ὅσους πέσουν εἰς αὐτὴν καὶ τὸ χειρότερον ὅτι δὲν ἀφήνει νὰ αἰσθανθοῦν τὸ κατασπάραγμά των. Ἐνῷ ὅσοι ὑπομένουν αὐτὰ τὰ δεινὰ πρέπει νὰ ἁπλώνουν τὸ χέρι των πρὸς τοὺς περαστικοὺς καὶ νὰ τοὺς καλοῦν εἰς βοήθειαν, αὐτοὶ ἐκφράζουν καὶ εὐχαριστίας διὰ τὰ τραβήγματα αὐτά. Ὑπάρχει μεγαλυτέρα ἀθλιότης;

Αὐτὰ ὅλα ἂς ἔχωμεν εἰς τὸν νοῦν μας καὶ ἂς ἀποφύγωμεν τὴν ἀνίατον νόσον. Ἂς περιποιηθοῦμεν τὰ δαγκώματά της καὶ ἂς ἀπομακρυνθοῦμεν ἀπὸ τὸ μόλυσμα. Ἔτσι καὶ ἐδῶ θὰ ζήσωμεν ἀσφαλῆ καὶ ἀτάραχον βίον, καὶ θὰ ἐπιτύχωμεν τοὺς μελλοντικοὺς θησαυρούς. Αὐτοὺς εἴθε νὰ τοὺς ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις καὶ ἡ τιμὴ καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ Ι′
Ματθ. 3, 1 - 6

«Ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ Βαπτιστής, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας καὶ λέγων· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν».

1. Ποίαις ἡμέραις ἐκείναις; Οὐδὲ γὰρ τότε, ἡνίκα παῖς ἦν, καὶ εἰς Ναζαρὲτ ἦλθεν, ἀλλὰ μετὰ τριάκοντα ἔτη παραγίνεται ὁ Ἰωάννης, καθὼς καὶ ὁ Λουκᾶς μαρτυρεῖ. Πῶς οὖν φησιν, «Ἐν ταῖς ἡμέραις ἐκείναις»; Ἔθος ἀεὶ τῇ Γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ· οὐχ ὅταν ἐν τῷ ἑξῆς χρόνῳ συμβαίνοντα λέγῃ μόνον, ἀλλὰ ὅταν καὶ τὰ πολλοῖς ὕστερον ἔτεσιν ἐκβησόμενα. Οὕτω γοῦν καὶ ἡνίκα ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν αὐτῷ καθημένῳ προσῆλθον οἱ μαθηταὶ καὶ περὶ τῆς παρουσίας αὐτοῦ μαθεῖν ἐζήτουν, καὶ τῆς τῶν Ἱεροσολύμων ἁλώσεως· καίτοιγε ἴστε ὅσον τὸ μέσον ἑκατέρων τῶν καιρῶν. Εἰπὼν γὰρ τὴν κατασκαφὴν τῆς μητροπόλεως, καὶ τὸν περὶ τούτων ἀπαρτίσας λόγον, καὶ μέλλων εἰς τὸν περὶ τῆς συντελείας ἐκβαίνειν, ἐπήγαγε, «Τότε» καὶ ταῦτα ἔσται· οὐ συνάγων τοὺς χρόνους τῷ, «Τότε», εἰπεῖν, ἀλλ' ἐκεῖνον μόνον δηλῶν τὸν καιρόν, ἐν ᾧ ταῦτα συμβήσεσθαι ἔμελλεν.

Ὅπερ καὶ νῦν ποιεῖ λέγων· «Ἐν ταῖς ἡμέραις ἐκείναις»· Οὐ γὰρ τὰς ἑξῆς δηλῶν τοῦτο τέθεικεν, ἀλλ' ἐκείνας, ἐν αἷς ταῦτα συμβαίνειν ἔμελλεν, ἃ διηγήσασθαι παρεσκευάζετο.

---

1. Κατὰ τὴν ἐπανάστασιν τοῦ 66 - 70 τῶν Ἰουδαίων κατεστράφη ἡ πόλις καὶ ὁ ναός. Ἡ ἱερὰ πόλις κατελήφθη ὑπὸ τοῦ Τίτου τὸ 70 μ.Χ. Εἰς τὸν νοῦν ἔρχεται ἡ συγκλονιστικὴ προφητεία τοῦ ἰδίου τοῦ Χριστοῦ εἰς Ματθ. 23, 38 «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος».

ΟΜΙΛΙΑ Ι'
Ματθ. 3, 1-6

«Ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας καὶ λέγων. Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν».

1. Ποῖαι ἦσαν αἱ ἡμέραι ἐκεῖναι; Διότι δὲν ἦτο τότε, ὅταν ἦτο παιδὶ καὶ ἦλθαν εἰς τὴν Ναζαρέτ, ἀλλὰ μετὰ τριάντα ἔτη φθάνει ὁ Ἰωάννης, ὅπως μαρτυρεῖ ὁ Λουκᾶς. Πῶς λοιπὸν λέγει· «Ἐν ταῖς ἡμέραις ἐκείναις»; Εἶναι μόνιμος συνήθεια εἰς τὴν Γραφὴν νὰ χρησιμοποιῇ τὸν τρόπον αὐτόν· ὄχι μόνον ὅταν ἀναφέρῃ αὐτὰ ποὺ συμβαίνουν εἰς τὸν προσεχῆ χρόνον ἀλλὰ καὶ ὅταν αὐτὰ θὰ συμβοῦν πολλὰ ἔτη ἔπειτα. Τὸν αὐτὸν τρόπον χρησιμοποιεῖ καὶ ὅταν καθισμένον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, τὸν ἐπλησίασαν οἱ μαθηταί του καὶ ἐζητοῦσαν νὰ πληροφορηθοῦν διὰ τὴν δευτέραν παρουσίαν του καὶ τὴν ἅλωσιν τῶν Ἱεροσολύμων[1]. Γνωρίζετε ἐν τούτοις πόση εἶναι ἡ ἀπόστασις μεταξὺ τῶν δύο τούτων χρονικῶν σημείων. Ὅταν ἀνεφέρθη εἰς τὴν καταστροφὴν τῆς μητροπόλεως καὶ ὡλοκλήρωσε τὴν σχετικὴν διήγησιν, ἐνῷ ἐπρόκειτο νὰ μεταβῇ εἰς τὸν λόγον περὶ τῆς συντελείας, ἐπρόσθεσε· «Τότε καὶ ταῦτα ἔσται»[2]· δὲν ἔκαμε συναίρεσιν τῶν δύο ἐποχῶν μὲ τὸ νὰ εἰπῇ «Τότε»· ἐδήλωνεν γενικὰ τὸν καιρὸν κατὰ τὸν ὁποῖον ἐπρόκειτο νὰ συμβοῦν αὐτά.

Τὸ αὐτὸ κάμνει καὶ τώρα, ὅταν λέγῃ· «Ἐν ταῖς ἡμέραις ἐκείναις». Δὲν τὸ θέτει διὰ νὰ δηλώσῃ τὰς προσεχεῖς ἡμέρας, ἀλλὰ ἐκείνας κατὰ τὰς ὁποίας ἐπρόκειτο νὰ συμβοῦν αὐτά, ποὺ ἡτοιμάζετο νὰ διηγηθῇ.

---

2. Ματθ. 24, 1 ἑ.

Καὶ τίνος ἕνεκεν μετὰ τριάκοντα ἔτη, φησίν, ἐπὶ τὸ βάπτισμα ἦλθεν ὁ Ἰησοῦς;

Λύειν τὸν νόμον ἔμελλε μετὰ τὸ βάπτισμα τοῦτο λοιπόν· διὰ τοῦτο μέχρι ταύτης τῆς ἡλικίας τῆς πάντα δεχομένης τὰ ἁμαρτήματα, μένει αὐτὸν πληρῶν ἅπαντα, ἵνα μηδεὶς λέγῃ, ὅτι διὰ τὸ μὴ δύνασθαι αὐτὸν πληρῶσαι ἔλυσεν. Οὐδὲ γὰρ ἀεὶ πάντα ἡμῖν ἐπιτίθεται τὰ πάθη· ἀλλὰ ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ πολὺ τὸ ἀνόητον καὶ μικρόψυχον, ἐν δὲ τῇ μετ' ἐκείνην σφοδροτέρα ἡ ἡδονή, καὶ μετὰ ταύτην πάλιν ἡ τῶν χρημάτων ἐπιθυμία. Διὰ τοῦτο πᾶσαν τὴν ἡλικίαν ἀναμείνας, καὶ διὰ πάσης πληρώσας αὐτόν, οὕτως ἐπὶ τὸ βάπτισμα ἔρχεται, ὕστερον αὐτὸν ἐπιτιθεὶς τῇ τῶν ἄλλων ἐντολῶν ἐκπληρώσει. Ὅτι γὰρ τοῦτο ἔσχατον ἦν αὐτῷ κατόρθωμα τῶν νομίμων, ἄκουσον τί φησιν· «Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην». Ὁ δὲ λέγει, τοῦτόν ἐστι· πάντα ἠνύσαμεν τὰ νομικά, οὐδὲ μίαν παρέβημεν ἐντολήν. Ἐπεὶ οὖν τοῦτο περιλείπεται μόνον, δεῖ καὶ τοῦτο προσθεῖναι, καὶ οὕτω πᾶσαν πληρώσομεν τὴν δικαιοσύην· Δικαιοσύνην γὰρ ἐνταῦθα τὴν ἐκπλήρωσιν καλεῖ τῶν ἐντολῶν ἁπασῶν. Ἀλλ' ὅτι μὲν ὁ Χριστὸς διὰ τοῦτο ἐπὶ τὸ βάπτισμα ἦλθε, δῆλον ἐκ τούτου.

Τίνος δὲ ἕνεκεν τὸ βάπτισμα αὐτῷ ἐπενοήθη τοῦτο; Ὅτι μὲν γὰρ οὐκ οἴκοθεν ὁ Ζαχαρίου παῖς, ἀλλὰ τοῦ Θεοῦ κινήσαντος αὐτὸν ἐπὶ τοῦτο ἦλθε, καὶ ὁ Λουκᾶς αὐτὸ δηλοῖ λέγων, «Ῥῆμα Κυρίου ἐγένετο ἐπ' αὐτόν», τουτέστι, πρόσταγμα. Καὶ αὐτὸς δέ φησιν· «Ὁ ἀποστείλας με βαπτίζειν ἐν ὕδατι ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ».

Τίνος οὖν ἕνεκεν ἐπέμφθη βαπτίζειν; Πάλιν καὶ τοῦτο ὁ Βαπτιστὴς δῆλον ἡμῖν ποιεῖ, λέγων, ὅτι «Ἐγὼ οὐκ ᾔδειν αὐτόν·

---

1. Ματθ. 3, 15.
2. Λουκᾶ 3,2.
3. Ἰω. 1, 33.

Καὶ διὰ ποῖον λόγον, ἐρωτᾷ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὸ βάπτισμα μετὰ τριάντα ἔτη;

Μετὰ τὸ βάπτισμα τοῦτο ἦτο νὰ καταλύσῃ τὸν νόμον. Διὰ τοῦτο, μέχρι τῆς ἡλικίας αὐτῆς, ποὺ εὐνοεῖ ὅλα τὰ ἁμαρτήματα, τὸν ὑπομένει ἐκτελῶν ὅλας τὰς διατάξεις του, διὰ νὰ μὴ ἀντιτείνῃ κανεὶς ὅτι, ἐπειδὴ δὲν ἦτο εἰς θέσιν νὰ τὸν ἐκπληρώσῃ, τὸν καταργεῖ. Οὔτε δεχόμεθα ὅλων μαζὶ τῶν παθῶν τὴν ἀντίθεσιν· ἀλλὰ εἰς τὴν μικρὰν ἡλικίαν ὑπάρχει πολλὴ ἀνοησία καὶ δειλία, ἔρχεται ἔπειτα περισσότερον ὁρμητικὴ ἡ ἡδονή, ποὺ τοὺς ἀκολουθεῖ ἡ ἐπιθυμία τῶν χρημάτων. Διὰ τοῦτο ἐπερίμενεν ὅλα τὰ στάδια τῆς ἡλικίας καὶ ἀφοῦ εἰς ὅλα αὐτὰ ἐξεπλήρωσε τὸν νόμον, τότε βαδίζει πρὸς τὸ βάπτισμα, τοποθετῶν αὐτὸ εἰς τὸ τέλος μετὰ τὴν ἐκπλήρωσιν τῶν ἄλλων ἐντολῶν. Διὰ τὸ ὅτι αὐτὸ ἦτο τὸ τελευταῖον κατόρθωμα ἀπὸ ὅσα ὁ νόμος ἐπιτάσσει, ἄκουσε τί λέγει· «Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην [1]. Τοῦτο σημαίνει τὰ ἑξῆς περίπου. Ἐξεπληρώσαμεν ὅλας τὰς ἀπαιτήσεις τοῦ νόμου, δὲν παρέβημεν καμμίαν ἐντολήν. Ἀπομένει τοῦτο μόνον καὶ πρέπει νὰ τὸ προσθέσωμεν καὶ αὐτό· ἔτσι θὰ ἐκτελέσωμεν ὅλην τὴν δικαιοσύνην. Ἀποκαλεῖ ἐδῶ δικαιοσύνην τὴν ἐκπλήρωσιν ὅλων τῶν ἐντολῶν· Ὅτι ὁ Χριστὸς προσῆλθεν εἰς τὸ βάπτισμα διὰ τὸν λόγον αὐτόν, ἔγινε φανερόν.

Διὰ ποῖον λόγον τώρα ἐπενοήθη ἀπὸ αὐτὸν τὸ βάπτισμα τοῦτο; Ὅτι δὲν τὸ ἐσκέφθη μόνος του ὁ υἱὸς τοῦ Ζαχαρίου ἀλλὰ ἦτο παρακίνησις τοῦ Θεοῦ, τὸ φανερώνει καὶ ὁ Λουκᾶς μὲ τοὺς λόγους· «Ῥῆμα Κυρίου ἐγένετο ἐπ' αὐτόν»[2], δηλ. διαταγή. Ἀλλὰ καὶ ὁ ἴδιος λέγει· «Ὁ ἀποστείλας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ» [3].

Ἀλλὰ καὶ διὰ ποῖον λόγον ἐστάλη διὰ νὰ βαπτίζῃ; Καὶ τοῦτο ὁ Βαπτιστὴς μᾶς τὸ γνωρίζει πάλιν, ὅταν λέγῃ· «Ἐγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο

ἀλλ' ἵνα φανῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐν ὕδατι βαπτίζων». Καὶ εἰ αὕτη μόνη ἡ αἰτία, πῶς φησιν ὁ Λουκᾶς, ὅτι «Ἦλθεν εἰς τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν»; Καίτοιγε οὐκ εἶχεν ἄφεσιν, ἀλλὰ τοῦτο τὸ δῶρον τοῦ μετὰ ταῦτα δοθέντος βαπτίσματος ἦν· ἐν τούτῳ γὰρ συνετάφημεν, καὶ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος τότε συνεσταυρώθη, καὶ πρὸ τοῦ σταυροῦ οὐδαμοῦ φαίνεται ἄφεσις οὖσα· πανταχοῦ γὰρ τῷ αἵματι αὐτοῦ τοῦτο λογίζεται. Καὶ ὁ Παῦλος δέ φησιν· «Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε», οὐ διὰ τοῦ βαπτίσματος Ἰωάννου, ἀλλ' «Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν». Καὶ ἀλλαχοῦ δέ φησίν· «Ἰωάννης μὲν ἐκήρυξε βάπτισμα μετανοίας»· καὶ οὐ λέγει, Ἀφέσεως· «Ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ' αὐτόν». Οὔπω γὰρ τῆς θυσίας προσενενηγμένης, οὐδὲ τοῦ Πνεύματος καταβάντος, οὐδὲ τῆς ἁμαρτίας λυθείσης, οὐδὲ τῆς ἔχθρας ἀνῃρημένης, οὐδὲ τῆς κατάρας ἀφανισθείσης, πῶς ἔμελλεν ἄφεσις γίνεσθαι;

2. Τί οὖν ἐστι τό, «Εἰς ἄφεσιν ἁμαρτιῶν»; Ἀγνώμονες ἦσαν οἱ Ἰουδαῖοι, καὶ τῶν οἰκείων οὐδέποτε ᾐσθάνοντο ἁμαρτημάτων, ἀλλὰ τοῖς ἐσχάτοις ὄντες ὑπεύθυνοι κακοῖς, ἐδικαίουν ἑαυτοὺς πανταχοῦ· ὅπερ αὐτοὺς μάλιστα ἀπώλεσε καὶ τῆς πίστεως ἀπήγαγε. Τοῦτο γοῦν καὶ ὁ Παῦλος ἐγκαλῶν αὐτοῖς ἔλεγεν, ὅτι «Ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν». Καὶ πάλιν· «Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. Διατί; Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων».

---

1. Ἰω. 1, 31.
2. Λουκᾶ 3, 3
3. Α' Κορ. 6, 11
4. Πραξ. 9, 4
5. Μαρκ. 1,4.

ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων»[1]. Ἀλλὰ ἂν ἦτο μόνον ἡ αἰτία αὐτή, πῶς ἐξιστορεῖ ὁ Λουκᾶς ὅτι «Ἦλθεν εἰς τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν»[2]; Καὶ δὲν εἶχε βέβαια τὴν χάριν τῆς συγχωρήσεως ἀλλὰ αὐτὸ τὸ δῶρον ἀνῆκεν εἰς τὸ βάπτισμα ποὺ ἐδόθη ἀργότερα. Διότι μαζὶ μὲ αὐτὸ ἐνταφιάσθημεν καὶ τότε συνεσταυρώθη ὁ παλαιός μας ἄνθρωπος. Πρὸ τοῦ σταυροῦ δὲν φαίνεται νὰ ὑπάρχῃ συγχώρησις πουθενά· παντοῦ εἶναι συνδεδεμένη μὲ τὸ αἷμα τοῦ Χριστοῦ. Καὶ ὁ Παῦλος σχετικῶς λέγει· «Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, οὐ διὰ τοῦ βαπτίσματος Ἰωάννου, ἀλλὰ ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ ὀνόματι τοῦ Θεοῦ ἡμῶν» [3]. Καὶ ἀλλοῦ πάλιν λέγει· «Ἰωάννης μὲν ἐκήρυξε βάπτισμα μετανοίας—δὲν λέγει ἀφέσεως—ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ' αὐτόν» [4]. Ἀφοῦ δὲν εἶχεν ἀκόμη προσφερθῆ ἡ θυσία, οὔτε εἶχε κατέλθει τὸ Πνεῦμα, οὔτε εἶχε διαλυθῆ ἡ ἁμαρτία, οὔτε εἶχε σβήσει ἡ ἔχθρα, οὔτε εἶχεν ἐξαλειφθῆ ἡ κατάρα, πῶς ἦτο δυνατὸν νὰ δοθῇ ἄφεσις;

2. Τί σημαίνει ἡ φράσις· «Εἰς ἄφεσιν ἁμαρτιῶν»[5]; Οἱ Ἰουδαῖοι ἦσαν ἀχάριστοι καὶ δὲν εἶχαν ποτὲ συναίσθησιν τῶν ἁμαρτιῶν των ἀλλ' ἐνῷ ἦσαν ἔνοχοι διὰ τὰ μεγαλύτερα ἐγκλήματα, ἐδικαίωναν εἰς ὅλα τὸν ἑαυτόν των· πρᾶγμα ποὺ τοὺς ὡδήγησεν εἰς τὴν καταστροφὴν καὶ τοὺς ἀπεμάκρυνεν ἀπὸ τὴν πίστιν. Διὰ τοῦτο ἐξ ἄλλου τοὺς ἤλεγχεν ὁ Παῦλος καὶ ἔλεγεν, ὅτι «Ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν»[6]. Καὶ ἀλλοῦ· «Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη, τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην· Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. Διατί; Ὅτι οὐκ ἐκ πίστεως ἀλλ' ὡς ἐξ ἔργων» [7].

---

6. Ρωμ. 10, 3.
7. Ρωμ. 9, 30. 32

Ἐπεὶ οὖν τοῦτο ἦν τὸ αἴτιον τῶν κακῶν, παραγίνεται ὁ Ἰωάννης, οὐδὲν ἕτερον ποιῶν ἢ εἰς ἔννοιαν αὐτοὺς ἄγων τῶν οἰκείων ἁμαρτημάτων. Τοῦτο γοῦν καὶ τὸ σχῆμα αὐτοῦ ἐδήλου, μετανοίας καὶ ἐξομολογήσεως ὄν. Τοῦτο καὶ τὸ κήρυγμα ἐδείκνυ· οὐδὲν γὰρ ἄλλο ἔλεγεν, ἀλλ' ὅτι, «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας». Ἐπεὶ οὖν τὸ μὴ καταγινώσκειν τῶν οἰκείων ἁμαρτημάτων, ὡς καὶ Παῦλος ἐδήλωσεν, ἀποσκιρτᾶν αὐτοὺς ἐποίει τοῦ Χριστοῦ· τὸ δὲ εἰς ἔννοιαν ἔρχεσθαι, εἰς ἐπιθυμίαν καθίστη τοῦ τὸν λυτρωτὴν ἐπιζητεῖν καὶ τῆς ἀφέσεως ἐπιθυμεῖν· τοῦτο ἦλθε κατασκευάζων Ἰωάννης, καὶ πείθων αὐτοὺς μετανοεῖν· οὐχ ἵνα κολασθῶσιν, ἀλλ' ἵνα τῇ μετανοίᾳ γενόμενοι ταπεινότεροι, καὶ καταγνόντες ἑαυτῶν, εἰς τὸ λαβεῖν τὴν ἄφεσιν δράμωσιν.

Ὅρα γοῦν πῶς αὐτὸ τέθεικεν ἀκριβῶς. Εἰπὼν γὰρ ὅτι, «Ἦλθε κηρύσσων βάπτισμα μετανοίας ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας», ἐπήγαγεν, «Εἰς ἄφεσιν»· ὡσανεὶ ἔλεγε· διὰ τοῦτο αὐτοὺς ἔπειθεν ὁμολογεῖν καὶ μετανοεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν, οὐχ ἵνα κολασθῶσιν, ἀλλ' ἵνα εὐκολώτερον τὴν μετὰ ταῦτα ἄφεσιν δέξωνται. Εἰ μὴ γὰρ κατέγνωσαν ἑαυτῶν, οὐκ ἂν οὐδὲ τὴν χάριν ᾔτησαν· μὴ ζητοῦντες δέ, οὐκ ἂν τῆς ἀφέσεως ἔτυχον. Ὥστε τούτῳ ἐκεῖνο προωδοποίει τὸ βάπτισμα· διὸ καὶ ἔλεγεν, «Ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ' αὐτόν», μετὰ τῆς εἰρημένης καὶ ταύτην ἑτέραν αἰτίαν τιθεὶς τοῦ βαπτίσματος. Οὐδὲ γὰρ ἴσον ἦν περιϊέναι τὰς οἰκίας, καὶ περιάγειν τὸν Χριστὸν τῆς χειρὸς λαβόμενον· καὶ λέγειν, Εἰς τοῦτον πιστεύσατε καὶ πάντων παραγινομένων καὶ ὁρώντων τὴν μακαρίαν ἐκείνην ἐνεχθῆναι φωνήν, καὶ τὰ ἄλλα ἐπιτελεσθῆναι ἅπαντα. Διὰ τοῦτο ἔρχεται ἐπὶ τὸ βάπτισμα. Καὶ γὰρ καὶ ἡ τοῦ βαπτίζοντος ὑπόληψις, καὶ ἡ τοῦ πράγματος ὑπόθεσις, πᾶσαν τὴν πόλιν εἷλκε, καὶ πρὸς τὸν Ἰορδάνην ἐκάλει, καὶ θέατρον ἐγένε-

1. Λουκᾶ 3, 8
2. Μάρκ. 1, 4
3. Πράξ. 19, 4

Ἀφοῦ λοιπὸν τοῦτο ἦτο τὸ αἴτιον τῶν κακῶν, διὰ τοῦτο ἦλθεν ὁ Ἰωάννης καὶ δὲν ἔκαμνε τίποτε ἄλλο ἀπὸ τοῦ νὰ προσπαθῇ νὰ τοὺς φέρῃ εἰς τὴν ἐπίγνωσιν τῶν ἁμαρτιῶν των. Αὐτὸ ἐφανέρωνε καὶ ἡ ἐνδυμασία του, ποὺ ἦτο ἐνδυμασία μετανοίας καὶ ἐξομολογήσεως. Αὐτὸ ἦτο καὶ τὸ νόημα τοῦ κηρύγματός του. Τίποτε ἄλλο δὲν ἔλεγε παρὰ μόνον· «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας» [1]. Ἐπειδὴ λοιπὸν ἡ μὴ καταδίκη τῶν ἁμαρτιῶν των, καθὼς ἐβεβαίωσε καὶ ὁ Παῦλος, τοὺς ἔκαμε νὰ ἀποσκιρτοῦν ἀπὸ τὸν Χριστόν, ἐνῷ ἡ συναίσθησίς των τοὺς ὡδηγοῦσεν εἰς τὴν ἀναζήτησιν τοῦ λυτρωτοῦ καὶ εἰς τὴν ἐπιθυμίαν τῆς ἀφέσεως, ἦλθεν ὁ Ἰωάννης διὰ νὰ συντελέσῃ εἰς τὸ ἔργον τοῦτο καὶ νὰ τοὺς πείσῃ νὰ μετανοήσουν. Ὄχι βεβαίως διὰ νὰ τιμωρηθοῦν ἀλλὰ διὰ νὰ γίνουν μὲ τὴν μετάνοιαν ταπεινότεροι· νὰ καταδικάσουν τὸν ἑαυτόν των καὶ νὰ σπεύσουν νὰ λάβουν τὴν ἄφεσιν.

Πρόσεξε λοιπὸν πῶς τὸ διατύπωσεν ἀκριβῶς. Ἀφοῦ εἶπεν, ὅτι· «Ἦλθε κηρύσσων βάπτισμα μετανοίας ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας» ἐπρόσθεσεν «εἰς ἄφεσιν» [2]. Ἤθελε νὰ τοὺς εἰπῇ· Διὰ τοῦτο ἐπροσπαθοῦσε νὰ τοὺς πείσῃ νὰ ὁμολογήσουν καὶ νὰ μετανοήσουν διὰ τὰ ἁμαρτήματά των· ὄχι διὰ νὰ τιμωρηθοῦν ἀλλὰ διὰ νὰ δεχθοῦν εὐκολώτερον τὴν ἄφεσιν ἔπειτα ἀπὸ αὐτά. Ἂν δὲν κατεδίκαζαν τὸν ἑαυτόν των, δὲν θὰ ἐζητοῦσαν οὔτε τὴν χάριν· καὶ ἂν δὲν τὴν ἐζητοῦσαν, δὲν θὰ ἐλάμβαναν καὶ τὴν ἄφεσιν. Ὥστε μὲ τὸ βάπτισμά του αὐτὸ προωδοποιοῦσε τὸ ἄλλο καὶ διὰ τοῦτο ἔλεγεν· «Ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ' αὐτόν» [3], προσθέτων ἐκτὸς ἀπὸ τὴν πρώτην καὶ ἄλλην αἰτίαν διὰ τὸ βάπτισμα. Δὲν ἦτο τὸ ἴδιο νὰ πηγαίνῃ εἰς τὰς οἰκίας καὶ σύρων τὸν Χριστὸν ἀπὸ τὸ χέρι νὰ τὸν περιφέρῃ καὶ νὰ κηρύττῃ. Εἰς τοῦτον πιστεύσατε. Καὶ ὅταν θὰ ἤρχοντο ὅλοι καὶ θὰ ἐπαρακολουθοῦσαν νὰ ἀντηχήσῃ ἡ μακαρία ἐκείνη φωνὴ καὶ νὰ γίνουν ὅλα τὰ ἄλλα. Διὰ τοῦτο βαδίζει πρὸς τὸ βάπτισμα. Διότι καὶ ὁ σεβασμὸς πρὸς τὸν Βαπτιστὴν καὶ ὅλη ἡ διεξαγωγὴ τοῦ Βαπτίσματος, προσείλκυεν ὁλόκληρον τὴν πόλιν, καὶ τὴν ἐκαλοῦσε πρὸς τὸν Ἰορ-

το μέγα. Διὰ τοῦτο αὐτοὺς καί παραγενομένους καταστέλλει, καὶ πείθει μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι, δεικνὺς τῶν ἐσχάτων ὄντας ὑπευθύνους κακῶν, εἰ μὴ μετανοήσαιεν, καὶ τοὺς προγόνους ἀφέντες, καὶ τὸ ἐπ' ἐκείνοις ἀγάλλεσθαι, δέξαιντο τὸν παραγινόμενον.

Καὶ γὰρ συνεσκίαστο τὰ κατὰ τὸν Χριστὸν τέως, καὶ ἐδόκει τεθνάναι παρὰ πολλοῖς διὰ τὴν εἰς Βηθλεὲμ γεγενημένην σφαγήν. Εἰ γὰρ καὶ δώδεκα ἐτῶν γενόμενος ἐξέφηνεν ἑαυτόν, ἀλλὰ ταχέως καὶ συνεσκίασε πάλιν· διὰ δὴ τοῦτο λαμπρῶν ἔδει τῶν προοιμίων καὶ ὑψηλοτέρας ἀρχῆς. Διὸ καὶ πρῶτον τότε ἃ μηδέποτε ἤκουσαν Ἰουδαῖοι, μήτε παρὰ προφητῶν, μήτε παρ' ἄλλων τινῶν, ἀνακηρύττει λαμπρᾷ τῇ φωνῇ, τῶν οὐρανῶν καὶ τῆς ἐκεῖ βασιλείας μεμνημένος, οὐδὲν περὶ τῆς γῆς λέγων λοιπόν. Βασιλείαν δὲ ἐνταῦθα τὴν παρουσίαν αὐτοῦ τὴν προτέραν καὶ τὴν ἐσχάτην φησί.

Καὶ τί τοῦτο πρὸς Ἰουδαίους; φησίν· οὐδὲ γὰρ ἴσασι τί λέγεις.

Διὰ γὰρ τοῦτο οὕτω λέγω, φησίν, ἵνα ὑπὸ τῆς ἀσαφείας τῶν λεγομένων διεγειρόμενοι, ἔλθωσιν εἰς τὸ ζητῆσαι τὸν κηρυττόμενον. Οὕτω γοῦν αὐτοὺς ἐπῆρε ταῖς χρησταῖς ἐλπίσι παραγενομένους, ὡς καὶ τελώνας καὶ στρατιώτας πολλοὺς ἐρωτᾶν, τί δεῖ πράττειν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν· ὅπερ ἦν σημεῖον τοῦ τῶν βιωτικῶν λοιπὸν ἀπηλλάχθαι πραγμάτων, καὶ πρὸς ἕτερα μείζονα ὁρᾶν, καὶ τὰ μέλλοντα ὀνειροπολεῖν. Καὶ γὰρ ἅπαντα αὐτοὺς καὶ τὰ ὁρώμενα καὶ τὰ λεγόμετα εἰς ὑψηλὸν ἦγε φρόνημα.

3. Ἐννόησον γοῦν ἡλίκον ἦν ἰδεῖν ἄνθρωπον μετὰ τριάκοντα ἔτη καταβαίνοντα ἀπὸ τῆς ἐρήμου, ἀρχιερέως υἱὸν γενόμενον, μηδὲν δεηθέντα τῶν ἀνθρωπίνων πώποτε, καὶ πάντο-

δάνην, ὅπου εἶχε πραγματοποιηθῆ μεγάλη συρροή. Διὰ τοῦτο αὐτοί, καὶ μολονότι εἶχαν ἔλθει, τοὺς καθιστᾷ προσεκτικοὺς καὶ τοὺς πείθει νὰ μὴ ἔχουν μεγάλην ἰδέαν διὰ τὸν ἑαυτόν των. Τοὺς ἔλεγεν ὅτι θὰ ἦσαν ὑπεύθυνοι διὰ τὰ μεγαλύτερα δεινά, ἂν δὲν μετανοήσουν καὶ ἄν, ἐγκαταλείποντες τοὺς προγόνους καὶ τὴν προγονικὴν ὑπερηφάνειαν, δὲν δεχθοῦν ἐκεῖνον ποὺ ἔρχεται.

Διότι εἶχαν συσκοτισθῆ τότε τὰ πράγματα σχετικῶς μὲ τὸν Χριστὸν καὶ πολλοὶ ἐνόμιζαν ὅτι εἶχεν ἀποθάνει ἐξ αἰτίας τῆς σφαγῆς ποὺ εἶχε συμβῆ εἰς τὴν Βηθλεέμ. Διότι, μολονότι εἶχε παρουσιάσει τὸν ἑαυτόν του, ὅταν ἔγινε δέκα ἐτῶν, ἀμέσως πάλι τὸν ἔρριψεν εἰς τὴν ἀφάνειαν. Διὰ τοῦτο ὑπῆρχεν ἀνάγκη ἀπὸ λαμπρὰ προοίμια καὶ ἐπισημοτέραν ἀρχήν. Διὰ τοῦτο καὶ διὰ πρώτην φορὰν τότε ὅσα ποτέ δὲν εἶχαν ἀκούσει οἱ Ἰουδαῖοι, μήτε ἀπὸ προφήτας μήτε ἀπὸ ἄλλους, διαλαλεῖ μὲ λαμπρὰν φωνήν· ἐνθυμεῖται τοὺς οὐρανοὺς καὶ τὴν ἐκεῖ βασιλείαν, χωρὶς ν' ἀναφέρῃ καθόλου τὴν γῆν. Ὀνομάζει ἐδῶ βασιλείαν τὴν πρώτην καὶ τὴν δευτέραν παρουσίαν του.

Καὶ τί σχέσιν ἔχει αὐτὸ μὲ τοὺς Ἰουδαίους; ἐρωτᾷ. ἀφοῦ μήτε τί λέγεις δὲν ἐννοοῦν.

Διὰ τοῦτο ἀκριβῶς ὁμιλῶ ἔτσι, ἀπαντᾷ. Νὰ παρακινηθοῦν ἀπὸ τὴν ἀσάφειαν τῶν λόγων μου, ὥστε νὰ ἀρχίσουν νὰ ζητοῦν αὐτὸν ποὺ κηρύττω. Τόσον τοὺς εἶχε συναρπάσει, καθὼς ἔφθασαν μὲ ἀγαθὰς ἐλπίδας, ὥστε καὶ τελῶναι καὶ στρατιῶται πολλοὶ νὰ ἐρωτοῦν τί πρέπει νὰ κάμουν καὶ πῶς νὰ ρυθμίσουν τὴν ζωήν των. Τοῦτο ἦτο σημεῖον ὅτι εἶχαν ἐλευθερωθῆ ἀπὸ τὰ βιοτικὰ πράγματα, εἶχαν στρέψει τὰ βλέμματα πρὸς ἄλλα μεγαλύτερα καὶ ὠνειροπολοῦσαν τὰ μελλοντικά. Διότι ὅλα καὶ ὅσα ἔβλεπαν καὶ ὅσα ἤκουαν τοὺς ὡδηγοῦσαν εἰς σκέψεις ὑψηλάς.

3. Σκέψου λοιπὸν πόσον σπουδαῖον ἦτο νὰ ἴδῃς ἄνθρωπον νὰ κατέρχεται ἀπὸ τὴν ἔρημον ἔπειτα ἀπὸ τριάντα χρόνια, ποὺ ἦτο υἱὸς ἀρχιερέως. Ποτὲ δὲν εἶχεν αἰσθανθῆ τὴν ἀνάγκην κανενὸς ἀπὸ τὰ ἀνθρώπινα· ἐνέπνεε μὲ τὴν ὅλην πα-

θεν αἰδέσιμον, καὶ τὸν Ἠσαΐαν ἔχοντα μεθ' ἑαυτοῦ. Παρῆν γὰρ καὶ οὗτος αὐτὸν ἀνακηρύττων καὶ λέγων· οὗτός ἐστιν ὃν παρέσεσθαι ἔφην βοῶντα, καὶ κατὰ τὴν ἔρημον λαμπρᾷ τῇ φωνῇ κηρύττοντα ἅπαντα. Τοσαύτη γὰρ σπουδὴ τοῖς Προφήταις περὶ τούτων ἐγένετο τῶν πραγμάτων, ὡς μὴ τὸν Δεσπότην τὸν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὸν μέλλοντα αὐτῷ διακονεῖσθαι ἐκ πολλοῦ προανακηρύττων τοῦ χρόνου· καὶ μὴ μόνον αὐτὸν λέγειν, ἀλλὰ καὶ τὸν τόπον, ἐν ᾧ διατρίβειν ἔμελλε, καὶ τὸν τοῦ κηρύγματος τρόπον, ὃν διδάξαι παραγενόμενος εἶχε, καὶ τὸ ἀπ' αὐτοῦ συμβαῖνον κατόρθωμα. Ὅρα γοῦν πῶς ἐπ' αὐτῶν ἔρχονται τῶν νοημάτων, εἰ καὶ μὴ ἐπ' αὐτῶν τῶν ῥημάτων, ὅ τε Προφήτης καὶ ὁ Βαπτιστής. Ὁ μὲν γὰρ Προφήτης φησίν, ὅτι παρέσται λέγων· «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ». Αὐτὸς δὲ παραγενόμενος ἔλεγε· «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας». Ὅπερ ἴσον ἐστὶ τῷ· «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου». Ὁρᾷς ὅτι καὶ δι' ὧν ὁ Προφήτης εἶπε, καὶ δι' ὧν αὐτὸς ἐκήρυττεν, ἓν τοῦτο δηλοῦται μόνον, ὅτι προοδοποιῶν παρεγένετο καὶ προετοιμάζων, οὐ τὴν δωρεὰν χαριζόμενος, ὅπερ ἦν ἡ ἄφεσις, ἀλλὰ προπαρασκευάζων τὰς ψυχὰς τῶν μελλόντων δέχεσθαι τὸν τῶν ὅλων Θεόν; Ὁ δὲ Λουκᾶς καὶ πλέον τι φησιν· οὐ γὰρ τὸ προοίμιον εἰπὼν ἀπηλλάγη, ἀλλὰ καὶ πᾶσαν τίθησι τὴν προφητείαν. «Πᾶσα γὰρ φάραγξ», φησί, «πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὄψεται πᾶσα σάρξ τὸ Σωτήριον τοῦ Θεοῦ».

Εἶδες πῶς προλαβὼν ὁ Προφήτης πάντα εἶπε, καὶ τὴν τοῦ δήμου συνδρομήν, καὶ τὴν τῶν πραγμάτων ἐπὶ τὸ βέλτιον μεταβολήν, καὶ τὴν τοῦ κηρύγματος εὐκολίαν, καὶ τὴν αἰτίαν τῶν γινομένων ἁπάντων, εἰ καὶ τροπικώτερον ταῦτα τέθεικε; Καὶ γὰρ ἦν προφητεία τὸ λεγόμενον. Ὅταν γὰρ εἴπῃ, «Πᾶσα φάραγξ

1. Ἡσ. 40,3.

ρουσίαν του τὸν σεβασμὸν καὶ εἶχε τὸν Ἠσαΐαν μαζί του. Ἦτο βέβαια παρὼν καὶ αὐτός, ποὺ ἀνήγγελλε καὶ ἔλεγεν· «Οὗτός ἐστιν, ὃν παρέσεσθαι ἔφην βοῶντα, καὶ κατὰ τὴν ἔρημον λαμπρᾷ τῇ φωνῇ κηρύττοντα ἅπαντα». Εἶχαν οἱ προφῆται τόσον ζῆλον διὰ τὰ πράγματα αὐτά, ὥστε ὄχι μόνον τὸν Κύριόν των ἀλλὰ καὶ ἐκεῖνον ποὺ ἐπρόκειτο νὰ γίνῃ διάκονός του νὰ τὸν προεξαγγέλλουν πολὺν χρόνον πρωτύτερα. Καὶ δὲν ἀνέφεραν αὐτὸν μόνον ἀλλὰ καὶ τὸν τόπον, ὅπου ἐπρόκειτο νὰ ζήσῃ καὶ τὸν τρόπον, ποὺ θὰ ἐχρησιμοποιοῦσε διὰ τὸ κήρυγμά του καὶ τὸ ἐπίτευγμα ποὺ θὰ ἐπραγματοποιοῦσε. Πρόσεξε πῶς συμπίπτουν εἰς τὰ αὐτὰ νοήματα, ἂν ὄχι καὶ εἰς τὰς αὐτὰς λέξεις καὶ ὁ προφήτης καὶ ὁ Βαπτιστής. Ὁ Προφήτης λέγει ὅτι θὰ ἔλθῃ καὶ θὰ κηρύττῃ. «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦς»[1]. Ὁ ἴδιος ὅταν ἦλθεν ἔλεγε· «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας»[2], πρᾶγμα ταυτόσημον μὲ τὸ «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου». Βλέπεις ὅτι καὶ μὲ ὅσα εἶπε ὁ προφήτης καὶ μὲ ὅσα ὁ ἴδιος ἐκήρυττε, φανερώνεται τὸ ἕνα τοῦτο, ὅτι ἦλθε διὰ νὰ προοδοποιήσῃ καὶ νὰ προετοιμάσῃ; Ὅτι δὲν ἐχάριζε τὴν δωρεὰν ποὺ ἦτο ἡ ἄφεσις ἀλλὰ προετοίμαζε τὰς ψυχὰς ἐκείνων ποὺ ἐπρόκειτο νὰ δεχθοῦν τὸν Θεὸν τῶν ὅλων; Ὁ Λουκᾶς προσθέτει καὶ κάτι ἀκόμη. Δὲν ἡσύχασε μὲ τὸ νὰ ἀναφέρῃ τὸ προοίμιον μόνον ἀλλὰ παραθέτει ὅλην τὴν προφητείαν. Λέγει· «Πᾶσα γὰρ φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ»[3].

Εἶδες πῶς ὁ προφήτης εἶπε τὰ πάντα ἐκ τῶν προτέρων, καὶ τὴν συρροὴν τοῦ πλήθους καὶ τὴν μεταβολὴν τῶν πραγμάτων εἰς τὸ καλύτερον καὶ τὴν εὐκολίαν τοῦ κηρύγματος καὶ τὴν αἰτίαν ὅλων τῶν συμβάντων; Ὁμιλεῖ βεβαίως κάπως μεταφορικά, διότι ὅ,τι ἔλεγεν ἀποτελοῦσε προφητείαν. Λέγει π.χ.·

---

2. Ματθ. 3, 8.
3. Λουκ. 3, 5 - 6 καὶ Ἡσ. 40, 4-5.

πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσονται αἱ τραχεῖαι εἰς ὁδοὺς λείας»· καὶ τοὺς ταπεινοὺς ὑψουμένους δείκνυσι, καὶ τοὺς ἀπονενοημένους ταπεινουμένους, καὶ τὴν τοῦ νόμου δυσκολίαν εἰς εὐκολίαν πίστεως μεταβαλλομένην. Οὐκέτι γὰρ ἱδρῶτες καὶ πόνοι, φησίν, ἀλλὰ χάρις καὶ συγχώρησις ἁμαρτημάτων, πολλὴν παρέχουσα τῆς σωτηρίας τὴν εὐκολίαν. Εἶτα τὸ τούτων αἴτιον τίθησι λέγων, ὅτι «Ὄψεται πᾶσα σὰρξ τὸ Σωτήριον τοῦ Θεοῦ»· οὐκέτι Ἰουδαῖοι καὶ προσήλυτοι μόνον, ἀλλὰ καὶ πᾶσα γῆ καὶ θάλαττα, καὶ ὅλη τῶν ἀνθρώπων ἡ φύσις. Διὰ γὰρ τῶν σκολιῶν πάντα τὸν διεφθαρμένον βίον ᾐνίξατο, τελώνας, καὶ πόρνας, καὶ λῃστάς, καὶ μάγους, οἵτινες ὄντες διεστραμμένοι πρότερον, τὴν ὀρθὴν ὕστερον ἐβάδισαν ὁδόν· ὅπερ οὖν καὶ αὐτὸς ἔλεγεν, ὅτι «Τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι ἐπίστευσαν». Καὶ δι' ἑτέρων δὲ ἐδήλωσε ῥημάτων ὁ Προφήτης πάλιν τὸ αὐτὸ τοῦτο, οὕτω λέγων· «Τότε λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται». Ὥσπερ γὰρ ἐνταῦθα διὰ τῶν βουνῶν καὶ φαράγγων τὸ ἀνώμαλον ἦθος εἰς μίαν φιλοσοφίας ἰσότητα κιρνᾶσθαι ἔφησεν· οὕτω καὶ ἐκεῖ τοῖς τῶν ἀλόγων ἤθεσι τοὺς διαφόρους τῶν ἀνθρώπων ἐμφαίνων τρόπους, πάλιν εἰς μίαν αὐτοὺς εὐσεβείας συμφωνίαν συνάπτεσθαι ἔλεγε· καὶ ἐκεῖ πάλιν τὴν αἰτίαν τιθείς. Αὕτη δε ἐστιν· «Ἔσται» γάρ, φησίν, «ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν». Ὅπερ οὖν καὶ ἐνταῦθα ἔλεγεν, ὅτι «Ὄψεται πᾶσα σὰρξ τὸ Σωτήριον τοῦ Θεοῦ»· πανταχοῦ δηλῶν ὅτι πρὸς τὰ πέρατα τῆς οἰκουμένης χυθήσεται τῶν Εὐαγγελίων τούτων ἡ δύναμις καὶ ἡ γνῶσις, ἀπὸ θηριώδους τρόπου καὶ σκληρότητος γνώμης εἰς ἡμερότητα πολλὴν καὶ ἁπαλότητα μεταβάλλουσα τῶν ἀνθρώπων τὸ γένος. «Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ». Εἶδες πῶς τὰ μὲν οἱ Προφῆται προεῖπον,

---

1. Ματθ. 21, 31.
2. Ἡσ. 65, 25.
3. Ἡσ. 11, 10.

«Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσονται αἱ τραχεῖαι εἰς ὁδοὺς λείας». Μὲ τοῦτο παρουσιάζει καὶ τοὺς ταπεινοὺς νὰ ὑψώνωνται, τοὺς ὑπερηφάνους νὰ ταπεινώνωνται, τὴν δυσκολίαν τοῦ νόμου νὰ μεταβάλλεται εἰς εὐκολίαν πίστεως. Ὄχι πλέον ἱδρῶτες καὶ κόποι, μᾶς λέγει, ἀλλὰ χάρις καὶ συγχώρησις ἁμαρτημάτων, ποὺ δημιουργεῖ πολλὴν εὐκολίαν διὰ σωτηρίαν. Ἔπειτα παραθέτει καὶ τὴν αἰτίαν αὐτῶν. Λέγει ὅτι «Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ». Ὄχι μόνον οἱ Ἰουδαῖοι καὶ οἱ προσηλυτισθέντες εἰς τὸν Ἰουδαϊσμὸν ἀλλὰ ὅλη ἡ γῆ καὶ ὅλη ἡ θάλασσα καὶ ὅλον τὸ γένος τῶν ἀνθρώπων. Διότι μὲ τὴν λέξιν «τὰ σκολιὰ» ὑπαινίσσεται ὅλην τὴν διεφθαρμένην ζωήν, τοὺς τελώνας, τὰς πόρνας, τοὺς ληστάς, τοὺς μάγους, ποὺ ἐνῷ κατ' ἀρχὰς ἦσαν γεμᾶτοι διαστροφήν, ἐβάδισαν ἀργότερα τὸν εὐθὺν δρόμον. Τὸ αὐτὸ ἔλεγε καὶ ἐκεῖνος· «Τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι ἐπίστευσαν»[1]. Μὲ ἄλλας λέξεις καὶ ὁ προφήτης ἐφανέρωσε τὸ ἴδιον ὁμιλῶν ὡς ἑξῆς· «Τότε λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται»[2]. Ὅπως ἐνῷ μὲ τὰ βουνὰ καὶ τὰς φάραγγας εἶπεν ὅτι ἀποκαθίσταται εἰς μίαν πνευματικὴν ὁμαλότητα τὸ ἀνώμαλον ἦθος, ἔτσι καὶ ἐκεῖ· παραβάλλων μὲ τὰς συνηθείας τῶν ἀλόγων ζώων τοὺς διαφόρους χαρακτῆρας τῶν ἀνθρώπων ἔλεγεν ὅτι ταυτίζονται εἰς μίαν συμφωνίαν εὐσεβείας. Καὶ ἀνέφερε καὶ ἐκεῖ τὴν αἰτίαν ποὺ εἶναι ἡ ἑξῆς· «Ἔσται γάρ», λέγει, «ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν»[3]. Εἶναι αὐτὸ ποὺ ἔλεγε καὶ ἐδῶ ὅτι· «Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ». Κάμνει παντοῦ φανερὸν ὅτι εἰς τὰ πέρατα τῆς οἰκουμένης θὰ διαχυθῇ ἡ δύναμις καὶ ἡ γνῶσις τῶν Εὐαγγελίων τούτων καὶ θὰ μεταβάλῃ τὴν θηριωδίαν καὶ τὴν σκληρότητα τοῦ ἀνθρωπίνου γένους εἰς πολλὴν ἡμερότητα καὶ πραότητα. Ὁ ἴδιος ὁ Ἰωάννης εἶχε κατασκευασμένον τὸ φόρεμά του ἀπὸ τρίχας καμήλου καὶ ἐφοροῦσε γύρω ἀπὸ τὴν μέσην του δερματίνην ζώνην. Βλέπεις πῶς ἄλλα εἶπαν οἱ προφῆται καὶ ἄλλα τὰ ἄ-

τὰ δὲ τοῖς Εὐαγγελισταῖς κατέλιπον; Διόπερ καὶ ὁ Ματθαῖος καὶ τὰς προφητείας τίθησι, καὶ τὰ παρ' ἑαυτοῦ προστίθησιν· οὐδὲ τοῦτο πάρεργον ἡγούμενος εἶναι, τὸ περὶ τῆς στολῆς εἰπεῖν τοῦ δικαίου.

4. Καὶ γὰρ ἦν θαυμαστὸν καὶ παράδοξον ἐν ἀνθρωπίνῳ σώματι τοσαύτην καρτερίαν ἰδεῖν· ὃ δὴ καὶ τοὺς Ἰουδαίους μᾶλλον ἐφείλκετο, τὸν μέγαν Ἠλίαν ἐν αὐτῷ βλέποντας, καὶ πρὸς τὴν τοῦ μακαρίου μνήμην ἐκείνου παραπεμπεμένους ἐκ τῶν ὁρωμένων τότε· μᾶλλον δὲ καὶ πρὸς πλείονα ἔκπληξιν. Ἐκεῖνος μὲν γὰρ καὶ ἐν πόλεσι καὶ ἐν οἰκίαις ἐτρέφετο, οὗτος δὲ δι' ὅλου τὴν ἔρημον ᾤκησεν ἐκ σπαργάνων αὐτῶν. Ἔδει γὰρ τὸν πρόδρομον τοῦ μέλλοντος τὰ παλαιὰ λύειν ἅπαντα· οἷον, τὸν πόνον, τὴν κατάραν, τὴν λύπην, τὸν ἱδρῶτα· ἔχειν τινὰ καὶ αὐτὸν σύμβολα τῆς τοιαύτης δωρεᾶς, καὶ ἀνωτέρω γενέσθαι λοιπὸν τῆς καταδίκης ἐκείνης. Οὔτε γοῦν γῆν ἤροσεν, οὔτε αὔλακα ἔτεμεν, οὐχ ἱδρῶτι τοῦ προσώπου τὸν ἄρτον ἔφαγεν, ἀλλ' ἦν ἐσχεδιασμένη αὐτῷ ἡ τράπεζα, καὶ εὐκολωτέρα τῆς τραπέζης ἡ περιβολή, καὶ ἀπραγμονεστέρα τῆς περιβολῆς ἡ οἴκησις. Οὔτε γὰρ στέγης, οὔτε κλίνης, οὐ τραπέζης, οὔτε ἄλλου τινὸς τούτων ἐδεήθη, ἀλλ' ἀγγελικόν τινα βίον ἐν τῇ σαρκὶ ταύτῃ ἐπεδείκνυτο. Διὰ τοῦτο καὶ τρίχινον ἱμάτιον αὐτῷ ἦν, ἵνα διὰ τοῦ σχήματος παιδεύσῃ τῶν ἀνθρωπίνων ἀφίστασθαι, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, ἀλλ' ἐπὶ τὴν προτέραν ἐπανατρέχειν εὐγένειαν, ἐν ᾗ ἦν πρὶν ἢ δεηθῆναι ἱματίων καὶ περιβολῆς ὁ Ἀδάμ. Οὕτω καὶ βασιλείας καὶ μετανοίας εἶχε σύμβολα τὸ σχῆμα ἐκεῖνο. Καὶ μή μοι λέγε· Πόθεν αὐτῷ τρίχινον ἱμάτιον καὶ ζώνη, τὴν ἔρημον οἰκοῦντι; Εἰ γὰρ τοῦτο μέλλοις διαπορεῖν, καὶ ἕτερα πλείονα ζητήσεις· πῶς ἐν τοῖς χειμῶσι, πῶς ἐν τοῖς καύμασι διέτριβεν ἐπὶ τῆς ἐρημίας, καὶ ταῦτα ἐν ἁπαλῷ σώματι καὶ ἀώ-

φησαν διὰ τοὺς Εὐαγγελιστάς; Διὰ τοῦτο καὶ ὁ Ματθαῖος παραθέτει τὰς προφητείας ἀλλὰ προσθέτει καὶ τὰ ἰδικά του. Δὲν θεωρεῖ ὅτι εἶναι περιττὸν νὰ ὁμιλήσῃ ἀκόμη καὶ διὰ τὴν ἐνδυμασίαν τοῦ δικαίου.

4. Ἦτο ἄξιον θαυμασμοῦ καὶ παράδοξον νὰ συναντήσῃς τόσην καρτερίαν εἰς ἀνθρώπινον σῶμα. Τοῦτο ἀκριβῶς προσείλκυε περισσότερον τοὺς Ἑβραίους, ποὺ ἔβλεπαν εἰς τὸ πρόσωπόν του τὸν μέγαν Ἠλίαν καὶ ἀπὸ ὅσα τότε ἐπαρακολουθοῦσαν ὡδηγοῦντο εἰς τὴν ἀνάμνησιν τοῦ μακαρίου ἐκείνου ἀνθρώπου. Καὶ ἦτο ἀκόμη μεγαλυτέρα ἡ ἔκπληξίς των. Διότι ἐκεῖνος ἔμενε καὶ εἰς πόλεις καὶ εἰς οἰκίας, ἐνῷ αὐτὸς ἐκατοίκησε συνεχῶς εἰς τὴν ἔρημον ἀπὸ τὰ σπάργανα. Ἔπρεπεν ὁ πρόδρομος ἐκείνου ποὺ ἔμελλε νὰ καταργήσῃ ὅλα τὰ παλαιὰ —τὸν πόνον, τὴν κατάραν, τὴν λύπην, τὸν ἱδρῶτα—, ἔπρεπε νὰ διαθέτῃ καὶ ἐκεῖνος μερικὰ σύμβολα τῆς δωρεᾶς αὐτῆς καὶ νὰ εἶναι ἀνώτερος τῆς παλαιᾶς ἐκείνης καταδίκης. Οὔτε λοιπὸν τὴν γῆν ὤργωσεν, οὔτε αὐλάκι ἤνοιξεν, οὔτε ἔφαγε τὸ ψωμί του μὲ τὸν ἱδρῶτα τοῦ προσώπου του. Ἦτο πρόχειρον τὸ τραπέζι του, ἡ ἔνδυσις εὐκολωτέρα ἀπὸ τὸ φαγητὸν καὶ ἀκοπωτέρα ἀπὸ τὴν ἔνδυσιν ἡ ἐξασφάλισις τῆς κατοικίας. Δὲν ἐχρειάσθη οὔτε στέγην οὔτε κλίνην οὔτε τραπέζι ἀλλὰ μέσα εἰς αὐτὴν τὴν σάρκα ἔδωσε δείγματα ἀγγελικῆς ζωῆς. Διὰ τοῦτο καὶ τὸ φόρεμά του ἦτο τρίχινον, διὰ νὰ διδάσκῃ μὲ τὴν ἐμφάνισίν του νὰ ἐλευθερωθοῦμεν ἀπὸ τὰ ἀνθρώπινα καὶ νὰ μὴν ἔχωμεν κανένα κοινὸν σημεῖον μὲ τὴν γῆν ἀλλὰ νὰ ἐπανέλθωμεν εἰς τὴν προηγουμένην κατάστασιν, προτοῦ ὁ Ἀδὰμ αἰσθανθῇ τὴν ἀνάγκην τῶν φορεμάτων καὶ τῆς ἐνδύσεως. Ἔτσι ἡ ἐμφάνισις ἐκείνη ἦτο σύμβολον τῆς βασιλείας καὶ τῆς μετανοίας. Καὶ μὴ ἐρωτήσῃς ποῦ εὐρῆκε τὸ τρίχινον ἔνδυμα καὶ τὴν ζώνην, ἀφοῦ ἐκατοικοῦσεν εἰς τὴν ἔρημον. Ἂν κινήσῃ τοῦτο τὴν ἀπορίαν σου, θὰ σὲ ἀπασχολήσουν καὶ ἄλλα. Πῶς ἔμεινε λ.χ. εἰς τὴν ἔρημον μὲ τοὺς πάγους καὶ τοὺς καύσωνας καὶ μάλιστα μὲ τὸ ἁπαλὸν σῶμα τῆς τρυφερᾶς ἡλικίας; Πῶς ἡ παιδικὴ σάρκα ἐστάθη ἱ-

ρῳ ἡλικίᾳ; πῶς ἤρκεσεν ἡ τῆς παιδικῆς σαρκὸς φύσις ἀνωμαλίᾳ ἀέρων τοσαύτῃ, καὶ τραπέζῃ οὕτως ἐξηλλαγμένῃ, καὶ τῇ ἄλλῃ τῇ ἀπὸ τῆς ἐρημίας ταλαιπωρίᾳ;

Ποῦ νῦν εἰσιν οἱ τῶν Ἑλλήνων φιλόσοφοι, οἳ εἰκῇ καὶ μάτην τὴν κυνικὴν ἀναισχυντίαν ἐζήλωσαν (τί γὰρ ὄφελος τοῦ κατακλείεσθαι ἐν πίθῳ καὶ τοιαῦτα ἀσελγαίνειν ὕστερον;) οἳ καὶ δακτυλίους καὶ φιάλας καὶ θεράποντας καὶ θεραπαινίδας καὶ πολλὴν ἄλλην περιεβάλλοντο φαντασίαν, εἰς ἑκατέραν ἀμετρίαν ἐκπίπτοντες;

Ἀλλ' οὐχ οὗτος τοιοῦτος· ἀλλ' ὥσπερ τὸν οὐρανὸν τὴν ἔρημον ᾤκησε, πᾶσαν ἀκριβῆ φιλοσοφίαν ἐπιδεικνύμενος· κἀκεῖθεν ὡς ἄγγελός τις ἐξ οὐρανῶν εἰς τὰς πόλεις κατέβαινεν, ἀθλητὴς εὐσεβείας ὤν, καὶ τῆς οἰκουμένης στεφανίτης, καὶ φιλόσοφος τῆς τῶν οὐρανῶν ἀξίας φιλοσοφίας. Καὶ ταῦτα ἦν, οὔπω τῆς ἁμαρτίας λυθείσης, οὔπω τοῦ νόμου παυσαμένου, οὔπω τοῦ θανάτου δεθέντος, οὔπω τῶν χαλκῶν πυλῶν κατακλασθεισῶν, ἀλλ' ἔτι τῆς παλαιᾶς κρατούσης πολιτείας. Τοιοῦτόν ἐστι γενναία ψυχὴ καὶ διεγηγερμένη· καὶ γὰρ πανταχοῦ προπηδᾷ, καὶ τὰ κείμενα ὑπερβαίνει σκάμματα· καθάπερ καὶ ὁ Παῦλος ἐπὶ τῆς καινῆς ἐποίει πολιτείας.

Ἀλλὰ τίνος ἕνεκεν, φησί, καὶ ζώνῃ μετὰ τοῦ ἱματίου ἐχρήσατο;

Ἔθος τοῦτο τοῖς παλαιοῖς ἦν, πρὶν εἰς τὸ μαλακὸν τοῦτο καὶ διαῤῥέον ἐξελθεῖν σχῆμα. Οὕτω γοῦν καὶ ὁ Πέτρος φαίνεται ἐζωσμένος, καὶ ὁ Παῦλος· «Τὸν γὰρ ἄνδρα», φησίν, «οὗ ἐστιν ἡ ζώνη αὕτη». Καὶ ὁ Ἠλίας δὲ οὕτως ἐσταλμένος, καὶ τῶν ἁγίων ἕκαστος, διὰ τὸ εἶναι ἐν ἔργῳ διηνεκῶς, ἤτοι ὁδοιπορί-

---

1. Σχετικὰ μὲ τὴν ἀναισχυντίαν τῶν κυνικῶν φιλοσόφων, πού ἐξεκίσαν ὡς συγκληρονόμοι τοῦ σωκρατικοῦ πνεύματος, ἰδοὺ τί γράφεται εἰς τὴν Ἱστορίαν τῆς Ἑλλην. Φιλοσοφίας Τσέλλερ - Νέστλε, μετ. Χ. Θεοδωρίδη, 1942, σ. 141. «Χτυποῦσαν ἀπὸ προμελέτη . . . καὶ τὸ φυσικὸ αἴσθημα τῆς ντροπῆς, γιὰ νὰ δείξουν μὲ αὐτὸ τὴν ἀδιαφορία τους γιὰ τὶς γνῶμες τῶν ἀνθρώπων».

κανὴ νὰ ἀντιμετωπίσῃ τόσον ἀνωμάλους καιρικὰς συνθήκας, τόσον διαφορετικὴν διατροφὴν καὶ ὅλην τὴν ἄλλην ταλαιπωρίαν τῆς ἐρήμου;

Ποῦ εἶναι οἱ Ἕλληνες φιλόσοφοι, ποὺ ἐνῷ ἐζήλεψαν τὴν κυνικὴν ἀναισχυντίαν [1] ἀσκόπως καὶ ματαίως, ἐν τούτοις καὶ δαχτυλίδια ἐφοροῦσαν καὶ ποτήρια ἐχρησιμοποιοῦσαν καὶ εἶχαν εἰς τὴν ὑπηρεσίαν των ὑπηρέτας καὶ ὑπηρετρίας καὶ ἐπεριτριγυρίζοντο ἀπὸ πολλὴν ἄλλην φαντασίαν, κλίνοντες πότε εἰς τὸ ἕνα καὶ πότε εἰς τὸ ἄλλο ἄκρον; Ποῖον τὸ ὄφελος νὰ κλείνεσαι εἰς τὸ πιθάρι καὶ νὰ διαπράττῃς κατόπιν τέτοιας ἀσελγείας;

Δὲν ἦτο ὁ πρόδρομος ὅμοιός των. Ἐκατοίκησε τὴν ἔρημον σὰν νὰ ἦτο ὁ οὐρανὸς καὶ ἐπραγματοποίησε αὐστηρὸν ἐνάρετον βίον. Καὶ ἀπὸ τὴν ἔρημον ὡς ἄγγελος ἀπὸ τὸν οὐρανὸν κατέβαινεν εἰς τὰς πόλεις. Ἦτο τῆς εὐσεβείας ἀθλητής, νικητὴς παγκόσμιος, φιλόσοφος τῆς φιλοσοφίας ποὺ εἶναι ἀξία τοῦ οὐρανοῦ. Ἂς σημειώσωμεν ὅτι αὐτὰ ἐγίνοντο ὅταν ἡ ἁμαρτία δὲν εἶχεν ἀκόμη καταργηθῆ καὶ δὲν εἶχεν ὁ νόμος καταλυθῆ, δὲν εἶχεν ὁ θάνατος δεσμευθῆ, αἱ χάλκιναι πύλαι δὲν εἶχαν συντριβῆ ἀλλὰ ἴσχυεν ἀκόμη τὸ παλαιὸν καθεστώς. Αὐτὸ θὰ εἰπῇ γενναία καὶ ἄγρυπνος ψυχή· προηγεῖται εἰς ὅλα καὶ ὑπερπηδᾷ τὰ συνήθη σκάμματα. Ὅπως ἀκριβῶς ἔπραξεν ὁ Παῦλος μέσα εἰς τὴν νέαν πολιτείαν.

Ἀλλά, θὰ εἰπῇ κάποιος, διατί ἐχρησιμοποίησε ζώνην εἰς τὸ ἔνδυμά του;

Ἦτο συνήθεια τῶν παλαιῶν, προτοῦ φθάσωμεν εἰς τὴν μαλακὴν καὶ ἐλευθέραν αὐτὴν περιβολήν. Χρησιμοποιεῖ ζώνην καὶ ὁ Πέτρος καὶ ὁ Παῦλος. «Τὸν γὰρ ἄνδρα», λέγει, «οὗ ἐστιν ἡ ζώνη αὕτη» [2]. Καὶ ὁ Ἠλίας ἐπίσης ἦτο κατ' αὐτὸν τὸν τρόπον ἐνδεδυμένος ὅπως καὶ κάθε ἅγιος, ἐπειδὴ ἦσαν συνεχῶς ἀπησχολημένοι μὲ ἐργασίαν εἴτε μὲ ὁδοιπορίας εἴτε ἐκοπίαζαν καὶ ἐταλαιπωροῦντο μὲ κάτι ἄλλο ποὺ ἔπρεπε νὰ γίνῃ.

---

2. Πράξ. 21, 11

αις, ἤτοι περὶ ἕτερόν τι τῶν ἀναγκαίων πονουμένους καὶ σπουδάζοντας· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ καλλωπισμὸν ἅπαντα καταπατεῖν, καὶ σκληραγωγίαν ἅπασαν μελετᾶν· ὅπερ οὖν καὶ αὐτὸ μέγιστον ἀρετῆς ἐγκώμιον εἶναί φησιν ὁ Χριστός, οὕτω λέγων· «Τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν»¹.

5. Εἰ δὲ ἐκεῖνος ὁ καθαρὸς οὕτω καὶ τοῦ οὐρανοῦ λαμπρότερος ὤν, καὶ ὑπὲρ Προφήτας πάντας, καὶ οὗ μείζων οὐδεὶς ἐγένετο, καὶ παῤῥησίαν ἔχων τοσαύτην, οὕτως ἑαυτὸν ἐσκληραγώγει, τὴν μὲν διαῤῥέουσαν τρυφὴν ἀτιμάζων μετὰ πολλῆς τῆς περιουσίας, ἐπὶ δὲ τὸν σκληρὸν τοῦτον ἑαυτὸν ἄγων βίον, τίνα ἕξομεν ἀπολογίαν οἱ μετὰ τοσαύτην εὐεργεσίαν καὶ τὰ μυρία φορτία τῶν ἁμαρτημάτων μηδὲ τὸ πολλοστὸν μέρος τῆς ἐξομολογήσεως ἐπιδεικνύμενοι τῆς ἐκείνου, ἀλλὰ μεθύοντες καὶ γαστριζόμενοι καὶ μύρων ὄζοντες, καὶ τῶν ἐν τῇ σκηνῇ πορνευομένων γυναικῶν οὐδὲν ἄμεινον διακείμενοι, καὶ πανταχόθεν ἑαυτοὺς καταμαλακίζοντες, καὶ εὐχειρώτους τῷ διαβόλῳ ποιοῦντες.

«Τότε ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία, καὶ Ἱεροσόλυμα, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν». Ὁρᾷς πόσον ἴσχυσεν ἡ παρουσία τοῦ Προφήτου; πῶς πάντα τὸν δῆμον ἀνεπτέρωσε; πῶς αὐτοὺς εἰς ἔννοιαν ἤγαγε τῶν οἰκείων ἁμαρτημάτων; Καὶ γὰρ ἦν θαύματος ἄξιον, ἰδεῖν ἐν ἀνθρωπίνῳ σχήματι τοιαῦτα ἐπιδεικνύμενον αὐτόν, καὶ τοσαύτῃ κεχρημένον τῇ παῤῥησίᾳ, καὶ πάντων ὡς παίδων κατεξανιστάμενον, καὶ πολλὴν ἀπὸ τοῦ προσώπου τὴν χάριν ἔχοντα ἀπολάμπουσαν. Συνετέλει δὲ εἰς ἔκπληξιν καὶ τὸ διὰ πολλοῦ τοῦ χρόνου προφήτην φανῆναι· καὶ γὰρ ἐπέλιπεν αὐτοὺς τὸ χάρισμα, καὶ διὰ μακροῦ πρὸς αὐτοὺς ἐπανῆλθε τοῦ χρόνου. Καὶ ὁ τοῦ κηρύγματος δὲ τρόπος ξένος καὶ παρηλλαγμένος. Οὐδὲν γὰρ τῶν συνήθων

---

1. Λουκᾶ 7, 25.

Καὶ ὄχι μόνον διὰ τοῦτο ἀλλὰ καὶ διὰ τὸ ὅτι ἐπεριφρονοῦσαν κάθε καλλωπισμὸν καὶ ἐπεδίωκαν συστηματικῶς τὴν σκληραγωγίαν. Τοῦτο ἀποτελεῖ τὸ μέγιστον ἐγκώμιον τῆς ἀρετῆς των, λέγει ὁ Χριστὸς μὲ τὰ ἑξῆς· «Τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν»[1].

5. Ἂν τώρα ἐκεῖνος ποὺ ἦτο τόσον καθαρός, καὶ λαμπρότερος ἀπὸ τὸν οὐρανὸν καὶ ἀνώτερος ἀπὸ ὅλους τοὺς Προφήτας, ποὺ μεγαλύτερός του δὲν ἐγεννήθη, καὶ ὁ ὁποῖος εἶχε τόσην μεγάλην παρρησίαν, ἂν ἐκεῖνος ἐταλαιπωροῦσε τόσον πολὺ τὸν ἑαυτόν του, περιφρονῶν μὲ πολλὴν δύναμιν τὰς ἐφημέρους ἀπολαύσεις καὶ γυμνάζων τὸν ἑαυτόν του εἰς τὴν σκληρὰν αὐτὴν ζωήν, ποίαν ἀπολογίαν θὰ κάμωμεν ἡμεῖς ποὺ μὲ ὅλας τὰς τόσας εὐεργεσίας καὶ τὰ τεράστια φορτία τῶν ἁμαρτιῶν, δὲν πραγματοποιοῦμεν μήτε τὸ πολλοστημόριον τῆς ἐξομολογήσεως ποὺ ἀπαιτεῖται ἀλλὰ παραδιδόμεθα εἰς τὴν μέθην, τὴν πολυφαγίαν, λουζόμεθα μὲ ἀρώματα, δὲν διαφέρομεν καθόλου ἀπὸ τὰς πορνευομένας τοῦ θεάτρου, ἐξασθενοῦμεν ἀπὸ ὅλας τὰς πλευρὰς τὸν ἑαυτόν μας καὶ τὸν κάμνομεν εὔκολον ἄγραν τοῦ διαβόλου;

«Τότε ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία καὶ Ἱεροσόλυμα καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν». Βλέπεις πόσον ἰσχυρὰ ἦτο ἡ παρουσία τοῦ προφήτου; Πῶς ἀνεπτέρωσε τὸν λαὸν καὶ τὸν ὡδήγησεν εἰς τὴν συναίσθησιν τῶν ἁμαρτιῶν του; Ἦτο ἀληθινὰ ἄξιον θαυμασμοῦ, νὰ τὸν ἴδῃς νὰ πραγματοποιῇ τέτοια κατορθώματα μὲ ἀνθρωπίνην μορφήν, νὰ ἐπιδεικνύῃ τόσην παρρησίαν, νὰ ἐπιπλήττῃ ὅλους σὰν νὰ ἦσαν παιδιὰ καὶ νὰ ἀστραποβολᾷ ἡ χάρις ἀπὸ τὸ πρόσωπόν του. Εἰς τὴν ἔκπληξιν ἐσυντελοῦσε καὶ ἡ ἐμφάνισις προφήτου ἔπειτα ἀπὸ πολὺ διάστημα· τοὺς εἶχεν ἐγκαταλείψει τὸ χάρισμα καὶ ἐπανῆλθεν εἰς αὐτοὺς ἔπειτα ἀπὸ πολὺν χρόνον. Καὶ ὁ τρόπος τοῦ κηρύγματος ἦτο παράδοξος καὶ ἀσυνήθι-

ἤκουον, οἷον, πολέμους καὶ μάχας καὶ νίκας τὰς κάτω, καὶ λιμοὺς καὶ λοιμούς, καὶ Βαβυλωνίους καὶ Πέρσας, καὶ πόλεως ἅλωσιν, καὶ τὰ ἄλλα τὰ συνήθη· ἀλλ' οὐρανοὺς καὶ τὴν ἐκεῖ βασιλείαν, καὶ τὴν ἐν τῇ γεέννῃ κόλασιν. Διά τοι τοῦτο καὶ τῶν κατὰ τὴν ἔρημον ἀποστατῶν σφαγέντων ἁπάντων οὐ πρὸ πολλοῦ χρόνου, τῶν μετὰ Ἰούδα καὶ Θευδᾶ, οὐκ ἐγένοντο ὀκνηρότεροι πρὸς τὴν ἔξοδον τὴν ἐκεῖσε. Οὐδὲ γὰρ ἐπὶ τοῖς αὐτοῖς αὐτούς ἐκάλει· οἷον, ἐπὶ τυραννίδι καὶ ἀποστασίᾳ καὶ νεωτεροποιίᾳ· ἀλλ' ὥστε πρὸς τὴν ἄνω χειραγωγῆσαι βασιλείαν. Διόπερ οὐδὲ κατεῖχεν ἐν τῇ ἐρήμῳ μεθ' ἑαυτοῦ περιφέρων, ἀλλὰ βαπτίζων καὶ τοὺς περὶ φιλοσοφίας παιδεύων λόγους, ἀπέλυε· διὰ πάντων αὐτοὺς διδάσκων, τῶν μὲν ἐν τῇ γῇ πάντων ὑπερορᾶν, πρὸς δὲ τὰ μέλλοντα αἵρεσθαι, καὶ καθ' ἑκάστην ἐπείγεσθαι τὴν ἡμέραν.

Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τὰς τρυφὰς καὶ τὴν μέθην ἀφέντες, ἐπὶ τὸν κατεσταλμένον μεταθώμεθα βίον. Καὶ γὰρ ἐξομολογήσεως ὁ καιρὸς καὶ τοῖς ἀμυήτοις καὶ τοῖς βαπτισθεῖσι· τοῖς μέν, ἵνα μετανοήσαντες τῶν ἱερῶν τύχωσι μυστηρίων· τοῖς δέ, ἵνα ἀπονιψάμενοι τὴν μετὰ τὸ βάπτισμα κηλῖδα, καθαρῷ συνειδότι τῇ τραπέζῃ προσέλθωσιν. Ἀποστῶμεν τοίνυν τοῦ ὑγροῦ τούτου καὶ διαλελυμένου βίου. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁμοῦ καὶ ἐξομολογεῖσθαι καὶ τρυφᾶν. Καὶ ταῦτα διδασκέτω ὑμᾶς Ἰωάννης, ἀπὸ τοῦ ἐνδύματος, ἀπὸ τῆς τροφῆς, ἀπὸ τῆς οἰκίας.

Τί οὖν; οὕτω κελεύεις ἡμᾶς κατεστάλθαι; φησίν.

Οὐ κελεύω, ἀλλὰ συμβουλεύω καὶ παραινῶ. Εἰ δὲ μὴ δυνα-

1. Ὁ Ἰούδας ἦτο ἡγέτης ἐξεγέρσεως κατὰ τῶν Ρωμαίων (6 - 7 π.Χ.). Ἐκινεῖτο ἀπὸ τὴν πεποίθησιν ὅτι ἦτο ἀνάξιον διὰ τοὺς Ἑβραίους νὰ ἀνέχωνται μετὰ τὸν Θεὸν κυρίους θνητούς· ἀπώτερος δὲ σκοπός του ἦτο ἡ ἐπί-

στος. Δὲν ἤκουσαν τίποτε ἀπὸ τὰ γνωστά, πολέμους, μάχας, νίκας ἐπιγείους, λιμοὺς καὶ λοιμούς, Βαβυλωνίους καὶ Πέρσας, ἅλωσιν πόλεως καὶ τὰ ἄλλα τὰ συνηθισμένα. Ὄχι. Ἐγίνετο λόγος διὰ τοὺς οὐρανοὺς καὶ τὴν ἐκεῖ βασιλείαν καὶ διὰ τὴν τιμωρίαν εἰς τὴν γέενναν. Διὰ τοῦτο λοιπὸν καὶ μολονότι δὲν ἦτο πολὺς ὁ καιρός, ποὺ εἶχαν ἐξοντωθῆ ὅλοι οἱ ἀποστάται [1] τῆς ἐρήμου μαζὶ μὲ τὸν Ἰούδα καὶ τὸν Θευδᾶ, δὲν ἐδίσταιαν νὰ ἐξορμήσουν πρὸς αὐτόν. Δὲν τοὺς ἐκαλοῦσε διὰ τὰ ἴδια, τὴν ἐπιβουλὴν ἐξουσίας, τὴν ἀποστασίαν, τὴν ἐπανάστασιν· ἤθελε νὰ τοὺς χειραγωγήσῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Διὰ τοῦτο δὲν τοὺς ἐκρατοῦσε μαζί του εἰς τὴν ἔρημον νὰ τοὺς περιφέρῃ ἐδῶ καὶ ἐκεῖ· τοὺς ἐβάπτιζε, μετέδιδε εἰς αὐτοὺς τὴν πνευματικὴν διδασκαλίαν του καὶ τοὺς ἄφηνε. Τοὺς ἐδίδασκε δι' ὅλων, νὰ περιφρονοῦν ὅλα τὰ ἐπίγεια, νὰ ἀνυψώνουν τὸ πνεῦμα των πρὸς τὰ μελλοντικὰ καὶ πρὸς αὐτὰ νὰ κατευθύνωνται καθημερινῶς.

Αὐτὸν ἂς μιμηθοῦμεν καὶ ἡμεῖς καὶ ἀφοῦ ἀφήσωμεν τὴν ἀπόλαυσιν καὶ τὴν μέθην, ἂς ἀκολουθήσωμεν τὴν αὐστηρὰν ζωήν. Εἶναι καιρὸς ἐξομολογήσεως καὶ διὰ τοὺς ἀμυήτους καὶ διὰ τοὺς βαπτισμένους. Οἱ πρῶτοι, διὰ νὰ μετανοήσουν καὶ νὰ συμμετάσχουν εἰς τὰ ἱερὰ μυστήρια, οἱ δεύτεροι, ἀφοῦ ἀποπλύνουν τὴν μετὰ τὸ βάπτισμα ἁμαρτίαν, νὰ προσέλθουν εἰς τὴν τράπεζαν μὲ καθαρὰν συνείδησιν. Ἂς ἀπομακρυνθοῦμεν λοιπὸν ἀπὸ τὴν μαλθακὴν καὶ χαλαρὰν αὐτὴν ζωήν. Δὲν εἶναι δυνατόν, δὲν εἶναι νὰ συμβαδίζουν ἡ ἐξομολόγησις καὶ ἡ ἀπόλαυσις. Ἂς μᾶς τὰ διδάξῃ καὶ αὐτὰ ὁ Ἰωάννης ἀπὸ τὴν ἐνδυμασίαν του, ἀπὸ τὴν τροφήν, ἀπὸ τὴν κατοικίαν.

Μᾶς διατάζεις λοιπὸν νὰ περιορισθοῦμεν καὶ ἡμεῖς ἔτσι; ἐρωτᾷ κάποιος.

Δὲν σᾶς διατάζω, σᾶς συμβουλεύω καὶ σᾶς παρακινῶ. Ἂν

σπευσις τῆς ἐλεύσεως τοῦ Μεσσίου. Τὸ κίνημα τοῦ Θευδᾶ, μὲ χαρακτῆρα ἐθνικὸν καὶ μεσσιανικὸν καὶ αὐτό, εἶχε προηγηθῆ τοῦ κινήματος τοῦ Ἰούδα (Πράξ. 5, 36).

τὸν ὑμῖν τοῦτο, κἂν ἐν ταῖς πόλεσιν ὄντες ἐπιδειξώμεθα τὴν μετάνοιαν· καὶ γὰρ ἐπὶ θύραις τὸ δικαστήριον. Εἰ δὲ καὶ μακροτέρω ἦν, οὐδὲ οὕτω θαῤῥεῖν ἔδει· τὸ γὰρ ἑκάστου πέρας τῆς ζωῆς, τῆς συντελείας ἐπέχει δύναμιν τῷ καλουμένῳ. Ὅτι δὲ καὶ ἐπὶ θύραις, ἄκουσον τοῦ Παύλου λέγοντος· «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε»· καὶ πάλιν· «Ἥξει γὰρ ὁ ἐρχόμενος, καὶ οὐ χρονιεῖ». Καὶ γὰρ τὰ σημεῖα λοιπὸν ἀπήρτισται τὰ καλοῦντα τὴν ἡμέραν ἐκείνην. «Κηρυχθήσεται γάρ», φησί, «τοῦτο τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος».

6. Προσέχετε μετὰ ἀκριβείας τῷ λεγομένῳ. Οὐκ εἶπεν, Ὅταν πιστευθῇ παρὰ πάντων ἀνθρώπων· ἀλλ', Ὅταν κηρυχθῇ παρὰ πᾶσι. Διὰ τοῦτο καὶ ἔλεγεν, «Εἰς μαρτύριον τοῖς ἔθνεσι», δεικνύς, ὅτι οὐκ ἀναμένει πάντας πιστεῦσαι, καὶ τότε παραγενέσθαι. Τὸ γάρ, «Εἰς μαρτύριον», τουτό ἐστιν, εἰς κατηγορίαν, εἰς ἔλεγχον, εἰς κατάκρισιν τῶν μὴ πιστευσάντων. Ἀλλ' ἡμεῖς ταῦτα ἀκούοντες καὶ ὁρῶντες, καθεύδομεν καὶ ὀνείρατα βλέπομεν, καθάπερ ἐν βαθυτάτῃ νυκτὶ κεκαρωμένοι. Οὐδὲν γὰρ ὀνειράτων ἄμεινον τὰ παρόντα πράγματα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρά.

Διὸ δὴ παρακαλῶ λοιπὸν ἀφυπνισθῆναι, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἀπιδεῖν. Οὐδεὶς γὰρ καθεύδων ἥλιον ἰδεῖν δύναται, οὐδὲ εὐφρᾶναι τὰς ὄψεις τῷ κάλλει τῆς ἀκτῖνος· ἀλλ' ἅπερ ἂν ἴδῃ, πάντα ὡς ἐν ὀνείρῳ βλέπει. Διὰ τοῦτο πολλῆς ἡμῖν δεῖ τῆς ἐξομολογήσεως καὶ πολλῶν τῶν δακρύων, καὶ ὅτι ἀναλγήτως διακείμεθα πλημμελοῦντες, καὶ ὅτι μεγάλα τὰ ἁμαρτήματα καὶ συγγνώμης μείζονα. Καὶ ὅτι οὐ ψεύδομαι, μάρτυρες οἱ πλείους τῶν ἀκουόντων. Ἀλλ' ὅμως εἰ καὶ συγγνώμης μείζονα, μετανοήσωμεν, καὶ στεφάνων ἀπολαυσόμεθα. Μετάνοιαν

1. Ρωμ. 13, 12.
2. Ἑβρ. 10, 37
3. Ματθ. 24, 14.

τοῦτο δὲν εἶναι τῶν δυνάμεών σας, ἂς δείξωμεν μετάνοιαν παραμένοντες καὶ μέσα εἰς τὰς πόλεις· ἔξω ἀπὸ τὴν πόρτα μας εἶναι τὸ δικαστήριον. Ἀλλὰ καὶ περισσότερον ἂν ἀπεῖχε, καὶ πάλιν δὲν ἔπρεπε νὰ ἔχωμεν θάρρος· διότι τὸ τέλος τῆς ζωῆς καθενός, ἔχει τὸ νόημα καὶ τὴν θέσιν τῆς συντελείας δι' αὐτὸν ποὺ καλεῖται. Ὅτι ὅμως εἶναι ἔξω ἀπὸ τὴν θύραν μας, ἄκουσε τὸν Παῦλον νὰ τὸ λέγῃ· «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν» [1]. Καὶ εἰς ἄλλο σημεῖον· «Ἥξει γὰρ ὁ ἐρχόμενος καὶ οὐ χρονιεῖ» [2]. Συνεπληρώθησαν τὰ σημεῖα ποὺ προμηνύουν ἐκείνην τὴν ἡμέραν. Μᾶς λέγει· «Κηρυχθήσεται γὰρ τοῦτο τὸ Εὐαγγέλιον τῆς Βασιλείας ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος» [3].

6. Προσέξατε τὴν ἀκρίβειαν τοῦ λόγου. Δὲν εἶπεν· Ὅταν πιστεύσετε ὅλοι εἰς αὐτὸν ἀλλὰ «Ὅταν κηρυχθῇ εἰς ὅλους». Διὰ τοῦτο βεβαίως ἔλεγεν· «Εἰς μαρτύριον τοῖς ἔθνεσιν». Ἔκαμεν σαφὲς ὅτι δὲν ἀναμένει νὰ πιστεύσουν ὅλοι καὶ τότε νὰ ἔλθῃ. Τὸ μαρτύριον, σημαίνει λόγον κατηγορίας καὶ ἐλέγχου καὶ καταδίκης ἐκείνων ποὺ δὲν ἐπίστευσαν. Ἀλλ' ἡμεῖς ἐνῷ τὰ ἀκούομεν καὶ τὰ βλέπομεν, κοιμούμεθα καὶ βλέπομεν ὄνειρον, καθὼς ἀποχαυνωμένοι εἰς βαθυτάτην νύκτα. Διότι βεβαίως δὲν εἶναι καθόλου καλύτερα ἀπὸ ὄνειρα τὰ παρόντα πράγματα, εἴτε εἶναι εὐχάριστα εἴτε δυσάρεστα.

Σᾶς παρακαλῶ λοιπὸν νὰ ἐξυπνήσετε καὶ νὰ στρέψετε τὸ βλέμμα σας πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης. Ὅποιος κοιμᾶται δὲν ἠμπορεῖ νὰ ἴδῃ τὸν ἥλιον καὶ νὰ εὐχαριστήσῃ τὴν ὅρασίν του μὲ τὴν ὡραιότητα τῆς ἀκτινοβολίας του, ἀλλὰ ὅ,τι ἴδῃ, τὸ βλέπει ὅπως μέσα εἰς ὄνειρον. Διὰ τοῦτο ἔχομεν ἀνάγκην ἀπὸ λεπτομερῆ ἐξομολόγησιν καὶ ἀπὸ δάκρυα πολλὰ καὶ ἐπειδὴ χωρὶς συναίσθησιν ἁμαρτάνομεν καὶ ἐπειδὴ τὰ ἁμαρτήματά μας εἶναι μεγάλα καὶ ἀπὸ συγγνώμην βαρύτερα. Ὅτι τοῦτο δὲν εἶναι ψεῦδος μου, μαρτυροῦν οἱ περισσότεροι ἀπὸ ὅσους μὲ ἀκούετε. Ἐν τούτοις, καὶ ἂν ἀκόμη εἶναι μεγαλύτερα ἀπὸ τὴν συγγνώμην, ἂς μετανοήσωμεν καὶ θὰ ἀπολαύσωμεν τοὺς στεφάνους. Καὶ δὲν θεωρῶ ὡς μετάνοιαν νὰ

δέ λέγω, οὐ τὸ τῶν προτέρων ἀποστῆναι κακῶν μόνον, ἀλλὰ καὶ τὸ μείζονα ἐπιδείξασθαι καλά. «Ποιήσατε» γάρ, φησί, «καρποὺς ἀξίους τῆς μετανοίας». Πῶς δὲ ποιήσομεν; Ἂν τὰ ἐναντία πράττωμεν; οἷόν τι λέγω· ἥρπασας τὰ ἀλλότρια; δὸς καὶ τὰ σὰ λοιπόν. Πολὺν ἐπόρνευσας χρόνον; Ἀπόσχου καὶ τῆς γυναικὸς τῆς σῆς ὡρισμένης ἡμέρας· ἐγκράτειαν ἄσκησον. Ὕβρισας καὶ ἐτύπτησας παριόντας; Εὐλόγει λοιπὸν τοὺς ὑβρίζοντας, καὶ εὐεργέτει τοὺς πλήττοντας. Οὐ γὰρ ἀρκεῖ εἰς ὑγείαν ἡμῖν τὸ βέλος ἐξελεῖν μόνον, ἀλλὰ καὶ τῷ τραύματι φάρμακα ἐπιθεῖναι. Ἐτρύφησας καὶ ἐμεθύσθης τὸν ἔμπροσθεν χρόνον; Νήστευε καὶ ὑδροποσίᾳ πρόσεχε, ἵνα τὴν ἐκεῖθεν ἐγγενομένην λύμην ἀνέλῃς. Εἶδες ἀκολάστοις ὀφθαλμοῖς κάλλος ἀλλότριον; Μηδὲ ὅλως ἴδῃς γυναῖκα λοιπόν, ἵν' ἐπὶ πλείονι καταστῇς ἀσφαλείᾳ. «Ἔκκλινον» γάρ, φησίν, «ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν»· καὶ πάλιν· «Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον». Ἀλλ' εἰπέ μοι καὶ τὸ ἀγαθόν. «Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν»· οὐ τὴν πρὸς ἀνθρώπους λέγω μόνον, ἀλλὰ καὶ τὴν πρὸς τὸν Θεόν. Καὶ καλῶς εἶπε, «Δίωξον»· ἀπελήλαται γὰρ καὶ ἐκβέβληται, καὶ τὴν γῆν ἀφεῖσα εἰς τὸν οὐρανὸν ἀπεδήμησεν. Ἀλλὰ δυνησόμεθα αὐτὴν πάλιν ἐπαναγαγεῖν, ἐὰν θέλωμεν, ἀπόνοιαν καὶ ἀλαζονείαν καὶ πάντα τὰ κωλύματα αὐτῆς ἐκβαλόντες, τὸν σώφρονα τοῦτον καὶ λιτὸν διώκειν βίον. Οὐδὲν γὰρ ὀργῆς χαλεπώτερον καὶ θρασύτητος. Αὕτη καὶ τετυφωμένους, καὶ δουλοπρεπεῖς ἐργάζεται, δι' ἐκείνου μὲν καταγελάστους διὰ τούτου δὲ μισητοὺς ποιοῦσα, καὶ ἐναντίας εἰσάγουσα κακίας, ἀπόνοιάν τε ὁμοῦ καὶ κολακείαν. Ἀλλ' ἐὰν τὴν πλεονεξίαν τοῦ πάθους περικόψωμεν, καὶ ταπεινοί μετὰ ἀκριβείας, καὶ ὑψηλοὶ μετὰ ἀσφαλείας ἐσόμεθα. Καὶ γὰρ καὶ ἐν τοῖς σώμασι τοῖς ἡμετέροις ἀπὸ πλεονεξίας αἱ δυ-

---

1. Ψαλμ. 36, 27
2. Ψαλμ. 33, 14.
3. Ψαλμ. 33, 15.

ἐγκαταλείψετε μόνον τὰς παλαιὰς κακὰς πράξεις σας, ἀλλὰ νὰ ἐπιδείξετε ἀκόμη μεγαλυτέρας καλάς. Μᾶς λέγει· «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας». Πῶς θὰ τοὺς ἐπιτύχωμεν; Ἂν πράξωμεν τὰ ἀντίθετα ἀπὸ ὅ,τι προηγουμένως. Ἥρπασες λόγου χάριν τὰ ξένα; Δῶσε τώρα καὶ τὰ ἰδικά σου. Ἐπόρνευσες ἐπὶ πολὺν χρόνον; Μὴ πλησιάσῃς ἐπὶ ἕνα διάστημα οὔτε τὴν ἰδικήν σου γυναῖκα, κάμε ἐγκράτειαν. Προσέβαλες καὶ ἐκτύπησες τοὺς περαστικούς; Εὐχαρίστησε τώρα ὅσους σὲ προσβάλλουν· εὐεργέτησε ὅσους σὲ κτυποῦν. Διὰ νὰ γίνωμεν καλοί, δὲν ἀρκεῖ νὰ ἀφαιρέσωμεν τὸ βέλος· πρέπει νὰ ἐπιθέσωμεν καὶ φάρμακα εἰς τὸ τραῦμα. Εἶχες παραδοθῆ τὸν περασμένον καιρὸν εἰς τὰς ἀπολαύσεις καὶ τὴν μέθην; Νὰ νηστεύσῃς τώρα, νὰ τηρήσῃς ὑδροποσίαν, διὰ νὰ ἐπανορθώσῃς τὴν ζημίαν ποὺ ὑπέστης. Εἶδες μὲ ἀκολάστους ὀφθαλμοὺς τὴν ξένην ὀμορφιάν; Μὴ ἀντικρύσῃς εἰς τὸ ἑξῆς καθόλου γυναῖκα, διὰ νὰ εἶσαι περισσότερον ἀσφαλής. Μᾶς λέγει· «Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν» [1], καὶ ἀλλοῦ· «Παῦσον τὴν γλῶσσαν σου ἀπὸ κακοῦ καὶ τὰ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον»[2]. Εἰπέ μου τώρα καὶ τὸ ἀγαθόν· «Ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν»[3]. Καὶ δὲν ἐννοῶ τὴν εἰρήνην μὲ τοὺς ἀνθρώπους μόνον ἀλλὰ καὶ τὴν εἰρήνην μὲ τὸν Θεόν. Εἶπε καλῶς «δίωξον». Διότι τὴν ἔχουν ἀπελάσει καὶ ἀποβάλει, καὶ ἐκείνη ἀφοῦ ἄφησε τὴν γῆν ἐταξίδευσεν εἰς τὸν οὐρανόν, θὰ ἠμπορέσωμεν ὅμως νὰ τὴν ἐπαναφέρωμεν, ἂν θέλωμεν. Καὶ ἀφοῦ παραμερίσωμεν ὅλα ὅσα τὴν ἐμποδίζουν, τὴν ἀφροσύνην, τὴν ἀλαζονείαν, νὰ ἐπιδιώξωμεν τὸν σώφρονα τοῦτον καὶ λιτὸν βίον. Τίποτε δὲν εἶναι βαρύτερον ἀπὸ τὴν ὀργὴν καὶ τὸ θράσος. Αὐτὰ δημιουργοῦν τοὺς φαντασμένους ἀλλὰ καὶ τοὺς δουλοπρεπεῖς, μὲ τὴν φαντασίαν των καταγελάστους καὶ μὲ τὴν δουλοπρέπειάν των μισητούς· καὶ συνδυάζει ἀντιθέτους κακίας, τὴν ἀνοησίαν καὶ τὴν κολακείαν. Ἂν ὅμως περικόψωμεν τὴν ὑπερβολὴν τοῦ πάθους, θὰ γίνωμεν ταπεινοὶ μὲ μέτρον καὶ ὑψηλοὶ μὲ ἀσφάλειαν. Διότι καὶ εἰς τὰ σώματά μας ἀπὸ τὴν ὑπερβολὴν εἶναι ποὺ δημιουργοῦνται αἱ δύσκολοι καταστάσεις. Ὅταν τὰ διάφορα στοιχεῖα μέσα μας ὑπερβοῦν τὰ ὅρια

σκρασίαι γίνονται· καὶ ὅτε τοὺς οἰκείους ὅρους ἀφέντα τὰ στοιχεῖα εἰς ἀμετρίαν ἐξέλθῃ, τότε αἱ μυραῖαι νόσοι καὶ οἱ χαλεποὶ τίκτονται θάνατοι· ὅπερ καὶ ἐπὶ τῆς ψυχῆς συμβαῖνον ἴδοι τις ἄν.

7. Περικόψωμεν τοίνυν τὴν ἀμετρίαν, καὶ τὸ σωτήριον τῆς συμμετρίας πίνοντες φάρμακον, μένωμεν ἐπὶ τῆς εὐκρασίας τῆς προσηκούσης, καὶ ταῖς εὐχαῖς μετὰ ἀκριβείας προσέχωμεν. Κἂν μὴ λάβωμεν, παραμείνωμεν, ἵνα λάβωμεν· κἂν λάβωμεν, ἐπειδὴ ἐλάβομεν. Οὐδὲ γὰρ αὐτὸς βούλεται ἀναβάλλεσθαι τὴν δόσιν, ἀλλὰ τῇ μελλήσει τὴν προσεδρείαν ἡμῖν σοφίζεται. Διὰ τοῦτο καὶ ὑπερτίθεται τὴν αἴτησιν, καὶ πειρασμὸν συγχωρεῖ πολλάκις ἐπελθεῖν, ἵνα συνεχῶς πρὸς αὐτὸν καταφεύγωμεν, καὶ καταφυγόντες μένωμεν. Οὕτω καὶ πατέρες φιλόστροργοι ποιοῦσι, καὶ μητέρες φιλόπαιδες· ἐπειδὰν ἴδωσι τὰ παιδία τὴν πρὸς αὐτοὺς συνουσίαν ἀφέντα καὶ μετὰ τῶν ὁμηλίκων παίζοντα, πολλὰ τοὺς οἰκέτας ὑποκρίνασθαι παρασκευάζουσι φοβερά, ὥστε ὑπὸ τοῦ δέους καταναγκασθῆναι πρὸς τὸν μητρικὸν κόλπον καταφυγεῖν. Οὕτω καὶ ὁ Θεὸς ἀνατείνεται πολλάκις ἀπειλήν, οὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα πρὸς αὐτὸν ἐφελκύσηται. Ὅταν γοῦν ἐπανέλθωμεν πρὸς αὐτόν, λύει τὸν φόβον εὐθέως· ὡς εἴγε ὅμοιοι ἦμεν ἐν πειρασμοῖς καὶ ἐν ἀνέσει, οὐδ' ἂν ἐδέησε πειρασμῶν.

Καὶ τί λέγω περὶ ἡμῶν; Καὶ γὰρ τοῖς ἁγίοις ἐκείνοις πολὺς ἐντεῦθεν ὁ σωφρονισμὸς ἦν. Διὰ τοῦτο καὶ ὁ Προφήτης λέγει· «Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με». Καὶ αὐτὸς δὲ τοῖς Ἀποστόλοις ἔλεγεν· «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε». Καὶ ὁ Παῦλος τοῦτο αὐτὸ αἰνίττεται, ὅταν λέγῃ· «Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ». Διὸ καὶ δεηθεὶς

1. Εἶχαν καὶ οἱ Ἕλληνες εἰς μεγάλην τιμὴν τὸ μέτρον καὶ τὴν προτίμησιν τῆς μεσότητος· μέτρον ἄριστον, ἡ γνώμη τοῦ Ἀριστοτέλους ὅτι ἡ ἀρετὴ εἶναι μεσότης. Εἶναι ὅμως εἰς τὸν Χριστιανισμὸν κάτι ποὺ ὑπερφαλαγγίζει καὶ ἀχρηστεύει κάθε μέτρον, ἡ ἀγάπη.

2. Ψαλμ. 118, 71.

τῆς δραστηριότητός των καὶ ξεπεράσουν τὸ μέτρον, τότε προκαλοῦνται αἱ διάφοροι ἀσθένειαι καὶ οἱ ὀδυνηροὶ θάνατοι. Τὸ ἴδιον θὰ διαπιστώσῃ κανεὶς ὅτι συμβαίνει καὶ εἰς τὴν ψυχήν.

7. Ἂς περικόψωμεν λοιπὸν τὴν ὑπερβολὴν καὶ ἂς πιοῦμε τὸ σωτήριον ποτήριον τοῦ μέτρου [1]. Ἂς μείνωμεν εἰς τὸν συνδυασμὸν ποὺ πρέπει καὶ ἂς τηρήσωμεν μὲ ἀκρίβειαν τὰς προσευχάς μας. Ἂν δὲν λάβωμεν, ἂς ἐξακολουθήσωμεν διὰ νὰ λάβωμεν καὶ ἂν λάβωμεν, ἐπειδὴ ἐλάβαμεν. Διότι καὶ ὁ ἴδιος δὲν ἐπιθυμεῖ νὰ ἀναβάλῃ τὴν δωρεὰν ἀλλὰ μὲ τὴν καθυστέρησιν μηχανεύεται τὴν ἰδικήν μας ἐπιμονήν. Διὰ τοῦτο καὶ ἀναβάλλει τὴν ἐκπλήρωσιν τῆς αἰτήσεώς μας καὶ παραχωρεῖ συχνὰ νὰ ἔλθῃ ὁ πειρασμός, διὰ νὰ καταφεύγωμεν συνεχῶς εἰς αὐτὸν καὶ νὰ μένωμεν πλησίον του. Ἔτσι κάμνουν καὶ οἱ σαρκικοὶ πατέρες καὶ αἱ μητέρες αἱ φιλότεκνοι. Ὅταν ἰδοῦν ὅτι τὰ παιδιά των, ἀφοῦ ἀφήσουν τὴν ἰδικήν των συντροφιάν, παίζουν μὲ τοὺς συνομηλίκους των, κάμνουν τοὺς ὑπηρέτας των νὰ σκηνοθετήσουν πολλὰς συμφοράς, ὥστε ἀπὸ φόβον νὰ ἀναγκασθοῦν νὰ καταφύγουν εἰς τὴν μητρικὴν ἀγκάλην. Ὁμοίως καὶ ὁ Θεὸς ἐπισείει συχνὰ τὴν ἀπειλὴν ὄχι διὰ νὰ μᾶς ἀπομακρύνῃ ἀλλὰ διὰ νὰ μᾶς προσελκύσῃ κοντά του· καὶ ὅταν ἐπανέλθωμεν εἰς αὐτόν, ἀμέσως καταργεῖ τὸν φόβον. Διότι ἂν ἤμεθα ὅμοιοι κατὰ τοὺς πειρασμοὺς καὶ κατὰ τὴν ἔλειψίν των, δὲν θὰ ὑπῆρχεν ἀνάγκη τῶν πειρασμῶν.

Καὶ δὲν ἰσχύει τοῦτο δι' ἡμᾶς μόνον· καὶ οἱ παλαιοὶ ἅγιοι ἀπεκόμιζαν πολλὴν ὠφέλειαν μὲ τὸν ἴδιον τρόπον. Διὰ τοῦτο καὶ ὁ προφήτης λέγει· «Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με» [2]. Ἀλλὰ καὶ ὁ ἴδιος ἔλεγεν εἰς τοὺς Ἀποστόλους· «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»[3]. Καὶ ὁ Παῦλος ὅμως τὸ ἴδιον ὑπονοεῖ ὅταν λέγῃ· «Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, ἵνα με κολαφίζῃ» [4]. Διὰ τοῦτο καὶ παρεκάλεσε νὰ ἀπαλλαγῇ ἀπὸ τὸν

---

3. Ἰω. 16, 33
4. Β' Κορ. 12, 7.

ἀπαλλαγῆναι τοῦ πειρασμοῦ οὐκ ἐπέτυχε, διὰ τὸ πολλὴν ἐξ αὐτοῦ τὴν ὠφέλειαν ἐγγίνεσθαι. Ἐὰν δὲ καὶ τοῦ Δαυὶδ τὸν βίον ἐπέλθωμεν ἅπαντα, εὑρήσομεν αὐτὸν ἐν τοῖς κινδύνοις λαμπρότερον ὄντα καὶ αὐτόν, καὶ τοὺς ἄλλους ἅπαντας τοὺς κατ' ἐκεῖνον. Καὶ γὰρ ὁ Ἰὼβ τότε μειζόνως ἔλαμψε, καὶ ὁ Ἰωσὴφ δὲ οὕτως ἐπὶ πλέον εὐδοκίμησε, καὶ ὁ Ἰακὼβ δέ, καὶ ὁ τούτου πατήρ, καὶ ὁ ἐκείνου, καὶ πάντες ὅσοι πώποτε λαμπροτέρους ἀνεδήσαντο στεφάνους, ἀπὸ θλίψεων καὶ πειρασμῶν καὶ ἐστεφανώθησαν καὶ ἐνεκηρύχθησαν.

Ἅπερ πάντα συνειδότες, κατὰ τὸν σοφὸν λόγον, «Μὴ σπεύσωμεν ἐν καιρῷ ἐπαγωγῆς», ἀλλ' ἓν μόνον ἑαυτοὺς παιδεύσωμεν, τὸ φέρειν πάντα γενναίως, καὶ μηδὲν πολυπραγμονεῖν, μηδὲ περιεργάζεσθαι τῶν γινομένων. Τὸ μὲν γὰρ εἰδέναι, πότε δεῖ λυθῆναι τὰς θλίψεις, τοῦ συγχωροῦντος αὐτὰς προσελθεῖν Θεοῦ· τὸ δὲ ἐπανεχθείσας μετὰ πάσης φέρειν εὐχαριστίας, τῆς ἡμῶν εὐγνωμοσύνης λοιπὸν ἔργον ἐστίν· ὅπερ ἐὰν γένηται, πάντα ἕψεται τὰ ἀγαθά. Ἵν' οὖν ταῦτα ἕπηται, καὶ δοκιμώτεροι μὲν ἐνταῦθα, λαμπρότεροι δὲ ἐκεῖσε γενώμεθα, πᾶν ὃ ἐὰν ἐπενεχθῇ δεχώμεθα, χάριν εἰδότες ὑπὲρ πάντων τῷ εἰδότι μᾶλλον ἡμῶν τὸ συμφέρον, καὶ τῶν γεγενημένων σφοδρότερον ἡμᾶς φιλοῦντι· καὶ τούτους ἀμφοτέρους τοὺς λογισμοὺς καθ' ἕκαστον τῶν δεινῶν ἑαυτοῦς ἐπᾴδοντες, καταστέλλωμεν τὴν ἀθυμίαν, καὶ δοξάζωμεν ἐν πᾶσι τὸν πάντα ὑπὲρ ἡμῶν ποιοῦντα καὶ πραγματευόμενον Θεόν. Οὕτω γὰρ καὶ τὰς ἐπιβουλὰς διακουσόμεθα ῥᾳδίως, καὶ τῶν ἀκηράτων ἐπιτευξόμεθα στεφάνων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος, τιμή, σὺν ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Σοφ. Σειρ. 2, 2.

πειρασμόν, χωρὶς ἐν τούτοις νὰ ἐπιτύχῃ, ἐπειδὴ πολὺ κέρδος ἀπεκόμιζεν ἀπὸ αὐτόν. Ἂν ἐπίσης ἐξετάσωμεν ὅλον τὸν βίον τοῦ Δαυίδ, θὰ τὸν εὕρωμεν νὰ λάμπῃ περισσότερον κατὰ τὰς περιόδους κινδύνου καὶ ὁ ἴδιος καὶ οἱ ἄλλοι τῆς ἐποχῆς ἐκείνης. Καὶ ὁ Ἰὼβ τότε ἔλαμψε περισσότερον, καὶ ὁ Ἰωσὴφ μὲ τὸν τρόπον αὐτὸν εὐδοκίμησε τόσον πολύ, καὶ ὁ Ἰακὼβ καὶ ὁ πατέρας του καὶ ὁ πατέρας τούτου, ὅλοι ὅσοι ἔχουν ὡς τώρα φορέσει τοὺς λαμπροτέρους στεφάνους, ἐστεφανώθησαν καὶ ἀνεκηρύχθησαν χάρις εἰς τὰς θλίψεις καὶ τοὺς πειρασμούς.

Ἂς τὰ ἔχωμεν ὑπ' ὄψει ὅλα αὐτὰ καὶ κατὰ τὸν σοφὸν λόγον, «Μὴ σπεύσωμεν ἐν καιρῷ ἐπαγωγῆς» [1]. Εἰς ἕνα μόνον ἂς ἀσκήσωμεν τὸν ἑαυτόν μας, τὸ νὰ ὑποφέρωμεν τὰ πάντα μὲ γενναιότητα· νὰ μὴ πολυασχολούμεθα μὲ ὅ,τι συμβαίνει καὶ νὰ μὴ τὸ λεπτολογοῦμεν. Ἡ γνῶσις, διὰ τὸ πότε πρέπει νὰ σταματήσουν αἱ θλίψεις, ἀνήκει εἰς τὸν Θεόν, ποὺ παραχωρεῖ νὰ μᾶς ἐπισκεφθοῦν. Τῆς εὐγνωμοσύνης μας καθῆκον εἶναι νὰ τὰς ὑπομείνωμεν μὲ ὅλην τὴν καλὴν διάθεσιν. Ἂν γίνῃ τοῦτο, ἐπακολουθοῦν ὅλα τὰ ἀγαθά. Διὰ νὰ ἐπακολουθήσουν λοιπὸν καὶ διὰ νὰ γίνωμεν ἄξιοι ἐδῶ καὶ ἐκεῖ λαμπρότεροι ἂς δεχώμεθα ὅ,τι μᾶς στείλῃ ὁ Θεός, ἀποδίδοντες εὐχαριστίας δι' ὅλα εἰς αὐτόν, ποὺ γνωρίζει καλύτερα ἀπὸ ἡμᾶς τὸ συμφέρον μας καὶ μᾶς ἀγαπᾷ ἰσχυρότερον ἀπὸ τοὺς γονεῖς μας. Τὰς δύο αὐτὰς σκέψεις ἂν σιγοψιθυρίζωμεν πρὸς τὸν ἑαυτόν μας εἰς κάθε δυσκολίαν καὶ ἂς περιορίζωμεν τὴν λύπην μας, δοξολογοῦντες εἰς ὅλα τὸν Θεόν ποὺ οἰκονομεῖ τὰ πάντα πρὸς χάριν μας. Ἔτσι θὰ ἀποκρούσωμεν καὶ τὰς διαβολὰς μὲ εὐκολίαν καὶ θὰ κερδίσωμεν τὸν ἄφθαρτον στέφανον μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν καὶ εἰς τὸν Πατέρα καὶ μαζὶ μὲ τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμὴ καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΑ'
Ματθ. 3, 7 - 12

«Ἰδὼν δὲ πολλοὺς τῶν Σαδδουκαίων καὶ Φαρισαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;».

1. Πῶς οὖν φησιν ὁ Χριστός, ὅτι οὐκ ἐπίστευσαν Ἰωάννῃ; Ὅτι οὐκ ἦν τοῦτο πιστεῦσαι, τὸ τὸν κηρυττόμενον ὑπ' αὐτοῦ μὴ δέξασθαι. Ἐπεὶ καὶ τοῖς Προφήταις δόξαν προσέχειν καὶ τῷ Νομοθέτῃ· ἀλλ' ὅμως, ἔφησεν αὐτοὺς μὴ προσεσχηκέναι, ἐπειδὴ τὸν παρ' ἐκείνων προφητευόμενον οὐκ ἐδέξαντο. «Εἰ γὰρ ἐπιστεύσαιε», φησί, «Μωϋσῇ, ἐπιστεύσατε ἂν ἐμοί»· Καὶ μετὰ ταῦτα δὲ ἐρωτώμενοι παρὰ τοῦ Χριστοῦ, «Τὸ βάπτισμα Ἰωάννου πόθεν ἐστίν;», ἔλεγον, ὅτι «Ἐὰν εἴπωμεν, ἀπὸ γῆς, φοβούμεθα τὸν ὄχλον· ἐὰν εἴπωμεν, ἀπὸ οὐρανοῦ, ἐρεῖ ἡμῖν, Πῶς οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;». Ὥστε ἐξ ἁπάντων τούτων δῆλον, ὅτι παρεγένοντο μὲν καὶ ἐβαπτίσθησαν· οὐ μὴν ἔμειναν ἐπὶ τῆς πίστεως τοῦ κηρύγματος. Καὶ γὰρ ὁ Ἰωάννης δείκνυσιν αὐτῶν τὴν πονηρίαν, ἐξ ὧν πρὸς τὸν Βαπτιστὴν ἔπεμπον λέγοντες· «Εἰ σὺ εἶ Ἠλίας; εἰ σὺ εἶ ὁ Χριστός;»· διὸ καὶ ἐπήγαγεν· «Οἱ δὲ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων».

Τί οὖν; οὐχὶ καὶ οἱ ὄχλοι τὸ αὐτὸ τοῦτο ἐνόμιζον; φησίν. Ἀλλ' οἱ μὲν ὄχλοι ἀπὸ γνώμης ἀπλάστου τοῦτο ὑπώπτευον· οἱ δὲ Φαρισαῖοι ἐπιλαβέσθαι βουλόμενοι. Ἐπειδὴ γὰρ ὡμολόγητο ἀπὸ τῆς κώμης τοῦ Δαυὶδ ἔρχεσθαι τὸν Χριστόν, οὗτος δὲ ἀπὸ τῆς Λευϊτικῆς φυλῆς ἦν, ἔνεδρα ἐτίθεσαν ἐκ τῆς ἐρωτήσε-

---

1. Ὁ Νομοθέτης εἶναι βεβαίως ὁ Μωυσῆς.
2. Ἰω. 5, 46.
3. Ματθ. 21, 25 - 26
4. Ἰω. 1, 21.

ΟΜΙΛΙΑ ΙΑ'.
Ματθ. 3, 7 - 12

«Ἰδὼν δὲ πολλοὺς τῶν Σαδδουκαίων καὶ Φαρισαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;».

1. Πῶς λοιπὸν λέγει ὁ Χριστὸς ὅτι δὲν ἐπίστευσαν εἰς τὸν Ἰωάννην; Διότι αὐτὸ δὲν ἦτο πίστις, τὸ νὰ μὴ δεχθοῦν ἐκεῖνον πού αὐτὸς ἐκήρυττεν. Ἔδωσαν τὴν ἐντύπωσιν ὅτι εἶχαν προσέξει καὶ εἰς τοὺς Προφήτας καὶ εἰς τὸν Νομοθέτην [1]. Ἐν τούτοις ἀπεφάνθη ὅτι δὲν εἶχαν προσέξει, ἀφοῦ δὲν ἐδέχθησαν ἐκεῖνον πού αὐτοὶ ἐπροφήτευσαν. «Εἰ γὰρ ἐπιστεύσατε», λέγει, «Μωϋσεῖ, ἐπιστεύσατε ἂν ἐμοί» [2]. Καὶ ἔπειτα ὅταν ὁ Χριστὸς τοὺς ἐρωτοῦσε· «Τὸ βάπτισμα τοῦ Ἰωάννου πόθεν ἐστίν;», ἔλεγαν· «Ἐὰν εἴπωμεν, ἀπὸ γῆς, φοβούμεθα τὸν ὄχλον· ἐὰν εἴπωμεν, ἀπὸ οὐρανοῦ, ἐρεῖ ἡμῖν, πῶς οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;» [3]. Ὥστε ἀπὸ ὅλα αὐτὰ εἶναι φανερὸν ὅτι ἦλθαν μὲν καὶ ἐβαπτίσθησαν, δὲν ἐτήρησαν ὅμως τὴν πίστιν των εἰς τὸ κήρυγμα. Ὁ Εὐαγγελιστὴς Ἰωάννης ἀποκαλύπτει τὴν πονηρίαν των ἀπὸ τὰς ἐρωτήσεις πού ἔστελλαν καὶ ἔκαμναν πρὸς τὸν βαπτιστήν. Τοῦ ἔλεγαν· «Εἰ σὺ εἶ Ἠλίας; εἰ σὺ εἶ ὁ Χριστός;» [4]. Διὰ τοῦτο καὶ ἐπρόσθεσεν· «Οἱ δὲ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων».

Τί σημαίνει τοῦτο; Τὸ αὐτὸ δὲν ἐνόμιζαν καὶ τὰ πλήθη; ἐρωτᾷ. Ἀλλὰ τὰ πλήθη ἔκαμναν τὴν σκέψιν μὲ ἀπροσποίητον ἀπορίαν. Ἐνῷ οἱ Φαρισαῖοι ἤθελαν νὰ τὸν συλλάβουν ἀπὸ κάποιαν ἀπάντησιν. Ἐπειδὴ ἦτο γνωστὸν ὅτι ὁ Χριστὸς θὰ προήρχετο ἀπὸ τὴν πατρίδα τοῦ Δαυίδ, ἐνῷ ὁ βαπτιστὴς ἦτο ἀπὸ τὴν φυλὴν τοῦ Λευί, ἐπροσπαθοῦσαν νὰ τὸν παγιδεύσουν

ως, ἵνα εἴ τι τοιοῦτον εἴποι, ταχέως ἐπιθῶνται. Τοῦτο γοῦν καὶ ἐκ τῶν ἑξῆς ἐδήλωσε· μηδὲν γὰρ ὧν προσεδόκησαν ὁμολογήσαντος, καὶ οὕτως ἐπιλαμβάνονται λέγοντες· «Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός;». Καὶ ἵνα μάθῃς ὅτι ἑτέρᾳ μὲν οἱ Φαρισαῖοι, ἑτέρᾳ δὲ ὁ δῆμος παρεγένοντο γνώμῃ, ἄκουσον πῶς ὁ Εὐαγγελιστὴς καὶ τοῦτο ἐδήλωσε· περὶ μὲν τοῦ δήμου λέγων, ὅτι Παρεγίνοντο καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν· περὶ δὲ τῶν Φαρισαίων οὐκέτι ὁμοίως, ἀλλ' ὅτι, «Ἰδὼν πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους, ἔλεγε· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;». Βαβαὶ τῆς μεγαλονοίας! Πῶς διαλέγεται πρὸς ἀνθρώπους αἱμάτων ἀεὶ διψῶντας προφητικῶν, καὶ ὄφεων οὐδὲν ἄμεινον διακειμένους; πῶς καὶ αὐτούς, καὶ τοὺς γεγεννηκότας μετὰ πολλῆς διαβάλλει τῆς παῤῥησίας;

Ναί, φησίν· ἀλλ' ἡ μὲν παῤῥησία πολλή· τὸ δὲ ζητούμενον, εἰ λόγον ἔχει τινὰ ἡ παῤῥησία αὕτη. Οὐδὲ γὰρ ἁμαρτάνοντας εἶδεν, ἀλλὰ μεταβαλλομένους· διόπερ οὐδὲ ἐγκαλέσαι ἐχρῆν, ἀλλὰ καὶ ἐπαινέσαι καὶ ἀποδέξασθαι, ὅτι πόλιν ἀφέντες καὶ οἰκίας ἔδραμον ἀκουσόμενοι τοῦ κηρύγματος.

Τί οὖν ἂν εἴποιμεν; Ὅτι οὐ τοῖς παροῦσιν, οὐδὲ τοῖς γινομένοις προσεῖχεν, ἀλλὰ τὰ ἀπόῤῥητα τῆς διανοίας αὐτῶν ἠπίστατο, τοῦ Θεοῦ τοῦτο ἐκκαλύψαντος. Ἐπεὶ οὖν μέγα ἐφρόνουν ἐπὶ τοῖς προγόνοις, καὶ τοῦτο αἴτιον αὐτοῖς τῆς ἀπωλείας ἐγίνετο καὶ εἰς ῥαθυμίαν ἐνέβαλλε, τὴν ῥίζαν τῆς ἀπονοίας περικόπτει. Διὰ τοῦτο καὶ ὁ Ἠσαΐας ἄρχοντας Σοδόμων καλεῖ καὶ λαὸν Γομόῤῥας· καὶ ἕτερος προφήτης φησίν· «Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε;», καὶ πάντες αὐτοὺς ταύτης ἀπάγουσι τῆς ὑπολήψεως, τὸ φύσημα αὐτῶν κενοῦντες, τὸ μυρίων αὐτοῖς αἴτιον γενόμενον κακῶν. Ἀλλ' οἱ μὲν Προφῆται, φησίν, εἰκό-

1. Ἰω. 1, 25.
2. Ἠσ. 1, 10.
3. Ἀμὼς 9, 7.

μὲ τὴν ἐρώτησιν· ἂν ἔδινε τὴν ἀπάντησιν ποὺ ἐπερίμεναν νὰ τοῦ ἐπιτεθοῦν ἀμέσως. Τοῦτο τὸ ἔκαμε φανερὸν καὶ ἀπὸ τὰ ἑξῆς· μολονότι δὲν ὡμολόγησε τίποτε ἀπὸ ὅσα ἐπερίμεναν καὶ πάλιν τοῦ παρατηροῦν· «Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός;»[1]. Καὶ διὰ νὰ μάθῃς ἀκόμη ὅτι μὲ ἄλλην πρόφασιν ἦλθαν οἱ Φαρισαῖοι καὶ μὲ ἄλλην ὁ λαός, ἄκουσε πῶς τὸ ἐφανέρωσε καὶ τοῦτο ὁ Εὐαγγελιστής. Διὰ τὸν λαὸν εἶπεν· «παρεγένοντο καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν». Δὲν ὡμίλησεν ὁμοίως καὶ διὰ τοὺς Φαρισαίους. 'Αλλ' ὅτι «ἰδὼν πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους, ἔλεγε· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;». 'Αλλοίμονον εἰς τὴν μεγαλοτολμίαν του! Πῶς τολμᾷ νὰ ὁμιλῇ κατ' αὐτὸν τὸν τρόπον πρὸς ἀνθρώπους, οἱ ὁποῖοι ἐδιψοῦσαν πάντοτε αἷμα προφητικὸν καὶ ποὺ ἡ διάθεσίς των δὲν εἶναι καθόλου καλυτέρα ἀπὸ τῶν φιδιῶν; Πῶς κατηγορεῖ μὲ τόσον θάρρος καὶ αὐτοὺς καὶ τοὺς πατέρας των;

'Αληθινὰ εἶναι μεγάλο τὸ θάρρος του, λέγει, ἀλλὰ τὸ ζήτημα εἶναι ἂν δικαιολογῆται τὸ θάρρος αὐτό. Δὲν τοὺς εἶχαν ἰδεῖ νὰ ἁμαρτάνουν, παρακολουθεῖ ἀντιθέτως τὴν μεταβολήν των. Διὰ τοῦτο δὲν ἔπρεπε νὰ τοὺς κατηγορήσῃ ἀλλὰ νὰ τοὺς ἐπαινέσῃ μᾶλλον καὶ νὰ τοὺς ἐναγκαλισθῇ, διότι ἄφησαν τὴν πόλιν καὶ τὰ σπίτια των καὶ ἔσπευσαν νὰ ἀκούσουν τὸ κήρυγμά του.

Τί θὰ ἀπαντήσωμεν λοιπόν; Ὅτι δὲν τὸν ἐπαραπλανοῦσεν ἡ τωρινὴ συμπεριφορά των ἀλλ' ὅτι ἐγνώριζε τὰ ἀπόρρητα τῆς διανοίας των, κατὰ ἀποκάλυψιν τοῦ Θεοῦ; 'Επειδὴ ἐμεγαλοφρονοῦσαν διὰ τοὺς προγόνους των, πρᾶγμα ποὺ ἐγίνετο ἀφορμὴ τῆς καταστροφῆς των καὶ τοὺς ἔρριπτεν εἰς ἀδιαφορίαν, ἀφαιρεῖ τὴν ρίζαν τῆς μεγαλοφροσύνης. Διὰ τοῦτο καὶ ὁ 'Ησαΐας τοὺς ἀποκαλεῖ «ἄρχοντας Σοδόμων καὶ λαὸν Γομόρρας»[2]. Καὶ ἄλλος προφήτης ἐρωτᾷ· «Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε;»[3]. Ὅλοι προσπαθοῦν νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴν ἰδέαν αὐτήν, νὰ περιορίσουν τὴν φαντασίαν των, αἰτίαν ἀπείρων δεινῶν των. Οἱ προφῆται τοὺς κατηγοροῦν εὐλόγως, θὰ

τως· ἁμαρτάνοντας γὰρ ἑώρων· ἐνταῦθα δὲ τίνος ἕνεκεν καὶ διὰ τί πειθομένους ὁρῶν αὐτῷ, τοῦτο ποιεῖ; Ἵνα ἀπαλωτέρους ἐργάσηται. Εἰ δέ τις μετὰ ἀκριβείας προσέχοι τοῖς λεγομένοις, καὶ ἐγκωμίῳ τὴν ἐπιτίμησιν ἐκέρασε. Θαυμάζων γὰρ αὐτούς, ὅτι ὀψὲ γοῦν ποτε τὰ ἀδύνατα αὐτοῖς σχεδὸν εἶναι δοκοῦντα ἠδυνήθησαν, ταῦτα ἔλεγεν. Ἐφελκομένου τοίνυν αὐτοὺς μᾶλλόν ἐστιν ἡ ἐπιτίμησις καὶ παρασκευάζοντος ἀνανῆψαι. Ὅταν γὰρ φαίνηται ἐκπληττόμενος, καὶ τὴν ἔμπροσθεν δείκνυσιν αὐτῶν πονηρίαν πολλὴν οὖσαν, καὶ τὴν μεταβολὴν θαυμαστὴν καὶ παράδοξον. Τί γὰρ γέγονε, φησίν, ὅτι παῖδες ὄντες ἐκείνων, καὶ οὕτω τραφέντες κακῶς, μετενόησαν; πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; τίς τὸ τραχὺ τῆς γνώμης αὐτῶν κατεμάλαξε; τίς διώρθωσε τὸ ἀνίατον; Καὶ ὅρα πῶς αὐτοὺς εὐθέως ἀπὸ τῶν προοιμίων ἐξέπληξε, τοὺς περὶ τῆς γεέννης προκαταβαλλόμενος λόγους. Οὐ γὰρ εἶπε τὰ εἰωθότα· Τίς ὑπέδειξεν ὑμῖν φυγεῖν τοὺς πολέμους, τὰς τῶν βαρβάρων ἐφόδους, τὰς αἰχμαλωσίας, τοὺς λιμούς, τοὺς λοιμούς, ἀλλ' ἄλλην τινὰ κόλασιν προανεκρούετο μηδέποτε αὐτοῖς φανερὰν γεγενημένην, οὕτω λέγων· «Τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;».

2. Καλῶς δὲ αὐτοὺς καὶ γεννήματα ἐχιδνῶν ἐκάλεσε Καὶ γὰρ ἐκεῖνο τὸ θηρίον διαφθεῖρον τὴν ὠδίνουσαν, καὶ διατρῶγον τὴν γαστέρα αὐτῆς, οὕτω λέγεται προϊέναι εἰς φῶς· ὅπερ καὶ οὗτοι ἐποίουν, πατραλοῖαι καὶ μητραλοῖαι γινόμενοι, καὶ τοὺς διδασκάλους ταῖς ἑαυτῶν διαφθείροντες χερσίν. Ἀλλ' οὐχ ἵσταται μέχρι τῆς ἐπιτιμήσεως, ἀλλὰ καὶ συμβουλὴν εἰσάγει· «Ποιήσατε» γάρ, φησί, «καρποὺς ἀξίους τῆς μετανοίας». Οὐ γὰρ ἀρκεῖ τὸ φυγεῖν τὴν πονηρίαν, ἀλλὰ καὶ ἀρετὴν δεῖ πολλὴν ἐπιδείξασθαι. Μὴ γάρ μοι τὰ ἐναντία καὶ συνήθη, ὅτε πρὸς ὀλίγον συστελλόμενοι χρόνον, πρὸς τὴν αὐτὴν ἐπανῆτε

εἰπῆτε, ἐπειδὴ τοὺς ἔβλεπαν νὰ ἁμαρτάνουν. Ἐδῶ ὅμως διὰ ποῖον λόγον κάμνει τὸ ἴδιον καὶ ὁ βαπτιστής, ἐνῷ βλέπει ὅτι τὸν ἀκούουν; Διὰ νὰ τοὺς μαλακώσῃ. Ἐὰν μάλιστα κανεὶς δώσῃ τὴν ἀπαιτουμένην προσοχὴν εἰς τοὺς λόγους του θὰ ἰδῇ ὅτι ἀνέμειξεν εἰς τὴν ἐπιτίμησιν τὸ ἐγκώμιον. Οἱ λόγοι του προέρχονται ἀπὸ τὸν θαυμασμόν, διότι τοὺς βλέπει νὰ πραγματοποιοῦν ὅ,τι ἐφαίνετο προηγουμένως ἀδύνατον δι' αὐτούς. Ἡ ἐκτίμησις λοιπὸν γίνεται ἀπὸ ἄνθρωπον, ποὺ θέλει νὰ τοὺς προσελκύσῃ καὶ νὰ τοὺς κάμῃ νὰ ἀνανήψουν. Ὅταν ἐκδηλώνῃ τὴν ἔκπληξίν του, δεικνύει ὅτι καὶ ἡ ἕως τότε κακία των ἦτο πολλή, ἀλλὰ καὶ ἡ μεταβολή των ἀξία θαυμασμοῦ καὶ παράδοξος. Τί ἐμεσολάβησεν, ὥστε νὰ μετανοήσουν, ἐνῷ εἶναι τέκνα ἐκείνων καὶ ἔχουν τόσον κακῶς ἀνατραφῆ; Ποῖος ἐμάλαξε τὴν τραχύτητα τῆς διαθέσεώς των; Ποῖος ἐθεράπευσε τὸ ἀθεράπευτον; Προσέξετε ἀκόμη, πῶς ἀπὸ τὴν ἀρχὴν ἐπροκάλεσε τὴν ἔκπληξίν των ἀπευθύνων πρὸς αὐτοὺς τοὺς λόγους διὰ τὴν γέενναν. Δὲν εἶπεν εἰς αὐτοὺς τὰ τετριμμένα· Ποῖος σᾶς ὑπέδειξε νὰ ἀποφύγετε τοὺς πολέμους, τὰς ἐπιδρομὰς τῶν βαρβάρων, τὰς αἰχμαλωσίας, τοὺς λιμοὺς καὶ τοὺς λοιμούς; Ἔκαμνεν εἰς αὐτοὺς τὸ προανάκρουσμα μιᾶς ἄλλης τιμωρίας, ποὺ ποτὲ ἕως τότε δὲν εἶχαν ἀκούσει μὲ τοὺς ἑξῆς λόγους· «Τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;».

2. Ὀρθῶς τοὺς ἐκάλεσε «γεννήματα ἐχιδνῶν». Διότι τὸ ἄγριον αὐτὸ ἑρπετὸν λέγουν ὅτι ἔρχεται εἰς τὸ φῶς, ἀφοῦ φονεύσῃ τὴν μητέρα του ποὺ κοιλοπονεῖ καὶ διατρυπήσῃ τὴν κοιλίαν της. Τὸ αὐτὸ ἔπρατταν καὶ ἐκεῖνοι· ἐγίνοντο φονεῖς τοῦ πατρὸς καὶ τῆς μητρός των καὶ μὲ τὰ ἴδια τὰ χέρια των ἐφόνευαν τοὺς διδασκάλους των. Δὲν σταματᾷ εἰς τὴν κατηγορίαν· προχωρεῖ καὶ εἰς τὰς συμβουλάς. Διότι λέγει· «Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας». Δὲν φθάνει νὰ ἀποφύγῃς τὴν κακίαν· πρέπει νὰ παρουσιάσῃς καὶ πολλὰ ἔργα ἀρετῆς. Μὴ μοῦ προβάλετε τὰς συνηθισμένας δικαιολογίας σας, ὅταν δι' ἕνα διάστημα περιορίζεσθε καὶ ἐπανέρχεσθε πάλιν εἰς

πάλιν πονηρίαν. Οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς παραγεγόναμεν, ὡς καὶ οἱ ἔμπροσθεν Προφῆται. Ἐξηλλαγμένα γὰρ τὰ παρόντα, καὶ ὑψηλότερα, ἐπεὶ καὶ αὐτὸς παραγίνεται λοιπὸν ὁ Κριτής, αὐτὸς ὁ τῆς βασιλείας Δεσπότης, πρὸς μείζονα ἄγων φιλοσοφίαν, εἰς τὸν οὐρανὸν καλῶν καὶ πρὸς τὰς ἐκεῖ διατριβὰς ἀνέλκων. Διὰ τοῦτο καὶ τὸν περὶ τῆς γεέννης ἀνακαλύπτω λόγον· καὶ γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ λυπηρά, ἀθάνατα. Μὴ τοίνυν τοῖς αὐτοῖς ἐμμένετε, μηδὲ τὰς εἰωθυίας προβάλλεσθε προφάσεις, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τῶν προγόνων τὴν εὐγένειαν.

Ταῦτα δὲ ἔλεγεν, οὐ κωλύων αὐτοὺς λέγειν ἐξ ἐκείνων εἶναι τῶν ἁγίων, ἀλλὰ κωλύων μὴ τούτῳ θαῤῥεῖν, τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντας, καὶ τὰ κατὰ διάνοιαν εἰς μέσον ἐκφέρων, καὶ τὰ μέλλοντα προφητεύων. Καὶ γὰρ μετὰ ταῦτα φαίνονται λέγοντες· «Ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε». Ἐπεὶ οὖν τοῦτο ἦν, ὃ μάλιστα αὐτοὺς εἰς ἀπόνοιαν ἦρε καὶ ἀπώλεσε, πρῶτον αὐτὸ καταστέλλει.

Ὅρα δὲ πῶς μετὰ τῆς εἰς τὸν πατριάρχην τιμῆς τὴν ὑπὲρ τούτων ποιεῖται διόρθωσιν. Εἰπὼν γάρ, «Μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ», οὐκ εἶπεν, Οὐδὲν γὰρ ὑμᾶς ὁ πατριάρχης ὠφελῆσαι δυνήσεται· ἀλλ' ἡμερώτερόν πως καὶ προσηνέστερον αὐτὸ τοῦτο ᾐνίξατο εἰπών· «Δύναται γὰρ ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ».

Τινὲς μὲν οὖν φασιν ὅτι περὶ τῶν ἐθνῶν ταῦτα λέγει, λίθους αὐτοὺς μεταφορικῶς καλῶν· ἐγὼ δὲ καὶ ἑτέραν ἔννοιαν τὸ εἰρημένον φημὶ ἔχειν. Ποίαν δὴ ταύτην; Μὴ νομίζετε, φησίν, ὅτι ἐὰν ὑμεῖς ἀπόλησθε, ἄπαιδα ποιήσετε τὸν πατριάρχην. Οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Τῷ γὰρ Θεῷ δυνατὸν καὶ ἀπὸ λίθων ἀνθρώπους αὐτῷ δοῦναι, καὶ εἰς τὴν συγγένειαν ἐκείνην ἀγα-

---

1. Ἰω. 8, 33. Αὐτὴ εἶναι καὶ ἡ προγονοπληξία. Ἂν ὅμως εἶναι αὐτὴ ἡ, ἔστω, καὶ αὐτὴ πού συνετέλεσεν εἰς τὴν ἀναγέννησιν καὶ δημιουργίαν τοῦ σημερινοῦ Ἰσραήλ; Ἐν τοιαύτῃ περιπτώσει ὑπάρχει προγονοπληξία καὶ προγονοπληξία.

τὴν ἰδίαν κακίαν. Δὲν ἐξαγγέλλομεν τὰ ἴδια πράγματα μὲ τοὺς προηγουμένους προφήτας. Εἶναι διάφορα τὰ παρόντα καὶ ὑψηλότερα, ἀφοῦ ἔρχεται καὶ ὁ ἴδιος ὁ κριτής, ὁ ἴδιος ὁ κύριος τῆς βασιλείας. Αὐτὸς μᾶς ὁδηγεῖ εἰς ἀνωτέραν ζωήν, μᾶς καλεῖ εἰς τὸν οὐρανὸν καὶ μᾶς ἀναβιβάζει εἰς τὰς ἐκεῖ κατοικίας. Διὰ τοῦτο καὶ σᾶς ἀποκαλύπτω τὸν λόγον διὰ τὴν γέενναν· ἐπειδὴ τὰ εὐχάριστα καὶ τὰ δυσάρεστα εἶναι ἀθάνατα. Μὴ ἐπιμένετε λοιπὸν εἰς τὰ ἴδια, μὴ προβάλλετε τοὺς γνωστοὺς τίτλους σας, τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, τὴν εὐγένειαν τῶν προγόνων.

Αὐτὰ δὲν τὰ ἔλεγε διὰ νὰ τοὺς ἐμποδίσῃ νὰ λέγουν ὅτι κατάγονται ἀπὸ ἐκείνους τοὺς ἁγίους. Τοὺς ἠμπόδιζε νὰ λαμβάνουν θάρρος ἀπὸ αὐτὸ καὶ νὰ παραμελοῦν τὴν καλλιέργειαν τῆς ψυχῆς των μὲ τὸ ν' ἀποκαλύπτῃ τὰς σκέψεις των καὶ μὲ τὸ νὰ προφητεύῃ τὰ μελλοντικά. Διότι καὶ ἔπειτα ἀπὸ αὐτὰ παρουσιάζονται νὰ λέγουν· «Ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραὰμ καὶ οὐδενὶ δεδουλεύκαμεν» [1]. Ἐπειδὴ ἦτο αὐτὸ ποὺ κυρίως τοὺς ὡδήγησεν εἰς τὸν ἐγωισμὸν καὶ τοὺς κατέστρεψε, διὰ τοῦτο αὐτὸ περιορίζει πρῶτον.

Πρόσεξε πῶς μὲ ὅλον τὸν σεβασμὸν πρὸς τὸν πατριάρχην, προχωρεῖ εἰς τὴν διόρθωσιν ποὺ τοὺς ἀφορᾷ. Ὅταν τοὺς εἶπε· «Μὴ δόξητε λέγειν, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ», δὲν ἐπρόσθεσεν ὅτι εἰς τίποτε δὲν θὰ ἠμπορέσῃ ὁ πατριάρχης νὰ σᾶς βοηθήσῃ. Αὐτὸ τὸ ἴδιο τὸ ὑπηνίχθη μὲ τρόπον ἁπαλώτερον καὶ μετριοπαθέστερον· «Δύναται γὰρ ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ».

Μερικοὶ παρατηροῦν ὅτι αὐτὰ ἀναφέρονται εἰς τοὺς ἐθνικούς, τοὺς ὁποίους ἀποκαλεῖ μεταφορικὰ λίθους. Ἐγὼ ὅμως λέγω ὅτι τὸ λεχθὲν ἔχει καὶ ἄλλην σημασίαν. Ποία εἶναι λοιπὸν αὐτή; Μὴ νομίσετε, τοὺς λέγει, ὅτι, ὅταν χαθῆτε σεῖς, θὰ καταστήσετε τὸν πατριάρχην χωρὶς ἀπογόνους. Ὄχι, τοῦτο δὲν θὰ γίνῃ. Ὁ Θεὸς ἔχει τὴν δύναμιν νὰ τοῦ χαρίσῃ ἀπογόνους ἀπὸ τοὺς λίθους καὶ νὰ τοὺς κάμῃ συγγενεῖς του.

γεῖν, ἐπεὶ καὶ ἐξ ἀρχῆς οὕτως ἐγένετο. Τῷ γὰρ ἐκ λίθων ἀνθρώπους γενέσθαι ὅμοιον ἦν τὸ ἀπὸ τῆς μήτρας ἐκείνης τῆς σκληρᾶς προελθεῖν παιδίον. Ὅπερ οὖν καὶ ὁ Προφήτης αἰνιττόμενος ἔλεγεν· «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε· ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς». Ταύτης τοίνυν τῆς προφητείας αὐτοὺς ἀναμιμνῄσκει, δεικνὺς ὅτι εἰ ἐξ ἀρχῆς οὕτω θαυμαστὸν αὐτὸν ἐποίησε πατέρα, ὡσανεὶ καὶ ἐκ λίθων αὐτὸν ἐποίησε, δυνατὸν καὶ νῦν τοῦτο γενέσθαι.

Καὶ ὅρα πῶς καὶ φοβεῖ καὶ ἐκκόπτει. Οὐ γὰρ εἶπεν ὅτι ἤγειρεν ἤδη, ἵνα μὴ ἀπογνῶσιν ἑαυτῶν· ἀλλ' ὅτι «Δύναται ἐγεῖραι». Καὶ οὐκ εἶπεν ὅτι δύναται ἀνθρώπους ποιῆσαι ἀπὸ λίθων, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, καὶ συγγενεῖς καὶ παῖδας τοῦ Ἀβραάμ. Εἶδες πῶς τέως ἀπέστησεν αὐτοὺς τῆς περὶ τὰ σωματικὰ φαντασίας, καὶ τῆς εἰς τοὺς προγόνους καταφυγῆς, ἵνα ἐν τῇ οἰκείᾳ μετανοίᾳ καὶ σωφροσύνῃ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχωσιν; Εἶδες πῶς τὴν τῆς σαρκὸς ἐκβαλὼν συγγένειαν, τὴν ἀπὸ τῆς πίστεως εἰσάγει;

3. Σκόπει τοίνυν πῶς καὶ διὰ τῶν ἑξῆς αὔξει τούτων τὸν φόβον καὶ ἐπιτείνει τὴν ἀγωνίαν. Εἰπὼν γὰρ ὅτι «Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ», ἐπήγαγε· «Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται»· διὰ πάντων τὸν λόγον φοβερὸν ποιῶν. Καὶ γὰρ καὶ αὐτὸς πολλὴν ἀπὸ τοῦ βίου τὴν παῤῥησίαν εἶχε, κἀκεῖνοι σφοδρᾶς ἐδέοντο τῆς ἐπιπλήξεως, πολὺν ἤδη χερσωθέντες χρόνον. Τί γὰρ λέγω, φησίν, ὅτι ἐκπίπτειν μέλλετε τῆς πρὸς τὸν πατριάρχην συγγενείας, καὶ ἑτέρους ὁρᾶν τοὺς ἀπὸ λίθων εἰς τὴν ὑμετέραν εἰσαγομένους προεδρίαν; Οὐδὲ γὰρ μέχρι τούτου τὰ τῆς τιμωρίας ὑμῖν, ἀλλὰ καὶ περαιτέρω προβήσεται τὰ τῆς κολάσεως.

---

1. Ἠσ. 51, 1 - 2.

Τοῦτο ἔγινε καὶ εἰς τὴν ἀρχήν. Διότι ὅμοιον μὲ τὸ νὰ γεννηθοῦν παιδιὰ ἀπὸ πέτρες ἦτο τὸ νὰ γεννηθῇ παιδὶ ἀπὸ τὴν γηρασμένην Σάρραν. Τοῦτο ἀφήνει καὶ ὁ προφήτης νὰ διαφανῇ. «Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε· ἐμβλέψατε εἰς Ἀβραάμ, τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς»[1]. Τὴν προφητείαν αὐτὴν τοὺς ὑπενθυμίζει καὶ τοὺς ἀποδεικνύει ὅτι ἂν ἀπὸ τὴν ἀρχὴν τὸν ἔκαμεν ἕνα τόσον θαυμαστὸν πατέρα, ὡσὰν νὰ τὸν ἀνέδειξεν ἀπὸ τοὺς λίθους, εἶναι δυνατὸν τοῦτο νὰ γίνῃ καὶ τώρα.

Πρόσεξε ἀκόμη μὲ ποῖον τρόπον φυγαδεύει τὴν φαντασίαν καὶ τὴν ξεριζώνει. Δὲν εἶπεν ὅτι 'ἐδημιούργησεν ἤδη', διὰ νὰ μὴ ἀπελπισθοῦν, ἀλλὰ ὅτι ἠμπορεῖ νὰ δημιουργήσῃ (δύναται ἐγεῖραι). Καὶ δὲν εἶπεν ὅτι ἠμπορεῖ νὰ κάμῃ ἀνθρώπους ἀπὸ λίθους, ἀλλὰ αὐτὸ ποὺ ἦτο πολὺ ἀνώτερον, νὰ κάμῃ καὶ συγγενεῖς καὶ παιδιὰ τοῦ Ἀβραάμ. Βλέπεις πῶς τώρα τοὺς ἔχει ἀπομακρύνει ἀπὸ τὴν φαντασίαν διὰ πράγματα ὑλικὰ καὶ ἀπὸ τὴν καταφυγήν των εἰς τοὺς προγόνους, διὰ νὰ στηρίζουν τὴν ἐλπίδα τῆς σωτηρίας των εἰς τὴν προσωπικὴν μετάνοιαν καὶ ἀρετήν; Βλέπεις πῶς θέτει ἐκποδὼν τὴν σαρκικὴν συγγένειαν καὶ ἐγκαθιστᾷ τὴν συγγένειαν τῆς πίστεως;

3. Πρόσεξε πῶς αὐξάνει τὸν φόβον των καὶ ἐπιτείνει τὴν ἀγωνίαν των μὲ τὰ ἑξῆς· Εἶπε βεβαίως ὅτι «Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ», ἀλλὰ ἐπρόσθεσεν· «Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ρίζαν τῶν δένδρων κεῖται». Ἔτσι μὲ ὅλα ἔκαμε τὸν λόγον του φοβερόν. Διότι καὶ ὁ ἴδιος ἀντλοῦσε ἀπὸ τὴν ζωήν του πολλὴν παρρησίαν ἀλλὰ καὶ ἐκεῖνοι εἶχαν ἀνάγκην ἀπὸ ἰσχυρὰν ἐπίπληξιν, ἐπειδὴ εἶχαν μείνει ἐπὶ πολὺν χρόνον ὡς χέρσοι ἀγροί. Καὶ τί λέγω ὅτι θὰ ἐκπέσετε ἀπὸ τὴν συγγένειάν σας πρὸς τὸν πατριάρχην καὶ θὰ ἰδῆτε ἄλλους, αὐτοὺς ποὺ προῆλθαν ἀπὸ τοὺς λίθους, νὰ εἰσέρχωνται εἰς τὴν πρωτοκαθεδρίαν σας; προσθέτει ὁ Βαπτιστής. Καὶ ἡ τιμωρία σας δὲν θὰ μείνῃ μέχρις ἐδῶ· ἡ ποινή σας θὰ προχωρήσῃ περισσότερον «Ἤδη», λέγει, «ἡ ἀξίνη

«Ἤδη» γάρ, φησίν, «ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται». Οὐδὲν φοβερώτερον ταύτης τοῦ λόγου τῆς τροπῆς. Οὐκέτι γὰρ δρέπανον πετόμενον, οὐδὲ φραγμοῦ καθαίρεσις, οὐδὲ τὸ καταπατεῖσθαι τὸν ἀμπελῶνα· ἀλλ' ἀξίνη σφόδρα ἀκμάζουσα, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ἐπὶ θύραις αὕτη.

Ἐπειδὴ γὰρ τοῖς προφήταις συνεχῶς ἀπιστοῦντες ἔλεγον· «Ποῦ ἐστιν ἡ ἡμέρα Κυρίου;» καί, «Ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν»· διὰ τὸ μετὰ πολλὰ πολλάκις ἔτη ἐκβαίνειν τὰ λεγόμενα, καὶ ταύτης αὐτοὺς ἀπάγων τῆς παραμυθίας, ἐγγὺς αὐτῶν ἵστησι τὰ δεινά. Καὶ τοῦτο ἐδήλωσε τῷ εἰπεῖν, «Ἤδη», καὶ τῷ τῇ ῥίζῃ αὐτὴν προσαγαγεῖν. Οὐδεν γὰρ τὸ μέσον λοιπόν, φησίν, ἀλλ' αὐτῇ ἐπίκειται τῇ ῥίζῃ. Καὶ οὐκ εἶπε, Τοῖς κλάδοις, οὐδέ, Τοῖς καρποῖς, ἀλλά, «Τῇ ῥίζῃ»· δεικνὺς αὐτούς, εἰ ῥᾳθυμήσαιεν, ἀνίατα πεισομένους δεινά, καὶ οὐδὲ ἐλπίδα ἕξοντας θεραπείας. Οὐδὲ γὰρ δοῦλός ἐστιν ὁ παραγενόμενος, ὡς οἱ πρότερον· ἀλλ' αὐτὸς ὁ τῶν ὅλων Δεσπότης, σφοδρὰν ἐπάγων τὴν τιμωρίαν καὶ δυνατωτάτην. Ἀλλ' ὅμως καὶ φοβήσας πάλιν, οὐκ ἀφίησιν αὐτοὺς εἰς ἀπόγνωσιν ἐμπεσεῖν· ἀλλ' ὥσπερ ἀνωτέρω οὐκ εἶπεν ὅτι Ἤγειρεν, ἀλλ' ὅτι «Δύναται ἐγεῖραι τέκνα τῷ Ἀβραάμ», φοβῶν τε ὁμοῦ καὶ παραμυθούμενος, οὕτω καὶ ἐνταῦθα οὐκ εἶπεν ὅτι Ἥψατο τῆς ῥίζης, ἀλλ' ὅτι Ἐπίκειται καὶ ὁμιλεῖ τῇ ῥίζῃ· καὶ οὐδεμίαν ἀναβολὴν ἐνδείκνυται. Πλὴν ἀλλὰ καὶ οὕτως ἐγγὺς αὐτὴν ἀγαγών, ὑμᾶς κυρίους ποιεῖ τῆς τομῆς. Ἂν μὲν γὰρ μεταβάλησθε καὶ γένησθε βελτίους, ἀπελεύσεται μηδὲν ἐργασαμένη ἡ ἀξίνη αὕτη· ἂν δὲ τοῖς αὐτοῖς ἐπιμείνητε, πρόῤῥιζον ἀνασπάσει τὸ δένδρον. Διά τοι τοῦτο οὔτε ἀφέστηκε τῆς ῥίζης, οὔτε ἐπικειμένη τέμνει, τὸ μὲν ἵνα μὴ ἀταπέσητε, τὸ δὲ ἵνα μάθητε, ὅτι δυνατὸν καὶ ἐν βραχεῖ χρόνῳ μεταβαλομένους σωθῆναι.

Διὸ καὶ πάντοθεν αὔξει τὸν φόβον, διεγείρων αὐτοὺς καὶ

---

1. Ἡσ. 5, 19.

πρὸς τὴν ρίζαν τῶν δένδρων κεῖται». Τίποτε φοβερώτερον ἀπὸ αὐτὴν τὴν τροπὴν τοῦ λόγου. Ὄχι πλέον δρεπάνι ποὺ καταφέρεται, ὄχι κρήμνισμα τοῦ φραγμοῦ, ὄχι καταπάτησις τοῦ ἀμπελῶνος, ἀλλὰ ἀξίνη πολὺ ἀκονημένη, καὶ τὸ φοβερώτερον, ὅτι εἶναι ἔξω ἀπὸ τὴν θύραν πλέον.

Ἐπειδὴ αἱ προφητεῖαι ἐπραγματοποιοῦντο ἔπειτα ἀπὸ πολλὰ ἔτη, ἐδυσπιστοῦσαν πάντοτε εἰς τοὺς προφήτας καὶ ἔλεγαν· «Ποῦ ἐστιν ἡ ἡμέρα τοῦ Κυρίου;», καί· «Ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν» [1]. Τώρα ὅμως τοὺς ἀφαιρεῖ καὶ αὐτὴν τὴν παρηγορίαν καὶ στήνει τὰ ὄργανα τῆς καταστροφῆς κοντά των. Τὸ ἐφανέρωσε τοῦτο μὲ τὸ νὰ εἴπῃ «ἤδη» καὶ μὲ τὸ νὰ θέσῃ τὴν ἀξίνην εἰς τὴν ρίζαν. Τίποτε, λέγει, δὲν μεσολαβεῖ· εἶναι ἀκριβῶς δίπλα εἰς τὴν ρίζαν. Καὶ δὲν εἶπε εἰς τοὺς κλάδους, οὔτε εἰς τοὺς καρποὺς ἀλλὰ εἰς τὴν ρίζαν. Τοὺς ὑποδεικνύει ὅτι ἂν ἀδιαφορήσουν θὰ ὑποστοῦν ἀνίατα δεινά, χωρὶς ἐλπίδα σωτηρίας. Δὲν εἶναι δοῦλος αὐτὸς, ποὺ ἦλθε ὅπως οἱ προηγούμενοι. Εἶναι ὁ ἴδιος ὁ Κύριος τῶν ὅλων, ποὺ ἐπιφέρει ἀνυπόφορον τιμωρίαν καὶ βαρυτάτην. Ἐξ ἄλλου ὅμως, μολονότι τοὺς ἐφόβισε, δὲν ἀφήνει νὰ πέσουν εἰς ἀπόγνωσιν. Ἀνωτέρω δὲν εἶπεν ὅτι Ἤγειρεν (ἐδημιούργησε τέκνα) ἀλλὰ ὅτι «δύναται ἐγεῖραι τέκνα τῷ Ἀβραάμ»· τοὺς φοβίζει συγχρόνως καὶ τοὺς ἐνθαρρύνει. Ἔτσι καὶ τώρα δὲν εἶπεν ὅτι Ἤγγισε τὴν ρίζαν ἀλλὰ ὅτι «Εἶναι ἕτοιμη κοντὰ εἰς τὴν ρίζαν» καὶ δὲν δίδει καμμίαν ἔνδειξιν ἀναβολῆς. Ἐν τούτοις μολονότι ἔφερε τὴν τομὴν τόσον πλησίον, τὴν ἀφήνει εἰς τὴν ἰδικήν μας ἀπόφασιν. Ἂν μεταβληθῆτε καὶ βελτιωθῆτε, θὰ ἀπομακρυνθῇ τὸ πελέκι, χωρὶς νὰ σᾶς προκαλέσῃ κανένα κακόν· ἂν ὅμως ἐπιμείνετε εἰς τὰ ἴδια, θὰ ἀποσπάσῃ τὸ δένδρον σύρριζα. Διὰ τοῦτο ἀκριβῶς, οὔτε ἀπομακρύνεται ἀπὸ τὴν ρίζαν, οὔτε, καὶ ἂν εἶναι ἕτοιμον, τὴν ἀποκόπτει, ἀφ' ἑνὸς μὲν διὰ νὰ μὴ ἡσυχάσετε καὶ ἀφ' ἑτέρου διὰ νὰ μάθετε ὅτι εἶναι δυνατὸν εἰς σύντομον χρόνον νὰ μεταβληθῆτε καὶ νὰ σωθῆτε.

Διὰ τοῦτο αὐξάνει τὸν φόβον των μὲ ὅλα, τοὺς κρατεῖ

ὠθῶν πρὸς μετάνοιαν. Καὶ γὰρ τὸ τῶν προγόνων ἐκπεσεῖν, καὶ τὸ ἑτέρους ἀντεισαχθῆναι, καὶ τὸ ἐπὶ θύραις εἶναι τὰ δεινά, καὶ τὸ ἀνήκεστα πείσεσθαι, ἅπερ ἀμφότερα διὰ τῆς ῥίζης καὶ τῆς ἀξίνης ἐδήλωσεν, ἱκανὰ ἦν καὶ τοὺς σφόδρα ἀναπεπτωκότας διαναστῆσαι, καὶ ἐναγωνίους ἐργάσασθαι. Τοῦτο γοῦν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν, ὅτι «Λόγον συντετμημένον ποιήσει ὁ Κύριος ἐπὶ τὴν οἰκουμένην ὅλην». Ἀλλὰ μὴ φοβηθῇς· μᾶλλον δὲ φοβήθητι μέν, μὴ ἀπογνῷς δέ. Ἔτι γὰρ ἔχεις ἐλπίδα μεταβολῆς· οὐ γὰρ αὐτοτελὴς ἡ ἀπόφασις, οὐδὲ ἐπὶ τὸ τέμνειν ἡ ἀξίνη ἦλθεν· (καὶ τί ἐκώλυεν αὐτὴν τεμεῖν ὁμιλοῦσαν τῇ ῥίζῃ;), ἀλλ ἐπὶ τὸ σὲ τῷ φόβῳ τούτῳ ποιῆσαι βελτίονα, καὶ παρασκευάσαι καρπὸν ἐνεγκεῖν. Διὰ τοῦτο ἐπήγαγε· «Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται». Ὅταν δὲ εἴπῃ, «Πᾶν», ἐκβάλλει πάλιν τὴν ἀπὸ τῆς εὐγενείας προεδρίαν. Κἂν γὰρ αὐτοῦ τοῦ Ἀβραὰμ ἔγκονος ᾖς, φησίν, κἂν μυρίους ἔχῃς, ἀριθμεῖν πατριάρχας, διπλῆν ὑποστήσῃ τὴν κόλασιν, ἄκαρπος μένων. Ἀπὸ τούτων τῶν ῥημάτων καὶ τελώνας ἐφόβησε καὶ στρατιωτικὴν διάνοιαν κατέσεισεν, οὔτε εἰς ἀπόγνωσιν ἐμβαλών, καὶ ῥᾳθυμίας ἀπαλλάτων ἁπάσης. Μετὰ γὰρ τοῦ φόβου καὶ πολλὴν παράκλησιν ἔχει τὸ εἰρημένον. Τῷ γὰρ εἰπεῖν, «Μὴ ποιοῦν καρπὸν καλόν», ἔδειξεν ὅτι τὸ ποιοῦν καρπὸν πάσης ἀπήλλακται τιμωρίας.

4. *Καὶ πῶς δυνησόμεθα, φησί, ποιῆσαι καρπόν, τῆς τομῆς ἐπικειμένης, καὶ τοῦ χρόνου οὕτως στενοῦ ὄντος, καὶ τῆς προθεσμίας συντετμημένης; Δυνήσῃ, φησίν· οὐ γὰρ τοιοῦτος οὗτος ὁ καρπός, οἷος ὁ τῶν δένδρων, χρόνον ἀναμένων πολύν, καὶ ὡρῶν ἀνάγκαις δουλεύων, καὶ πολλῆς ἑτέρας δεόμενος πραγματείας· ἀλλ' ἀρκεῖ θελῆσαι, καὶ τὸ δένδρον εὐθέως ἐβλάστησεν. Οὐ γὰρ ἡ φύσις τῆς ῥίζης μόνον, ἀλλὰ καὶ ἡ τέχνη τοῦ γεωρ-*

---

1. Ρωμ. 9, 28.

εἰς ἐπιφυλακὴν καὶ τοὺς ὠθεῖ εἰς τὴν μετάνοιαν. Διότι ὁ ἐκπεσμὸς ἀπὸ τοὺς προγόνους, ἡ εἰσαγωγὴ ἄλλων εἰς τὴν θέσιν των, ἡ παρουσία τῶν δεινῶν ἔξω ἀπὸ τὴν θύραν καὶ μάλιστα δεινῶν ἀθεραπεύτων, ποὺ καὶ τὰ δύο ἐδήλωσε μὲ τὴν ρίζαν καὶ τὴν ἀξίνην, ἦσαν ἱκανὰ καὶ τοὺς πλέον ἀμερίμνους νὰ σηκώσουν καὶ νὰ τοὺς γεμίσουν μὲ ἀγωνίαν. Τοῦτο ἐννοοῦσε καὶ ὁ Παῦλος ὅταν ἔλεγε· «Λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τὴν οἰκουμένην ὅλων» [1]. Ἀλλὰ μὴ φοβηθῇς ἢ μᾶλλον μὴ φέρῃς τὸν φόβον σου εἰς τὴν ἀπόγνωσιν. Ἔχεις ἀκόμη ἐλπίδα μεταβολῆς· δὲν εἶναι ἡ ἀπόφασις τελεσίδικος οὔτε τὸ πελέκι ἤρχισε νὰ τέμνῃ. Καὶ τί θὰ τὸ ἠμπόδιζε νὰ ἀρχίσῃ νὰ τέμνῃ, ἀφοῦ εἶναι πλησίον τῆς ρίζης; Ἀλλὰ συμβαίνει τοῦτο· μὲ τὸν φόβον αὐτὸν θέλει νὰ σὲ κάμῃ καλύτερον καὶ νὰ προετοιμάσῃ τὴν καρποφορίαν σου. Διὰ τοῦτο καὶ ἐπρόσθεσε· «Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται». Μὲ τὴν λέξιν «πᾶν» στερεῖ πάλιν τοὺς Ἑβραίους ἀπὸ τὴν πρωτοκαθεδρίαν τῆς καταγωγῆς. Καὶ ἂν εἶσαι ἀπόγονος τοῦ ἰδίου τοῦ Ἀβραάμ, λέγει, καὶ ἂν ἠμπορῇς νὰ ἀριθμήσῃς ἀπείρους πατριάρχας ὡς προγόνους σου, θὰ ὑποστῇς διπλῆν τιμωρίαν, ἂν μείνῃς ἄκαρπος. Μὲ τέτοιους λόγους καὶ τοὺς τελώνας ἐφόβισε καὶ τὴν στρατιωτικὴν ψυχὴν συνεκλόνισε καὶ χωρὶς νὰ προξενήσῃ ἀπόγνωσιν, τοὺς ἀπήλλαξε ἀπὸ κάθε ραθυμίαν. Διότι ἐκτὸς ἀπὸ τὸν φόβον ὁ λόγος του περιέχει καὶ πολλὴν ἐνθάρρυνσιν. Μὲ τὴν φράσιν, «Μὴ ποιοῦν καρπὸν καλόν», ἔδειξεν ὅτι αὐτὸ ποὺ κάμνει καρπὸν καλὸν ἔχει ἀποφύγει κάθε τιμωρίαν.

4. Καὶ πῶς θὰ ἠμπορέσωμεν νὰ δώσωμεν καρπούς, ὅταν ἐπίκειται ἡ ἐκκοπή, τὰ περιθώρια τοῦ χρόνου εἶναι στενὰ καὶ ἡ προθεσμία σύντομος; Θὰ ἠμπορέσετε, μᾶς λέγει. Ἡ ἰδική σας καρποφορία δὲν εἶναι ὅπως τῶν δένδρων, ποὺ περιμένει πολὺν χρόνον, ποὺ ὑπακούει εἰς τὰς ἀπαιτήσεις τῶν ἐποχῶν καὶ ἔχει ἀνάγκην ἀπὸ πολλὰς ἄλλας φροντίδας. Φθάνει νὰ θελήσετε καὶ τὸ δένδρον βλαστάνει ἀμέσως. Δὲν εἶναι μόνον ἡ κατάστασις τῆς ρίζης ἀλλὰ καὶ ἡ τέχνη τοῦ γεωργοῦ, ποὺ

γοῦ πρὸς τὴν τοιαύτην τὰ μέγιστα συντελεῖ καρποφορίαν. Διὰ γάρ τοι τοῦτο, ἵνα μὴ ταῦτα λέγωσιν, ὅτι Θορυβεῖς ἡμᾶς καὶ κατεπείγεις καὶ ἄγχεις, ἀξίνην τε ἐπιτιθείς, καὶ τομὴν ἀπειλῶν, καὶ προσόδους ἐν καιρῷ τιμωρίας αἰτῶν, ἐπήγαγε, δεικνὺς τὴν εὐκολίαν τῆς καρποφορίας. «Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἄξιος τὸν ἱμάντα τοῦ ὑποδήματος λῦσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί»· διὰ τούτων δεικνὺς ὅτι γνώμης μόνον δεῖται καὶ πίστεως, οὐ πόνων καὶ ἱδρώτων, καὶ ὥσπερ εὔκολον βαπτισθῆναι, οὕτως εὔκολον μεταβληθῆναι καὶ γενέσθαι ἀμείνους.

Κατασείσας τοίνυν αὐτῶν τὴν διάνοιαν τῷ φόβῳ τῆς κρίσεως, καὶ τῇ προσδοκίᾳ τῆς κολάσεως, καὶ τῷ ὀνόματι τῆς ἀξίνης, καὶ τῇ ἀποβολῇ τῶν προγόνων, καὶ τῇ εἰσαγωγῇ τῶν ἑτέρων τέκνων, καὶ τῇ διπλῇ τιμωρίᾳ τῆς ἐκτομῆς καὶ τοῦ ἐμπρησμοῦ, καὶ πάντοθεν αὐτῶν καταμαλάξας τὸ σκληρόν, καὶ καταστήσας εἰς ἐπιθυμίαν τῆς ἀπαλλαγῆς τῶν τοσούτων κακῶν, τότε εἰσάγει τὸν περὶ Χριστοῦ λόγον· καὶ οὐ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς ὑπεροχῆς. Εἶτα τὸ μέσον αὐτοῦ καὶ ἐκείνου τιθείς, ἵνα μὴ δόξῃ χαριζόμενος τοῦτο λέγειν, ἀπὸ τῆς συγκρίσεως τῶν παρ' ἑκατέρου διδομένων τοῦτο κατασκευάζει. Οὐ γὰρ εὐθέως εἶπεν, «Οὐκ εἰμὶ ἄξιος αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος», ἀλλὰ πρότερον τὸ εὐτελὲς τοῦ βαπτίσματος τοῦ ἑαυτοῦ θείς, καὶ δείξας ὡς οὐδὲν πλέον ἔχει τοῦ πρὸς μετάνοιαν αὐτοὺς ἀγαγεῖν (οὐ γὰρ εἶπεν ὅτι Ὕδατι ἀφέσεως, ἀλλὰ Μετανοίας), τίθησι καὶ τὸ αὐτοῦ τὸ τῆς ἀφάτου δωρεᾶς γέμον. Ἵνα γὰρ μὴ ἀκούσας, φησίν, ὅτι μετ' ἐμὲ ἔρχεται, καταφρονήσῃς αὐτοῦ ὡς

συντελεῖ ἐξαιρετικὰ εἰς τὴν καρποφορίαν αὐτήν. Διὰ νὰ μὴ προβάλλουν τέτοιους ἰσχυρισμούς, ὅτι δηλαδή· Μᾶς τρομάζεις, μᾶς βιάζεις καὶ μᾶς πνίγεις, ἀφοῦ θέτεις τὴν ἀξίνην εἰς τὴν ρίζαν, ἀφοῦ μᾶς ἀπειλεῖς μὲ τομὴν καὶ ζητεῖς τὸ εἰσόδημά σου κατὰ τὸν καιρὸν τῆς τιμωρίας, δι' αὐτὸ ἀκριβῶς ἐπρόσθεσε παρουσιάζων τὴν εὐκολίαν τῆς καρποφορίας· «Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μού ἐστι, οὗ οὐκ εἰμὶ ἄξιος τὸν ἱμάντα τοῦ ὑποδήματος λῦσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί». Μὲ τοὺς λόγους τούτους ἐδείκνυεν ὅτι ζητεῖ διάθεσιν μόνον καὶ πίστιν καὶ ὄχι κόπους καὶ ἱδρῶτα. Ὅπως εὔκολον εἶναι νὰ βαπτισθῇς, ἔτσι εὔκολον εἶναι νὰ μεταβληθῇς καὶ νὰ γίνῃς καλύτερος.

Ἀφοῦ λοιπὸν ἐτάραξε τὴν ψυχήν των μὲ τὸν φόβον τῆς κρίσεως καὶ τὴν προσδοκίαν τῆς τιμωρίας, μὲ τὴν ἀναφορὰν τῆς ἀξίνης, τὴν ἀποβολήν των ἀπὸ τὴν προγονικὴν τιμὴν καὶ τὴν εἰσαγωγὴν εἰς τὴν θέσιν των ἄλλων τέκνων, μὲ τὴν διπλῆν τιμωρίαν, τὸ κόψιμον καὶ τὸ κάψιμον καὶ ἀφοῦ ἐμάλαξεν ἀπὸ παντοῦ τὴν σκληρότητά των καὶ τοὺς ἐνέβαλε τὴν ἐπιθυμίαν τῆς ἀπαλλαγῆς ἀπὸ τόσα δεινά, τότε ἀρχίζει τὸν λόγον του διὰ τὸν Χριστόν· καὶ ὄχι σὰν νὰ ἦτο κάτι συνηθισμένον ἀλλὰ τονίζων πολὺ τὴν ὑπεροχήν. Ἔπειτα, ἀφοῦ ὁρίζῃ τὴν ἀπόστασιν τοῦ ἑνὸς ἀπὸ τὸν ἄλλον, διὰ νὰ μὴ νομισθῇ ὅτι ὁ λόγος του εἶναι χαριστικός, τὸν συγκρατεῖ συγκρίνοντας τὰ δεδομένα καθενὸς ἀπὸ τοὺς δύο. Δὲν εἶπεν ἀμέσως· «Οὐκ εἰμὶ ἄξιος αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος». Ὁμιλεῖ προηγουμένως διὰ τὴν ἀσημαντότητα τοῦ ἰδικοῦ του βαπτίσματος καὶ τοὺς βεβαιώνει ὅτι δὲν ἔχει νὰ τοὺς προσφέρῃ τίποτε περισσότερον ἀπὸ τὸ νὰ τοὺς ὁδηγήσῃ εἰς τὴν μετάνοιαν· διότι δὲν εἶπεν 'Ὕδατι ἀφέσεως', ἀλλὰ «μετανοίας». Τότε παρουσιάζει καὶ τὸ βάπτισμα τοῦ Χριστοῦ, ποὺ εἶναι γεμᾶτον ἀπὸ ἀνέκφραστον δωρεάν. Διὰ νὰ μὴ ἀκούσετε, τοὺς λέγει, ὅτι ἔρχεται ἔπειτα ἀπὸ ἐμένα καὶ τὸν περιφρονήσετε, ἐπειδὴ ἦλθε μετέπειτα, ἐννοήσατε τὴν δύναμιν τῆς δωρεᾶς του. Θὰ ἀντιληφθῆτε

ὑστέρου παραγενομένου, μάθε αὐτοῦ τῆς δωρεᾶς τὴν δύναμιν, καὶ εἴσῃ σαφῶς, ὅτι οὐδὲν ἄξιον εἴρηκα, οὐδὲ μέγα, εἰπών, «Οὐκ εἰμὶ ἄξιος λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος».

Ὥστε ὅταν ἀκούσῃς, ὅτι «Ἰσχυρότερός μού ἐστι», μὴ νομίσῃς κατὰ σύγκρισίν με τοῦτο εἰρηκέναι. Οὐδὲ γὰρ εἰς δούλους ἄξιός εἰμι τάττεσθαι ἐκείνου, οὐδὲ εἰς δούλους ἐσχάτους, οὐδὲ τὸ εὐτελὲς τῆς διακονίας ἀναδέξασθαι μέρος. Διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε, Τὰ ὑποδήματα, ἀλλ' «Οὐδὲ τὸν ἱμάντα»· ὅπερ ἔσχατον πάντων ἐδόκει εἶναι. Εἶτα, ἵνα μὴ νομίσῃς ταπεινοφροσύνης εἶναι τὰ εἰρημένα, ἐπάγει καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν· «Ἐκεῖνος γὰρ ὑμᾶς», φησί, «βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί».

Εἶδες πόση τοῦ Βαπτιστοῦ σοφία; Ὅταν γὰρ αὐτὸς κηρύττῃ, τὰ φοβερὰ πάντα λέγει, καὶ ἀγωνίαν ἀμβάλλοντα· ὅταν δὲ πρὸς ἐκεῖνον πέμπῃ, τὰ χρηστὰ καὶ ἀνακτήσασθαι ἱκανά. Οὐ γὰρ τὴν ἀξίνην, οὐδὲ τὸ δένδρον τὸν ἐκκοπτόμενον καὶ καιόμεμενον καὶ εἰς πῦρ βαλλόμενον, οὔτε τὴν μέλλουσαν ὀργὴν εἰς μέσον ἄγει, ἀλλ' ἁμαρτημάτων ἄφεσιν καὶ τιμωρίας ἀναίρεσιν καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν καὶ υἱοθεσίαν καὶ ἀδελφότητα καὶ κληρονομίας κοινωνίαν καὶ Πνεύματος ἁγίου δαψιλῆ χορηγίαν. Ταῦτα γὰρ πάντα ᾐνίξατο εἰπών· «Βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ»· καὶ αὐτῇ τῇ μεταφορᾷ τῆς λέξεως τὸ δαψιλὲς τῆς χάριτος ἐμφαίνων· οὐ γὰρ εἶπε, Δώσει ὑμῖν Πνεῦμα ἅγιον, ἀλλά, «Βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ»· καὶ τῇ ἐπεξηγήσει τοῦ πυρὸς πάλιν τὸ σφοδρὸν καὶ ἀκάθεκτον τῆς χάριτος ἐνδεικνύμενος.

5. Ἐννόησον γοῦν τίνας εἰκὸς ἦν γενέσθαι τοὺς ἀκούοντας, λογιζομένους ὅτι κατὰ τοὺς προφήτας ἀθρόον ἔσονται, καὶ κατὰ τοὺς μεγάλους ἐκείνους. Διὰ γάρ τοι τοῦτο καὶ πυρὸς ἐμνημόνευσεν, ἵνα εἰς ἔννοιαν αὐτοὺς τῆς μνήμης ἐκείνων ἀγάγῃ. Καὶ γὰρ ὅσαι σχεδὸν αὐτοῖς ὄψεις ἐφάνησαν, αἱ πλείους διὰ πυ-

τότε καλῶς, ὅτι δὲν εἶπα τίποτε ἀνάλογον πρὸς τὴν ἀξίαν των, τίποτε ὑπερβολικόν, βεβαιώνων ὅτι «Οὐκ εἰμὶ ἄξιος λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος».

Ὥστε, ὅταν ἀκούσετε ὅτι ἰσχυρότερός μού ἐστι, μὴ νομίσετε ὅτι τὸν συγκρίνω μὲ τὸν ἑαυτόν μου. Δὲν εἶμαι ἄξιος οὔτε μὲ τοὺς δούλους του νὰ συγκαταλεχθῶ καὶ μάλιστα μὲ τοὺς κατωτέρους οὔτε καὶ τὸ ταπεινωτικώτερον ἔργον νὰ ἀναλάβω. Διὰ τοῦτο δὲν εἶπεν ἁπλῶς "Ὑποδήματα", ἀλλὰ μήτε τὸν ἱμάντα, πρᾶγμα ποὺ τὸ ἔβλεπεν ὡς τὸ τελευταῖον ὅλων. Ἔπειτα, διὰ νὰ μὴ νομίσετε ὅτι τὰ λεχθέντα προέρχονται ἀπὸ ταπεινοφροσύνην, προσκομίζει καὶ τὴν ἀπόδειξιν ἀπὸ τὰ πράγματα. Λέγει· «Ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί».

Βλέπετε πόση εἶναι ἡ σοφία τοῦ βαπτιστοῦ; Ὅταν κηρύττῃ ὁ ἴδιος, ἀναφέρει ὅσα εἶναι φανερὰ καὶ προκαλοῦν ἀγωνίαν. Ὅταν ἀναφέρεται εἰς ἐκεῖνον, ὅσα εἶναι ἀγαθὰ καὶ ἠμποροῦν νὰ τοὺς ἐμψυχώσουν. Δὲν ἀναφέρει τὸ πελέκι, οὔτε τὸ δένδρον ποὺ τὸ κόπτουν καὶ τὸ ρίπτουν εἰς τὴν φωτιὰν διὰ νὰ καῇ, οὔτε τὴν μελλοντικὴν ὀργήν. Ὁμιλεῖ διὰ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν, τὴν κατάργησιν τῆς τιμωρίας, τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὴν ἀπολύτρωσιν, τὴν υἱοθεσίαν, τὴν ἀδελφότητα· διὰ τὴν συμμετοχὴν εἰς τὴν κληρονομίαν καὶ τὴν πλουσίαν χορηγίαν τοῦ ἁγίου Πνεύματος. Ὅλα αὐτὰ τὰ ἄφησε νὰ ἐννοηθοῦν, ὅταν εἶπε· «Βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ», καθιστῶν φανερὸν τὸν πλοῦτον τῆς χάριτος μὲ τὴν μεταφορικὴν χρῆσιν τῆς λέξεως. Διότι δὲν εἶπε θὰ σᾶς «δώσῃ» τὸ ἅγιον Πνεῦμα, ἀλλὰ «Βαπτίσει (θὰ βυθίσῃ) ὑμᾶς ἐν Πνεύματι ἁγίῳ». Καὶ μὲ τὴν συμπλήρωσιν «καὶ πυρὶ» φανερώνει πάλιν τὴν ὁρμητικὴν καὶ ἀσυγκράτητον δύναμιν τῆς χάριτος.

5. Στοχάσου λοιπὸν εἰς ποίαν κατάστασιν ἦτο φυσικὸν νὰ εὑρεθοῦν οἱ ἀκροαταί, εἰς τὴν σκέψιν ὅτι θὰ ἐγίνοντο διὰ μιᾶς ὅμοιοι μὲ τοὺς προφήτας καὶ μεγάλους ἐκείνους ἄνδρας. Διὰ τοῦτο ἀκριβῶς ἀνέφερε καὶ τὴν φωτιὰν διὰ νὰ τοὺς ὁδηγήσῃ εἰς τὴν ἀνάμνησιν ἐκείνων. Διότι ὅλαι σχεδὸν αἱ θετικαὶ ἐμφανίσεις ποὺ ἔγιναν εἰς αὐτούς, αἱ περισσότεραι εἶχαν τὴν

ρὸς ἐφάνησαν· οὕτω τῷ Μωϋσῇ διελέχθη ἐν τῇ βάτῳ ὁ Θεός· οὕτω τῷ δήμῳ παντὶ ἐν τῷ ὄρει Σινᾶ· οὕτω τῷ Ἰεζεκιὴλ ἐπὶ τῶν Χερουβίμ. Σκόπει δὲ πῶς καὶ διεγείρει τὸν ἀκροατήν, πρότερον μὲν θεὶς ὃ μετὰ πάντα ἔμελλε γίνεσθαι. Ἔδει γὰρ σφαγῆναι τὸν Ἀμνὸν καὶ τὴν ἁμαρτίαν ἀφανισθῆναι καὶ καταλυθῆναι τὴν ἔχθραν καὶ τὴν ταφὴν γενέσθαι καὶ τὴν ἀνάστασιν, καὶ τότε τὸν Πνεῦμα παραγενέσθαι. Ἀλλὰ τούτων οὐδὲν λέγει τέως· ἀλλὰ πρῶτον τὸ τελευταῖον, καὶ δι' ὃ πάντα ἐκεῖνα ἐγίνετο, καὶ ὃ μάλιστα ἱκανὸν ἦν αὐτοῦ τὴν ἀξίαν κηρῦξαι· ἵν' ὅταν ἀκούσῃ ὁ ἀκροατὴς ὅτι Πνεῦμα λήψεται τοσοῦτον, ζητῇ πρὸς ἑαυτόν, πῶς καὶ τίνι τρόπῳ τοῦτο ἔσται, τῆς ἁμαρτίας οὕτω κρατούσης· ἵνα λαβὼν αὐτὸν μεμεριμνημένον, καὶ ἐμπαράσκευον πρὸς τὴν ἀκρόασιν, οὕτω τὸν περὶ τοῦ πάθους εἰσαγάγῃ λόγον, μηδενὸς λοιπόν σκανδαλιζομένου τῇ προσδοκίᾳ τῆς τοιαύτης δωρεᾶς. Διὸ πάλιν ἐβόα λέγων· «Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». Οὐκ εἶπεν, Ὁ ἀφείς, ἀλλ' ὃ μείζονος ἦν κηδεμονίας, «Ὁ αἴρων». Οὐ γάρ ἐστιν ἴσον ἀφεῖναι ἁπλῶς, καὶ αὐτὸν ἀναλαβεῖν. Τὸ μὲν γὰρ ἐξ ἀκινδύνου ἐγίνετο, τὸ δὲ μετὰ θανάτου.

Καὶ πάλιν ἔλεγεν ὅτι Υἱὸς τοῦ Θεοῦ ἐστιν. Ἀλλ' οὐδὲ τοῦτο τρανὴν τοῖς ἀκούουσι τὴν ἀξίαν ἐδήλου. Οὐδὲ γὰρ ᾔδεσαν οὐδέπω γνήσιον αὐτὸν ἐννοεῖν Υἱόν· ἀπὸ δὲ τῆς τοσαύτης τοῦ Πνεύματος δόσεως κἀκεῖνο συνίστατο. Διὰ δὴ τοῦτο καὶ ὁ Πατὴρ πέμπων τὸν Ἰωάννην, τοῦτο αὐτῷ δεῖγμα πρῶτον τῆς τοῦ παραγενομένου δέδωκεν ἀξίας, εἰπών· «Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ». Διὸ καὶ αὐτός φησιν· «Ἐγὼ ἑώρακα καὶ με-

---

1. Ἰω. 1, 29.

2. Εἶναι διάφορον τὸ νὰ συγχωρήσῃς τοὺς ἀνθρώπους ἀπὸ τὸ νὰ ἀναλάβῃς εἰς τοὺς ὤμους σου τὰς ἁμαρτίας των. Ἔχει καὶ τὸ πρῶτον τὸ τίμημά του ἀλλὰ τὸ δεύτερον ἀκολουθεῖται ἀπὸ κάτι πολὺ βαρύτερον, τὴν συνέπειαν τοῦ θανάτου· «θανάτου δὲ σταυροῦ», παρατηρεῖ ὁ Παῦλος.

ὄψιν τῆς φωτιᾶς. Μὲ τὴν ὄψιν τῆς φωτιᾶς συνωμίλησεν ὁ Θεὸς μὲ τὸν Μωϋσῆ εἰς τὴν βάτον· ἔτσι εἰς τὸ ὄρος Σινᾶ πρὸς ὁλόκληρον τὸν λαόν· ἔτσι εἰς τὸν Ἰεζεκιὴλ καθισμένος ἐπάνω εἰς τὰ Χερουβίμ. Πρόσεξε δὲ πῶς διεγείρει τὴν προσοχὴν τοῦ ἀκροατοῦ, ἀναφέρων πρῶτον αὐτὸ ποὺ ἦτο νὰ γίνῃ ἔπειτα ἀπὸ ὅλα. Ἔπρεπε βέβαια νὰ θυσιασθῇ ὁ Ἀμνός, νὰ ἐξαλειφθῇ ἡ ἁμαρτία, νὰ καταλυθῇ ἡ ἔχθρα, νὰ γίνῃ ἡ ταφὴ καὶ ἡ ἀνάστασις καὶ τότε νὰ ἔλθῃ τὸ Πνεῦμα. Χωρὶς νὰ μνημονεύσῃ κανένα ἀπὸ αὐτά, ἀναφέρει ὡς πρῶτον τὸ τελευταῖον, χάριν τοῦ ὁποίου ἐγίνοντο ὅλα καὶ ποὺ ἦτο τὸ καταλληλότερον νὰ διακηρύξῃ τὴν ἀξίαν του. Ἔτσι, ὅταν ἀκούσῃ ὁ ἀκροατὴς ὅτι θὰ λάβῃ τόσην ἀφθονίαν Πνεύματος, νὰ ἐρωτήσῃ τὸν ἑαυτόν του· πῶς θὰ συμβῇ τοῦτο, ἐνῷ εἶναι τόση ἡ δύναμις τῆς ἁμαρτίας. Καὶ ἔτσι, ἀφοῦ τὸν εὕρῃ προδιατεθειμένον καὶ παρασκευασμένον διὰ τὴν ἀκρόασιν, νὰ τοῦ ἐκθέσῃ τότε τὴν διδασκαλίαν διὰ τὸ πάθος, ὁπότε δὲν θὰ ἐσκανδαλίζετο κανεὶς πλέον μὲ τὴν προσδοκίαν τῆς τόσης δωρεᾶς. Διὰ τοῦτο ἐξ ἄλλου ἔλεγεν· «Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[1]. Δὲν εἶπεν "Ὁ συγχωρήσας (ἀφεὶς)", ἀλλὰ «ὁ ἀναλαμβάνων (ὁ αἴρων)», πρᾶγμα ποὺ ἀποδεικνύει στενώτερον ἐνδιαφέρον. Δὲν εἶναι ἴσα μεταξύ των τὸ νὰ συγχωρήσῃ καὶ τὸ νὰ ἀναλάβῃ ἐπάνω του ὁ ἴδιος· τὸ ἕνα ἦτο ἀκίνδυνον, τὸ ἄλλο περιέκλειε τὴν συνέπειαν τοῦ θανάτου [2].

Ἔλεγεν ἀκόμη ὅτι ἦτο Υἱὸς τοῦ Θεοῦ[3]. Ἀλλὰ καὶ τοῦτο δὲν ἔκαμεν εἰς ὅσους ἤκουαν εὐκρινῆ τὴν ἀξίαν του. Δὲν ἐγνώριζαν ἀκόμη πῶς νὰ τὸν ἐννοήσουν ὡς γνήσιον Υἱὸν ἀλλὰ ἦτο καὶ τοῦτο συνάρτησις τῆς τόσον μεγάλης δωρεᾶς τοῦ Πνεύματος. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Θεὸς Πατήρ, ὅταν ἔστελλεν εἰς τὸ κήρυγμα τὸν Ἰωάννην, αὐτὸ τοῦ ἔδωσεν ὡς πρῶτον δεῖγμα τῆς ἀξίας ἐκείνου ποὺ ἦλθε. Τοῦ εἶπε· «Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ» [4]. Διὰ τοῦτο καὶ ἐκεῖνος λέγει· «Ἐγὼ ἑώρακα καὶ μεμαρ-

3. Ἰω. 1, 34.
4. Ἰω. 1, 33.

μαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ»· ὡς ἀπὸ τούτου κακείνου λοιπὸν σαφῶς συνισταμένου.

Εἶτα, ἐπειδὴ τὰ χρηστὰ εἶπε καὶ ἀνῆκε τὸν ἀκροατὴν καὶ χάλασε πάλιν ἐπισφίγγει, ὥστε μὴ γενέσθαι ῥᾴθυμον. Τοιοῦτον γὰρ τὸ γένος τὸ Ἰουδαϊκόν· ὑπὸ τῶν χρηστῶν ἐχαυνοῦντο ῥᾳδίως, καὶ χείρους ἐγίνοντο. Διόπερ πάλιν ἐπάγει τὰ φοβερὰ λέγων· «Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ». Ἀνωτέρω μὲν γὰρ τὴν κόλασιν εἶπεν· ἐνταῦθα δὲ καὶ τὸν κριτὴν δείκνυσι, καὶ τὴν τιμωρίαν ἀθάνατον εἰσάγει· «Κατακαύσει» γάρ, φησί, «τὸ ἄχυρον πυρὶ ἀσβέστῳ». Ὁρᾷς αὐτὸν τὸν τῶν πραγμάτων Κύριον, καὶ αὐτὸν ὄντα τὸν γεωργόν, κἂν τὸν Πατέρα ἀλλαχοῦ ταὐτὸ λέγῃ· «Ὁ Πατήρ μου» γάρ, φησίν, «ὁ γεωργός ἐστιν».

Ἐπειδὴ γὰρ εἶπεν, «Ἀξίνη», ἵνα μὴ νομίσῃς πόνου δεῖσθαι τὸ πρᾶγμα καὶ δυσδιάκριτον εἶναι, ἐξ ἑτέρου παραδείγματος καὶ τὴν εὐκολίαν εἰσάγει, δεικνὺς πάντα αὐτοῦ τὸν κόσμον ὄντα· οὐ γὰρ ἂν τοὺς μὴ ἑαυτοῦ ἐκόλασε. Νῦν μὲν οὖν πάντα ἀναμέμικται· κἂν γὰρ φαίνηται διαλάμπων ὁ σῖτος, ἀλλ' ὅμως μετὰ τῶν ἀχύρων κεῖται, ὡς ἐν ἅλωνι, οὐχ ὡς ἐν ἀποθήκῃ· τότε δὲ πολλὴ ἔσται ἡ διάκρισις.

Ποῦ νῦν εἰσιν οἱ τῇ γεέννῃ διαπιστοῦντες; Καὶ γὰρ δύο τέθεικε, καὶ ὅτι βαπτίσει Πνεύματι ἁγίῳ, καὶ ὅτι κατακαύσει τοὺς ἀπειθοῦντας. Εἰ τοίνυν ἐκεῖνο πιστόν, καὶ τοῦτο πάντως. Διὰ γὰρ τοῦτο ἐφεξῆς τὰς δύο προῤῥήσεις τέθεικεν, ἵνα ἀπὸ τῆς ἤδη γενομένης καὶ τὴν μηδέπω συμβᾶσαν πιστώσηται.

Καὶ γὰρ καὶ ὁ Χριστὸς πολλαχοῦ τοῦτο ποιεῖ, πολλάκις μὲν ἐπὶ τῶν αὐτῶν πραγμάτων, πολλάκις δὲ ἐπὶ τῶν ἐναντίων, δύο τιθεὶς προφητείας, καὶ τὴν μὲν ἐνταῦθα παρεχόμενος, τὴν δὲ ἐν τῷ μέλλοντι ὑπισχνούμενος· ἵνα ἀπὸ τῆς ἤδη γενομένης καὶ τῇ μηδέπω γενομένῃ πιστεύσωσιν οἱ φιλονει-

---

1. Ἰω. 1, 34.
2. Ἰω. 15, 1.

τύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ»[1]. Διότι ἀπὸ αὐτὸ ἐξαρτᾶται καὶ ἐκεῖνο.

Ἐν συνεχείᾳ, ἐπειδὴ ἀνέφερε τὰ εὐάρεστα καὶ ἐπροκάλεσεν εἰς τὸν ἀκροατὴν κάποιαν ἄνεσιν καὶ ἀνακούφισιν, τὸν καθιστᾷ πάλιν προσεκτικόν, ὥστε νὰ μὴ γίνῃ ράθυμος. Τέτοιοι ἦσαν οἱ Ἰουδαῖοι· εὐκόλως ἐχαυνώνοντο ἀπὸ τὰ εὐάρεστα καὶ ἐγίνοντο χειρότεροι· Διὰ τοῦτο ὑπενθυμίζει πάλιν τὰ φοβερὰ μὲ τοὺς λόγους· «Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ». Προηγουμένως εἶχεν ἀναφέρει τὴν τιμωρίαν. Τώρα καὶ τὸν κριτὴν παρουσιάζει καὶ τὴν τιμωρίαν χαρακτηρίζει ὡς ἀθάνατον. Λέγει· «Κατακαύσει γὰρ τὸ ἄχυρον πυρὶ ἀσβέστῳ». Βλέπεις ἐδῶ τὸν ἴδιον τὸν Κύριον τῶν ὄντων, νὰ εἶναι ὁ ἴδιος ὁ γεωργὸς καὶ ἂς ἀποδίδῃ ἀλλοῦ τὸν ἴδιον χαρακτηρισμὸν εἰς τὸν πατέρα. Λέγει· «Ὁ πατήρ μου ὁ γεωργός ἐστιν»[2].

Ἐπειδὴ εἶπε τὴν λέξιν ἀξίνη, διὰ νὰ μὴ νομίζῃς ὅτι τὸ πρᾶγμα ἀπαιτεῖ κόπον καὶ εἶναι δύσκολον νὰ γίνῃ διάκρισις, μὲ ἄλλο παράδειγμα εἰσάγει τὴν εὐκολίαν, ὑποδεικνύων ὅτι ὅλος ὁ κόσμος ἀνήκει εἰς αὐτόν. Διότι δὲν θὰ ἐτιμωροῦσε καὶ ἰδικούς του. Τώρα λοιπὸν εἶναι ὅλα ἀναμεμειγμένα. Καὶ ἂν δὲν φαίνεται νὰ ξανθίζῃ ὁ σῖτος, ὑπάρχει ὅμως μέσα εἰς τὰ ἄχυρα, ὅπως μέσα εἰς ἀλώνι, ὄχι ὅπως μέσα εἰς τὴν ἀποθήκην· τότε ἡ διάκρισις θὰ εἶναι ἀναντίρρητος.

Ποῦ εἶναι τώρα ὅσοι δὲν πιστεύουν εἰς τὴν γέενναν; Ἀνέφερε δύο ἐνεργείας του· ὅτι θὰ βαπτίσῃ μὲ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος καὶ ὅτι θὰ παραδώσῃ εἰς τὴν φωτιὰν ὅσους ἀπειθοῦν. Ἂν εἶναι ἀξιοπίστευτον τὸ ἕνα, εἶναι ὁπωσδήποτε καὶ τὸ ἄλλο. Διὰ τοῦτο ἐξέθεσε κατὰ σειρὰν τὰς δύο προφητείας· ἀπὸ αὐτὴν ποὺ εἶχεν ἤδη πραγματοποιηθῆ, νὰ πιστοποιήσῃ καὶ ἐκείνην ποὺ ἐκκρεμοῦσεν ἀκόμη.

Καὶ ὁ Χριστὸς κάμνει τὸ ἴδιο εἰς πολλὰς περιπτώσεις· Συχνὰ διὰ τὰ ἴδια πράγματα ἢ καὶ διὰ τὰ ἀντίθετα, παραθέτει δύο προφητείας· τῆς μιᾶς τὴν ἐκπλήρωσιν δίδει τώρα, τῆς ἄλλης τὴν ὑπόσχεται εἰς τὸ μέλλον. Ἔτσι ἀπὸ τὴν πραγματοποιημένην οἱ ἀντιρρητικώτεροι νὰ πιστεύσουν καὶ εἰς τὴν ἀ-

κότεροι. Καὶ γὰρ τοῖς δι' αὐτὸν ἀποδυομένοις τὰ ὄντα πάντα ἑκατονταπλασίονα ὑπέσχετο δώσειν ἐν τῷ παρόντι βίῳ, καὶ ζωὴν αἰώνιον ἐν τῶ μέλλοντι, ἀπὸ τῶν ἤδη δοθέντων καὶ τὰ μέλλοντα ἀξιόπιστα καθιστάς. Ὃ δὴ καὶ Ἰωάννης ἐνταῦθα πεποίηκε δύο θείς, ὅτι καὶ βαπτίσει Πνεύματι ἁγίῳ, καὶ κατακαύσει πυρὶ ἀσβέστῳ.

6. Εἰ τοίνυν μὴ ἐβάπτισε Πνεύματι τοὺς ἀποστόλους καὶ πάντας καθ' ἑκάστην ἡμέραν τοὺς βουλομένους, ἔχοις ἂν καὶ περὶ ἐκείνων ἀμφιβάλλειν· εἰ δὲ τὸ μεῖζον καὶ δυσκολώτερον εἶναι δοκοῦν, καὶ πάντα ὑπερβαῖνον λόγον, καὶ γέγονε καὶ καθ' ἑκάστην γίνεται, πῶς τὸ εὔκολον καὶ κατὰ λόγον γινόμενον οὐ φῂς εἶναι ἀληθές; Ἐπειδὴ γὰρ εἶπεν ὅτι «Βαπτίσει ἐκ Πνεύματι ἁγίῳ καὶ πυρί», καὶ μεγάλα ἐντεῦθεν ὑπέσχετο ἀγαθά, ἵνα μὴ ἀναπέσῃς τῶν προτέρων ἁπάντων ἀφεθείς, ἐπήγαγε τὸ πτύον καὶ τὴν διὰ τούτου κρίσιν ἐμφαινομένην. Μὴ γὰρ δὴ νομίσητε φησίν, ἀρκεῖν τὸ βάπτισμα, εἰ φαῦλοι μετὰ ταῦτα γένοισθε· δεῖ γὰρ ἡμῖν καὶ ἀρετῆς καὶ πολλῆς τῆς φιλοσοφίας. Διὰ τοῦτο εἰς μὲν τὴν χάριν καὶ τὸ λουτρὸν ἀπὸ τῆς ἀξίνης αὐτοὺς ὠθεῖ· μετὰ δὲ τὴν χάριν ἀπὸ τοῦ πτύου καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου φοβεῖ· καὶ τῶν μὲν πρὸ τοῦ βαπτίσματος οὐδεμίαν ποιεῖται διάκρισιν, ἀλλ' ἁπλῶς, «Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται», φησί, τοὺς ἀπίστους ἅπαντας κολάζων· μετὰ δὲ τὸ βάπτισμα διαίρεσίν τινα ἐργάζεται, ἐπειδὴ πολλοὶ τῶν πιστευσάντων ἀνάξιον ἔμελλον τῆς πίστεως ἐπιδείκνυσθαι βίον.

Μηδεὶς τοίνυν γινέσθω ἄχυρον, μηδεὶς εὐρίπιστος ἔστω, μηδὲ ταῖς πονηραῖς ἐπιθυμίαις προκείσθω, πανταχοῦ ῥᾳδίως ὑπ' αὐτῶν ἀναῤῥιπιζόμενος. Ἂν μὲν γὰρ μείνῃς σῖτος, κἂν πειρασμὸς ἐπενεχθῇ, οὐδὲν πείσῃ δεινόν· καὶ γὰρ κατὰ τὴν ἅλω τῆς ἁμάξης οἱ τροχοὶ οἱ πριστηριοειδεῖς τὸν σῖτον οὐ διατέμνουσιν· ἂν δὲ εἰς ἀχύρου μεταπέσῃς ἀσθένειαν, καὶ ἐνταῦθα

1. Μάρκ. 10, 30.

νεκπλήρωτον ἀκόμη. Διότι εἰς αὐτούς, ποὺ πρὸς χάριν του ἀπεξενώθησαν ἀπὸ ὅλα τὰ ὑπάρχοντά των, ὑπεσχέθη νὰ δώσῃ ἑκατονταπλάσια εἰς τὴν ζωὴν αὐτὴν[1] καὶ τὴν αἰωνιότητα εἰς τὴν μελλοντικὴν βασιλείαν· ἔτσι ἀπὸ ὅσα ἤδη ἐδόθησαν καθιστᾷ ἀξιόπιστα καὶ τὰ μελλοντικά. Τὸ ἴδιο κάμνει ἐδῶ καὶ ὁ Ἰωάννης μὲ τὰς δύο βεβαιώσεις του· ὅτι θὰ βαπτίσῃ ἐν ἁγίῳ Πνεύματι καὶ ὅτι θὰ κατακαύσῃ μὲ ἄσβεστον πῦρ.

6. Ἂν λοιπὸν δὲν ἐβάπτιζεν ἐν Πνεύματι τοὺς ἀποστόλους καὶ καθημερινὰ ὅλους ὅσοι ἐπιθυμοῦν, θὰ ἠμποροῦσες νὰ ἀμφιβάλλῃς καὶ διὰ τὰ ἄλλα. Ἂν ὅμως ἔχῃ ἤδη πραγματοποιηθῇ καὶ καθημερινὰ πραγματοποιεῖται ἐκεῖνο ποὺ, κατὰ τὴν γνώμην μας, εἶναι τὸ ἀνώτερον καὶ δυσκολώτερον καὶ ξεπερνᾷ κάθε λογικήν, πῶς θὰ ἀρνηθῇς ὅτι εἶναι ἀληθινὸν αὐτὸ ποὺ καὶ εὔκολον εἶναι καὶ μέσα εἰς τὰ πλαίσια τοῦ λογικοῦ; Ἐπειδὴ εἶπεν ὅτι «Βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ» καὶ ὑπεσχέθη ἐν συνεχείᾳ μεγάλας δωρεάς, διὰ νὰ μὴ ἀδρανήσῃς, ἐπειδὴ σοῦ συνεχωρήθησαν ὅλα, ἀνέφερε καὶ τὸ λιχνιστήρι καὶ τὴν κρίσιν ποὺ αὐτὸ ὑποδηλώνει. Μὴ νομίσετε, τοὺς λέγει, ὅτι ἀρκεῖ τὸ βάπτισμα, ἂν γίνετε φαῦλοι ἔπειτα ἀπὸ αὐτό. Ἔχετε ἀνάγκην ἀπὸ ἀρετὴν καὶ πολλὴν προσοχήν. Διὰ τοῦτο μὲ τὴν ἀξίνην τοὺς ὠθεῖ εἰς τὴν χάριν καὶ τὸ λουτρόν, μετὰ τὴν χάριν ὅμως τοὺς φοβίζει ἀναφέρων τὸ λιχνιστήρι καὶ τὴν ἄσβεστον φωτιάν. Καὶ πρὸ τοῦ βαπτίσματος δὲν κάμνει καμμίαν διάκρισιν τῶν ἀνθρώπων ἀλλὰ λέγει· «Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται», περιλαμβάνων εἰς τὴν τιμωρίαν ὅλους τοὺς ἀπίστους. Μετὰ τὸ βάπτισμα ὅμως κάμνει κάποιαν διαίρεσιν, ἐπειδὴ πολλοὶ ἀπὸ ὅσους ἐπίστευσαν ἐπρόκειτο νὰ παρουσιάσουν ζωὴν ὄχι ἀξίαν τῆς πίστεως.

Κανεὶς λοιπὸν ἂς μὴ ἀποδειχθῇ ἄχυρον, ἂς μὴ γίνῃ παιχνίδι τοῦ ἀνέμου, καὶ ἂς μὴ παραδοθῇ εἰς τὰς κακὰς ἐπιθυμίας, διὰ νὰ τὸν μεταφέρουν πότε ἐδῶ καὶ πότε ἐκεῖ εὐκόλως. Ἂν μείνῃς σιτάρι, ἀκόμη καὶ ἂν σὲ προσβάλῃ ὁ πειρασμός, δὲν θὰ πάθῃς κανένα κακόν. Διότι καὶ εἰς τὸ ἁλώνι οἱ πριονωτοὶ πυριτόλιθοι τῆς δουκάνης δὲν θρυμματίζουν τὸ σιτάρι. Ἂν ὅμως

ἀνήκεστα πείσῃ κοπτόμενος ὑπὸ πάντων, καὶ ἐκεῖ τὴν ἀθάνατον ὑποστήσῃ κόλασιν. Οἱ γὰρ τοιοῦτοι πάντες καὶ πρὸ τῆς ἐκεῖ καμίνου τροφὴ τοῖς ἀλόγοις γίνονται ἐνταῦθα πάθεσιν, ὥσπερ τὸ ἄχυρον τοῖς ἀλόγοις ζώοις· καὶ ἐκεῖ πάλιν ὕλη καὶ τροφὴ τῷ πυρί. Τὸ μὲν οὖν εἰπεῖν ἐξ εὐθείας ὅτι Αὐτὸς δικάσει τοῖς γινομένοις, οὐχ οὕτως ἐποίει εὐπαράδεκτον τὸν λόγον· τὸ δὲ ἀναμίξαι τὴν παραβολήν, καὶ διὰ ταύτης κατασκευάσαι τὸ πᾶν, μᾶλλον ἔπειθε καὶ μετὰ πλείονος παραμυθίας ἐφείλκελο τὸν ἀκροατήν. Διὸ καὶ τὰ πλείονα οὕτως αὐτοῖς αὐτὸς διαλέγεται, ἅλωνα καὶ ἀμητὸν καὶ ἀμπελῶνα καὶ ληνὸν καὶ ἄρουραν καὶ σαγήνην καὶ ἁλείαν, καὶ πάντα τὰ συνήθη καὶ ἐν οἷς ἐστρέφοντο, τοῖς λόγοις μιγνὺς τοῖς αὐτοῦ. Ὅπερ οὖν καὶ ὁ Βαπτιστὴς ἐνταῦθα πεποίηκε, καὶ ἀπόδειξιν μεγίστην παρέσχετο τῶν εἰρημένων, τὴν τοῦ Πνεύματος δόσιν. Ὁ γὰρ τοσαῦτα δυνάμενος, ὡς καὶ ἁμαρτήματα ἀφεῖναι, καὶ Πνεῦμα δοῦναι, καὶ ταῦτα πολλῷ μᾶλλον δυνήσεται, φησίν. Εἶδες πῶς ἤδη τὸ μυστήριον ἀκολούθως προκατεβάλλετο τῆς ἀναστάσεως καὶ τῆς κρίσεως;

Καὶ τίνος ἕνεκεν, φησίν, οὐκ εἶπε τὰ εὐθέως ἐσόμενα παρ' αὐτοῦ σημεῖα καὶ τέρατα;

Ὅτι τοῦτο μεῖζον ἁπάντων ἦν, καὶ διὰ τοῦτο πάντα ἐκεῖνα ἐγίνετο. Τὸ γὰρ κεφάλαιον θείς, πάντα περιέλαβε· θανάτου λύσιν, ἁμαρτημάτων ἀναίρεσιν, κατάρας ἀφανισμόν, τῶν χρονίων πολέμων ἀπαλλαγήν, τὴν εἰς τὸν παράδεισον εἴσοδον, τὴν εἰς οὐρανοὺς ἄνοδον, τὴν μετὰ ἀγγέλων πολιτείαν, τὴν τῶν μελλόντων ἀγαθῶν κοινωνίαν· καὶ γὰρ οὗτος ἀῤῥαβὼν ἐκείνων ἐστίν. Εἰπὼν τοίνυν τοῦτο, εἶπε καὶ τὴν τῶν σωμάτων ἀνάστασιν, καὶ τὴν τῶν ἐνταῦθα σημείων ἀπόδειξιν, καὶ τὴν τῆς βασιλείας κοινωνίαν, καὶ τὰ ἀγαθά. «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς

εὑρεθῇς νὰ ἔχῃς τὴν ἀδυναμίαν τοῦ ἀχύρου, καὶ ἐδῶ θὰ σὲ κτυποῦν ὅλοι καὶ ἐκεῖ θὰ ὑποστῇς τὴν αἰωνίαν τιμωρίαν. Ὅλοι αὐτοὶ οἱ ἄνθρωποι, προτοῦ ριφθοῦν εἰς τὸ καμίνι ἐκεῖνο, γίνονται καὶ ἐδῶ τροφὴ τῶν ἀλόγων παθῶν, ὅπως τὸ ἄχυρον τροφὴ τῶν ἀλόγων ζώων. Ἐκεῖ πάλι γίνονται ὑλικὸν καὶ τροφὴ τῆς φωτιᾶς. Τὸ νὰ εἰπῇ κατ' εὐθεῖαν ὅτι Αὐτὸς θὰ δικάσῃ διὰ τὰς πράξεις, δὲν θὰ ἔκαμε καὶ τόσον εὔκολα παραδεκτὸν τὸν λόγον. Τὸ νὰ ἀναμείξῃ ὅμως τὴν παραβολὴν καὶ νὰ στηρίξῃ εἰς αὐτὴν ἐξ ὁλοκλήρου τὸν λόγον του ἐδημιουργοῦσε περισσοτέραν πειθὼ καὶ προσείλκυε τὸν ἀκροατὴν περισσότερον ἐγκαρδιωμένον. Διὰ τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον καὶ ὁ ἴδιος μὲ αὐτὴν τὴν γλῶσσαν ἀπευθύνεται πρὸς αὐτούς. Ἀναμειγνύει εἰς τοὺς λόγους του τὰς λέξεις ἁλώνι, θερισμός, ἀμπέλι, πατητήρι, χωράφι, δίχτυ, ψάρεμα, πράγματα ποὺ συνηθισμένα τοὺς ἀπασχολοῦσαν. Αὐτὸ ἔκαμε καὶ ἐδῶ ὁ βαπτιστὴς καὶ ὡς μεγίστην ἀπόδειξιν τῶν λόγων του ἐπαρουσίασε τὴν δωρεὰν τοῦ Πνεύματος. Αὐτὸς ποὺ ἔχει τὴν δύναμιν νὰ ἐπιτελέσῃ τόσα μεγάλα, νὰ συγχωρήσῃ ἁμαρτίας, νὰ χορηγήσῃ τὸ Πνεῦμα, θὰ ἠμπορέσῃ πολὺ περισσότερον, τοὺς λέγει, νὰ τὰ πραγματοποιήσῃ καὶ αὐτά. Εἶδες πῶς ἀμέσως εἰς τὴν συνέχειαν ἔκαμε τὴν πρώτην καταβολὴν τοῦ μυστηρίου τῆς ἀναστάσεως καὶ τῆς κρίσεως;

Καὶ διὰ ποῖον λόγον, ἀντιλέγει, δὲν ἀνέφερε τὰ τέρατα καὶ σημεῖα ποὺ θὰ ἐπραγματοποιοῦσεν ἀμέσως;

Διότι τοῦτο ἦτο τὸ μεγαλύτερον ἀπὸ ὅλα καὶ διὰ τοῦτο ἔγιναν ὅλα τὰ ἄλλα. Ἀφοῦ ἔβαλε τὸ στεφάνωμα, τὰ περιέλαβεν ὅλα, τὴν κατάλυσιν τοῦ θανάτου, τὴν λύσιν τῶν ἁμαρτημάτων, τὴν ἐξάλειψιν τῆς κατάρας, τὴν ἀπαλλαγὴν ἀπὸ τοὺς ἀτελειώτους πολέμους, τὴν εἴσοδον εἰς τὸν παράδεισον, τὴν ἄνοδον εἰς τὸν οὐρανόν, τὴν συμβίωσιν μὲ τοὺς ἀγγέλους, τὴν συμμετοχὴν εἰς τὰ μελλοντικὰ ἀγαθά. Αὐτὰ ἐδῶ εἶναι ἡ ἐγγύησις ἐκείνων. Ἀφοῦ λοιπὸν εἶπε τοῦτο, ἀνέφερε καὶ τὴν ἀνάστασιν τῶν σωμάτων καὶ τὰ θαύματά του εἰς τὴν γῆν καὶ τὴν συμμετοχὴν εἰς τὴν βασιλείαν του καὶ τὰ ἀγαθά, «Ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ

οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Πάντα γὰρ ταῦτα δι' ἐκείνου τοῦ χαρίσματος ἡμῖν παρέσχετο. Περιττὸν τοίνυν ἦν περὶ τῶν σημείων εἰπεῖν τῶν εὐθέως ἐκβησομένων καὶ τῇ ὄψει κρινομένων· ἀλλ' ὑπὲρ ἐκείνων ἔδει διαλεχθῆναι, ὧν ἀμφέβαλλον· οἷον ὅτι Υἱὸς Θεοῦ ἐστιν, ὅτι ὑπερέχων τοῦ Ἰωάννου ἀσυγκρίτως, ὅτι αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, ὅτι δίκην ἀπαιτήσει τῶν πεπραγμένων, ὅτι οὐ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα, ἀλλ' ἐκεῖ τὴν ἀξίαν ἕκαστος ὑποστήσεται τιμωρίαν. Ταῦτα γὰρ ὄψει παραστῆσαι τέως οὐκ ἦν.

7. Ταῦτ' οὖν εἰδότες, πολλῇ τῇ σπουδῇ χρώμεθα, ἕως ἂν ὦμεν ἐν τῇ ἅλωνι· καὶ γὰρ ἔξεστιν ἐνταῦθα οὖσι καὶ ἐξ ἀχύρου μεταβαλέσθαι εἰς σῖτον, ὥσπερ οὖν καὶ ἀπὸ σίτου πολλοὶ γεγόνασιν ἄχυρον. Μὴ τοίνυν ἀναπέσωμεν, μηδὲ ἀνέμῳ παντὶ περιφερώμεθα, μηδὲ τῶν ἀδελφῶν ἀποσχιζώμεθα τῶν ἡμετέρων, κἂν μικροὶ δοκῶσιν εἶναι καὶ εὐτελεῖς· ἐπεὶ καὶ ὁ σῖτος τοῦ ἀχύρου κατὰ μὲν τὸ μέτρον ἐλάττων, κατὰ δὲ τὴν φύσιν βελτίων. Μὴ δὴ τάς ἔξωθεν φαντασίας ἴδῃς· τῷ πυρὶ γάρ εἰσι παρεσκευασμέναι· ἀλλὰ τὴν κατὰ Θεὸν ταπεινότητα, τὴν στεῤῥὰν ταύτην καὶ ἀδιάλυτον, καὶ τμηθῆναι μὴ δυναμένην, μηδὲ ὑπὸ τοῦ πυρὸς καιομένην. Διὰ γὰρ τούτους καὶ τῷ ἀχύρῳ μακροθυμεῖ, ἵνα ἀπὸ τῆς πρὸς αὐτοὺς ὁμιλίας βελτίους γένωνται. Διὰ τοῦτο οὔπω κρίσις, ἵνα κοινῇ πάντες στεφανωθῶμεν, ἵνα ἀπὸ πονηρίας πολλοὶ μεταβληθῶσιν εἰς ἀρετήν. Φρίξωμεν τοίνυν, τῆς παραβολῆς ταύτης ἀκούοντες. Καὶ γὰρ ἄσβεστόν ἐστιν ἐκεῖνο τὸ πῦρ.

Καὶ πῶς, φησίν, ἄσβεστον;

Οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον καιόμενον ἀεί, καὶ μηδέποτε

---

1. Α' Κορ. 2, 9.

2. Ὅραμα θεῖον, εὐλογημένη κατάληξις τῶν ἐλπίδων τοῦ γεωργοῦ ἕνα ἁλώνι, ὅπου πυργοῦται ἡ θυμωνιὰ τῶν χρυσῶν, μεστῶν σταχύων. Ἀλλὰ καὶ τί τρόμος διὰ τὸ ἄχυρον εἰς τὸ πνευματικὸν ἁλώνι, ποὺ ζωγραφίζει ὁ δεινὸς ρήτωρ, καὶ ἐννοεῖ τὸν κόσμον αὐτόν, ὅπου ὁ ἄνθρωπος ἁλωνίζε-

ἀνέβη»[1]. Ὅλα αὐτὰ μᾶς ἐδόθησαν ἀπὸ τὴν παραχώρησιν ἐκείνην. Ἦτο λοιπὸν περιττὸν νὰ ὁμιλήσῃ διὰ τὰ σημεῖα ποὺ θὰ ἐπραγματοποιοῦντο ἀμέσως καὶ ποὺ διαπιστώνονται ἀπὸ τὴν αἴσθησιν. Ἔπρεπε νὰ ὁμιλήσῃ δι' ἐκεῖνα διὰ τὰ ὁποῖα ἐχωροῦσεν ἀμφιβολία. Ὅτι π.χ. εἶναι Υἱὸς τοῦ Θεοῦ, ὅτι ξεπερνᾷ ἀσυγκρίτως τὸν Ἰωάννην, ὅτι σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου, ὅτι θὰ ζητήσῃ λόγον διὰ τὰς πράξεις μας· ἀκόμη ὅτι δὲν περιορίζεται εἰς τὴν παροῦσαν ζωὴν ἡ τύχη μας ἀλλὰ τὴν τιμωρίαν ποὺ τοῦ ἀξίζει θὰ τὴν λάβῃ καθένας ἐκεῖ. Αὐτὰ νὰ μᾶς δώσῃ νὰ τὰ ἀντιληφθοῦμεν μὲ τὴν αἴσθησιν δὲν ἦτο δυνατόν.

7. Γνωρίζοντες λοιπὸν αὐτά, ἂς δείξωμεν πολλὴν προθυμίαν, ὅσον εὑρισκόμεθα μέσα εἰς τὸ ἁλώνι [2]. Εἶναι δυνατὸν ὅσον εὑρισκόμεθα ἐκεῖ μέσα νὰ μεταβληθῶμεν ἀπὸ ἄχυρον εἰς σιτάρι, ὅπως ἐξ ἄλλου πολλοὶ ἀπὸ σιτάρι ἔγιναν ἄχυρον. Ἂς μὴ ἀναπαυθοῦμεν λοιπὸν καὶ ἂς μὴ παρασυρώμεθα ἀπὸ κάθε ἄνεμον· ἂς μὴ χωριζώμεθα ἀπὸ τοὺς ἀδελφούς μας, ὅσον μικροὶ καὶ ὅσον ἀσήμαντοι καὶ ἂν φαίνωνται. Διότι καὶ τὸ σιτάρι εἶναι ὀλιγώτερον ἀπὸ τὸ ἄχυρον κατὰ τὸν ὄγκον, καλύτερον ὅμως κατὰ τὴν ποιότητα. Μὴ προσέξῃς λοιπὸν τὰς ἐξωτερικὰς λαμπρότητας· εἶναι προωρισμέναι διὰ τὴν φωτιάν· πρόσεξε τὴν ταπείνωσιν ποὺ ζητεῖ ὁ Θεός, τὴν στερεὰν καὶ ἀδιάλυτον, ποὺ εἶναι ἀδύνατον νὰ κοπῇ οὔτε καίεται ἀπὸ τὴν φωτιάν. Ἐξ αἰτίας τῶν ταπεινῶν μακροθυμεῖ καὶ διὰ τὰ ἄχυρα· ἀπὸ τὴν συναναστροφὴν μὲ αὐτοὺς νὰ γίνουν καλύτεροι. Διὰ τοῦτο δὲν ἔγινεν ἀκόμη ἡ κρίσις. Διὰ νὰ στεφανωθοῦμεν ὅλοι ἀπὸ κοινοῦ, διὰ νὰ περάσουν πολλοὶ ἀπὸ τὸ στρατόπεδον τῆς κακίας εἰς τὸ στρατόπεδον τῆς ἀρετῆς. Ἂς φρίξωμεν λοιπὸν ἀκούοντες τὴν παραβολὴν αὐτήν. Εἶναι ἄσβεστον ἐκεῖνο τὸ πῦρ.

Καὶ πῶς αὐτό; λέγει.

Δὲν βλέπεις αὐτὸν τὸν ἥλιον ποὺ πάντοτε καίεται καὶ πο-

ται κυριολεκτικά, διὰ νὰ φανῇ ὅ,τι ἔγινε διὰ τῆς χρήσεως τῆς ἐλευθερίας του.

σβεννύμενον; οὐκ εἶδες τὴν βάτον καιομένην, καὶ μὴ κατακαιομένην;

Εἰ τοίνυν καὶ αὐτὸς βούλει διαφυγεῖν τὴν φλόγα, τὴν ἐλεημοσύνην προαπόθου, καὶ οὕτως οὐδὲ πεῖραν λήψῃ τοῦ πυρὸς ἐκείνου. Ἂν μὲν γὰρ ἐνταῦθα πιστεύσῃς τοῖς λεγομένοις, οὐδὲ ὄψει τὴν κάμινον ταύτην, ἀπελθὼν ἐκεῖσε· ἐὰν δὲ ἀπιστήσῃς αὐτῇ νῦν, ἐκεῖ διὰ τῆς πείρας εἴσῃ καλῶς, ὅτι οὐδὲ διαφυγεῖν δυνατόν. Καὶ γὰρ ἀπαραίτητος ἡ κόλασις τοῖς οὐκ ὀρθὸν ἐπιδεδειγμένοις βίον. Οὐδὲ γὰρ ἀρκεῖ τὸ πιστεῦσαι μόνον ἐπεὶ καὶ δαίμονες φρίττουσι τὸν Θεόν, ἀλλὰ καὶ οὕτω τιμωρηθήσονται. Διὸ πολλῆς ἡμῖν τῆς κατὰ τὸν βίον ἐπιμελείας δεῖ. Διὰ γὰρ τοῦτο καὶ ἐνταῦθα ἡμᾶς συνεχῶς συνάγομεν, οὐχ ἵνα εἰσέλθητε μόνον, ἀλλ' ἵνα τι καὶ καρπώσησθε τῆς ἐνταῦθα διατριβῆς·ἐὰν δὲ παραγίνησθε μὲν ἀεί, μηδὲν δὲ ἐντεῦθεν καρπούμενοι ἀναχωρῆτε, οὐδὲν τῆς ἐνταῦθα εἰσόδου καὶ προσεδρείας ἔσται τι πλέον. Εἰ γὰρ παιδία πρὸς διδασκάλους πέμποντες, ἂν ἴδωμεν ἐκεῖθεν μηδὲν καρπούμενα, σφοδροὶ κατήγοροι τῶν διδασκάλων γινόμεθα, καὶ πρὸς ἑτέρους αὐτὰ μεθίσταμεν πολλάκις, τίνα ἕξομεν ἀπολογίαν, μηδὲ ὅσην ἐν τοῖς γηίνοις τούτοις, τοσαύτην τῇ ἀρετῇ παρέχοντες τὴν σπουδήν, ἀλλὰ κενὰς ἀεὶ τὰς δέλτους οἴκαδε φέροντες; Καίτοι καὶ πλείους καὶ μείζους ἐνταῦθα οἱ διδάσκαλοι. Καὶ γὰρ προφήτας καὶ ἀποστόλους καὶ πατριάρχας καὶ δικαίους ἅπαντας καθ' ἑκάστην ὑμῖν ἐφιστῶμεν ἐκκλησίαν διδασκάλους. Καὶ οὐδὲ οὕτω γίνεταί τι πλέον· ἀλλὰ ἂν δύο ψαλμοὺς ἢ τρεῖς ὑπηχήσαντες, καὶ τὰς συνήθεις εὐχὰς ἁπλῶς καὶ ὡς ἔτυχε ποιούμενοι διαλυθῆτε, νομίζετε ἀρκεῖν τοῦτο εἰς σωτηρίαν ὑμῖν. Οὐκ ἠκούσατε τοῦ προφήτου λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου ὅτι «Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ»;

1. Ἡσ. 29, 13.

τὲ δὲν σβήνει; Δὲν ἤκουσες διὰ τὴν βάτον ποὺ ἐφλογίζετο χωρὶς νὰ καίεται;

Ἂν θέλῃς καὶ σὺ λοιπὸν νὰ διαφύγῃς τὴν φλόγα, προαποθήκευσε τὴν ἐλεημοσύνην καὶ ἔτσι μήτε ποὺ θὰ δοκιμάσῃς κἂν τὴν φωτιὰν ἐκείνην. Ἂν πιστεύσῃς ἐδῶ τοὺς λόγους αὐτούς, οὔτε κἂν θὰ ἀντικρύσῃς τὸ καμίνι αὐτό, ὅταν φθάσῃς ἐκεῖ. Ἐὰν ὅμως ἀπιστήσῃς τώρα εἰς αὐτό, ἐκεῖ θὰ μάθῃς καλῶς μὲ προσωπικὴν πεῖραν, ὁπότε δὲν εἶναι δυνατὸν καὶ νὰ διαφύγῃς. Εἶναι ἀπαραίτητος ἡ τιμωρία ὅσων δὲν ἔχουν νὰ παρουσιάσουν βίον ὀρθόν. Οὔτε ἀρκεῖ νὰ πιστεύσῃς μόνον. Διότι καὶ οἱ δαίμονες φρίττουν ἐμπρὸς εἰς τὸν Θεόν, παρ' ὅλα ταῦτα ὅμως θὰ τιμωρηθοῦν. Διὰ τοῦτο ἔχομεν ἀνάγκην ἀπὸ πολλὴν ἐπιμέλειαν, ἐφ' ὅσον εἴμεθα εἰς τὴν ζωήν. Αὐτὸς εἶναι ὁ λόγος ποὺ σᾶς συναθροίζομεν συνεχῶς ἐδῶ, ὄχι διὰ νὰ εἰσέλθετε μόνον εἰς τὸν ναὸν ἀλλὰ καὶ διὰ νὰ ὠφεληθῆτε κάπως ἀπὸ τὴν παραμονήν σας ἐδῶ. Ἂν ὅμως κάθε φορὰν ἔρχεσθε καὶ φεύγετε, χωρὶς νὰ κερδίζετε κάτι, δὲν θὰ ἀπομείνῃ τίποτε εἰς σᾶς πέρα ἀπὸ τὴν ἁπλῆν εἴσοδον καὶ παραμονήν σας ἐδῶ. Γινόμεθα σφοδρά κατήγοροι τῶν διδασκάλων τῶν παιδιῶν μας καὶ συχνὰ τὰ στέλλομεν εἰς ἄλλους, ἂν διαπιστώσωμεν ὅτι δὲν ὠφελοῦνται καθόλου ἀπὸ αὐτούς. Ἂν τώρα δὲν δείξωμεν τόσον ἐνδιαφέρον διὰ τὴν ἀρετὴν ὅσον εἰς αὐτὰ τὰ γήινα ἀλλὰ μεταφέρωμεν ἄδεια πάντοτε τὰ τετράδια μας εἰς τὸ σπίτι, ποία θὰ εἶναι ἡ ἀπολογία μας; Καὶ ὅμως εἶναι περισσότεροι καὶ μεγαλύτεροι οἱ διδάσκαλοι τῆς ἀρετῆς. Εἶναι οἱ προφῆται, οἱ ἀπόστολοι, οἱ πατριάρχαι, οἱ δίκαιοι ὅλοι, ποὺ τοὺς ὁρίζομεν διδασκάλους πρὸς χάριν σας εἰς κάθε συνάθροισιν. Καὶ ἔτσι ὅμως κανένα κέρδος. Ἀλλὰ ἂν σιγοψάλλετε δύο ἢ τρεῖς ψαλμούς, καὶ εἰπῆτε ἐπιπόλαια καὶ ἐν βίᾳ τὰς συνηθισμένας προσευχάς σας καὶ ἔπειτα διαλυθῆτε, νομίζετε ὅτι εἶναι ἀρκετὰ αὐτὰ διὰ τὴν σωτηρίαν σας; Δὲν ἠκούσατε τὸν προφήτην ἢ μᾶλλον τὸν Θεὸν νὰ λέγῃ διὰ στόματος τοῦ προφήτου; «Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ» [1].

῞Ιν᾽ οὖν τοῦτο μὴ γένηται καὶ ἐφ᾽ ἡμῶν, ἐξάλειψον τὰ γράμματα, μᾶλλον δὲ τὰ χαράγματα, ἅπερ ὁ διάβολος ἐνετύπωσέ σου τῇ ψυχῇ, καὶ φέρε μοι καρδίαν βιωτικῶν ἀπηλλαγμένην θορύβων, ἵνα μετὰ ἀδείας ἃ βούλομαι ἐγγράψω. Ὡς νῦν γε οὐδὲν ἕτερόν ἐστι γινώσκειν, ἢ τὰ ἐκείνου γράμματα, ἁρπαγάς, πλεονεξίας, φθόνον, βασκανίαν. Διὰ δὴ τοῦτο, ὅταν τὰς δέλτους λάβω τὰς ὑμετέρας, οὐδὲ ἀναγνῶναι δύναμαι. Οὐ γὰρ εὑρίσκω τὰ γράμματα, ἅπερ ἡμεῖς κατὰ Κυριακὴν ἐγγράφοντες ὑμῖν ἀφίεμεν· ἀλλ᾽ ἕτερα ἀνθ᾽ ἑτέρων, ἄσημα καὶ διεστραμμένα. Εἶτα, ὅταν ἐξαλείψαντες αὐτὰ γράψωμεν τὰ ἀπὸ τοῦ Πνεύματος, ἀπελθόντες ὑμεῖς, καὶ ταῖς διαβολικαῖς ἐνεργείαις δόντες τὰς καρδίας ὑμῶν, παρέχετε ἐκείνῳ πάλιν τὰ ἑαυτοῦ ἀντεγγράφειν ὑμῖν. Τί οὖν ἔσται τούτων τὸ πέρας, κἂν ἐγὼ μὴ λέξω, τὸ ἑκάστου συνειδὸς οἶδεν. Ἐγὼ μὲν γὰρ οὐ παύσομαι τὸ ἐμαυτοῦ ποιῶν, καὶ τὰ ὀρθὰ γράμματα ἐγγράφων. Εἰ δὲ ὑμεῖς λυμαίνεσθε ἡμῶν τὴν σπουδήν, ἡμῖν μὲν ὁ μισθὸς ἀκίνητος, ὑμῖν δὲ οὐ μικρὸς ὁ κίνδυνος. Ἀλλ᾽ οὐδὲν βούλομαι φορτικὸν εἰπεῖν.

8. Ἀλλὰ δέομαι πάλιν καὶ παρακαλῶ, κἂν τῶν παίδων τῶν μικρῶν μιμήσασθε τὴν περὶ ταῦτα σπουδήν. Καὶ γὰρ ἐκεῖνοι πρῶτον μὲν τὸν τύπον μανθάνουσι τῶν στοιχείων· ἔπειτα διεστραμμένα αὐτὰ διαγινώσκειν μελετῶσι· καὶ τότε καὶ ἐπὶ τῇ τῆς ἀναγνώσεως ὁδῷ βαδίζουσι τῇ ἐξ ἐκείνων.

Οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν· διελόμενοι τὴν ἀρετήν, μανθάνωμεν πρότερον τὸ μὴ ὀμνύναι, μηδὲ ἐπιορκεῖν, μηδὲ κακηγορεῖν· εἶτα, ἐπ᾽ ἄλλον στίχον ἐλθόντες, τὸ μὴ βασκαίνειν, μηδὲ σωμάτων ἐρᾶν, μὴ γαστρίζεσθαι, μὴ μεθύσκεσθαι, μὴ ὠμοί, μὴ νωθεῖς, ἵνα ἀπὸ τούτων πάλιν εἰς τὰ πνευματικὰ μεταβάντες, μελετῶμεν ἐγκράτειαν καὶ γαστρὸς ὑπεροψίαν, σω-

Διὰ νὰ μὴ ἐφαρμοσθῇ τοῦτο καὶ εἰς σᾶς, σβήσατε τὰ γράμματα καὶ τὰ χαράγματα, ποὺ ὁ διάβολος ἐχάραξεν εἰς τὴν ψυχήν σας. Φέρε μου τὴν καρδίαν σου ἀπηλλαγμένην ἀπὸ βιοτικοὺς θορύβους, διὰ νὰ ἀποτυπώσω εἰς αὐτὴν ἐλεύθερα ὅ,τι ἐπιθυμῶ. Διότι τώρα τίποτε ἄλλο δὲν ἠμπορεῖτε νὰ διαβάσετε παρὰ τὰ γράμματα ἐκείνου, ἁρπαγάς, πλεονεξίας, φθόνον, βασκανίαν. Διὰ τοῦτο ὅταν λάβω εἰς τὰς χεῖρας μου τὰ φύλλα τῆς ψυχῆς σας, δὲν ἠμπορῶ μήτε νὰ διαβάσω. Δὲν εὑρίσκω τὰ γράμματα, ποὺ κάθε Κυριακὴν ἐγγράφω εἰς αὐτὰ παρὰ ἄλλα ἀντ' ἄλλων, πράγματα χωρὶς νόημα καὶ διαστρεβλωμένα. Καὶ ἔπειτα, ὅταν τὰ σβήσωμεν αὐτὰ καὶ ἐγγράψωμεν ὅσα ὑποδεικνύει τὸ Πνεῦμα, σεῖς φεύγετε καὶ ἀφοῦ ἀνοίξετε τὴν καρδίαν σας εἰς τὰς διαβολικὰς ἐπιδράσεις, δίδετε τὸ δικαίωμα εἰς ἐκεῖνον νὰ γράψῃ πάλιν εἰς αὐτὴν τὰ ἰδικά του. Ποῖον εἶναι τὸ τέλος ὅλων αὐτῶν, ἡ συνείδησις καθενὸς γνωρίζει καὶ ἂν τὸ ἀποσιωπήσω ἐγώ. Ἐγὼ δὲν θὰ παύσω νὰ ἐπιτελῶ τὸ ἔργον μου καὶ νὰ γράφω ὅσα ὀρθὰ πρέπει. Ἂν σεῖς ἀχρηστεύετε τὸ ἐνδιαφέρον μου, ὁ ἰδικός μου μισθὸς μένει ὁ αὐτός, καὶ ὁ ἰδικὸς σας κίνδυνος δὲν ἐλαττώνεται. Δὲν ἐπιθυμῶ ὅμως νὰ σᾶς ἐνοχλήσω περισσότερον.

8. Σᾶς ἱκετεύω πάλιν καὶ σᾶς παρακαλῶ, τῶν παιδιῶν τοὐλάχιστον τῶν μικρῶν μιμηθῆτε τὸ ἐνδιαφέρον πρὸς αὐτά. Διότι καὶ ἐκεῖνα μανθάνουν κατὰ πρῶτον τὸν τύπον τῶν στοιχείων· ἔπειτα συνδυάζουν νὰ τὰ διακρίνουν ἀνάκατα καὶ τότε ἀπὸ αὐτὰ προχωροῦν καὶ εἰς τὴν ἀνάγνωσιν.

Ἔτσι ἂς πράξωμεν καὶ ἡμεῖς. Ἂς χωρίσωμεν τὴν ἀρετὴν εἰς μέρη καὶ ἂς ἀποφασίσωμεν πρῶτον νὰ μὴ ὁρκιζώμεθα, οὔτε νὰ ἐπιορκοῦμεν, οὔτε νὰ κακολογοῦμεν. Ἔπειτα ἂς περάσωμεν εἰς ἄλλην σειρὰν καὶ ἂς μὴ φθονοῦμεν, ἂς μὴ προσκολλώμεθα εἰς τὸ σῶμα, ἂς μὴ ὑποδουλωνώμεθα εἰς τὰ φαγητά, ἂς μὴ μεθοῦμεν, ἂς μὴ γινώμεθα σκληροὶ καὶ ἀδιάφοροι. Καὶ ἀπὸ αὐτὰ πάλιν ἀφοῦ μεταφερθοῦμεν εἰς τὰ πνευματικά, νὰ σπουδάζωμεν τὴν ἐγκράτειαν, τὴν περιφρόνησιν τῶν φαγητῶν, τὴν

φροσύνην, δικαιοσύνην, τὸ δόξης εἶναι κρείττους, καὶ ἐπιεικεῖς, καὶ τῇ διανοίᾳ συντετριμμένους, καὶ συντάπτωμεν ταῦτα ἀλλήλοις, καὶ ἐγγράφωμεν ἡμῶν τῇ ψυχῇ. Καὶ ταῦτα ἐπὶ τῆς οἰκίας, ἐπὶ τῶν φίλων, ἐπὶ τῆς γυναικός, ἐπὶ τῶν παίδων γυμνάζωμεν ἅπαντα.

Καὶ τέως ἀπὸ τῶν πρώτων ἀρχόμεθα τῶν εὐκολωτέρων· οἷον, ἀπὸ τοῦ μὴ ὀμνύναι· καὶ τοῦτο συνεχῶς μελετῶμεν τὸ στοιχεῖον ἐπὶ τῆς οἰκίας. Καὶ γὰρ οἱ πολλοὶ οἱ ἐμποδίζοντες οἶκοι τῇ μελέτῃ ταύτῃ· καὶ γὰρ οἰκέτης παροξύνει, καὶ γυνὴ λυποῦσα εἰς ὀργὴν ἐμβάλλει, καὶ παιδίον ἀμαθαῖνον καὶ ἀτακτοῦν εἰς ἀπειλὴν καὶ ὅρκον ἐξάγει. Ἂν τοίνυν ἐπὶ τῆς οἰκίας συνεχῶς ὑπὸ τούτων παρακνιζόμενος κατορθώσῃς τὸ μὴ παρασύρεσθαι εἰς ὅρκους, εὐκόλως καὶ ἐπὶ τῆς ἀγορᾶς δυνήσῃ μεῖναι ἀνάλωτος. Ἀλλὰ μὴν καὶ τὸ μὴ ὑβρίζειν κατορθώσεις, μήτε τὴν γυναῖκα ὑβρίζων, μήτε τὸν οἰκέτην, μήτε τὸν ἐπὶ τῆς οἰκίας ἕτερόν τινα. Καὶ γὰρ γυνὴ πολλάκις ἐπαινοῦσα τὸν δεῖνα, καὶ ταλανίζουσα ἑαυτήν, ἐξάπτει εἰς τὸ κακῶς ἐκεῖνον εἰπεῖν. Ἀλλὰ σὺ μὴ ἀναγκασθῇς κατηγορῆσαι τὸν ἐπαινούμενον, ἀλλὰ φέρε πάντα γενναίως· κἂν τοὺς οἰκέτας ἑτέρους ἐπαινοῦντας δεσπότας ἴδῃς, μὴ ταραχθῇς, ἀλλὰ στῆθι γενναίως. Ἀγὼν ἔστω καὶ παλαίστρα ἀρετῆς ἡ οἰκία, ἵνα ἐκεῖ καλῶς γυμνασάμενος, μετὰ πολῆς τῆς ἐπιστήμης τοῖς ἐν ἀγορᾷ προσβάλλῃς. Τοῦτο καὶ ἐπὶ τῆς κενοδοξίας ποίει. Ἂν γὰρ μελετήσῃς μὴ κενοδοξεῖν ἐπὶ τῆς γυναικὸς καὶ τῶν οἰκετῶν, ἐπ' οὐδενὸς λοιπὸν ἑτέρου ῥᾳδίως ἁλώσῃ τούτῳ τῷ πάθει. Πανταχοῦ μὲν γὰρ τὸ νόσημα τοῦτο χαλεπὸν καὶ τυραννικόν, μάλιστα δέ ὅταν γυνὴ παρῇ. Ἂν τοίνυν ἐκεῖ καταλύσωμεν αὐτοῦ τὴν ἰσχύν, ῥᾳδίως αὐτοῦ καὶ ἐν τοῖς ἄλλοις περιεσόμεθα.

Καὶ ἐπὶ τῶν ἄλλων δὲ παθῶν τὸ αὐτὸ τοῦτο, ποιῶμεν, ἐπὶ

σωφροσύνην, τὴν δικαιοσύνην, νὰ γινώμεθα ἀδιάφοροι διὰ τὴν δόξαν, γεμᾶτοι ἀπὸ καλωσύνην καὶ συντριβὴν ψυχῆς' ἂς τὰ συνδυάσωμεν αὐτὰ μεταξύ των καὶ ἂς τὰ ἀποτυπώσωμεν εἰς τὴν ψυχήν μας. Ἂς ἀσκηθοῦμεν εἰς ὅλα αὐτὰ μέσα εἰς τὸ σπίτι, εἰς τὰς σχέσεις μὲ τοὺς φίλους μας, τὴν γυναῖκα, τὰ παιδιά.

Ἂς ἀρχίσωμεν τώρα ἀπὸ τὰ πρῶτα καὶ εὐκολώτερα· ἀπὸ τὴν ἄσκησιν τοῦ ὅρκου, λόγου χάριν. Ἂς μελετοῦμεν συνεχῶς μέσα εἰς τὸ σπίτι μας τὸ στοιχεῖον τοῦτο τοῦ πνευματικοῦ ἀλφαβήτου. Εἶναι πολλοὶ εἰς τὸ σπίτι ποὺ ἐμποδίζουν τὴν μελέτην αὐτήν· μᾶς ἐρεθίζει ὁ ὑπηρέτης, μᾶς στενοχωρεῖ καὶ μᾶς θυμώνει ἡ γυναῖκα μας, τὸ παιδί μας ποὺ ἀμελεῖ καὶ ἀτακτεῖ μᾶς ἀναγκάζει νὰ τὸ ἀπειλήσωμεν καὶ νὰ ὁρκισθοῦμεν. Ἂν λοιπὸν μέσα εἰς τὸ σπίτι σου κατορθώσῃς νὰ μὴ παρασυρθῇ εἰς ὅρκον, παρὰ τὰς συνεχεῖς ἀφορμὰς ὅλων αὐτῶν, θὰ ἠμπορέσῃς εὐκόλως νὰ μείνῃς ἀκλόνητος καὶ εἰς τὴν ἀγοράν. Θὰ κατορθώσῃς ἀκόμη καὶ νὰ μὴ ὑβρίζῃς, ἂν δὲν ὑβρίζῃς οὔτε τὴν σύζυγόν σου, οὔτε τὸν ὑπηρέτην σου, οὔτε κάποιον ἄλλον ἀπὸ τοὺς σπιτικούς σου. Συχνὰ ἡ σύζυγος παρασύρει τὸν ἄνδρα εἰς τὸ νὰ κακολογήσῃ κάποιον ποὺ ἐκείνη ἐπαινεῖ κακοτυχίζοντας τὸν ἑαυτόν της. Σὺ μὴ φθάσῃς εἰς τὴν ἀνάγκην νὰ κατηγορήσῃς ἐκεῖνον ποὺ αὐτὴ ἐπαινεῖ· κράτησε τὴν ψυχραιμίαν σου. Ἂν ἀκούσῃς τοὺς ὑπηρέτας σου νὰ ἐπαινοῦν ἄλλους κυρίους, μὴ ταραχθῇς. Φανοῦ ἀνώτερος. Ἂς γίνῃ τὸ σπίτι σου στίβος καὶ παλαίστρα ἀρετῆς· ἀφοῦ γυμνασθῇς ἐκεῖ μέσα καλῶς, νὰ ἀγωνισθῇς μὲ πολλὴν τέχνην καὶ εἰς τὴν ἀγοράν. Ὅμοια πράξε καὶ διὰ τὴν κενοδοξίαν. Ἂν φροντίζῃς νὰ μὴ εἶσαι κενόδοξος ἀπέναντι τῆς συζύγου σου καὶ τῶν ὑπηρετῶν σου, δὲν θὰ κυριευθῇς ἀπὸ τὸ πάθος αὐτὸ ἀπέναντι κανενός. Διότι εἰς ὅλας τὰς περιπτώσεις τὸ πάθος τοῦτο εἶναι δυσάρεστον καὶ τυραννικόν, πολὺ δὲ περισσότερον ὅταν ὑπάρχῃ γυναῖκα. Ἂν λοιπὸν συντρίψωμεν εἰς τὸ σπίτι τὴν δύναμίν του, εὐκόλως θὰ νικήσωμεν καὶ ἐνώπιον ἄλλων.

Ἂς κάμωμεν τὸ ἴδιον καὶ διὰ τὰ ἄλλα πάθη· ἂς γυμναζώ-

τῆς οἰκίας γυμναζόμενοι κατ' αὐτῶν, καὶ καθ' ἑκάστην ἀλειφόμενοι τὴν ἡμέραν. Καὶ ἵνα εὐκολωτέρα ἡμῖν ἡ γυμνασία γένηται, καὶ ἐπιτίμιον καθ' ἑαυτῶν ἐκφέρωμεν, ὅταν τι τῶν προκειμένων παραβῶμεν. Ἔστω δὲ καὶ τὸ ἐπιτίμιον πάλιν μὴ ζημίαν, ἀλλὰ μισθὸν ἔχον, καὶ κέρδος προξενοῦν μέγιστον· τοῦτο δέ ἐστιν, ἂν νηστείαις ἐπιτεταμέναις ἑαυτοὺς καταδικάζωμεν, καὶ χαμευνίαις, καὶ ἑτέρᾳ τοιαύτῃ σκληραγωγίᾳ. Οὕτω γὰρ πάντοθεν ἡμῖν πολλὰ ἥξει τὰ κέρδη, καὶ ἐνταῦθα τὸν ἡδὺν τῆς ἀρετῆς βιωσόμεθα βίον, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, καὶ τοῦ Θεοῦ διηνεκῶς ἐσόμεθα φίλοι. Ἀλλ' ὅπως ἂν μὴ τὰ αὐτὰ γένηται πάλιν, καὶ θαυμάσαντες ἐνταῦθα τὰ εἰρημένα, ἀπελθόντες ἁπλῶς καὶ ὡς ἔτυχε τὴν δέλτον τῆς διανοίας ὑμῶν ῥίψαντες, παράσχητε τῷ διαβόλῳ ταῦτα ἐξαλεῖψαι, ἀναχωρήσας οἴκαδε ἕκαστος, καλείτω τὴν γυναῖκα τὴν ἑαυτοῦ, καὶ ἀπαγγελέτω ταῦτα, καὶ λαμβανέτω βοηθόν, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας εἰς τὴν καλὴν ταύτην εἰσίτω παλαίστραν, ἐλαίῳ τῇ τοῦ Πνεύματος χρώμενος χορηγίᾳ. Κἂν ἅπαξ, κἂν δίς, κἂν πολλάκις καταπέσῃς γυμναζόμενος, μὴ ἀπογνῷς, ἀλλὰ στῆθι πάλιν καὶ πάλαισον· καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν λαμπρὸν ἀναδήσῃ κατὰ τοῦ διαβόλου τὸν στέφανον, καὶ ἐν ἀσύλῳ θησαυρῷ λοιπὸν τῆς ἀρετῆς ἀποθῇ τὴν κτῆσιν. Ἂν γὰρ ἐν συνηθείᾳ τῆς καλῆς ταύτης σαυτὸν καταστήσῃς φιλοσοφίας, οὐδὲ ῥᾳθυμῶν λοιπὸν δυνήσῃ παραβῆναί τι τῶν ἐπιτεταγμένων, τῆς συνηθείας τὴν τῆς φύσεως μιμουμένης στεῤῥότητα. Ὥσπερ γὰρ τὸ καθεύδειν εὔκολον καὶ ἐσθίειν καὶ πίνειν καὶ ἀναπνεῖν, οὕτως ἔσται καὶ τὰ τῆς ἀρετῆς ἡμῖν ῥᾴδια, καὶ τὴν εἰλικρινῆ καρπωσόμεθα ἡδονήν, ἐν ἀκυμάντῳ λιμένι καθήμενοι, καὶ γαλήνης διηνεκοῦς ἀπολαύοντες, καὶ μετὰ πολλοῦ τοῦ φόρτου τὸ πλοῖον εἰς ἐκείνην

1. Ἐλαφρὰ παραλλαγὴ τῆς γνωστῆς παροιμίας, 'ἕξις δευτέρα φύσις'.

μεθα ἐνατίον των εἰς τὸ σπίτι καὶ καθημερινῶς ἂς προπονούμεθα. Καὶ διὰ νὰ βοηθήσωμεν τὸν ἑαυτόν μας εἰς τὴν ἄσκησιν, ἂς ὁρίσωμεν κατὰ τοῦ ἑαυτοῦ μας καὶ ποινήν, ὅταν κάμωμεν κάποιαν σχετικὴν παράβασιν. Ἀλλὰ καὶ τὸ σπίτι μας ἂς εἶναι τέτοιο, ὥστε νὰ μὴ προξενῇ ζημίαν ἀλλὰ μισθὸν καὶ νὰ ἀποφέρῃ κέρδος μέγιστον. Τοῦτο θὰ γίνῃ δυνατόν, ὅταν καταδικάζωμεν τὸν ἑαυτόν μας εἰς νηστείας αὐστηροτέρας, εἰς πλαγιάσματα εἰς τὸ δάπεδον καὶ ἄλλας παρομοίας σκληραγωγίας. Ἔτσι ἀπὸ κοινοῦ ἔχομεν νὰ περάσωμεν πολλά· καὶ ἐδῶ θὰ ζήσωμεν τὸν γλυκὺν βίον τῆς ἀρετῆς καὶ τὰ μελλοντικὰ θὰ ἐπιτύχωμεν ἀγαθὰ καὶ θὰ γίνωμεν φίλοι τοῦ Θεοῦ εἰς τὴν αἰωνιότητα. Ἀλλὰ ἐνῷ θαυμάζετε ἐδῶ ὅσα λέγομεν, ὅταν φύγετε πετᾶτε ὅπου νὰ εἶναι τὸ τετράδιον τῆς ψυχῆς σας καὶ δίδετε εἰς τὸν διάβολον τὴν εὐκαιρίαν νὰ σβήσῃ ὅλα αὐτά. Διὰ νὰ μὴ ἐπαναληφθοῦν λοιπὸν τὰ ἴδια, ἀφοῦ ἐπιστρέψῃ καθεὶς εἰς τὸ σπίτι του, ἂς καλέσῃ τὴν γυναῖκα του καὶ ἂς τῆς τὰ ἀνακοινώσῃ αὐτά. Θὰ εὕρῃ ἔτσι συμπαραστάτην καὶ ἀπὸ τὴν σημερινὴν ἡμέραν θὰ εἰσέλθῃ εἰς τὴν ὡραίαν αὐτὴν παλαίστραν καὶ ἀντὶ τοῦ ἀγωνιστικοῦ λαδιοῦ θὰ χρησιμοποιήσῃ τὴν χάριν τοῦ Πνεύματος. Καὶ ἂν καθὼς γυμνάζεσαι πέσῃς μίαν ἢ δύο ἢ τρεῖς ἢ πολλὲς φορές, μὴ ἀπογοητευθῇς. Σηκώσου καὶ πάλαιψε πάλιν. Καὶ μὴ ἐγκαταλείψῃς προηγουμένως, ὥσπου νὰ δεχθῇς τὸ λαμπρὸν στεφάνι τῆς νίκης σου κατὰ τοῦ διαβόλου. Καὶ νὰ καταθέσῃς εἰς τὸ ἑξῆς εἰς ἀσύλητον θησαυροφυλάκιον τὸν θησαυρὸν τῆς ἀρετῆς σου. Ἂν συνηθίσῃς τὸν ἑαυτόν σου εἰς τὴν ὡραίαν αὐτὴν πνευματικὴν ζωήν, ἀκόμη καὶ εἰς στιγμὰς ραθυμίας, δὲν θὰ φθάσῃς νὰ παραβῇς κάτι ἀπὸ τὰ ἐπιτάγματα αὐτά, διότι ἡ συνήθεια ἀποκτᾷ τὴν στερεότητα τῆς φύσεως [1]. Ὅπως εἶναι εὔκολον νὰ κοιμᾶται κανεὶς καὶ νὰ τρώγῃ καὶ νὰ πίνῃ καὶ νὰ ἀναπνέῃ ἔτσι θὰ γίνῃ εὔκολος καὶ τῆς ἀρετῆς ἡ ἄσκησις. Θὰ ἀπολαύσωμεν ἔτσι τὴν γνησίαν ἀπόλαυσιν, σταθμεύοντες εἰς ἀκύμαντον λιμάνι μέσα εἰς ἀτελεύτητον γαλήνην. Μὲ κατάφορτον πλοῖον θὰ ἀγκυροβολήσωμεν

ὁρμίζοντες τὴν πόλιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ τῶν ἀκηράτων ἐπιτευξόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κατὰ τὴν ἡμέραν ἐκείνην εἰς ἐκείνην τὴν πόλιν καὶ θὰ ἐπιτύχωμεν τοὺς ἀθανάτους στεφάνους, τοὺς ὁποίους εἴθε νὰ τοὺς λάβωμεν ὅλοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΒ'.
Ματθ. 3, 13 - 17

«Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας εἰς τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ».

1. Μετὰ τῶν δούλων ὁ Δεσπότης, μετὰ τῶν ὑπευθύνων ὁ Κριτὴς ἔρχεται βαπτισθησόμενος. Ἀλλὰ μὴ θορυβηθῇς· ἐν γὰρ τοῖς ταπεινοῖς τούτοις μάλιστα διαλάμπει αὐτοῦ τὸ ὑψηλόν. Ὁ γὰρ κυοφορηθῆναι τοσοῦτον χρόνον ἐν μήτρᾳ καταδεξάμενος παρθενικῇ καὶ προελθεῖν ἐκεῖθεν μετὰ τῆς ἡμετέρας φύσεως καὶ βαπτισθῆναι καὶ σταυρωθῆναι καὶ τὰ ἄλλα παθεῖν, ἅπερ ἔπαθε, τί θαυμάζεις εἰ καὶ βαπτίσασθαι κατεδέξατο, καὶ μετὰ τῶν ἄλλων ἐλθεῖν πρὸς τὸν δοῦλον; Τὸ γὰρ ἐκπλῆττον ἐκεῖνο ἦν, τὸ Θεὸν ὄντα βουληθῆναι γενέσθαι ἄνθρωπον· τὰ δὲ ἄλλα λοιπὸν κατὰ λόγον ἕπεται ἅπαντα. Διά τοι τοῦτο καὶ ὁ Ἰωάννης προλαβὼν ἔλεγεν ἐκεῖνα ἅπερ εἶπεν, ὅτι οὐκ ἔστιν ἄξιος λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος, καὶ τὰ ἄλλα πάντα, οἷον ὅτι κριτής ἐστι, καὶ τὰ κατ' ἀξίαν ἀποδίδωσιν ἑκάστῳ, καὶ Πνεῦμα παρέξει δαψιλὲς ἅπασιν, ἵνα ὅταν ἴδῃς αὐτὸν ἐπὶ τὸ βάπτισμα ἐρχόμενον, μηδὲν ταπεινὸν ὑποπτεύσῃς. Διὰ τοῦτο καὶ παρόντα αὐτὸν διακωλύει λέγων· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;». Ἐπειδὴ γὰρ τὸ βάπτισμα μετανοίας ἦν καὶ εἰς κατηγορίαν τῶν πεπλημμελημένων ἐνῆγεν, ἵνα μή τις νομίσῃ ὅτι καὶ αὐτὸς μετὰ τῆς τοιαύτης γνώμης ἐπὶ τὸν Ἰορδάνην ἔρχεται, προδιορθοῦται αὐτὸ τῷ τε Ἀμνὸν καλέσαι καὶ λυτρωτὴν τῆς κατὰ τὴν οἰκουμένην ἁμαρτίας ἁπάσης. Ὁ γὰρ τὰ παντὸς τοῦ τῶν ἀνθρώπων γένους ἁμαρτή-

ΟΜΙΛΙΑ ΙΒ'
Ματθ. 3, 13-17

«Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας εἰς τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ».

1. Ἔρχεται ὁ Δεσπότης μαζὶ μὲ τοὺς δούλους, ὁ δικαστὴς μαζὶ μὲ τοὺς ὑποδίκους, διὰ νὰ βαπτισθῇ. Μὴ ταραχθῇς ὅμως· μεταξὺ τῶν ταπεινῶν αὐτῶν διαλάμπει τὸ ὑψηλὸν μεγαλεῖον του. Κατεδέχθη νὰ κυοφορηθῇ εἰς παρθενικὰ σπλάγχνα ἐπὶ τόσον χρόνον καὶ νὰ γεννηθῇ ἀπὸ αὐτὰ μαζὶ μὲ τὴν ἰδικήν μας ἀνθρωπίνην φύσιν, νὰ ραπισθῇ, νὰ σταυρωθῇ, νὰ πάθῃ ὅλα ὅσα ἔπαθε· διατί θαυμάζεις λοιπόν, ἐπειδὴ κατεδέχθη καὶ νὰ βαπτισθῇ καὶ νὰ ἔλθῃ μαζὶ μὲ τοὺς ἄλλους πρὸς τὸν δοῦλον του; Τὸ ἐκπληκτικὸν ἦτο ἐκεῖνο· νὰ θελήσῃ νὰ γίνῃ ἄνθρωπος, ἐνῷ εἶναι Θεός· τὰ ἄλλα ὅλα ἀκολουθοῦν κατὰ λογικὴν ἀκολουθίαν. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ Ἰωάννης ἐκ προοιμίου ἔλεγεν ἐκεῖνα ποὺ εἶπεν, ὅτι δὲν εἶναι ἄξιος νὰ λύσῃ τὸν ἱμάντα τοῦ ὑποδήματος καὶ ὅλα τὰ ἄλλα, ὅτι εἶναι, λόγου χάριν, κριτὴς καὶ ἀποδίδει εἰς καθένα κατὰ τὴν ἀξίαν του, καὶ ὅτι θὰ δώσῃ πλουσίως τὸ Πνεῦμα εἰς ὅλους. Αὐτά, ὥστε, ὅταν τὸν ἰδῇς νὰ ἔρχεται εἰς τὸ βάπτισμα, νὰ μὴ σοῦ περάσῃ καμμία ταπεινὴ ὑποψία. Διὰ τοῦτο καὶ ὅταν ἦτο πλησίον, τοῦ προβάλλει προσκόμματα μὲ τοὺς λόγους· «Ἐγὼ ἔχω ἀνάγκην νὰ βαπτισθῶ ὑπὸ σοῦ καὶ σὺ ἔρχεσαι πρὸς ἐμέ;». Ἐπειδὴ ἐπρόκειτο περὶ βαπτίσματος μετανοίας καὶ προέτρεπεν εἰς κατηγορίαν ἁμαρτημάτων, διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι καὶ αὐτὸς ἔρχεται εἰς τὸν Ἰορδάνην μὲ αὐτὴν τὴν διάθεσιν, κάμνει εἰς τοῦτο μίαν διόρθωσιν ἐκ τῶν προτέρων μὲ τὸ νὰ τὸν καλέσῃ Ἀμνὸν καὶ λυτρωτὴν ἀπὸ ὅλην τὴν ἁμαρτίαν τῆς γῆς. Διότι

ματα δυνάμενος ἀνελεῖν, πολλῷ μᾶλλον αὐτὸς ἀναμάρτητος ἦι. Διὰ δὴ τοῦτο οὐκ εἶπεν· Ἴδε ὁ ἀναμάρτητος· ἀλλ' ὃ πολλῷ πλέον ἦν, «Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»· ἵνα μετὰ τούτου κἀκεῖνο μετὰ πάσης δέξῃ πληροφορίας, καὶ δεξάμενος ἴδῃς, ὅτι ἕτερά τινα οἰκονομῶν ἐπὶ τὸ βάπτισμα ἔρχεται. Διὸ καὶ ἐλθόντι αὐτῷ ἔλεγεν· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;». Καὶ οὐκ εἶπε, Καὶ σὺ βαπτίζῃ ὑπ' ἐμοῦ; καὶ γὰρ καὶ τοῦτο ἔδεισεν εἰπεῖν· ἀλλὰ τί; «Καὶ σύ ἔρχῃ πρός με;». Τί οὖν ὁ Χριστός; Ὅπερ ἐπὶ τοῦ Πέτρου πεποίηκεν ὕστερον, τοῦτο καὶ τότε ἐποίησε. Καὶ γὰρ καὶ ἐκεῖνος διεκώλυεν αὐτὸν νίψαι τοὺς πόδας· ἀλλ' ἐπειδὴ ἤκουσεν· «Ὃ ποιῶ, νῦν σὺ οὐκ οἶδας, γνώσῃ δὲ μετὰ ταῦτα»· καὶ ὅτι «Οὐκ ἔχεις μέρος μετ' ἐμοῦ»· ταχέως ἀπέστη τοῦ τόνου, καὶ πρὸς τὸ ἐναντίον μετέστη. Καὶ οὗτος ὁμοίως πάλιν, ἀκούσας· «Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην», εὐθέως ὑπήκουσεν. Οὐ γὰρ ἀμέτρως ἦσαν φιλόνεικοι, ἀλλὰ καὶ τὴν ἀγάπην πείθεσθαι ἐμελέτων τῷ Δεσπότῃ.

Σκόπει δὲ πῶς ἐντεῦθεν αὐτὸν ἐνάγει, ἀφ' ὧν μάλιστα ὑπώπτευε τὸ γινόμενον· οὐδὲ γὰρ εἶπεν, Οὕτω δίκαιόν ἐστιν, ἀλλ', «Οὕτω πρέπον ἐστίν». Ἐπειδὴ γὰρ ἀνάξιον αὐτοῦ μάλιστα εἶναι ἐνόμιζε τοῦτο, τὸ παρὰ τοῦ δούλου βαπτισθῆναι, τοῦτο μάλιστα τέθεικε τὸ πρὸς ἐκεῖνο ἀντιδιαστελλόμενον, ὡσανεὶ ἔλεγεν· Οὐχ ὡς ἀπρεπὲς τοῦτο φεύγεις καὶ διακωλύεις; δι' αὐτὸ μὲν οὖν τοῦτο ἄφες, ὅτι καὶ μάλιστα πρέπον ἐστίν. Καὶ οὐχ ἁπλῶς εἶπεν, «Ἄφες», ἀλλὰ τό, «ἄρτι», προσέθηκεν. Οὐ γὰρ διηνεκῶς ταῦτα ἔσται, φησίν, ἀλλ' ὄψει με ἐν τούτοις οἷς ἐπιθυμεῖς· ἄρτι μέντοι ὑπόμεινον τοῦτο.

---

1. Ἰω. 1, 29.
2. Ἰω. 13, 7.
3. Ἰω. 13, 8.
4. Ἔμμεσος ἀναφορὰ εἰς τοὺς ἀκροατάς του νὰ θέσουν καὶ αὐτοὶ τέρμα ἢ μᾶλλον νὰ μὴ παρατείνουν ἐπ' ἄπειρον τὴν ἀντίστασίν των εἰς τὰς

βεβαίως αὐτὸς ποὺ εἶναι εἰς θέσιν νὰ σηκώσῃ τὰ ἁμαρτήματα ὅλου τοῦ ἀνθρωπίνου γένους, εἶναι πολὺ περισσότερον ἀναμάρτητος αὐτὸς ὁ ἴδιος. Διὰ τοῦτο δὲν εἶπεν· Ἰδοὺ ὁ ἀναμάρτητος, ἀλλὰ τὸ πολὺ περισσότερον· «Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[1]. Ἔτσι μαζὶ μὲ αὐτὸ νὰ δεχθῇς καὶ ἐκεῖνο εἰς ὅλον τὸ πλῆρες νόημά του καὶ ἀφοῦ τὸ δεχθῇς νὰ διαπιστώσῃς ὅτι ἔρχεται εἰς τὸ βάπτισμα, διὰ νὰ φέρῃ εἰς πέρας κάποιαν ἄλλην οἰκονομίαν. Διὰ τοῦτο καὶ ὅταν ἦλθε τοῦ ἔλεγεν· «Ἐγὼ ἔχω ἀνάγκην νὰ βαπτισθῶ ἀπὸ σὲ καὶ σὺ ἔρχεσαι πρὸς ἐμέ;». Τοῦ εἶπεν αὐτὸ καὶ δὲν τοῦ εἶπε· Καὶ σὺ ζητεῖς νὰ βαπτισθῇς ἀπὸ ἐμέ; Καὶ τοῦτο δηλαδὴ ἐφοβήθη νὰ τὸ εἰπῇ. Καὶ τί λέγει; Καὶ σὺ ἔρχεσαι πρὸς ἐμέ; Καὶ τί ἔκαμεν ὁ Χριστός; Ὅ,τι ἔκαμεν ἀργότερον εἰς τὸν Πέτρον, τοῦτο ἔκαμε καὶ τότε. Καὶ ἐκεῖνος, θέλω νὰ εἰπῶ, τὸν ἠμπόδιζε νὰ τοῦ πλύνῃ τοὺς πόδας. Ὅταν ὅμως ἤκουσεν· «Ὃ ποιῶ νῦν, σὺ οὐκ οἶδας, γνώσῃ δὲ μετὰ ταῦτα»[2]· καὶ ἀκόμη· «Οὐκ ἔχεις μέρος μετ' ἐμοῦ»[3]· ἄφησεν ἀμέσως τὴν ἀντίστασιν καὶ μετεστράφη εἰς τὸ ἀντίθετον. Καὶ ὁ Ἰωάννης πάλιν ὅταν ἤκουσεν, «Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἡμῖν ἐστιν πληρῶσαι πᾶσαν δικαιοσύνην», ὑπήκουσεν ἀμέσως. Διότι δὲν ἦσαν ἀπεριόριστα φιλόνεικοι[4] ἀλλὰ ἐδείκνυαν καὶ ἀγάπην καὶ ὑπακοὴν καὶ ἐφρόντιζαν νὰ ὑπακούουν εἰς ὅλα εἰς τὸν Δεσπότην.

Πρόσεξε δὲ πῶς τὸν προτρέπει, ἀπὸ τὸ σημεῖον ἐκεῖνο τῆς ἐνεργείας ποὺ ὑπωπτεύετο. Δὲν εἶπεν· Ἔτσι εἶναι δίκαιον, ἀλλὰ «ἔτσι ἁρμόζει». Ἐπειδὴ ἐθεωροῦσεν ὅτι αὐτὸ ἦτο ἐντελῶς ἀνάξιόν του, νὰ βαπτισθῇ δηλαδὴ ἀπὸ τὸν δοῦλον του, ἀκριβῶς αὐτὸ ἀντιδιαστέλλει πρὸς ἐκεῖνο, σὰν νὰ ἔλεγε· Δὲν τὸ ἀποφεύγεις τοῦτο καὶ δὲν τὸ ἐμποδίζεις ὡς ἀνάρμοστον; Διὰ τοῦτο ἀκριβῶς· ἄφησέ το, διότι ἁρμόζει μὲ τὸ παραπάνω. Καὶ δὲν εἶπε μόνον ἄφησέ το· ἐπρόσθεσε καὶ τὴν λέξιν «ἄρτι» (τώρα). Διότι τοῦτο δὲν θὰ διαρκέσῃ αἰωνίως, λέγει, ἀλλὰ θὰ μὲ ἴδῃς εἰς τὴν κατάστασιν ποὺ ἐπιθυμεῖς. Τώρα ὅμως δέξου τοῦτο.

συμβουλὰς ποὺ ἀπηύθυνε πρὸς αὐτοὺς ὁ μέγας ἱεροκήρυξ τοῦ χριστιανισμοῦ.

Εἶτα καὶ δείκνυσι πῶς τοῦτο πρέπον. Πῶς οὖν πρέπον ἐστίν; Ὅτι τὸν νόμον πληροῦμεν ἅπαντα· ὅπερ οὖν δηλῶν ἔλεγε, «Πᾶσαν δικαιοσύνην». Δικαιοσύνη γάρ ἐστιν ἡ τῶν ἐντολῶν ἐκπλήρωσις. Ἐπεὶ οὖν πάσας τὰς ἄλλας ἐντολὰς ἠνύσαμεν, φησί, τοῦτο δὲ ὑπολέλειπται μόνον, δεῖ προστεθῆναι καὶ τοῦτο. Καὶ γὰρ ἦλθον λῦσαι τὴν ἀρὰν τὴν ἐπὶ τῇ παραβάσει τοῦ νόμου κειμένην. Δεῖ τοίνυν πρότερον ἐμὲ αὐτὸν πάντα πληρώσαντα, καὶ ἐξελόμενον ὑμᾶς τῆς καταδίκης, οὕτως αὐτὸν ἀναπαῦσαι. Πρέπον οὖν ἐστιν ἐμοὶ πληρῶσαι τὸν νόμον ἅπαντα· ἐπειδὴ καὶ πρέπον ἐστὶ λῦσαι τὴν καθ' ὑμῶν ἐν τῷ νόμῳ γεγραμμένην κατάραν. Διὰ γὰρ τοῦτο καὶ σάρκα ἀνέλαβον καὶ παρεγενόμην. «Τότε ἀφίησιν αὐτόν. Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ' αὐτόν.

2. Ἐπειδὴ γὰρ πολλοὶ μείζονα αὐτοῦ τὸν Ἰωάννην εἶναι ἐνόμιζον, διὰ τὸ τὸν μὲν ἐν ἐρήμῳ πάντα τραφῆναι τὸν χρόνον, καὶ υἱὸν ἀρχιερέως εἶναι καὶ στολὴν περικεῖσθαι τοιαύτην καὶ πάντας ἐπὶ τὸ βάπτισμα καλεῖν, καὶ ἀπὸ στείρας τετέχθαι· τὸν δὲ Ἰησοῦν καὶ ἀπὸ εὐτελοῦς κόρης εἶναι (ὁ γὰρ τῆς παρθενίας τόκος οὐδέπω πᾶσι κατάδηλος ἦν), καὶ διὰ τὸ ἐν οἰκίᾳ τραφῆναι, καὶ μετὰ πάντων ἀναστρέφεσθαι, καὶ τὴν κοινὴν ταύτην ἐσθῆτα περικεῖσθαι, ἐλάττονα αὐτοῦ εἶναι ὑπώπτευον, οὐδὲν οὐδέπω τῶν ἀπορρήτων εἰδότες ἐκείνων. Συνέβη δὲ καὶ βαπτισθῆναι αὐτὸν ὑπὸ τοῦ Ἰωάννου· ὅπερ ταύτην μᾶλλον ἐβεβαίου τὴν ὑπόνοιαν, εἰ καὶ μηδὲν τῶν προτέρων ἦν· ἐνενόουν γὰρ ὅτι οὗτος μὲν τῶν πολλῶν εἷς· οὐδὲ γὰρ εἰ μὴ τῶν πολλῶν εἷς ἦν, οὐκ ἂν μετὰ τῶν πολλῶν ἐπὶ τὸ βάπτισμα ἦλθεν· ἐκεῖνος δὲ μείζων αὐτοῦ καὶ πολλῷ θαυμαστότερος· ἵν' οὖν μὴ αὕτη κρατήσῃ παρὰ τοῖς

Ἔπειτα ἀποδεικνύει καὶ πῶς εἶναι τοῦτο πρέπον. Διατὶ πρέπει λοιπόν; Διότι ἐκπληρώνομεν τὸν νόμον εἰς τὸ σύνολόν του. Τοῦτο τὸ ἐφανέρωνε μὲ τοὺς λόγους «πᾶσαν δικαιοσύνην». Δικαιοσύνη εἶναι ἡ ἐκπλήρωσις τῶν ἐντολῶν. Ἐπειδὴ λοιπὸν ἐξεπληρώσαμεν ὅλας τὰς ἄλλας ἐντολάς, λέγει, καὶ ἀπομένει αὐτὸ μόνον, πρέπει νὰ προστεθῇ καὶ αὐτή. Διότι ἦλθα διὰ νὰ διαλύσω τὴν κατάραν ποὺ σᾶς βαρύνει διὰ τὴν παράβασιν τοῦ νόμου. Εἶναι ἀνάγκη λοιπὸν ἐγὼ πρῶτος νὰ ἐκπληρώσω αὐτὸν κατὰ πάντα καὶ ἀφοῦ σᾶς ἀπαλλάξω ἀπὸ τὴν καταδίκην, νὰ τὸν ἱκανοποιήσω κατ' αὐτὸν τὸν τρόπον. Πρέπει λοιπὸν νὰ ἐκπληρώσω τὸν νόμον εἰς τὸ σύνολόν του, ἐπειδὴ πρέπει καὶ νὰ διαλύσω τὴν κατάραν ποὺ ἔχει ἀναγραφῇ ἐναντίον σας εἰς τὸν νόμον. Διότι ἔλαβα τὴν σάρκα σας καὶ ἦλθα. «Τότε ἀφίησιν αὐτόν. Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ κατεβαῖνον ὡσεὶ περιστερὰ καὶ ἐρχόμενον ἐπ' αὐτοῦ».

2. Πολλοὶ ἐθεωροῦσαν τὸν Ἰωάννην ἀνώτερον του, ἐπειδὴ εἶχε ζήσει καθ' ὅλην τὴν ζωήν του εἰς τὴν ἔρημον, ἦτο υἱὸς ἀρχιερέως, ἦτο ἐνδεδυμένος μὲ τέτοιαν ἀμφίεσιν, ἐκαλοῦσεν ὅλους εἰς τὸ βάπτισμα, εἶχε δὲ γεννηθῇ καὶ ἀπὸ στεῖραν. Ἐνῷ τὸν Ἰησοῦν, ἐπειδὴ κατήγετο ἀπὸ ἄσημον κόρην—δὲν ἦτο ἀκόμη γνωστὸς εἰς ὅλους ὁ παρθενικὸς τοκετός της—εἶχεν ἀναγραφῇ εἰς τὸ σπίτι, συναναστρέφετο μὲ ὅλους, ἐφοροῦσε δὲ καὶ τὸ κοινὸν αὐτὸ φόρεμα, τὸν ὑπωπτεύοντο ὅτι ἦτο κατώτερός του· δὲν ἐγνώριζαν ἀκόμη τίποτε ἀπὸ ἐκεῖνα τὰ ἀπόρρητα. Συνέβη δὲ καὶ νὰ βαπτισθῇ ἀπὸ τὸν Ἰωάννην, πρᾶγμα τὸ ὁποῖον ἐπιβεβαίωνε τὴν ὑποψίαν, μολονότι κανένα ἀπὸ τὰ προηγούμενα δὲν ἦτο ἀληθές. Ἐσκέπτοντο ὅτι αὐτὸς ἦτο ἕνας ἀπὸ τοὺς πολλούς, διότι ἂν δὲν ἦτο ἕνας ἀπὸ τοὺς πολλούς, δὲν θὰ ἤρχετο μαζὶ μὲ τοὺς πολλοὺς εἰς τὸ βάπτισμα· ἐνῷ ἐκεῖνος ἦτο μεγαλύτερος ἀπὸ αὐτὸν καὶ πολὺ περισσότερον θαυμαστός. Διὰ νὰ μὴ ἐπικρατήσῃ λοιπὸν ἡ γνώμη αὐτὴ εἰς τὸ πλῆθος, διὰ τοῦτο καὶ οἱ οὐρανοὶ ἤνοιξαν, ὅταν ἐβαπτίσθη, καὶ τὸ

πολλοῖς ἡ δόξα, καὶ οἱ οὐρανοὶ ἀνοίγονται, βαπτισθέντος αὐτοῦ, καὶ τὸ Πνεῦμα κάτεισι, καὶ φωνὴ μετὰ τοῦ Πνεύματος κηρύττουσα τοῦ Μονογενοῦς τὴν ἀξίαν. Ἐπειδὴ γὰρ ἡ φωνὴ ἡ λέγουσα, «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός», παρὰ τοῖς πολλοῖς μᾶλλον ἁρμόττειν ἐδόκει τῷ Ἰωάννῃ· οὐ γὰρ προσέθηκεν, Οὗτος ὁ βαπτιζόμενος, ἀλλ᾽ἁπλῶς, «Οὗτος»· καὶ τῶν ἀκροατῶν ἕκαστος περὶ τοῦ βαπτίζοντος μᾶλλον ἢ τοῦ βαπτιζομένου εἰρῆσθαι αὐτὴν ὑπενόει, διά τε αὐτὸ τοῦ Βαπτιστοῦ τὸ ἀξίωμα, διά τε τὰ εἰρημένα ἅπαντα· ἦλθε τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς τὴν φωνὴν ἕλκον ἐπὶ τὸν Ἰησοῦν, καὶ πᾶσι δῆλον ποιοῦν, ὅτι τό, «Οὗτος», οὐ περὶ Ἰωάννου τοῦ βαπτίζοντος, ἀλλὰ περὶ Ἰησοῦ τοῦ βαπτιζομένου εἴρηται.

Καὶ πῶς, φησίν, οὐκ ἐπίστευσαν τούτων γινομένων;

Ὅτι καὶ ἐπὶ Μωϋσέως πολλὰ γέγονε θαύματα, εἰ καὶ μὴ τοιαῦτα· καὶ μετὰ πάντα ἐκεῖνα, καὶ τὰς φωνάς, καὶ τὰς σάλπιγγας, καὶ τὰς ἀστραπάς, καὶ μόσχον ἐχάλκευσαν, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθησαν. Καὶ αὐτοὶ δὲ οὗτοι οἱ τότε παρόντες καὶ τὸν Λάζαρον ἀναστάντα ἰδόντες, τοσοῦτον ἀπέσχον πιστεῦσαι τῷ ταῦτα ἐργασαμένῳ, ὅτι καὶ αὐτὸν ἀνελεῖν ἐπεχείρησαν πολλάκις. Εἰ τοίνυν πρὸ ὀφθαλμῶν ὁρῶντες νεκρῶν ἀνάστασιν, οὕτως ἦσαν πονηροί, τί θαυμάζεις, εἰ φωνὴν οὐκ ἐδέξαντο φερομένην ἄνωθεν; Ὅταν γὰρ ἀγνώμων ᾖ ψυχὴ καὶ διεστραμμένη, καὶ τῷ τῆς βασκανίας κατεχομένη νοσήματι, οὐδενὶ εἴκει τούτων· ὥσπερ οὖν ὅταν εὐγνώμων ᾖ, μετὰ πίστεως ἅπαντα δέχεται, καὶ τούτων οὐ σφόδρα δεῖται.

Μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι οὐκ ἐπίστευσαν· ἀλλ᾽ ἐκεῖνο ζήτει, εἰ μὴ πάντα γέγονεν, ἀφ᾽ ὧν αὐτοὺς πιστεῦσαι ἐχρῆν. Καὶ γὰρ διὰ τοῦ προφήτου ὑπὲρ τῶν καθ᾽ ἑαυτὸν ἁπάντων τοῦ-

---

1. Μὲ πόσην προσοχὴν ὁ Ἰ. Χρυσόστομος, τονίζων τὰ σχετικὰ στοιχεῖα, ἀποδεικνύει ὅτι τὸ κεντρικὸν πρόσωπον τῆς ἀποκαλυπτικῆς σκηνῆς τῆς βαπτίσεως ἦτο ὁ Χριστὸς καὶ ὄχι ὁ υἱὸς τοῦ Ζαχαρίου, τὸν ὁποῖον ὡς λέγει εἰς τὴν ἀρχὴν τῆς παραγράφου «πολλοὶ» ἐθεωροῦσαν ἀνώτερον τοῦ Χριστοῦ ἀπὸ ἐσφαλμένην ὅμως ἐκτίμησιν. Κατωτέρω θὰ τονίσῃ τὴν διαφο-

Πνεῦμα κατέρχεται καὶ μαζὶ μὲ τὸ Πνεῦμα ἀκούεται φωνή, ποὺ διακηρύττει τὴν ἀξίαν τοῦ Μονογενοῦς. Ἐπειδὴ δηλαδὴ ἡ φωνὴ ποὺ ἔλεγεν· «Αὐτὸς εἶναι ὁ υἱός μου ὁ ἀγαπητός», ἐφαίνετο εἰς τὸ πλῆθος ὅτι περισσότερον ἥρμοζεν εἰς τὸν Ἰωάννην —διότι δὲν ἐπρόσθεσεν· αὐτὸς ποὺ βαπτίζεται, ἀλλὰ εἶπε μόνον αὐτός—καὶ ἐπειδὴ καθεὶς ἀπὸ τοὺς ἀκροατὰς ἐσχημάτισε τὴν ἰδέαν ὅτι διὰ τὸν βαπτίζοντα μᾶλλον παρὰ διὰ τὸν βαπτιζόμενον εἶχε λεχθῆ καὶ διὰ τὸ ἀξίωμα τοῦ βαπτιστοῦ καὶ διὰ τὰ λεχθέντα ὅλα, διὰ τοῦτο ἦλθε τὸ Πνεῦμα μὲ τὴν μορφὴν περιστερᾶς. Ἄφησε φωνὴν ἐπάνω ἀπὸ τὸν Ἰησοῦν καὶ ἔκαμε φανερὸν εἰς ὅλους ὅτι τὸ «αὐτὸς» δὲν εἶχε λεχθῆ διὰ τὸν Ἰωάννην ποὺ ἐβάπτιζεν ἀλλὰ διὰ τὸν Ἰησοῦν ποὺ ἐβαπτίζετο[1].

Καὶ πῶς, λέγει, δὲν ἐπίστευσαν ἔπειτα ἀπὸ αὐτά;

Διότι καὶ ἐπὶ τῆς ἐποχῆς τοῦ Μωϋσέως ἔγιναν πολλὰ θαύματα, ἂν καὶ ὄχι τέτοιου εἴδους. Καὶ ἔπειτα ἀπὸ ὅλα αὐτά, τὰς φωνάς, τὰς σάλπιγγας, τὰς ἀστραπάς, καὶ τὸν χάλκινον μόσχον ἔστησαν καὶ εἰς τὸν Βεελφεγὼρ ἐθυσίασαν. Καὶ πάλιν οἱ ἴδιοι ποὺ ἦσαν παρόντες τότε καὶ εἶδαν τὸν Λάζαρον ἀναστημένον, τόσον μακρὰν ἐκρατήθησαν ἀπὸ τοῦ νὰ πιστεύσουν εἰς αὐτὸν ποὺ τὰ ἔπραξεν αὐτά, ὥστε καὶ τὸν ἴδιον ἐπεχείρησαν συχνὰ νὰ θανατώσουν. Ἂν λοιπὸν βλέποντες ἐμπρὸς εἰς τὰ μάτια των τὴν ἀνάστασιν νεκρῶν ἦσαν τόσον πονηροί, διατί ἀπορεῖς διότι δὲν ἐδέχθησαν τὴν φωνὴν ποὺ ἠκούετο ἀπὸ τὸν οὐρανόν; Ὅταν εἶναι ἡ ψυχὴ ἀχάριστος καὶ διεστραμμένη καὶ κατέχεται ἀπὸ τὴν ἀσθένειαν τοῦ φθόνου εἰς τίποτε ἀπὸ αὐτὰ δὲν ὑποχωρεῖ. Ὅπως πάλιν ὅταν εἶναι εὐγνώμων, τὰ δέχεται ὅλα μὲ πίστιν καὶ δὲν ἔχει μεγάλην ἀνάγκην ἀπὸ αὐτά.

Μὴ φέρῃς λοιπὸν τὴν ἔνστασιν αὐτήν· ὅτι δὲν ἐπίστευσαν. Ἀλλὰ νὰ ἐπιζητῇς ἐκεῖνο· ἂν δηλαδὴ δὲν ἔγιναν ὅλα, ὅσα ἀπῃτοῦντο διὰ νὰ πιστεύσουν. Διότι δι' ὅλα ὅσα ἀφοροῦν εἰς

ρὰν τῆς ἐμφανίσεως τοῦ ἁγ. Πνεύματος μὲ τὴν μορφὴν περιστερᾶς ἀπὸ τὴν ἐμφάνισιν τοῦ Χριστοῦ ὡς ἀνθρώπου

τον συντίθησι τὸν τρόπον τῆς ἀπολογίας ὁ Θεός. Ἐπειδὴ γὰρ ἀπόλλυσθαι ἔμελλον Ἰουδαῖοι, καὶ ἐσχάτῃ παραδίδοσθαι κολάσει, ἵνα μή τις ἀπὸ τῆς ἐκείνων πονηρίας τὴν αὐτοῦ διαβάλῃ πρόνοιαν, φησίν, ὅτι «Τί με ἔδει ποιῆσαι τῷ ἀμπελῶνι τούτῳ καὶ οὐκ ἐποίησα;»[1] Τοῦτο δὴ καὶ ἐνταῦθα σκόπει· τί ἔδει γενέσθαι καὶ οὐκ ἐγένετο; Καὶ εἴποτε δὲ λόγοι γίνοιντο περὶ τῆς τοῦ Θεοῦ προνοίας, τούτῳ κέχρησο τῷ τρόπῳ τῆς ἀπολογίας πρὸς τοὺς ἀπὸ τῆς τῶν πολλῶν κακίας διαβάλλειν αὐτὴν ἐπιχειροῦντας. Ὅρα γοῦν οἷα παράδοξα γίνεται, καὶ τῶν μελλόντων προοίμια· οὐκέτι γὰρ παράδεισος, ἀλλ' οὐρανὸς ἀνοίγεται. Ἀλλ' ὁ μὲν πρὸς Ἰουδαίους λόγος, εἰς ἕτερον ἡμῖν ὑπερκείσθω καιρόν· νυνὶ δέ, τοῦ Θεοῦ συνεργοῦντος ἡμῖν, ἐπὶ τὰ προκείμενα τὸν λόγον ἀγάγωμεν.

«Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί». Τίνος ἕνεκεν ἀνεῴχθησαν οἱ οὐρανοί; Ἵνα μάθῃς ὅτι καὶ σοῦ βαπτιζομένου τοῦτο γίνεται, πρὸς τὴν ἄνω πατρίδα τοῦ Θεοῦ σε καλοῦντος, καὶ πείθοντος μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν. Εἰ δὲ μὴ ὁρᾷς, μὴ ἀπιστήσῃς. Καὶ γὰρ ἐν προοιμίοις ἀεὶ τῶν παραδόξων καὶ πνευματικῶν πραγμάτων αἰσθηταὶ φαίνονται ὄψεις καὶ σημεῖα τοιαῦτα, διὰ τοὺς ἀνοητότερον διακειμένους καὶ χρῄζοντας ὄψεως αἰσθητῆς, καὶ μηδεμίαν ἔννοιαν ἀσωμάτου φύσεως λαβεῖν δυναμένους, πρὸς δὲ τὰ ὁρατὰ μόνον ἐπτοημένους· ἵνα κἂν μετὰ ταῦτα μὴ γένηται ταῦτα τὰ ἐξ αὐτῶν δηλωθέντα ἅπαξ καὶ ἐν ἀρχῇ παραδέξῃ τῇ πίστει. Καὶ γὰρ ἐπὶ τῶν ἀποστόλων ἦχος ἐγένετο πνοῆς βιαίας καὶ ὄψεις γλωσσῶν πυρίνων ἐφάνησαν· ἀλλ' οὐ διὰ τοὺς ἀποστόλους, ἀλλὰ διὰ τοὺς παρόντας τότε Ἰουδαίους. Ἀλλ' ὅμως εἰ καὶ μὴ αἰσθητὰ γίνεται σημεῖα, τὰ ἐξ αὐτῶν δηλωθέντα ἅπαξ καταδεχόμεθα. Ἐπεὶ καὶ ἡ περιστερὰ διὰ τοῦτο τότε ἐφάνη, ἵν'

1. Ἡσ. 5, 4.

αὐτὸν ὁ Θεὸς αὐτὴν τὴν ἀπολογίαν συνθέτει διὰ τοῦ προφήτου. Ἐπειδὴ οἱ Ἰουδαῖοι ἐπρόκειτο νὰ ἀπολεσθοῦν καὶ νὰ παραδοθοῦν εἰς τὴν ἐσχάτην τιμωρίαν, διὰ νὰ μὴ συκοφαντήσῃ κάποιος τὴν πρόνοιάν του ἀπὸ τὴν πονηρίαν ἐκείνων λέγει· «Τί με ἔδει ποιῆσαι τῷ ἀμπελῶνι τούτῳ καὶ οὐκ ἐποίησα;»[1]. Τὸ ἴδιο ἀκριβῶς νὰ προσέξῃς καὶ ἐδῶ: Τί ἔπρεπε νὰ γίνῃ καὶ δὲν ἔγινε; Καὶ ἂν κάποτε δημιουργηθῇ συζήτησις περὶ τῆς προνοίας τοῦ Θεοῦ χρησιμοποίησε τοῦτον τὸν τρόπον ὑπερασπίσεως ἔναντι ἐκείνων, ποὺ ἐπιχειροῦν νὰ τὴν συκοφαντήσουν, ὁρμώμενοι ἀπὸ τὴν κακίαν τῶν πολλῶν. Πρόσεξε λοιπὸν τὰ παράδοξα ποὺ συμβαίνουν, ὡς πρόλογος τῶν μελλοντικῶν· δὲν ἀνοίγει παράδεισος ἀλλὰ οὐρανός. Ὁ λόγος πρὸς τοὺς Ἰουδαίους, ἂς μετατεθῇ εἰς ἄλλην εὐκαιρίαν. Τώρα μὲ τὴν συνεργίαν τοῦ Θεοῦ ἂς ὁδηγήσωμεν τὸν λόγον εἰς αὐτὰ ποὺ σχολιάζομεν.

«Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί». Διὰ ποῖον λόγον ἤνοιξαν οἱ οὐρανοί; Διὰ νὰ μάθῃς ὅτι καὶ ὅταν βαπτίζεσαι σὺ γίνεται τὸ ἴδιο. Σὲ καλεῖ ὁ Θεὸς εἰς τὴν οὐράνιον πατρίδα καὶ θέλει νὰ σὲ πείσῃ νὰ μὴ ἔχῃς κανένα κοινὸν πρὸς τὴν γῆν. Ἂν δὲν βλέπῃς, μὴ ἀπιστήσῃς. Διότι πάντοτε ὡς προοίμιον παραδόξων καὶ πνευματικῶν πραγμάτων γίνονται αἰσθηταὶ ἐμφανίσεις καὶ παρόμοια σημεῖα δι' ὅσους εἶναι κατώτεροι διανοητικῶς, καὶ ἔχουν ἀνάγκην ἀπὸ αἰσθητὰς ἐμφανίσεις, χωρὶς νὰ δύνανται νὰ σχηματίσουν καμμίαν ἔννοιαν διὰ τὴν ἀσώματον φύσιν, ἀλλὰ ἐπιθυμοῦν σφοδρὰ μόνον τὰ ὁρατά. Τοῦτο, ὥστε, καὶ ἂν ἀκόμη δὲν ἔχωμεν τέτοια σημεῖα ἔπειτα, νὰ δεχθῇς μὲ πίστιν ὅσα ἐδηλώθησαν μὲ τὰ σημεῖα αὐτὰ ὅπως ἀπὸ τὴν ἀρχήν. Καὶ εἰς τὴν περίπτωσιν τῶν ἀποστόλων ἔγινεν ἦχος σφοδροῦ ἀνέμου καὶ ἐπαρουσιάσθησαν πύριναι γλῶσσαι. Τοῦτο ὅμως δὲν ἔγινε διὰ τοὺς ἀποστόλους ἀλλὰ διὰ τοὺς παρευρισκομένους Ἰουδαίους. Ἀλλ' ὅμως καὶ ἂν δὲν ὑπάρχουν αἰσθητὰ σημεῖα ἀποδεχόμεθα ὅ,τι αὐτὰ ἔχουν μίαν φορὰν δηλώσει. Διότι καὶ ἡ περιστερὰ διὰ τοῦτο ἐπαρουσιάσθη τότε· διὰ

ὥσπερ ἀντὶ δακτύλου τινὸς δείξῃ τοῖς παροῦσι καὶ τῷ Ἰωάννῃ τὸν Υἱὸν τοῦ Θεοῦ. Οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλ' ἵνα καὶ σὺ μάθῃς, ὅτι καὶ ἐπὶ σὲ βαπτιζόμενον τὸ Πνεῦμα ἔρχεται.

3. Λοιπὸν δὲ ἡμῖν αἰσθητῆς οὐ χρεία ὄψεως, τῆς πίστεως ἀντὶ πάντων ἀρκούσης· τὰ γὰρ σημεῖα οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. Διατί δὲ ἐν εἴδει περιστερᾶς; Ἥμερον τὸ ζῶον καὶ καθαρόν. Ἐπεὶ οὖν καὶ τὸ Πνεῦμα πραότητός ἐστι πνεῦμα, διὰ τοῦτο ἐν τούτῳ φαίνεται. Ἄλλως δὲ καὶ παλαιᾶς ἡμᾶς ἀναμιμνήσκει ἱστορίας. Καὶ γὰρ ναυαγίου ποτὲ κοινοῦ τὴν οἰκουμένην καταλαβόντος ἅπασαν, καὶ τοῦ γένους ἡμῶν κινδυνεύοντος ἀφανισθῆναι, τοῦτο ἐφάνη τὸ ζῶον καὶ τὴν λύσιν τοῦ χειμῶνος ἔδειξε, καὶ κλάδον φέρον ἐλαίας, τὴν κοινὴν τῆς οἰκουμένης γαλήνην εὐηγγελίσατο· ἅπερ πάντα τύπος τῶν μελλόντων ἦν. Καὶ γὰρ τότε πολλῷ χεῖρον τὰ τῶν ἀνθρώπων διέκειτο καὶ πολλῷ μείζονος ἄξιοι τιμωρίας ἦσαν. Ἵν' οὖν μὴ ἀπογνῷς, ἀναμιμνήσκει σε τῆς ἱστορίας ἐκείνης. Καὶ γὰρ τότε τῶν πραγμάτων ἀπογνωσθέντων, γέγονε λύσις τις καὶ διόρθωσις· ἀλλὰ τότε διὰ τιμωρίας, νῦν δὲ διὰ χάριτος καὶ δωρεᾶς ἀφάτου. Διὰ τοῦτο καὶ ἡ περιστερὰ φαίνεται, οὐ κλάδον ἐλαίας φέρουσα, ἀλλὰ τὸν πάντων τῶν κακῶν ἐλευθερωτὴν ἡμῖν δεικνύουσα, καὶ χρηστὰς ὑποτείνουσα τὰς ἐλπίδας. Οὐδὲ γὰρ ἀπὸ κιβωτοῦ ἄνθρωπον ἐξάγει ἕνα, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν εἰς τὸν οὐρανὸν ἐνάγει φανεῖσα, καὶ ἀντὶ θαλλοῦ ἐλαίας τὴν υἱοθεσίαν τῷ κοινῷ τῆς οἰκουμένης κομίζει γένει.

Ἐννοήσας τοίνυν τὸ μέγεθος τῆς δωρεᾶς, μηδὲ ἐλάττονα αὐτοῦ

---

1. Ἐννοεῖται ὁ κατακλυσμὸς ὁ ὁποῖος συνέβη ἐπὶ τῆς ἐποχῆς τοῦ Νῶε καὶ κατὰ τὸν ὁποῖον ἐκινδύνευσε νὰ ἐξαλειφθῇ ἡ ἀνθρωπότης ἀπὸ τὸ πρό-

νὰ δείξῃ εἰς τοὺς παρόντας καὶ τὸν Ἰωάννην, ὅπως ὁ δείκτης τῆς χειρὸς τὸν Υἱὸν τοῦ Θεοῦ. Καὶ ὄχι βεβαίως δι' αὐτὸ μόνον ἀλλὰ διὰ νὰ μάθῃς καὶ σὺ ὅτι καὶ ἐπάνω εἰς σὲ ἔρχεται τὸ Πνεῦμα κατὰ τὴν ὥραν τῆς βαπτίσεως.

3. Κατὰ συνέπειαν ἡμεῖς δὲν ἔχομεν ἀνάγκην ἀπὸ ὁρατὰ σημεῖα, φθάνει διὰ νὰ τὰ ἀντικαταστήσῃ ὅλα ἡ πίστις. Τὰ σημεῖα προορίζονται ὄχι διὰ τοὺς πιστοὺς ἀλλὰ διὰ τοὺς ἀπίστους. Καὶ διατί, παρακαλῶ, μὲ τὴν μορφὴν τῆς περιστερᾶς; Εἶναι ἥμερον ζῷον καὶ καθαρόν. Ἐπειδὴ λοιπὸν καὶ τὸ Πνεῦμα εἶναι πνεῦμα πραότητος, διὰ τοῦτο ἐμφανίζεται εἰς αὐτήν. Ἐξ ἄλλου μᾶς ὑπενθυμίζει καὶ μίαν παλαιὰν ἱστορίαν. Ὅταν δηλαδὴ ἡ οἰκουμένη ὁλόκληρος ἀντεμετώπισε κοινὸν ναυάγιον [1] καὶ τὸ γένος μας ἐκινδύνευσε ν' ἀφανισθῇ, ἐνεφανίσθη τὸ πτηνὸν τοῦτο καὶ ἔκαμε φανερὰν τὴν λῆξιν τῆς θεομηνίας. Κρατοῦσα εἰς τὸ ράμφος κλάδον ἐλαίας ἔφερε τὸ χαρμόσυνον ἄγγελμα τῆς κοινῆς γαλήνης τῆς οἰκουμένης. Αὐτὰ ὅλα ἀποτελοῦσαν προτύπωσιν τῶν μελλοντικῶν. Τότε οἱ ἄνθρωποι ἦσαν εἰς πολὺ χειροτέραν κατάστασιν καὶ ἦσαν ἄξιοι πολὺ μεγαλυτέρας τιμωρίας. Διὰ νὰ μὴ φθάσῃς λοιπὸν εἰς ἀπόγνωσιν, σοῦ ὑπενθυμίζει τὴν ἱστορίαν ἐκείνην. Διότι καὶ τότε, ὁπότε δὲν ὑπῆρχεν ἐλπὶς διὰ τὴν κατάστασιν, εὑρέθη λύσις καὶ ἐπανόρθωσις· τότε ὅμως μὲ τὸ μέσον τῆς τιμωρίας, ἐνῷ τώρα μὲ τὴν χάριν καὶ τὴν ἄφατον δωρεάν. Διὰ τοῦτο ἐμφανίζεται καὶ ἡ περιστερά. Δὲν κρατεῖ κλάδον ἐλαίας ἀλλὰ μᾶς δεικνύει τὸν ἐλευθερωτὴν ἀπὸ ὅλα τὰ δεινὰ καὶ μᾶς ἐκδιπλώνει ἀγαθὰς τὰς ἐλπίδας. Διότι δὲν βγάζει ἀπὸ τὴν κιβωτὸν ἕναν ἄνθρωπον ἀλλὰ μὲ τὴν ἐμφάνισίν της ὁδηγεῖ ὁλόκληρον τὴν οἰκουμένην εἰς τὸν οὐρανὸν καὶ δὲν φέρει ἕνα κλάδον ἐλαίας ἀλλὰ τὴν υἱοθεσίαν εἰς ὅλους συλλήβδην τοὺς ἀνθρώπους.

Ἀφοῦ ἀντελήφθης λοιπὸν τὸ μέγεθος τῆς δωρεᾶς, μὴ νομίσῃς τώρα ὅτι μειώνεται ἡ ἀξία του, ἐπειδὴ ἐνεφανίσθη μὲ

σωπον τῆς γῆς.

τὴν ἀξίαν νομίσῃς εἶναι, διὰ τὸ ἐν τοιαύτῃ φανῆναι ὄψει. Καὶ γὰρ ἀκούω τινῶν λεγόντων, ὅτι ὅσον ἀνθρώπου καὶ περιστερᾶς τὸ μέσον, τοσοῦτον τοῦ Χριστοῦ καὶ τοῦ Πνεύματος, ἐπειδὴ ὁ μὲν ἐν τῇ ἡμετέρᾳ φύσει, τὸ δὲ ἐν ὄψει περιστερᾶς ἐφάνη. Τί οὖν πρὸς ταῦτα ἔστιν εἰπεῖν; Ὅτι ὁ μὲν Υἱὸς τοῦ Θεοῦ, φύσιν ἀνθρώπου ἀνέλαβε· τὸ δὲ Πνεῦμα, οὐ φύσιν ἀνέλαβε περιστερᾶς. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς οὐκ εἶπεν ὅτι ἐν φύσει περιστερᾶς, ἀλλ' ἐν εἴδει περιστερᾶς· οὐκοῦν οὐδὲ μετὰ ταῦτα ἐν τούτῳ ὤφθη τῷ σχήματι, ἀλλὰ τότε μόνον. Εἰ δὲ διὰ τοῦτο ἐλάττονα αὐτοῦ τὴν ἀξίαν φῇς εἶναι, εὑρεθήσεται καὶ τὰ Χερουβὶμ κατὰ τὸν λόγον τοῦτον ἀμείνω πολλῷ, καὶ τοσοῦτον ὅσον περιστερᾶς ἀετός· καὶ γὰρ εἰς ταύτην κἀκεῖνα ἐσχηματίσθη τὴν ὄψιν· καὶ οἱ ἄγγελοι δὲ ἀμείνους πάλιν· καὶ γὰρ ἐν σχήματι ἀνθρώπων πολλάκις ἐφάνησαν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Καὶ γὰρ ἕτερον οἰκονομίας ἀλήθεια, καὶ ὄψεως προσκαίρου συγκατάβασις.

Μὴ τοίνυν ἀχάριστος γίνου περὶ τὸν εὐεργέτην, μηδὲ τοῖς ἐναντίοις ἀμείβου τὸν τὴν πηγήν σοι τῆς μακαριότητος δωρησάμενον. Ὅπου γὰρ υἱοθεσίας ἀξίωμα, ἐκεῖ καὶ ἡ τῶν κακῶν ἀναίρεσις καὶ ἡ τῶν ἀγαθῶν ἁπάντων δόσις. Διὰ δὴ τοῦτο τὸ μὲν Ἰουδαϊκὸν παύεται βάπτισμα, τὸ δὲ ἡμέτερον ἀρχὴν λαμβάνει. Καὶ ὅπερ ἐπὶ τοῦ Πάσχα γέγονε, τοῦτο καὶ ἐπὶ τοῦ βαπτίσματος συμβαίνει. Καὶ γὰρ καὶ ἐκεῖ ἀμφότερα μετελθών, τὸ μὲν ἔπαυσε, τῷ δὲ ἀρχὴν δέδωκε· καὶ ἐνταῦθα πληρώσας τὸ Ἰουδαϊκὸν βάπτισμα, ὁμοῦ καὶ τοῦ τῆς Ἐκκλησίας τὰς θύρας ἀ-

---

1. Πρόκειται περὶ τῶν πνευματομάχων. Μὲ τὴν λέξιν αὐτὴν ἐννοοῦνται ἐδῶ ὁμὰς αἱρετικῶν περὶ τὰ μέσα τοῦ δ' αἰ., οἱ ὁποῖοι ἀμφισβητοῦσαν τὴν θεότητα τοῦ ἁγίου Πνεύματος. Ὡς πρόδρομοί των θεωροῦνται οἱ Ἀρειανοί. Οἱ κυρίως πνευματομάχοι ἀνεφάνησαν τὸ 372 καὶ συνησπίσθησαν εἰς ἰδιαιτέραν ὁμάδα, ποὺ περιελάμβανε τοὺς ὁμοίους καὶ τοὺς ὁμοιουσιανούς, τῶν ὁποίων ἡγέτης ἦτο ὁ ἐπίσκοπος Σεβαστείας Εὐμάθιος. Ἄλλοι ἦσαν ὁ Νικομηδείας Μαραθώνιος, ὁ Κυζίκου Ἐλεύσιος, ὁ Λαμψάκου Μαρκιανός. Περὶ Μακεδονίου βλ. Θρ. καὶ Ἠθ. Ἐγκυκλ. τ. 10, σελ. 479, λέξιν Πνευματομάχοι.

τέτοιαν μορφήν. Διότι ἀκούω μερικοὺς[1] νὰ λέγουν ὅτι ὅση ἀπόστασις ὑπάρχει μεταξὺ ἀνθρώπου καὶ περιστερᾶς ἄλλη τόση χωρίζει τὸν Χριστὸν ἀπὸ τὸ Πνεῦμα, ἐπειδὴ ὁ μὲν Χριστὸς ἐφανερώθη μὲ τὴν ἰδικήν μας φύσιν, ἐνῷ τὸ Πνεῦμα μὲ τὴν μορφὴν τῆς περιστερᾶς. Τί ἔχομεν λοιπὸν νὰ ἀπαντήσωμεν εἰς αὐτά; Ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἀνέλαβε τοῦ ἀνθρώπου τὴν φύσιν, ἐνῷ τὸ Πνεῦμα δὲν ἀνέλαβε τὴν φύσιν τῆς περιστερᾶς. Διὰ τοῦτο καὶ ὁ Εὐαγγελιστὴς δὲν εἶπε «μὲ τὴν φύσιν τῆς περιστερᾶς» ἀλλὰ «μὲ τὴν μορφὴν τῆς περιστερᾶς». Οὔτε ἔπειτα ἀπὸ τὸ γεγονὸς αὐτὸ ἐνεφανίσθη μὲ αὐτὴν τὴν μορφήν, ἀλλὰ μόνον τότε. Ἐὰν νομίζῃς ὅτι διὰ τὸν λόγον αὐτὸν εἶναι μικροτέρας ἀξίας, θὰ εὑρεθοῦν κατὰ τὴν λογικὴν αὐτὴν καὶ τὰ Χερουβὶμ πολὺ ἀνώτερά του, ὅσον ὁ ἀετὸς ἀπὸ τὴν περιστεράν, ἐπειδὴ καὶ αὐτὰ ἔλαβαν τὴν μορφὴν αὐτὴν[2]. Ἀλλὰ καὶ οἱ ἄγγελοι πάλιν πολὺ ἀνώτεροι, διότι συχνὰ ἐφάνησαν μὲ μορφὴν ἀνθρώπων. Ἀλλ' αὐτὰ βεβαίως δὲν εἶναι ὀρθά, δὲν εἶναι. Ἡ ἀλήθεια εἶναι διάφορον πρᾶγμα ἀπὸ τὴν οἰκονομίαν καὶ ἡ συγκατάβασις ἀπὸ μίαν πρόσκαιρον ἐμφάνισιν.

Μὴ γίνῃς λοιπὸν ἀχάριστος πρὸς τὸν εὐεργέτην καὶ μὴ ἀποδίδῃς τὰ ἀντίθετα ἀπὸ ὅ,τι πρέπει εἰς ἐκεῖνον ποὺ σοῦ ἐχάρισε τὴν πηγὴν τῆς μακαριότητος. Ὅπου ὑπάρχει ἡ τιμὴ τῆς υἱοθεσίας, ἐκεῖ γίνεται ἡ ἐξάλειψις τοῦ κακοῦ καὶ ἡ προσφορὰ ὅλων τῶν ἀγαθῶν. Διὰ τοῦτο ἀκριβῶς παύει νὰ τελῆται τὸ ἰουδαϊκὸν βάπτισμα καὶ λαμβάνει ἀρχὴν τὸ ἰδικόν μας. Καὶ συμβαίνει εἰς τὸ βάπτισμα ὅ,τι συνέβη καὶ εἰς τὸ Πάσχα. Εἰς αὐτὸ δηλαδή, ἀφοῦ ἐξεπλήρωσε καὶ τὰ δύο, ἔπαυσε τὸ ἕνα καὶ ἐγκαινίασε τὸ ἄλλο. Καὶ ἐδῶ ἀφοῦ ἐξεπλήρωσε τὸ ἰουδαϊκὸν βάπτισμα, ἀνοίγει συγχρόνως καὶ τὰς θύρας τοῦ βαπτίματος τῆς ἐκκλησίας, ὅπως εἰς ἕνα τραπέζι τότε, ἔτσι τώρα εἰς

---

2. Τὰ χερουβὶμ παρουσιάζονται ὡς ἔχοντα πτέρυγας ἀετοῦ, χαρακτηρίζονται δὲ ὡς ἑξαπτέρυγα, περιιπτάμενα γύρω ἀπὸ τὸν θρόνον τοῦ βασιλέως τοῦ παντός, ὅπως λέγει καὶ σχετικὴ προσευχὴ τῆς θ. λειτουργίας.

νοίγνυσιν, ὥσπερ ἐν μιᾷ τραπέζῃ τότε, οὕτως ἐν ἑνὶ ποταμῷ νῦν, καὶ τὴν σκιὰν ὑπογράψας, καὶ τὴν ἀλήθειαν προσθείς. Πνεύματος γὰρ χάριν τοῦτο ἔχει τὸ βάπτισμα μόνον· τὸ δὲ Ἰωάννου, ταύτης ἔρημον τῆς δωρεᾶς ἦν. Διὰ δὴ τοῦτο ἐπὶ μὲν τῶν ἄλλων τῶν βαπτιζομένων οὐδὲν τοιοῦτον συνέβη, ἐπὶ δὲ αὐτοῦ μόνου τοῦ μέλλοντος τοῦτο παραδιδόναι· ἵνα μετὰ τῶν εἰρημένων καὶ τοῦτο μάθῃς, ὅτι οὐχ ἡ καθαρότης τοῦ βαπτίζοντος, ἀλλ' ἡ δύναμις τοῦ βαπτιζομένου τοῦτο ἐποίησε. Τότε γοῦν καὶ οἱ οὐρανοὶ ἀνεῴχθησαν, καὶ τὸ Πνεῦμα ἐπῆλθεν. Ἀπὸ γὰρ τῆς παλαιᾶς λοιπὸν ἐπὶ τὴν καινὴν ἐξάγει πολιτείαν ἡμᾶς, τάς τε πύλας ἡμῖν ἀνοιγνὺς τὰς ἄνω, καὶ Πνεῦμα πέμπων ἐκεῖθεν, καλοῦν εἰς τὴν ἐκεῖ πατρίδα· καὶ οὐχ ἁπλῶς καλοῦν, ἀλλὰ καὶ μετὰ ἀξιώματος τοῦ μεγίστου. Οὐ γὰρ ἀγγέλους καὶ ἀρχαγγέλους ἐποίησεν, ἀλλὰ υἱοὺς Θεοῦ κατασκευάσας καὶ ἀγαπητούς, οὕτως ἕλκει πρὸς ἐκείνην τὴν λῆξιν ἡμᾶς.

4. Ταῦτ' οὖν ἐννοήσας ἅπαντα, καὶ τῆς ἀγάπης τοῦ καλοῦντος, καὶ τῆς πολιτείας τῆς ἐκεῖ, καὶ τῆς τιμῆς τῆς δοθείσης ἄξιον ἐπίδειξαι βίον· τῷ κόσμῳ σταυρωθεὶς καὶ σταυρώσας αὐτὸν σεατῷ, τὴν τῶν οὐρανῶν πολιτεύου πολιτείαν μετὰ ἀκριβείας ἁπάσης· μηδὲ ἐπειδὴ τὸ σῶμά σου μὴ μετέστη πρὸς τὸν οὐρανόν, νομίσῃς ἔχειν τι κοινὸν πρὸς τὴν γῆν. Καὶ διὰ τοῦτο δὲ πρότερον ἐνταῦθα παραγενόμενος ὁ Δεσπότης καὶ τοὺς ἀγγέλος ἀγαγών, τότε σε ἀναλαβὼν ἀπῆλθεν ἐκεῖ, ἵνα καὶ πρὸ τῆς ἀνόδου τῆς ἐκεῖσε μάθῃς, ὅτι δυνατόν σοι τὴν γῆν ὡς τὸν οὐρανὸν οἰκεῖν.

Μένωμεν τοίνυν τὴν εὐγένειαν τηροῦντες, ἣν ἐδεξάμεθα ἐξ ἀρχῆς, καὶ τὰ ἐκεῖ βασίλεια καθ' ἑκάστην ἐπιζητῶμεν τὴν ἡμέραν, καὶ πάντα τὰ ἐνταῦθα σκιὰν καὶ ὄναρ εἶναι νομίζωμεν. Οὐδὲ γὰρ εἰ βασιλεύς τις τῶν ἐπὶ τῆς γῆς πτωχὸν ὄντα σε καὶ προσαιτοῦντα λαβών, υἱὸν ἐξαίφνης ἐποιήσατο, τὴν καλύβην καὶ τὴν εὐτέλειαν τῆς καλύβης τῆς σῆς ἐνενόησας ἄν·

ἕνα ποταμόν· ὑπεγράμμισε καὶ τὴν σκιὰν ἀλλὰ ἐπρόσθεσε καὶ τὴν ἀλήθειαν. Διότι τὴν χάριν τοῦ Πνεύματος τὴν ἔχει τοῦτο μόνον τὸ βάπτισμα, ἐνῷ τὸ βάπτισμα τοῦ Ἰωάννου ἦτο ἄμοιρον τῆς δωρεᾶς αὐτῆς. Καὶ διὰ τοῦτο εἰς τοὺς ἄλλους βαπτιζομένους δὲν συνέβη τίποτε παρόμοιον ἀλλὰ εἰς αὐτὸν μόνον, ὁ ὁποῖος ἐπρόκειτο νὰ τὸ παραδώσῃ. Κοντὰ εἰς τὰ ἄλλα ποὺ εἴπαμεν μάθε καὶ τοῦτο· δὲν εἶναι ἡ καθαρότης τοῦ βαπτίσματος ποὺ ἐπέτυχε τοῦτο ἀλλὰ ἡ δύναμις ἐκείνου ποὺ ἐβαπτίζετο. Τότε λοιπὸν ἤνοιξαν καὶ οἱ οὐρανοὶ καὶ τὸ Πνεῦμα ἐστάθη ἐπάνω του. Ἀπὸ τὸν παλαιὸν λοιπὸν τρόπον ζωῆς μᾶς βγάζει εἰς τὸν νέον, ἀνοίγων πρὸς χάριν μας καὶ τὰς πύλας τοῦ οὐρανοῦ καὶ ἀποστέλλων ἀπὸ ἐκεῖ τὸ Πνεῦμα, ποὺ μᾶς καλεῖ εἰς τὴν πατρίδα μας ἐκεῖ. Καὶ δὲν μᾶς καλεῖ ἁπλῶς ἀλλὰ μὲ τὴν μεγαλυτέραν τιμήν. Διότι δὲν μᾶς ἔκαμεν ἀγγέλους καὶ ἀρχαγγέλους ἀλλὰ μᾶς ἀνέδειξεν υἱοὺς Θεοῦ καὶ ἀγαπητούς του καὶ ἔτσι μᾶς ἑλκύει πρὸς τὴν κληρονομίαν ἐκείνην.

4. Στοχάσου τα λοιπὸν ὅλα αὐτὰ καὶ παρουσίασε ζωὴν ἀνταξίαν τῆς ζωῆς εἰς τοὺς οὐρανοὺς καὶ τῆς τιμῆς ποὺ σοῦ ἐδόθη. Ἀφοῦ σταυρωθῇς διὰ τὸν κόσμον καὶ ἀφοῦ σταυρώσῃς τὸν ἑαυτόν σου χάριν σοῦ τοῦ ἰδίου, ζῆσε μὲ κάθε ἀκρίβειαν τὴν ζωὴν τῶν οὐρανῶν. Καὶ μὴ νομίσῃς ἐπειδὴ τὸ σῶμα σου δὲν μετετοπίσθη πρὸς τοὺς οὐρανούς, ὅτι ἔχεις κάτι κοινὸν πρὸς τὴν γῆν· διότι ἡ κεφαλή σου εἶναι τοποθετημένη ὑψηλά. Καὶ διὰ τοῦτο, ἀφοῦ προηγουμένως ἦλθεν ὁ Δεσπότης ἐδῶ καὶ ἀφοῦ ἔφερε τοὺς ἀγγέλους, τότε σὲ ἐπῆρε καὶ ἔφυγεν ἐκεῖ, διὰ νὰ μάθῃς καὶ πρὸ τῆς ἀνόδου σου πρὸς τὰ ἐκεῖ, ὅτι σοῦ εἶναι δυνατὸν νὰ κατοικῇς τὴν γῆν ὡς νὰ εἶναι οὐρανός.

Ἂς περιμένωμεν λοιπὸν προσπαθοῦντες νὰ διακρίνωμεν τὴν εὐγένειαν ποὺ μᾶς ἐδόθη ἀπὸ τὴν ἀρχὴν καὶ ἂς ἐπιζητοῦμεν καθημερινῶς τὰ ἐκεῖ ἀνάκτορα καὶ ἂς νομίζωμεν ὅτι ὅλα τὰ ἐδῶ εἶναι σκιὰ καὶ ὄνειρον. Διότι οὔτε ἂν κάποιος ἀπὸ τοὺς ἐπιγείους βασιλεῖς σὲ ἔπαιρνεν ἀπὸ τὴν πτωχείαν σου καὶ τὴν ἐπαιτείαν καὶ σὲ ἔκαμνεν ἀπρόοπτα υἱόν του, θὰ ἐσκέπτεσο πιὰ τὴν καλύβην καὶ τὴν μηδαμινότητα τῆς καλύβης σου· μολονότι

καίτοιγε οὐ πολὺ τὸ μέσον ἐκεῖ. Μὴ τοίνυν μηδὲ ἐνταῦθα λογίζου τι τῶν προτέρων· καὶ γὰρ ἐπὶ πολλῷ μείζοσιν ἐκλήθης. Ὅ τε γὰρ καλῶν, ὁ τῶν ἀγγέλων Δεσπότης ἐστί· τά τε διδόμενα ἀγαθά, καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει πᾶσαν. Οὐ γὰρ ἀπὸ γῆς εἰς γῆν σε μεθίστησι, καθάπερ ὁ βασιλεύς, ἀλλ' ἀπὸ γῆς εἰ οὐρανόν, καὶ ἀπὸ φύσεως θνητῆς εἰς ἀθάνατον καὶ δόξαν ἄῤῥητον, τότε δυναμένην μόνον φανῆναι καλῶς, ὅταν αὐτῆς ἀπολαύσωμεν.

Τοιούτων τοίνυν μέλλων μετέχειν ἀγαθῶν, χρημάτων μοι μέμνησαι, καὶ τῆς ἐνταῦθα φαντασίας ἀντέχῃ; καὶ οὐ νομίζεις ἅπαντα τὰ ὁρώμετα τῶν τοῦ προσαιτοῦντος ῥακίων εὐτελέστερα εἶναι; Καὶ πῶς ἄξιος φανήσῃ ταύτης τῆς τιμῆς; ποίαν δὲ ἕξεις ἀπολογίαν εἰπεῖν, μᾶλλον δὲ ποίαν οὐ δώσεις δίκην, μετὰ τοσαύτην δωρεὰν ἐπὶ τὸν πρότερον ἐμετὸν τρέχων; Οὐκέτι γὰρ ὡς ἄνθρωπος ἁπλῶς, ἀλλ' ὡς υἱὸς Θεοῦ ἁμαρτὼν κολάζῃ, καὶ γίνεταί σοι τὸ τῆς τιμῆς μέγεθος ἐφόδιον τιμωρίας μείζονος. Καὶ γὰρ καὶ ἡμεῖς οὐχ ὁμοίως δούλους ἁμαρτάνοντας, καὶ υἱοὺς τὸ αὐτὸ πλημμελοῦντας κολάζομεν· καὶ μάλιστα ὅταν μεγάλα παρ' ἡμῶν εὐεργετημένοι τύχωσιν. Εἰ γὰρ ὁ παράδεισον λαχών, διὰ μίαν παρακοὴν τοσαῦτα μετὰ τὴν τιμὴν ὑπέστη δεινά, οἱ τὸν οὐρανὸν ἀπολαβόντες ἡμεῖς, καὶ τῷ Μονογενεῖ γενόμενοι συγκληρονόμοι, τίνα ἕξομεν συγγνώμην, τῷ ὄφει μετὰ τὴν περιστερὰν προστρέχοντες; Οὐκέτι γάρ, «Γῆ εἶ, καὶ εἰ γῆν ἀπελεύσῃ», καί, «Ἐργᾷ τὴν γῆν», καὶ τὰ πρότερα ἀκουσόμεθα ἐκεῖνα, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα, τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, τὸν σκώληκα τὸν ἰοβόλον, τὸν βρυγμὸν τῶν ὀδόντων· καὶ μάλα εἰκότως. Ὁ γὰρ μηδὲ εὐεργεσίᾳ τοσαύτῃ γενόμενος βελτίων, δικαίως ἂν τὴν ἐσχάτην καὶ χαλεπωτέραν δῴη δίκην.

Ἤνοιξέ ποτε καὶ ἔκλεισε τὸν οὐρανὸν Ἠλίας, ἀλλ' ὥσ-

---

1. Γέν. 4, 12.

2. Ἀξίζει νὰ διαβάσωμεν τὴν σκηνὴν ποὺ ὑπαινίσσεται ἐδῶ ὁ ἱ. Χρυσόστομος διὰ τὰ μεγαλειώδη καὶ φοβερὰ ἀποτελέσματα ποὺ δημιουργεῖ ἡ φλογερὴ πίστις τοῦ Ἠλιοῦ. βλ. Γ' Βασ. κεφ. 17.

εἰς αὐτὰ ἡ ἀπόστασις δὲν εἶναι μεγάλη. Μήτε εἰς τὴν περίπτωσιν αὐτὴν νὰ σκέπτεσαι λοιπὸν κάτι ἀπὸ τὰ προηγούμενα. Διότι ἐκλήθης διὰ πολὺ μεγαλύτερα. Καὶ αὐτὸς ποὺ σὲ καλεῖ, εἶναι ὁ Κύριος τῶν ἀγγέλων καὶ τὰ προσφερόμενα ἀγαθὰ ὑπερβαίνουν κάθε λόγον καὶ κάθε σκέψιν. Διότι δὲν σὲ μετατοπίζει ἀπὸ ἕνα μέρος τῆς γῆς εἰς ἄλλο, ὅπως ὁ βασιλεύς, ἀλλὰ ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν, ἀπὸ φύσιν θνητὴν εἰς ἀθάνατον καὶ εἰς δόξαν ἄρρητον, ποὺ τότε μόνον ἠμπορεῖ νὰ φανῇ καλά, ὅταν ἐπιτύχωμεν τὴν ἀπόλαυσίν της.

Εἰς τέτοια λοιπὸν ἀγαθὰ ἐνῷ πρόκειται νὰ εὑρεθῇς, μοῦ ἀναφέρεις τὰ χρήματα καὶ κρατεῖς μὲ δύναμιν τὰ φαντάσματα τοῦ κόσμου καὶ δὲν νομίζεις ὅτι ὅλα ὅσα βλέπομεν εἶναι μηδαμινώτερα ἀπὸ τὰ ράκη τοῦ ἐπαίτου. Πῶς θὰ φανῇς ἀντάξιος τῆς τιμῆς αὐτῆς; Καὶ ποίαν ἀπολογίαν θὰ ἠμπορέσῃς νὰ κάμῃς ἢ μᾶλλον ποίαν τιμωρίαν δὲν θὰ ὑποστῇς, ὅταν ἔπειτα ἀπὸ τόσην δωρεὰν τρέχῃς εἰς τὸν παλαιὸν ἐμετόν; Διότι δὲν τιμωρεῖσαι ὡς ἄνθρωπος μόνον ἀλλὰ ὡς υἱὸς τοῦ Θεοῦ ποὺ ἡμάρτησες καὶ γίνεται τὸ μέγεθος τῆς τιμῆς ἀφορμὴ τιμωρίας μεγαλυτέρας. Ἀφοῦ καὶ ἡμεῖς δὲν τιμωροῦμεν ἐξ ἴσου τοὺς δούλους ποὺ σφάλλουν καὶ τοὺς υἱούς μας ποὺ διαπράττουν τὸ ἴδιο παράπτωμα καὶ μάλιστα ὅταν τύχῃ νὰ ἔχουν δεχθῆ μεγάλας εὐεργεσίας ἀπὸ ἡμᾶς. Ἐὰν δηλαδὴ αὐτὸς ποὺ τοῦ ἔλαχεν ὁ παράδεισος ὑπέστη τόσα δεινὰ ἔπειτα ἀπὸ τόσην τιμὴν ἐξ αἰτίας μιᾶς παρακοῆς, ἡμεῖς ποὺ ἐκερδίσαμεν τὸν οὐρανὸν καὶ ἐγίναμεν συγκληρονόμοι μὲ τὸν Μονογενῆ του ποίαν συγγνώμην θὰ ἐπιτύχωμεν, ἀφοῦ τρέχωμεν εἰς τὸν ὄφιν μετὰ τὴν ἐμφάνισιν τῆς περιστερᾶς; Δὲν θὰ ἀκούσωμεν πλέον ἐκεῖνα τὰ προηγούμενα· «Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ» ἢ «Ἐργᾷ τὴν γῆν»[1]. Θὰ ἀκούσωμεν τὰ πολὺ βαρύτερα ἀπὸ αὐτά, τὸ σκότος τὸ ἐξώτερον, τὰ ἄλυτα δεσμά, τὸ ἰοβόλον σκουλήκι, τὸ κτύπημα τῶν δοντιῶν. Καὶ πολὺ εὐλόγως. Διότι αὐτὸς ποὺ δὲν ἔγινε καλύτερος οὔτε μὲ τόσον μεγάλην εὐεργεσίαν, θὰ ὑποστῇ δικαίως τὴν ἐσχάτην καὶ βαρυτέραν ποινήν.

Ἤνοιξε κάποτε ὁ Ἠλίας[2] καὶ ἔκλεισε τὸν οὐρανὸν ἀλλὰ

τε ὑετὸν κατενεγκεῖν καὶ ἀναστεῖλαι· σοὶ δὲ οὐχ οὕτως ἀνοίγεται ὁ οὐρανός, ἀλλ᾽ ὥστε ἀναβῆναί σε ἐκεῖ· καὶ τὸ δὴ μεῖζον, οὐχ ὥστε ἀναβῆναι, ἀλλ᾽ ὥστε καὶ ἑτέρους ἀναγαγεῖν, εἰ βουληθείης· τοσαύτην σοι παῤῥησίαν καὶ ἐξουσίαν ἐν τοῖς ἑαυτοῦ ἔδωκεν ἅπασιν.

᾽Επεὶ οὖν ἐκεῖ ἡμῶν ἡ οἰκία, ἐκεῖ πάντα ἀποθώμεθα, καὶ μηδὲν ἐνταῦθα καταλίπωμεν, ἵνα μὴ αὐτὰ ἀπολέσωμεν. ᾽Ενταῦθα μὲν γὰρ κἂν κλεῖν ἐπιθῇς, κἂν θύρας καὶ μοχλούς, κἂν μυρίους ἐπιστήσῃς οἰκέτας, καὶ πάντων περιγένῃ τῶν κακούργων, κἂν τοὺς τῶν βασκάνων διαφύγῃς ὀφθαλμούς, κἂν τοὺς σῆτας, κἂν τὴν ἀπὸ τοῦ χρόνου γινομένην ἀπώλειαν, ὅπερ ἀδύνατον, τὸν γοῦν θάνατον οὐ διαφεύξῃ ποτέ, ἀλλ᾽ ἀφαιρεθήσῃ ἅπαντα ἐκεῖνα ἐν μιᾷ καιροῦ ῥοπῇ· καὶ οὐκ ἀφαιρεθήσῃ μόνον, ἀλλὰ καὶ εἰς τὰς τῶν ἐχθρῶν πολλάκις παραπέμψεις χεῖρας. Ἂν δὲ εἰς ἐκείνην παραπέμψῃς τὴν οἰκίαν, πάντων ἀνώτερος ἔσῃ. Οὔτε γὰρ κλεῖν, οὔτε θύρας καὶ μοχλοὺς ἐπιθεῖναι δεῖ· τοιαύτη τῆς πόλεως ἐκείνης ἡ δύναμις· οὕτως ἄσυλον τὸ χωρίον ἐστί, καὶ φθορᾷ καὶ πονηρίᾳ πάσῃ ἄβατον τοῦτο ὑφέστηκε.

5. Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, ἔνθα μὲν ἀπόλλυται καὶ διαφθείρεται τὰ ἀποτιθέμενα, σωρεύειν ἅπαντα, ἔνθα δὲ ἀνέπαφα μένει, καὶ πλείω γίνεται, ἐνταῦθα μηδὲ τὸ πολλοστὸν ἀποτίθεσθαι μέρος, καὶ ταῦτα τὸν ἅπαντα μέλλοντας ἐκεῖ βιώσεσθαι χρόνον; Διὰ τοῦτο καὶ Ἕλληνες ἀπιστοῦσι τοῖς παρ᾽ ἡμῶν λεγομένοις· ἀφ᾽ ὧν γὰρ πράττομεν, οὐκ ἀφ᾽ ὧν λέγομεν, τὴν παρ᾽ ἡμῶν ἀπόδειξιν λαμβάνειν ἐθέλουσι· καὶ ἐπειδὰν ἴδωσιν οἰκίας οἰκοδομουμένους λαμπρὰς καὶ παραδείσους κατασκευάζοντας καὶ λουτρὰ καὶ ἀγροὺς ὠνουμένους, οὐκ ἐθέλουσι πιστεῦσαι ὅτι πρὸς ἑτέραν παρασκευαζόμεθα πόλεως ἀποδημίαν. Εἰ γὰρ τοῦτο ἦν, φησίν, ἅπαντα τὰ ἐνταῦθα ἂν ἐξαργυρίσαντες, ἐκεῖ προαπέ-

μόνον διὰ νὰ προξενήσῃ τὴν βροχὴν καὶ νὰ τὴν σταματήσῃ. Δὲν ἀνοίγει ὅμως κατ' αὐτὸν τὸν τρόπον πρὸς χάριν σου ὁ οὐρανὸς ἀλλὰ διὰ νὰ ἀνέλθῃς σὺ ἐκεῖ, καὶ τὸ μεγαλύτερον, ὄχι μόνον διὰ νὰ ἀνέλθῃς σὺ ἀλλὰ νὰ ἀναβιβάσῃς καὶ ἄλλους, ἂν θελήσῃς. Τόσην ἐλευθερίαν καὶ ἐξουσίαν σοῦ ἔδωκεν εἰς ὅλα τὰ ἰδικά του.

Ἀφοῦ λοιπὸν τὸ σπίτι μας εἶναι ἐκεῖ, ἐκεῖ ἂς τὰ θησαυρίσωμεν ὅλα καὶ ἂς μὴ ἀφήσωμεν τίποτε ἐδῶ, διὰ νὰ μὴ τὸ χάσωμεν. Ἐδῶ καὶ ἂν χρησιμοποιήσῃς κλειδωνιάν, καὶ ἂν βάλῃς θύρας καὶ μοχλούς, καὶ ἂν τοποθετήσῃς πολλοὺς δούλους καὶ ἐξουδετερώσῃς ὅλους τοὺς κακούργους καὶ ἂν ξεφύγῃς τὰ μάτια τῶν φθονερῶν, τὸ σαράκι, τὴν φθορὰν ποὺ προκαλεῖ ὁ χρόνος - πρᾶγμα ἀδύνατον - τὸν θάνατον βέβαια δὲν θὰ τὸν ἀποφύγῃς ποτὲ ἀλλὰ θὰ τὰ στερηθῇς ὅλα αὐτὰ εἰς μίαν μεταβολὴν τοῦ χρόνου. Καὶ δὲν θὰ τὰ στερηθῇς μόνον ἀλλὰ συχνὰ θὰ τὰ στείλῃς καὶ εἰς τὰ χέρια τῶν ἐχθρῶν σου. Ἂν ὅμως τὰ ἐξασφαλίσῃς εἰς τὸ σπίτι ἐκεῖνο, καμμία ἀνάγκη ἀπὸ ὅλα αὐτά. Δὲν θὰ χρειασθῇ νὰ χρησιμοποιήσῃς οὔτε κλειδωνιάν, οὔτε θύρας οὔτε μοχλούς. Τέτοια εἶναι ἡ ἐξασφάλισις τῆς πόλεως ἐκείνης, τόσον ἀπόρθητον εἶναι τὸ μέρος ἐκεῖνο καὶ ἀπαραβίαστον ἀπὸ κάθε καταστροφὴν καὶ πονηρὸν τέχνασμα.

5. Πῶς λοιπὸν δὲν εἶναι ἡ μεγαλυτέρα ἀνοησία νὰ συσσωρεύῃς ὅλα ἐκεῖ, ὅπου τὰ συσσωρευμένα χάνονται καὶ καταστρέφονται; Ἐνῷ ὅπου παραμένουν ἀνέπαφα καὶ πληθύνονται, ἐκεῖ νὰ μὴ καταθέτωμεν οὔτε πολλοστημόριον καὶ μάλιστα ἐνῷ πρόκειται νὰ ζήσωμεν ἐκεῖ ὁλόκληρον τὴν αἰωνιότητα; Διὰ τοῦτο οἱ Ἕλληνες δυσπιστοῦν εἰς τὰ λεγόμενά μας. Τὴν ἀπόδειξιν ἐπιθυμοῦν νὰ τὴν ἔχουν ὄχι ἀπὸ ὅ,τι λέγομεν ἀλλὰ ἀπὸ ὅ,τι πράττομεν. Καὶ ὅταν μᾶς ἰδοῦν νὰ κτίζωμεν μεγαλοπρεπεῖς οἰκίας, νὰ κάνωμεν κήπους καὶ λουτρὰ καὶ νὰ ἀγοράζωμεν ἀγρούς, δὲν θέλουν νὰ πιστεύσουν ὅτι προετοιμαζόμεθα πρὸς ἀποδημίαν εἰς ἄλλην πόλιν. Ἂν ἦτο ἔτσι, λέγουν, θὰ ἐρρευστοποιοῦσαν ὅλα τὰ ἐδῶ καὶ θὰ τὰ κατέθεταν προκατα-

θεντο· καὶ τοῦτο ἀπὸ τῶν ἐνταῦθα γινομένων στοχάζονται. Καὶ γὰρ ὁρῶμεν τοὺς σφόδρα εὐπόρους ἐν ἐκείναις μάλιστα ταῖς πόλεσιν οἰκίας καὶ ἀγροὺς καὶ τὰ ἄλλα πάντα κεκτημένους, ἐν αἷς διατρίβειν μέλλουσιν. Ἀλλ' ἡμεῖς τοὐναντίον ποιοῦμεν· καὶ τὴν μὲν γῆν, ἣν μικρὸν ὕστερον ἀφιέναι μέλλομεν, μετὰ πολλῆς κτώμεθα τῆς σπουδῆς, οὐχὶ χρήματα μόνον, ἀλλὰ καὶ τὸ αἷμα αὐτὸ προϊέμενοι ὑπὲρ πλέθρων καὶ οἰκημάτων ὀλίγων· ὑπὲρ δὲ τοῦ τὸν οὐρανὸν πρίασθαι οὐδὲ τὰ περιττὰ τῆς χρείας ἀνεχόμεθα δοῦναι, καὶ ταῦτα ὀλίγης αὐτὸν μέλλοντες ὠνεῖσθαι τιμῆς, καὶ διαπαντὸς ἔχειν, εἴγε αὐτὸν ὠνησαίμεθα. Διά τοι τοῦτο τὴν ἐσχάτην δώσομεν δίκην, γυμνοὶ καὶ πένητες ἀπιόντες ἐκεῖ· μᾶλλον δὲ οὐχ ὑπὲρ τῆς ἡμετέρας πτωχείας, ἀλλὰ καὶ ὑπὲρ ὧν ἄλλους τοιούτους ποιοῦμεν, τὰς ἀνηκέστους ὑποστησόμεθα συμφοράς. Ὅταν γὰρ ἴδωσιν Ἕλληνες περὶ ταῦτα σπουδάζοντας τοὺς τοσούτων ἀπολαύσαντας μυστηρίων, πολλῷ μᾶλλον αὐτοὶ τῶν παρόντων ἀνθέξονται. Ὅθεν πολὺ καὶ ἐντεῦθεν ἐπὶ τὴν ἡμετέραν κεφαλὴν σωρεύομεν πῦρ. Ὅταν γὰρ οἱ διδάσκειν αὐτοὺς ὀφείλοντες ὑπερορᾶν τῶν φαινομένων ἁπάντων, αὐτοὶ μάλιστα πάντων αὐτοὺς εἰς τὴν τούτων ἐμβάλλωμεν ἐπιθυμίαν, τότε δυνησόμεθα σωθῆναι, τῆς ἑτέρων ἀπωλείας τὰς εὐθύνας ὑπέχοντες; Οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος ὅτι ἀντὶ ἁλῶν καὶ λαμπάδων ἀφῆκεν ἡμᾶς εἶναι ἐν τῷ κόσμῳ τούτῳ, ἵνα καὶ τοὺς διαῤῥέοντας ὑπὸ τρυφῆς ἐπισφίγγωμεν, καὶ τοὺς τῇ μερίμνῃ τῶν χρημάτων ἐσκοτωμένους φωτίζομεν; Ὅταν οὖν καὶ εἰς σκότος αὐτοὺς ἐμβάλλωμεν πλεῖον, καὶ χαυνοτέρους ποιῶμεν, τίς ἔσται σωτηρίας ἡμῖν ἐλπίς; Οὐκ ἔστιν οὐδεμία· ἀλλ' οἰμώζοντες, καὶ τοὺς ὀδόντας βρύχοντες, καὶ δεδεμένοι πόδας καὶ χεῖρας εἰς τὸ τῆς γεέννης ἀπελευσόμεθα πῦρ, μετὰ τὸ κατεργασθῆναι κα-

βολικῶς ἐκεῖ. Ὁ στοχασμός των αὐτὸς προέρχεται ἀπὸ τὰ συμβαίνοντα ἐδῶ. Βλέπομεν βεβαίως ὅτι οἱ πολὺ εὔποροι δημιουργοῦν οἰκίας καὶ ἀγροὺς καὶ ὅλα τὰ ἄλλα εἰς ἐκείνας τὰς πόλεις κυρίως, εἰς τὰς ὁποίας σχεδιάζουν νὰ ἐγκατασταθοῦν. Ἡμεῖς ὅμως κάμνομεν τὸ ἀντίθετον. Τὴν μὲν γῆν, ποὺ ἐντὸς ὀλίγου πρόκειται νὰ ἐγκαταλείψωμεν, τὴν ἐξασφαλίζομεν μὲ πολλὴν βίαν καὶ δὲν δίδομεν χρήματα μόνον ἀλλὰ θυσιάζομεν καὶ αὐτὸ τὸ αἷμα μας πρὸς χάριν ὀλίγων στρεμμάτων καὶ σπιτιῶν. Διὰ νὰ ἐξασφαλίσωμεν ὅμως τὸν οὐρανὸν δὲν ὑποφέρομεν νὰ δώσωμεν οὔτε τὰ ἄχρηστα εἰς ἡμᾶς καὶ μάλιστα ἐνῷ πρόκειται νὰ τὸν ἀγοράσωμεν μὲ χαμηλὴν τιμὴν καὶ νὰ τὸν διατηρήσωμεν διὰ πάντοτε, ἂν βεβαίως τὸν ἀγοράσωμεν Διὰ τοῦτο βεβαίως θὰ ὑποστοῦμεν τὴν ἐσχάτην τιμωρίαν, φεύγοντες πρὸς τὰ ἐκεῖ γυμνοὶ καὶ πτωχοί. Καὶ δὲν θὰ ὑποφέρωμεν τὰς ἀθεραπεύτους ἐκείνας συμφορὰς ἐξ αἰτίας τῆς ἰδικῆς μας πτωχείας, ἀλλὰ ἐξ αἰτίας τοῦ ὅτι κάμνομεν καὶ τοὺς ἄλλους πτωχούς. Ὅταν ἰδοῦν οἱ Ἕλληνες νὰ δεικνύουν τόσον ἐνδιαφέρον εἰς αὐτὰ τὰ πράγματα ἄνθρωποι, ποὺ ἠξιώθησαν τοιούτων μυστηρίων, πολὺ περισσότερον θὰ προσκολληθοῦν οἱ ἴδιοι εἰς τὰ παρόντα. Συνεπῶς καὶ ἀπὸ τοῦτο πολὺ πῦρ θὰ σωρεύσωμεν εἰς τὴν κεφαλήν μας. Διότι ὅταν ἡμεῖς ποὺ ὀφείλομεν νὰ τοὺς διδάσκωμεν νὰ περιφρονοῦν ὅλα τὰ φαινόμενα, οἱ ἴδιοι περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους τοὺς ἐμβάλλομεν τὴν ἐπιθυμίαν τούτων, τότε θὰ ἠμπορέσωμεν νὰ σωθοῦμεν, ὅταν μᾶς βαρύνουν αἱ εὐθῦναι διὰ τὴν ἀπώλειαν ἄλλων; Δὲν ἀκούεις τὸν Χριστὸν ποὺ λέγει ὅτι μᾶς ἄφησεν εἰς τὸν κόσμον τοῦτον, διὰ νὰ εἴμεθα τὸ ἅλας καὶ αἱ λαμπάδες καὶ νὰ συγκρατοῦμεν ὅσους παραλύει ἡ ἀπόλαυσις, νὰ φωτίζωμεν δὲ ὅσους σκοτίζονται ἀπὸ τὴν μέριμναν τῶν χρημάτων; Ὅταν λοιπὸν τοὺς χώνωμεν περισσότερον μέσα εἰς τὸ σκότος καὶ ὅταν τοὺς ἀποχαυνώνωμεν περισσότερον, ποία ἐλπὶς σωτηρίας μᾶς ἀπομένει; Δὲν ὑπάρχει καμμία. Ἀλλὰ μὲ θρήνους καὶ μὲ δόντια νὰ κτυποῦν καὶ μὲ δεμένα χέρια καὶ πόδια, θὰ βαδίσωμεν πρὸς τὴ φωτιὰ τῆς γεέννης, μετὰ τὴν ὡραίαν κατεργα-

λῶς ταῖς τοῦ πλούτου φροντίσι. Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντα, τὰ δεσμὰ λύσωμεν τῆς τοιαύτης ἀπάτης, ἵνα μηδὲ εἰς ἐκεῖνα ἐμπέσωμεν τὰ τῷ πυρὶ παραδιδόντα ἡμᾶς τῷ ἀσβέστῳ. Ὁ μὲν γὰρ χρήμασι δουλεύων, καὶ ταῖς ἐνταῦθα ἁλύσεσι καὶ ταῖς ἐκεῖ διηνεκῶς ἔσται ὑπεύθυνος· ὁ δὲ ταύτης ἀπηλλαγμένος τῆς ἐπιθυμίας, ἑκατέρας τεύξεται τῆς ἐλευθερίας· ἧς ἵνα καὶ ἡμεῖς ἐπιτύχωμεν, τὸν χαλεπὸν τῆς φιλοχρηματίας συντρίψαντες ζυγόν, πτερώσωμεν ἑαυτοὺς πρὸς τὸν οὐρανόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σίαν πού θὰ μᾶς κάμουν αἱ φροντίδες τοῦ πλούτου. Ἂς τὰ σκεφθοῦμεν λοιπὸν ὅλα αὐτὰ καὶ ἂς συντρίψωμεν τὰ δεσμὰ τῆς πλάνης μας αὐτῆς, διὰ νὰ μὴ περιπέσωμεν εἰς ἐκεῖνα πού μᾶς παραδίδουν εἰς τὸ πῦρ τὸ ἄσβεστον. Ὅποιος εἶναι δοῦλος τῶν χρημάτων, θὰ βαρύνεται πάντοτε καὶ μὲ τὰς ἐδῶ καὶ μὲ τὰς ἐκεῖ ἁλυσίδας. Ὅποιος ὅμως εἶναι ἀπηλλαγμένος ἀπὸ τὴν ἐπιθυμίαν αὐτὴν θὰ ἐπιτύχῃ καὶ τὴν μίαν καὶ τὴν ἄλλην ἐλευθερίαν. Διὰ νὰ τὴν ἐπιτύχωμεν αὐτὴν καὶ ἡμεῖς, ἂς συντρίψωμεν τὸν βαρὺν ζυγὸν τῆς φιλοχρηματίας καὶ ἂς πτερώσωμεν τὸν ἑαυτόν μας διὰ τὸ ταξίδι πρὸς τὸν οὐρανὸν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΓ'.
Ματθ. 4, 1 - 11

Τότε ἀνήχθη ὁ Ἰησοῦς εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

1. Τότε· πότε; Μετὰ τὴν τοῦ Πνεύματος κάθοδον, μετὰ τὴν φωνὴν τὴν ἄνωθεν ἐνεχθεῖσαν καὶ λέγουσαν· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου· τοῦτο γὰρ αὐτὸν ἀνάγειν ἐνταῦθά φησιν. Ἐπειδὴ γὰρ πάντα πρὸς διδασκαλίαν ἡμῶν ἔπραττε καὶ ὑπέμενε, ἀνέχεται καὶ τῆς ἐκεῖσε ἀναγωγῆς, καὶ τῆς πρὸς τὸν διάβολον πάλης, ἵνα ἕκαστος τῶν βαπτιζομένων, εἰ μετὰ τὸ βάπτισμα μείζονας ὑπομείνειε πειρασμούς, μὴ ταράττηται, ὡς παρὰ προσδοκίαν τοῦ πράγματος γινομένου, ἀλλὰ μένῃ γενναίως πάντα φέρων, ὡς κατὰ ἀκολουθίαν τούτου συμβαίνοντος. Καὶ γὰρ διὰ τοῦτο ἔλαβες ὅπλα, οὐχ ἵνα ἀργῇς, ἀλλ' ἵνα πολεμῇς. Διὰ τοῦτο οὐδὲ ἐπιόντας κωλύει τοὺς πειρασμοὺς ὁ Θεός· πρῶτον μὲν ἵνα μάθῃς ὅτι πολλῷ γέγονας ἰσχυρότερος· ἔπειτα ἵνα μένῃς μετριάζων, μηδὲ τῷ μεγέθει τῶν δωρεῶν ἐπαρθῇς, τῶν πειρασμῶν συστέλλειν σε δυναμένων· πρὸς τούτοις, ἵνα ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὁ τέως ἀμφιβάλλων περὶ τῆς σῆς ἀποστάσεως, ἀπὸ τῆς βασάνου τῶν πειρασμῶν πληροφορηθῇ, ὅτι τέλεον αὐτὸν ἐγκαταλιπὼν ἀπέστης· τέταρτον, ἵνα ἰσχυρότερος καὶ σιδήρου παντὸς εὐτονώτερος ταύτῃ κατασκευασθῇς· πέμπτον, ἵνα ἀπόδειξιν λάβῃς σαφῆ τῶν πιστευθέντων σοι θησαυρῶν. Οὐδὲ γὰρ ἂν ἀπῆλθεν ὁ διάβολος, εἰ μὴ σε ἐν μείζονι γενόμενον εἶδε τιμῇ.

---

1. Ματθ. 3, 17.

ΟΜΙΛΙΑ ΙΓ'
Ματθ. 4, 1 - 11

«Τότε ἀνήχθη ὁ Ἰησοῦς εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου».

1. Τότε. Πότε δηλαδή; Ἔπειτα ἀπὸ τὴν κάθοδον τοῦ Πνεύματος, ἔπειτα ἀπὸ τὴν φωνὴν ποὺ ἠκούσθη ἀπὸ τὸν οὐρανὸν καὶ ἔλεγεν· «Ἰδοὺ ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα» [1]. Καὶ τὸ ἀξιοθαύμαστον εἶναι ὅτι ὡδηγήθη ἀπὸ τὸ ἅγιον Πνεῦμα. Διότι λέγει ὅτι αὐτὸ τὸν ὡδήγησεν ἐκεῖ. Ἀφοῦ ὅλα τὰ ἔπραττε καὶ τὰ ὑπέμενε πρὸς διδασκαλίαν μας, ἀνέχεται καὶ τὴν μεταφοράν του ἐκεῖ καὶ τὴν πάλην του μὲ τὸν διάβολον, ὥστε καθένας ἀπὸ τοὺς βαπτιζομένους, ἂν ὑποφέρῃ μετὰ τὸ βάπτισμα μεγαλυτέρους πειρασμούς, νὰ μὴ ταράζεται, ἐπειδὴ τάχα τοῦτο συμβαίνει παρὰ πᾶσαν προσδοκίαν, ἀλλὰ νὰ στέκεται καὶ νὰ ὑποφέρῃ τὰ πάντα μὲ γενναιότητα, ἐπειδὴ αὐτὸ ἀκριβῶς συμβαίνει κατὰ φυσικὴν ἀκολουθίαν. Ἐπειδὴ βέβαια διὰ τοῦτο ἔλαβεν ὅπλα, ὄχι διὰ νὰ στέκεσαι ἄπρακτος ἀλλὰ διὰ νὰ μάχεσαι. Καὶ διὰ τοῦτο ὁ Θεὸς δὲν ἐμποδίζει τοὺς πειρασμοὺς ποὺ ἔρχονται. Πρῶτον διὰ νὰ μάθῃς ὅτι ἔγινες πολὺ ἰσχυρότερος καὶ δεύτερον διὰ νὰ μείνῃς μετριοπαθὴς καὶ νὰ μὴ δοκιμάσῃς ἔπαρσιν ἀπὸ τὸν ὄγκον τῶν δωρεῶν, ἐπειδὴ οἱ πειρασμοὶ ἔχουν τὴν δύναμιν νὰ σὲ περιορίσουν. Ἀκόμη διὰ νὰ πληροφορηθῇ ὁ πονηρὸς ἐκεῖνος δαίμων, ποὺ ὡς τότε εἶχε ἀμφιβολίας περὶ τῆς ἀπομακρύνσεώς σου ἀπὸ αὐτόν, νὰ μάθῃ ἀπὸ τὴν δοκιμασίαν τῶν πειρασμῶν, ὅτι τὸν ἐγκατέλειψες ἐντελῶς καὶ ἀπεμακρύνθης ἀπὸ αὐτόν. Τέταρτον διὰ νὰ γίνῃς ἔτσι ἰσχυρότερος καὶ ἀνθεκτικώτερος ἀπὸ κάθε σίδηρον καὶ πέμπτον διὰ νὰ λάβῃς σαφῆ ἀπόδειξιν τῶν θησαυρῶν ποὺ σοῦ ἔχουν ἐμπιστευθῆ. Διότι δὲν θὰ σοῦ ἐπετίθετο ὁ διάβολος, ἐὰν δὲν σὲ ἔβλεπε νὰ ἀξιώνεσαι μεγαλυτέρας τιμῆς.

Ἐντεῦθεν γοῦν καὶ ἐξ ἀρχῆς ἐπανέστη τῷ Ἀδάμ, ἐπειδὴ πολλῆς αὐτὸν εἶδεν ἀπολαύσαντα τῆς ἀξίας. Διὰ τοῦτο παρετάξατο πρὸς τὸν Ἰώβ, ἐπειδὴ στεφανούμενον αὐτὸν καὶ ἀνακηρυττόμενον ἐθεάσατο παρὰ τοῦ τῶν ὅλων Θεοῦ. Καὶ πῶς οὖν φησιν· «Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν»; Διὰ τοῦτο οὐκ ἀνιόντα αὐτὸν ἁπλῶς δείκνυσί σοι τὸν Ἰησοῦν, ἀλλὰ ἀναγόμενον κατὰ τὸν τῆς οἰκονομίας λόγον, αἰνιττόμενος διὰ τούτων, ὅτι οὐκ αὐτοὺς ἐπιπηδᾶν χρή, ἀλλ' ἑλκομένους ἑστάναι γενναίως.

Καὶ ὅρα ποῦ λαβὼν αὐτὸν τὸ Πνεῦμα ἀνήγαγεν· οὐκ εἰς πόλιν καὶ ἀγοράν, ἀλλ' εἰς ἔρημον. Ἐπειδὴ γὰρ τὸν διάβολον ἐπισπάσασθαι ἐβούλετο, οὐ διὰ τῆς πείνης μόνον, ἀλλὰ καὶ διὰ τοῦ τόπου δίδωσιν αὐτῷ λαβήν. Τότε γὰρ μάλιστα ἐπιτίθεται ὁ διάβολος, ὅταν ἴδῃ μεμονωμένους καὶ καθ' ἑαυτοὺς ὄντας. Οὕτω καὶ τῇ γυναικὶ παρὰ τὴν ἀρχὴν ἐπέθετο, μόνην αὐτὴν ἀπολαβὼν καὶ τοῦ ἀνδρὸς χωρὶς οὖσαν εὑρών. Ὅταν μὲν γὰρ μεθ' ἑτέρων ὄντας ἴδῃ καὶ συγκεκροτημένους, οὐχ ὁμοίως θαῤῥεῖ οὐδὲ ἔπεισι. Διὸ χρὴ μάλιστα καὶ διὰ τοῦτο μετ' ἀλλήλων ἀγελάζεσθαι συνεχῶς, ὥστε μὴ εὐχειρώτους εἶναι τῷ διαβόλῳ.

Εὑρὼν τοίνυν αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ ἐρήμῳ ἀβάτῳ (ὅτι γὰρ τοιαύτη ἡ ἔρημος ἦν, ὁ Μᾶρκος ἐδήλωσεν εἰπὼν ὅτι «Μετὰ τῶν θηρίων ἦν»), ὅρα μεθ' ὅσης προσέρχεται κακουργίας καὶ πονηρίας καὶ ποῖον παρατηρεῖ καιρόν. Οὐδὲ γὰρ νηστεύοντι, ἀλλὰ πεινῶντι προσέρχεται· ἵνα σὺ μάθῃς, ἡλίκον ἡ νηστεία καλόν, καὶ πῶς ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου μέγιστον, καὶ ὅτι μετὰ τὸ λουτρὸν οὐ τρυφῇ καὶ μέθῃ καὶ τραπέζῃ πληθούσῃ, ἀλλὰ νηστείᾳ προσέχειν δεῖ. Διὰ γὰρ τοῦτο καὶ αὐτὸς ἐνήστευσεν, οὐκ αὐτὸς ταύτης δεόμενος, ἀλλ' ἡμᾶς παιδεύων. Ἐπειδὴ γὰρ τὰ ἁμαρτήματα τὰ πρὸ τοῦ λουτροῦ τὸ γαστρὶ δουλεύειν εἰσήγα-

---

1. Ματθ. 26, 41.
2. Τὴν ὡραίαν ῥῆσιν τοῦ Ι. Χρυσοστόμου θὰ τὴν εὕρῃς πλήρη εἰς τὴν ἑπομένην ὁμιλίαν (σημ. 2).
3. Μάρκ. 1, 13.

Διὰ τοῦτο βεβαίως καὶ κατὰ τὴν ἀρχὴν ἐξηγέρθη κατὰ τοῦ 'Αδάμ, ἐπειδὴ τὸν εἶδε νὰ ἔχῃ ἀπολαύσει μεγάλην τιμήν. Διὰ τοῦτο ἔστησε τὸν πόλεμον ἐναντίον τοῦ 'Ιώβ, ἐπειδὴ τὸν εἶδε νὰ στεφανώνεται καὶ νὰ ἀνακηρύσσεται ἀπὸ τὸν Θεὸν τῶν ὅλων. Τότε πῶς λέγει, «Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν»[1]; Διὰ τοῦτο δὲν σοῦ παρουσιάζει τὸν 'Ιησοῦν νὰ πηγαίνῃ ἁπλῶς ἀλλὰ νὰ ὁδηγῆται, ὅπως κατ' οἰκονομίαν λέγεται. Γίνεται ὑπαινιγμὸς ὅτι δὲν πρέπει νὰ ριπτώμεθα [2] οἱ ἴδιοι ἀλλὰ ὅταν συρώμεθα εἰς αὐτόν, νὰ στεκώμεθα μὲ γενναιότητα.

Πρόσεξε καὶ τοῦτο· Ποῦ τὸν ἐπῆρε καὶ τὸν ὡδήγησε τὸ Πνεῦμα· ὄχι εἰς τὴν πόλιν καὶ εἰς τὴν ἀγορὰν ἀλλὰ εἰς τὴν ἔρημον. 'Επειδὴ ἤθελε νὰ προσελκύσῃ τὸν διάβολον, ὄχι μόνον μὲ τὴν πεῖναν ἀλλὰ καὶ μὲ τὸν τόπον τοῦ δίδει ἀφορμήν. Διότι ὁ διάβολος ἐπιτίθεται τότε, ὅταν μᾶς ἰδῇ ἀπομονωμένους καὶ περιωρισμένους εἰς τὸν ἑαυτόν μας. "Ετσι καὶ κατὰ τὴν ἀρχὴν τῆς ζωῆς ἐπετέθη εἰς τὴν γυναῖκα, ὅταν τὴν ἐπέτυχε μόνην καὶ τὴν εὗρε χωρὶς τὸν ἄνδρα της. 'Ενῷ ὅταν μᾶς ἰδῇ νὰ εἴμεθα μαζὶ μὲ ἄλλους εἰς μίαν συντροφιάν, δὲν ἔχει τὸ ἴδιον θάρρος καὶ δὲν ἐπιτίθεται. Διὰ τοῦτο πρέπει συνεχῶς νὰ ζοῦμε μαζὶ μὲ ἄλλους, διὰ νὰ μὴ περιερχώμεθα εὐκόλως εἰς τὰ χέρια τοῦ διαβόλου.

Τὸν εὑρῆκε λοιπὸν εἰς τὴν ἔρημον, ἔρημον ἀπάτητον ἀπὸ ἀνθρώπους (ὅτι ἦτο τέτοιου εἴδους ἔρημος τὸ ἐφανέρωσεν ὁ Μᾶρκος μὲ τοὺς λόγους· «Μετὰ τῶν θηρίων ἦν»[3]). Πρόσεξε μὲ πόσην κακότητα καὶ πονηρίαν πλησιάζει καὶ ποίαν εὐκαιρίαν καραδοκεῖ. Τὸν ἐπλησίασε δηλαδὴ ὄχι ὅταν ἐνήστευεν ἀλλὰ ὅταν ἐπεινοῦσε. Διὰ νὰ μάθῃς καὶ σὺ πόσον μέγα καλὸν εἶναι ἡ νηστεία καὶ πῶς εἶναι μέγιστον ὅπλον κατὰ τοῦ διαβόλου καὶ ὅτι μετὰ τὸ βάπτισμα δὲν πρέπει νὰ προσέχωμεν εἰς τὴν τροφήν, τὴν μέθην καὶ τὸ γεμᾶτο τραπέζι ἀλλὰ εἰς τὴν νηστείαν. Δι' αὐτὸ ἀκριβῶς καὶ ὁ ἴδιος ἐνήστευσεν, ὄχι ἐπειδὴ εἶχεν ὁ ἴδιος ἀνάγκην ἀλλὰ διὰ νὰ διδάξῃ ἡμᾶς. Τὰ πρὶν ἀπὸ τὸ βάπτισμα ἁμαρτήματα τὰ εἰσήγαγεν ἡ ὑποδούλωσις εἰς τὴν κοιλίαν. "Οπως λοιπόν, ἂν θεραπεύσῃ ὁ ἰατρὸς

γεν· ὥσπερ ἂν εἴ τις νοσοῦντα ὑγιῆ ποιήσας, κελεύοι μὴ ποιεῖν ἐκεῖνα, ἐξ ὧν ἡ νόσος γέγονεν· οὕτω δὴ καὶ ἐνταῦθα καὶ αὐτὸς μετὰ τὸ λουτρὸν νηστείαν εἰσήγαγε. Καὶ γὰρ καὶ τὸν Ἀδὰμ ἡ ἀκρασία τῆς γαστρὸς ἐξέβαλε τοῦ παραδείσου, καὶ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Νῶε αὕτη πεποίηκε, καὶ τοὺς Σοδόμων κεραυνοὺς αὕτη κατήγαγεν. Εἰ γὰρ καὶ πορνείας ἔγκλημα ἦν, ἀλλ' ὅμως ἑκατέρας τῆς κολάσεως ἡ ῥίζα ἐντεῦθεν ἐφύη· ὅπερ καὶ ὁ Ἰεζεκιὴλ αἰνιττόμενος ἔλεγε· «Πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων, ὅτι ἐν ὑπερηφανίᾳ καὶ ἐν πλησμονῇ ἄρτων, καὶ ἐν εὐθηνίαις ἐσπατάλων». Οὕτω καὶ Ἰουδαῖοι τὰ μέγιστα εἰργάσαντο κακά, ἀπὸ τῆς μέθης καὶ τῆς τρυφῆς ἐπὶ τὴν ἀνομίαν ἐξοκείλαντες.

2. Διὰ δὴ τοῦτο καὶ αὐτὸς νηστεύει τεσσαράκοντα ἡμέρας, ἡμῖν τὰ φάρμακα τῆς σωτηρίας δεικνύς, καὶ οὐ προέρχεται περαιτέρω, ὥστε μὴ πάλιν τῇ ὑπερβολῇ τοῦ θαύματος ἀπιστηθῆναι τῆς οἰκονομίας τὴν ἀλήθειαν. Νῦν μὲν γὰρ οὐκ ἂν τοῦτο ἐγένετο, ἐπειδὴ καὶ Μωϋσῆς καὶ Ἠλίας προλαβόντες εἰς τοσοῦτον ἴσχυσαν ἐξελθεῖν μῆκος, τῇ τοῦ Θεοῦ κραταιούμενοι δυνάμει. Εἰ δὲ περαιτέρω προέβη, πολλοῖς ἂν καὶ ἐντεῦθεν ἄπιστος ἔδοξεν εἶναι ἡ τῆς σαρκὸς ἀνάληψις. Νηστεύσας τοίνυν τεσσαράκοντα ἡμέρας καὶ νύκτας τοσαύτας, «Ὕστερον ἐπείνασε»· λαβὴν αὐτῷ παρέχων εἰς τὸ προσελθεῖν, ἵνα συμπλακεὶς δείξῃ πῶς δεῖ περιγίνεσθαι καὶ νικᾶν. Οὕτω δὴ καὶ ἀθληταὶ ποιοῦσι· τοὺς γὰρ μαθητὰς τοὺς ἑαυτῶν διδάσκοντες περιγίνεσθαι καὶ νικᾶν, ἑκόντες ἐν ταῖς παλαίστραις συμπλέκονται ἑτέροις, ἐν τοῖς τῶν ἀντιπάλων σώμασι παρέχοντες τούτοις θεωρεῖν καὶ παιδεύεσθαι τῆς νίκης τὸν τρόπον. Ὃ δὴ καὶ τότε ἐγένετο. Ἐπειδὴ γὰρ

---

1. Ὁ Χρυσόστομος ἀποδίδει ἐδῶ τὴν ἀπώλειαν τοῦ παραδείσου εἰς λαιμαργίαν καὶ ἀσυγκράτητον ἐπιθυμίαν νὰ δοκιμασθῇ ὁ «καλὸς τῇ ὄψει» καρπός· κίνητρον ταπεινότερον, ὑλικώτερον δίπλα εἰς τὸ θρασύτερον, νὰ γίνῃ ὁ ἄνθρωπος θεός· δευτερεῦον δίπλα εἰς τὸ κύριον (Σκέψου καὶ τὴν περίπτωσιν τῶν μωρῶν παρθένων).

τὸν ἄρρωστον, τὸν διατάσσει νὰ μὴ ἐπαναλάβῃ ἐκεῖνα, ἀπὸ τὰ ὁποῖα προῆλθεν ἡ ἀσθένεια, ἔτσι καὶ ἐδῶ· καὶ ὁ Χριστὸς μετὰ τὸ βάπτισμα εἰσήγαγε τὴν νηστείαν. Διότι καὶ τὸν Ἀδὰμ τὸν ἐξεδίωξεν ἀπὸ τὸν παράδεισον ἡ ἔλλειψις κυριαρχίας ἐπὶ τῆς κοιλίας[1], ὅπως ἐπίσης αὐτὴ ἐπροκάλεσε τὸν κατακλυσμὸν ἐπὶ Νῶε καὶ κατεβίβασε τοὺς κεραυνοὺς τῶν Σοδόμων. Διότι ἂν καὶ ἐπρόκειτο διὰ ἔγκλημα πορνείας, ὅμως ἡ ρίζα κάθε μιᾶς ἀπὸ τὰς ἁμαρτίας αὐτὰς ἐφύτρωσεν ἀπὸ ἐδῶ. Αὐτὸ ὑπαινίσσεται καὶ ὁ Ἰεζεκιήλ, ὅταν λέγῃ· «Πλὴν τοῦτο τὸ ἀνόμημα Σοδόμων· ὅτι ἐν ὑπερηφανίᾳ καὶ ἐν πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίαις ἐσπατάλων»[2]. Ὁμοίως καὶ οἱ Ἰουδαῖοι διέπραξαν τὰ μέγιστα κακά, ἀφοῦ ἐγλύστρησαν ἀπὸ τὴν μέθην καὶ τὴν ἀπόλαυσιν εἰς τὴν ἀνομίαν.

2. Δι' αὐτὸ ἀκριβῶς καὶ ὁ ἴδιος νηστεύει ἐπὶ σαράντα ἡμέρας καὶ μᾶς ὑποδεικνύει τὰ φάρμακα τῆς σωτηρίας. Δὲν προχωρεῖ περισσότερον, διὰ νὰ μὴ προκληθῇ δυσπιστία ὡς πρὸς τὴν ἀλήθειαν τῆς οἰκονομίας ἀπὸ τὸ ὑπερβολικὸν μέγεθος τοῦ θαύματος. Εἰς τὴν περίπτωσιν αὐτὴν δὲν ἠμποροῦσε νὰ γίνῃ τοῦτο, διότι καὶ ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας ἐπέτυχαν νὰ φθάσουν τὴν διάρκειαν αὐτήν, ἐνισχυόμενοι ἀπὸ τὴν δύναμιν τοῦ Θεοῦ. Ἐὰν ὅμως ἐπροχωροῦσε περισσότερον, θὰ ἐφαίνετο καὶ ἀπὸ τὸ γεγονὸς τοῦτο εἰς πολλοὺς ὡς ἀπίστευτον πρᾶγμα ἡ πρόσληψις τῆς σαρκός. Ἐνήστευσε λοιπὸν ἐπὶ σαράντα ἡμέρας καὶ ἄλλας τόσας νύκτας καὶ «ἔπειτα ἐπείνασεν»· ἔδιδεν εἰς αὐτὸν ἀφορμὴν νὰ προσέλθῃ, διὰ νὰ συμπλακῇ μαζί του καὶ νὰ δείξῃ πῶς πρέπει νὰ ὑπερέχῃς καὶ νὰ νικᾷς. Τὸ ἴδιο κάμνουν καὶ οἱ ἀθληταί· διδάσκουν τοὺς μαθητάς των νὰ ὑπερτεροῦν καὶ νὰ νικοῦν καὶ διὰ τοῦτο ἐπίτηδες συγκρούονται μὲ ἄλλους μέσα εἰς τὰς παλαίστρας καὶ δίδουν τὴν εὐκαιρίαν εἰς αὐτοὺς νὰ παρακολουθοῦν καὶ νὰ μελετοῦν τὸν τρόπον τῆς νίκης εἰς τὰ σώματα τῶν ἀντιπάλων των. Τοῦτο ἀκριβῶς ἔγινε καὶ τότε. Ἐπειδὴ

2. Ἰεζ 16, 49.

ἐβούλετο αὐτὸν ἐπισπάσασθαι εἰς τοῦτο, καὶ τὸ πεινῆν αὐτῷ κατάδηλον ἐποίησε, καὶ προσελθόντα ἐδέξατο, καὶ δεξάμενος, ἅπαξ καὶ δὶς καὶ τρὶς αὐτὸν κατέῤῥαξε μετ' εὐκολίας τῆς αὐτῷ προσηκούσης.

'Αλλ' ἵνα μὴ παρατρέχοντες τὰς νίκας ταύτας, λυμαινώμεθα ὑμῶν τὴν ὠφέλειαν, ἀπὸ τῆς πρώτης ἀρξάμενοι προσβολῆς ἑκάστην μετὰ ἀκριβείας ἐξετάσωμεν. 'Επειδὴ γὰρ ἐπείνασε, φησί, «Προσελθὼν ὁ πειράζων εἶπεν αὐτῷ· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται». 'Επειδὴ γὰρ ἤκουσε φωνῆς ἄνωθεν φερομένης καὶ λεγούσης· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»· ἤκουσε δὲ καὶ 'Ιωάννου τοσαῦτα περὶ αὐτοῦ μαρτυροῦντος, εἶτα εἶδε πεινῶντα· ἐν ἀμηχανίᾳ λοιπὸν ἦν, καὶ οὔτε ὅτι ἄνθρωπος ἦν ψιλὸς πιστεῦσαι ἠδύνατο, διὰ τὰ περὶ αὐτοῦ λεχθέντα· οὐδ' αὖ πάλιν παραδέξασθαι, ὅτι Υἱὸς ἦν τοῦ Θεοῦ, διὰ τὸ βλέπειν αὐτὸν πεινῶντα. Ὅθεν ἐν ἀμηχανίᾳ γενόμενος, ἀμφιβόλους ἀφίησι φωνάς. Καὶ ὥσπερ τῷ 'Αδὰμ προσελθὼν παρὰ τὴν ἀρχὴν πλάττει τὰ μὴ ὄντα, ἵνα μάθῃ τὰ ὄντα, οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ εἰδὼς σαφῶς τὸ ἀπόῤῥητον τῆς οἰκονομίας μυστήριον, καὶ τίς ποτέ ἐστιν ὁ παρών, ἕτερα ἐπιχειρεῖ πλέκειν δίκτυα, δι' ὧν ᾤετο εἴσεσθαι τὸ κεκρυμμένον καὶ ἀσαφές. Καὶ τί φησιν; «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται». Οὐκ εἶπεν, 'Επειδὴ πεινᾷς, ἀλλ', «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ»· νομίζων ὑποκλέπτειν αὐτὸν τοῖς ἐγκωμίοις. Διὸ καὶ τὴν πεῖναν ἐσίγησεν, ἵνα μὴ δόξῃ προφέρειν αὐτῷ τοῦτο καὶ ὀνειδίζειν. Οὐ γὰρ εἰδὼς τῶν οἰκονομουμένων τὸ μέγεθος, αἰσχρὸν αὐτῷ τοῦτο ἐνόμιζεν εἶναι. Διὸ κολακεύων αὐτὸν ὑπούλως, τῆς ἀξίας μέμνηται μόνης. Τί οὖν ὁ Χριστός; Τὸν τῦφον αὐτοῦ καθαιρῶν καὶ δεικνὺς οὐκ αἰσχύνης ἄξιον ὂν τὸ συμβάν, οὐδὲ ἀνάξιον τῆς

1. Ματθ. 3, 17.

ἤθελε δηλαδὴ νὰ τὸν παρασύρῃ εἰς αὐτὸ τοῦ ἔκαμε γνωστὴν καὶ τὴν πεῖναν του καὶ ὅταν ἦλθε τὸν ἐδέχθη καὶ ἀφοῦ τὸν ἐδέχθη, τὸν ἐκτύπησε μίαν καί δύο καὶ τρεῖς φορὲς μὲ τὴν εὐκολίαν ποὺ προσιδιάζει εἰς αὐτόν.

Ἀλλὰ διὰ νὰ μὴ προσπερνοῦμεν τὰς νίκας αὐτὰς καὶ μειώνωμεν τὴν ὠφέλειάν σας, ἂς ἐξετάσωμεν μὲ ἀκρίβειαν κάθε μίαν προσβολὴν ἀρχίζοντες ἀπὸ τὴν πρώτην. Ὅταν δηλαδὴ μᾶς λέγει ἐπείνασε· «Προσελθὼν ὁ πειράζων εἶπεν αὐτῷ· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται». Εἶχεν ἀκούσει τὴν φωνὴν ποὺ ἤρχετο ἀπὸ τὸν οὐρανὸν καὶ ἔλεγεν· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»[1]· ἤκουσε καὶ τὸν Ἰωάννην νὰ δίδῃ τόσας μαρτυρίας δι' αὐτὸν καὶ ἔπειτα τὸν εἶδε νὰ πεινᾷ. Εὑρέθη λοιπὸν εἰς ἀμηχανίαν καὶ οὔτε ἠμποροῦσε νὰ πιστεύσῃ ὅτι ἦτο ἄνθρωπος ἁπλοῦς, ἔπειτα ἀπὸ ὅσα εἶχαν λεχθῇ περὶ αὐτοῦ, οὔτε πάλιν νὰ παραδεχθῇ ὅτι ἦτο Υἱὸς τοῦ Θεοῦ, ἀφοῦ τὸν ἔβλεπε νὰ πεινᾷ. Μέσα εἰς τὴν ἀμηχανίαν του, λοιπόν, λέγει λόγους ἀμφιβολίας. Καὶ εἰς τὸν Ἀδὰμ εἰς τὴν ἀρχὴν τῆς ἀνθρωπίνης ζωῆς, ἀφοῦ προσῆλθε, πλάθει ἀνύπαρκτα περιστατικά, διὰ νὰ μάθῃ τὰ ἀληθινά· ἔτσι καὶ ἐδῶ· ἐπειδὴ δὲν ἐγνώριζε μὲ σαφήνειαν τὸ ἀπόρρητον μυστήριον τῆς οἰκονομίας καὶ ποῖος ἦτο τέλος πάντων ὁ εὑρισκόμενος πλησίον του, δοκιμάζει νὰ πλέξῃ ἄλλα δίκτυα, μὲ τὰ ὁποῖα ἐνόμιζεν ὅτι θὰ μάθῃ τὸ μυστικὸν καὶ σκοτεινόν. Καὶ τί λέγει; «Ἂν εἶσαι Υἱὸς τοῦ Θεοῦ, εἰπὲ νὰ γίνουν αὐτὲς οἱ πέτρες ψωμιά». Δὲν εἶπεν· Ἐπειδὴ πεινᾷς, ἀλλὰ «Ἂν εἶσαι Υἱὸς τοῦ Θεοῦ»· ἐνόμιζε ὅτι θὰ τὸν ἐξεγελοῦσε μὲ τὰ ἐγκώμια. Διὰ τοῦτο ἀπεσιώπησε τὴν πεῖναν, διὰ νὰ μὴ δείξῃ ὅτι τὴν φέρει εἰς τὴν μέσην καὶ τὸν ὀνειδίζει. Ἐπειδὴ δὲν ἐγνώριζε τὸ μέγεθος ὅσων διεπράττοντο κατ' οἰκονομίαν, ἐνόμιζεν ὅτι τοῦτο θὰ ἦτο δι' αὐτὸν ἐντροπή. Διὰ τοῦτο μὲ ὑπούλους κολακείας ἀναφέρεται μόνον εἰς τὸ τιμητικὸν πλεονέκτημα. Καὶ ὁ Χριστός; Καταρρίπτει τὴν ἀλαζονείαν του καὶ δεικνύει ὅτι τὸ περιστατικὸν δὲν ἦτο ἄξιον δι' ἐντροπήν, οὔτε ἀνάξιον τῆς σοφίας του. Ἐν συνεχείᾳ, αὐτὸ τὸ

αὐτοῦ σοφίας, ὅπερ κολακεύων αὐτὸν ἐκεῖνος ἀπεσίγησε, τοῦτο εἰς μέσον αὐτὸς προφέρει καὶ τίθησι λέγων· «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος». Ὅθεν ἄρχεται ἀπὸ τῆς κατὰ τὴν γαστέρα ἀνάγκης.

Σὺ δέ μοι σκόπει τοῦ πονηροῦ δαίμονος ἐκείνου τὴν κακουργίαν, καὶ πόθεν ἄρχεται τῶν παλαισμάτων, καὶ πῶς τῆς οἰκείας οὐκ ἐπιλανθάνεται τέχνης. Ἀφ' ὧν γὰρ καὶ τὸν πρῶτον ἐξέβαλεν ἄνθρωπον, καὶ ἑτέροις περιέβαλε κακοῖς, ἀπὸ τούτων καὶ ἐνταῦθα πλέκει τὸν δόλον, τῆς κατὰ τὴν γαστέρα ἀκρασίας λέγω.

Πολλῶν γοῦν καὶ νῦν ἔστιν ἀκοῦσαι ἀνοήτων, λεγόντων τὰ μυρία διὰ τὴν κοιλίαν κακά. Ὁ δὲ Χριστὸς δεικνύς, ὅτι τὸν ἐνάρετον οὐδὲ αὕτη ἡ τυραννὶς καταναγκάζει τι τῶν μὴ προσηκόντων ποιεῖν, καὶ πεινᾷ καὶ οὐχ ὑπακούει τῷ ἐπιτάγματι, παιδεύων ἡμᾶς ἐν μηδενὶ πείθεσθαι τῷ διαβόλῳ. Ἐπειδὴ γὰρ ὁ πρῶτος ἄνθρωπος ἐντεῦθεν καὶ τῷ Θεῷ προσέκρουσε καὶ νόμον παρέβη, ἐκ περιουσίας σε διδάσκει, κἂν μὴ παράβασις ᾖ τὸ παρ' αὐτοῦ κελευόμενον, μηδὲ οὕτω πείθεσθαι. Καὶ τί λέγω παράβασιν; Κἂν γάρ τι χρήσιμον λέγωσιν οἱ δαίμονες, φησί, μηδὲ οὕτω πρόσεχε αὐτοῖς. Οὕτω γοῦν καὶ τοὺς δαίμονας ἐπεστόμισεν ἐκείνους, κηρύττοντας αὐτὸν Υἱὸν Θεοῦ. Καὶ ὁ Παῦλος δὲ πάλιν αὐτὸ τοῦτο βοῶσιν ἐπετίμησε, καίτοι τὸ λεγόμενον χρήσιμον ἦν· ἀλλ' ἐκ περιουσίας ἀτιμάζων αὐτούς, καὶ ἀποτειχίζων τὴν καθ' ἡμῶν ἐπιβουλήν, καὶ σωτήρια δόγματα κηρύττοντας ἤλαυνεν, ἐμφράττων αὐτῶν τὰ στόματα καὶ σιγᾶν κελεύων. Καὶ διὰ τοῦτο οὐδὲ ἐνταῦθα τοῖς λεγομένοις ἐπένευσεν· ἀλλ' τί φησιν; «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι Δύναται ὁ Θεὸς καὶ ῥήματι θρέψαι τὸν πεινῶντα, ἀπὸ τῆς

1. Λουκᾶ 4,35
2. Πράξ. 16, 18.

ὁποῖον ἐκεῖνος τὸ ἀπεσιώπησε, διὰ νὰ τὸν κολακεύσῃ τάχα, ὁ ἴδιος τὸ φέρει εἰς τὴν μέσην καὶ τὸ προβάλλει· «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος». Ἀρχίζει λοιπὸν ἀπὸ τὴν ἀνάγκην τοῦ στομάχου.

Σὺ ὅμως πρόσεχε τὴν κακότητα τοῦ πονηροῦ ἐκείνου δαίμονος, ἀπὸ ποῦ ἀρχίζει τὸν πόλεμόν του καὶ πῶς δὲν λησμονεῖ τὴν τέχνην του. Μὲ ὅ,τι ἐξεδίωξε τὸν πρῶτον ἄνθρωπον (ἀπὸ τὸν παράδεισον) καὶ τὸν ἐφόρτωσε μὲ ἄλλα δεινά, μὲ αὐτὸ καὶ ἐδῶ ὑφαίνει τοὺς δόλους του, ἐννοῶ τὴν ἔλλειψιν χαλινοῦ εἰς τὴν κοιλίαν.

Ἠμπορεῖς καὶ τώρα νὰ ἀκούσῃς ἀπὸ πολλοὺς ἀνοήτους νὰ φορτώνουν εἰς τὴν κοιλίαν μύρια κακά. Ὁ Χριστὸς ὅμως ἐπιδεικνύων εἰς τὸν ἑαυτόν του, ὅτι τὸν ἐνάρετον ἀκόμη καὶ αὐτὴ ἡ τυραννία δὲν ἠμπορεῖ νὰ τὸν καταναγκάσῃ νὰ κάμῃ κάτι ἀνάρμοστον εἰς αὐτόν, ἰδοὺ ὅτι καὶ πεινᾷ καὶ δὲν ὑπακούει εἰς τὴν διαταγήν. Μᾶς δίδει μὲ τοῦτο δίδαγμα εἰς τίποτε νὰ μὴ ὑπακούωμεν εἰς τὸν διάβολον. Ἐπειδὴ ὁ πρῶτος ἄνθρωπος ἀπὸ τὸ γεγονὸς τοῦτο προσέκρουσεν εἰς τὸν Θεὸν καὶ παρέβη τὸν νόμον, δὲν κουράζεται νὰ σὲ διδάσκῃ, ἀκόμη καὶ ἂν ἡ ἐκτέλεσις τῆς διαταγῆς του δὲν ἀποτελεῖ παράβασιν, μήτε τότε νὰ μὴ ὑπακούῃς. Καὶ τί λέγω παράβασιν; Ἀκόμη καὶ κάτι χρήσιμον ἂν σοῦ προτείνουν οἱ δαίμονες, μᾶς λέγει, μήτε τότε νὰ μὴ προσέχῃς εἰς αὐτούς. Κατ' αὐτὸν τὸν τρόπον ἀπεστόμωσε καὶ ἐκείνους τοὺς δαίμονας, ποὺ τὸν ἀνεκήρυτταν Υἱὸν τοῦ Θεοῦ[1]. Καὶ πάλιν, ὅταν ἔλεγαν τὸ ἴδιο ἀκριβῶς, τοὺς ἐπετίμησεν ὁ Παῦλος, μολονότι ἦτο χρήσιμος ἡ διακήρυξίς των. Τοὺς κατήσχυνεν ὅμως καὶ μὲ τὸ παραπάνω καὶ ἀπέκρουσε τὴν ἐναντίον μας ἐπιβουλήν των· καὶ μολονότι ἐδιαλαλοῦσαν σωτηριώδεις γνώμας, ἐν τούτοις τοὺς ἀπεμάκρυνεν, ἔφραξε τὰ στόματά των καὶ τοὺς διέτασσε νὰ σιωποῦν[2]. Καὶ διὰ τοῦτο μήτε ἐδῶ δὲν συγκατανεύει εἰς τὰ λεγόμενα, ἀλλὰ τί λέγει; Δὲν θὰ ζήσῃ ὁ ἄνθρωπος μὲ τὸ ψωμὶ μόνον. Τὸ νόημα τοῦ λόγου του εἶναι τοῦτο· Ἠμπορεῖ ὁ Θεὸς νὰ χορτάσῃ τὸν πεινασμένον καὶ μὲ τὸν λόγον. Τὸ ἐπιχείρημα τὸ ἀντλεῖ ἀπὸ τὴν Παλαιὰν

Παλαιᾶς φέρων αὐτοῦ μαρτυρίαν Γραφῆς καὶ παιδεύων, κἂν λιμώττωμεν, κἂν ὁτιοῦν πάσχωμεν, μηδέποτε ἀφίστασθαι τοῦ Δεσπότου.

3. Εἰ δὲ λέγοι τις, ὅτι καὶ μὴν ἐπιδείξασθαι ἐχρῆν, ἐροίμην ἂν αὐτόν· Τίνος ἕνεκεν καὶ διὰ τί; Οὐδὲ γὰρ ἵνα πιστεύσῃ, ταῦτα ἔλεγεν ἐκεῖνος, ἀλλ' ἵνα, ὡς ᾤετο, εἰς ἀπιστίαν ἐλέγξῃ. Ἐπεὶ καὶ τοὺς πρώτους οὕτως ἠπάτησε καὶ ἤλεγξεν, οὐ σφόδρα πιστεύοντας τῷ Θεῷ. Ἐναντία γὰρ ὧν εἶπεν ὁ Θεός, ἐκεῖνος ὑποσχόμενος, καὶ κεναῖς αὐτοὺς φυσήσας ἐλπίσι, καὶ εἰς ἀπιστίαν ἐμβαλών, οὕτω καὶ ὧν εἶχον ἀγαθῶν ἐξέβαλεν. Ἀλλ' ὁ Χριστὸς δείκνυσιν ἑαυτόν, μήτε τούτῳ τότε, μήτε ὕστερον τοῖς τὰ αὐτοῦ φρονοῦσιν Ἰουδαίοις σημεῖα αἰτοῦσιν ἐπινεύσας, πανταχοῦ παιδεύων ἡμᾶς, κἂν δυνώμεθά τι ποιεῖν, μηδὲν πράττειν εἰκῇ καὶ μάτην, μηδὲ ἀνάγκης ἐπικειμένης πείθεσθαι τῷ διαβόλῳ. Τί οὖν ὁ μιαρὸς οὗτος; Ἡττηθεὶς καὶ πεῖσαι μὴ δυνηθεὶς τὸ κελευόμενον ποιῆσαι, καὶ ταῦτα πείνης ἐπικειμένης τοσαύτης, ἐφ' ἕτερον πρόεισι, λέγων· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ· Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε». Τί δήποτε καθ' ἑκάστην πεῖραν τοῦτο προστίθησιν, «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ»; Ὅπερ ἐπὶ τὸν προτέρων ἐποίησε, τοῦτο καὶ νῦν ποιεῖ. Ὥσπερ γὰρ τότε διέβαλε τὸν Θεόν, λέγων, ὅτι «Ἧ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί»· διὰ τούτων δεῖξαι βουλόμενος ὅτι ἠπάτηνται καὶ παρελογίσθησαν, καὶ οὐδέν εἰσιν εὐηργετημένοι· οὕτω δὴ καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο αἰνίττεται λέγων ὅτι Εἰκῇ σε ἐκάλεσεν

1. Ὁ Χριστὸς δὲν δίδει τὴν ζητουμένην ἀπόδειξιν εἰς τὸν διάβολον, διότι ὁ διάβολος δὲν τὴν ἐζήτει διὰ νὰ πιστεύσῃ. Ἀντιθέτως ἐπεδίωκε νὰ παρουσιάσῃ τὸν Χριστὸν ὡς ἀπιστοῦντα εἰς τὸν Θεὸν Πατέρα του. Γνώμη καὶ ἐπιδίωξις ἀληθινὰ σατανική.

Διαθήκην καὶ μᾶς διδάσκει, ἀκόμη καὶ ἂν ἀποθνήσκωμεν ἀπὸ τὴν πεῖναν καὶ ἂν πάσχωμεν ὁ,τιδήποτε, νὰ μὴ ἀπομακρυνώμεθα ποτὲ ἀπὸ τὸν Κύριόν μας.

3. Ἂν ἀντιτείνῃ κάποιος ὅτι ἔπρεπε νὰ δώσῃ τὴν ζητουμένην ἀπόδειξιν, θὰ τὸν ἐρωτήσω· Διὰ ποῖον λόγον καὶ ποῖον σκοπόν; Ἐκεῖνος βέβαια δὲν ἐζητοῦσε διὰ νὰ πιστεύσῃ ἀλλὰ διὰ νὰ τὸν ἐλέγξῃ ὡς ἄπιστον [1], καθὼς ἐνόμιζε. Διότι καὶ τοὺς πρώτους κατ' αὐτὸν τὸν τρόπον τοὺς ἐξηπάτησε καὶ τοὺς ἐφανέρωσεν ὅτι δὲν ἐπίστευαν μὲ δύναμιν εἰς τὸν Θεόν. Διότι ἐκεῖνος τοὺς εἶχε ὑποσχεθῆ ἀντίθετα ἀπὸ ὅ,τι ὁ Θεὸς τοὺς εἶχε συμβουλεύσει καὶ ἀφοῦ τοὺς ἐφούσκωσε μὲ κενὰς ἐλπίδας τοὺς ἐδημιούργησε ἀπιστίαν, ἔφθασε νὰ τοὺς ἐκδιώξῃ ἀπὸ τὰ ἀγαθὰ τὰ ὁποῖα εἶχαν. Ὁ Χριστὸς ὅμως παρουσιάζεται νὰ μὴ συγκατανεύῃ οὔτε εἰς αὐτὸν τότε, οὔτε μετέπειτα εἰς ὁμόφρονας αὐτοῦ Ἰουδαίους ποὺ ἐζητοῦσαν σημεῖα· μᾶς συμβουλεύει εἰς ὅλας τὰς περιπτώσεις καὶ ἂν ἀκόμη ἠμποροῦμεν νὰ κάμωμεν κάτι, τίποτε νὰ μὴ κάμνωμεν ἄνευ λόγου καὶ αἰτίας, οὔτε νὰ πειθώμεθα εἰς τὸν διάβολον ἀκόμη καὶ λόγῳ ἀνάγκης. Καὶ ὁ μιαρὸς τί ἀπέκαμεν; Ἀφοῦ ἐνικήθη καὶ δὲν ἠμπόρεσε νὰ τὸν πείσῃ νὰ ἐκτελέσῃ τὴν προτροπήν του, καὶ μάλιστα ἔπειτα ἀπὸ τόσην πεῖναν, κάμνει νέαν ἀπόπειραν· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ· Ὅτι τοῖς ἀγγέλοις τοῖς αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσί σε»[2]. Ἀλλ' ἐπὶ τέλους διατί εἰς κάθε δοκιμὴν προσθέτει αὐτὸ τὸ «Ἂν εἶσαι Υἱὸς τοῦ Θεοῦ»; Ὅ,τι ἔκαμε προηγουμένως, τὸ αὐτὸ κάμνει καὶ τώρα. Ἐκατηγόρησε τότε τὸν Θεὸν μὲ τοὺς λόγους· Ἧ ἂν ἡμέρᾳ φάγητε διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί» [3]. Μὲ αὐτὰ ἤθελε νὰ δείξῃ ὅτι εἶχαν ἀπατηθῆ καὶ εἶχαν παραπλανηθῆ καὶ δὲν εἶχαν δεχθῆ καμμίαν εὐεργεσίαν. Ἔτσι ἀκριβῶς καὶ ἐδῶ, κάμνει ὑπαινιγμὸν δι' αὐτὸ τὸ ἴδιο· τοῦ λέγει δηλαδή· Ἄνευ λόγου σὲ ἐκάλεσεν Υἱὸν του καὶ σὲ ἐξη-

2. Ψαλμ. 9, 11-12.
3. Γέν. 3, 5.

Υἱόν, καὶ ἠπάτησε τῇ δωρεᾷ· ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, παράσχου ἡμῖν ἀπόδειξιν τοῦ τῆς δυνάμεως εἶναι ἐκείνης. Εἶτα, ἐπειδὴ ἀπὸ Γραφῶν αὐτῷ διελέχθη, καὶ αὐτὸς τοῦ προφήτου παράγει μαρτυρίαν.

Πῶς οὖν ὁ Χριστός; Οὐκ ἠγανάκτησεν, οὐ παρωξύνθη, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιεικείας πάλιν ἀπὸ τῶν Γραφῶν αὐτῷ διαλέγεται λέγων· «Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου», παιδεύων ἡμᾶς, ὅτι τοῦ διαβόλου οὐ διὰ σημείων, ἀλλ' δι' ἀνεξικακίας καὶ μακροθυμίας περιγίνεσθαι χρή, καὶ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖ καὶ φιλοτιμίαν ἁπλῶς.

Σκόπει δὲ αὐτοῦ τὸ ἀνόητον καὶ ἀπὸ τῆς μαρτυρίας αὐτῆς, ἧς παρήγαγεν. Αἱ μὲν γὰρ παρὰ τοῦ Κυρίου παρενεχθεῖσαι μαρτυρίαι σφόδρα ἁρμοδίως ἀμφότεραι εἴρηνται· οἱ δὲ παρ' ἐκείνου ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ οὐδὲ τοῖς προκειμένοις τὸ προσῆκον ἀντεπήγετο. Οὐ γὰρ δὴ τὸ γεγράφθαι, «Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ», παραινεῖ ῥιπτεῖν ἑαυτὸν καὶ κρημνίζειν· ἄλλως δὲ οὐδὲ περὶ τοῦ Κυρίου τοῦτο εἰρημένον ἐστίν. Ἀλλὰ τοῦτο μὲν τέως οὐκ ἤλεγξε, καίτοι γε καὶ ὑβριστικῶς αὐτοῦ χρησαμένου τῷ λόγῳ καὶ σφόδρα ἐναντίως. Οὐδεὶς γὰρ παρὰ Υἱοῦ τοῦ Θεοῦ ταῦτα αἰτεῖ, ἀλλὰ διαβόλου καὶ δαιμόνων τὸ βάλλειν ἑαυτὸν κάτω· τοῦ Θεοῦ δέ, καὶ τοὺς κειμένους ἀνιστᾶν. Εἰ γὰρ δύναμιν ἐπιδείξασθαι ἔδει, οὐχ ἑαυτὸν ῥιπτοῦντα εἰκῇ καὶ κρημνίζοντα, ἀλλ' ἑτέρους σῴζοντα. Τὸ δὲ ἑαυτοὺς ῥιπτεῖν εἰς φάραγγας καὶ κρημνούς, τῆς ἐκείνου φάλαγγός ἐστιν. Οὕτω γοῦν ὁ παρ' αὐτοῖς πλάνος ποιεῖ πανταχοῦ. Ἀλλ' ὁ Χριστός, καὶ τούτων εἰρημένων, οὐδέπω ἑαυτὸν ἐκκαλύπτει, ἀλλ' ὡς ἄνθρωπος τέως αὐτῷ διαλέγεται. Τὸ γὰρ εἰπεῖν, «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος», καὶ τό, «Οὐκ ἐκπειράσας Κύριον τὸν Θεόν σου», οὐ σφόδρα ἑαυτὸν ἐκκαλύπτοντος ἦν, ἀλλ' ἕνα τῶν πολλῶν δεικνύντος. Μὴ θαυμάσῃς δέ,

---

1. Δευτ. 6, 16.

πάτησεν εἰς τὴν δωρεάν. Ἂν δὲν συμβαίνῃ τοῦτο, δῶσε μας ἀπόδειξιν ὅτι διαθέτεις τὴν δύναμιν αὐτήν. Ἐν συνεχείᾳ, ἐπειδὴ ὡμίλησε πρὸς αὐτὸν μὲ λόγους τῆς Γραφῆς, προσκομίζει καὶ ὁ διάβολος τὴν μαρτυρίαν τοῦ προφήτου.

Πῶς λοιπὸν ὁ Χριστὸς δὲν ἠγανάκτησε, δὲν ἐθύμωσεν, ἀλλὰ καὶ πάλιν μὲ πολλὴν μειλιχιότητα τοῦ ὁμιλεῖ χρησιμοποιῶν τὴν Γραφὴν καὶ λέγων· «Οὐκ ἐκπειράσῃς Κύριον τὸν Θεόν σου» [1]. Μᾶς διδάσκει κατ' αὐτὸν τὸν τρόπον ὅτι τὸν διάβολον δὲν πρέπει νὰ τὸν νικῶμεν μὲ σημεῖα ἀλλὰ μὲ ἀνεκτικότητα καὶ μακροθυμίαν, χωρὶς νὰ κάμνωμεν τίποτε πρὸς ἁπλῆν ἐπίδειξιν καὶ φιλοτιμίαν.

Πρόσεξε τώρα τὴν ἀνοησίαν του καὶ ἀπὸ αὐτὴν τὴν μαρτυρίαν ποὺ προσκομίζει. Αἱ μαρτυρίαι ποὺ προσεκομίσθησαν ἀπὸ τὸν Κύριον ἦσαν ἐντελῶς κατάλληλοι. Ἐνῷ τοῦ διαβόλου δὲν εἶχαν καμμίαν καταλληλότητα οὔτε καμμίαν ἀντιστοιχίαν μὲ τὴν περίπτωσιν. Διότι βεβαίως ὁ γραφεὶς λόγος· «τοῖς ἀγγέλοις τοῖς αὐτοῦ ἐντελεῖται περὶ σοῦ», δὲν προτρέπει νὰ ρίπτεσαι πρὸς τὰ κάτω καὶ νὰ κρημνίζεσαι. Ἐξ ἄλλου τοῦτο δὲν ἔχει λεχθῆ διὰ τὸν Κύριον. Τοῦτο ὅμως δὲν τὸ ἤλεγξε τότε, μολονότι καὶ ὑβριστικῶς εἶχεν ὁμιλήσει εἰς αὐτὸν καὶ μὲ διάθεσιν ἐναντιώσεως μεγάλην. Διότι κανεὶς δὲν τὰ ζητεῖ αὐτὰ ἀπὸ τὸν Υἱὸν τοῦ Θεοῦ ἀλλὰ εἶναι ἔργον τοῦ διαβόλου καὶ τῶν δαιμόνων νὰ ρίπτουν κάτω. Τοῦ Θεοῦ ἔργον εἶναι νὰ ἀνορθώνῃ καὶ ὅσους ἔχουν πέσει. Ἠμποροῦσε νὰ δείξῃ τὴν δύναμίν του, ἂν ἔπρεπε, ὄχι ριπτόμενος κάτω ὁ ἴδιος ἀλλὰ σώζων τοὺς ἄλλους. Τὸ νὰ ρίπτωνται ὅμως εἰς φάραγγας καὶ κρημνοὺς εἶναι ἴδιον τῆς φάλαγγος ἐκείνου. Ἔτσι πράττει εἰς ὅλας τὰς περιπτώσεις ὁ δόλιος ἀρχηγός των.

Ἐν τούτοις ὁ Χριστός, μολονότι ἐλέχθησαν αὐτά, δὲν φανερώνει ἀκόμη τὸν ἑαυτόν του ἀλλὰ ὁμιλεῖ μέχρι τότε εἰς αὐτὸν ὡς ἄνθρωπος. Διότι τὸ νὰ εἰπῇ· «Δὲν θὰ ζήσῃ ὁ ἄνθρωπος μὲ τὸ ψωμὶ μόνον» καί· «Δὲν θὰ θέσῃς εἰς δοκιμασίαν τὸν Κύριόν σου», δὲν εἶναι πρᾶξις κάποιου ποὺ ἀποκαλύπτει ἀναφανδὸν τὸν ἑαυτόν του ἀλλὰ τὸν παρουσιάζει ὡς ἕνα ἀπὸ

εἰ τῷ Χριστῷ διαλεγόμενος περιτρέπεται πολλάκις. Καθάπερ γὰρ οἱ πυκτεύοντες, ὅταν καιρίας δέξωνται πληγάς, αἵματι περιῤῥεόμενοι πολλῷ καὶ σκοτούμενοι περιφέρονται· οὕτω δὴ καὶ αὐτὸς ἀπὸ τῆς προτέρας καὶ δευτέρας πληγῆς σκοτωθείς, ἁπλῶς τὰ ἐπιόντα φθέγγεται· καὶ πρόεισιν ἐπὶ τὴν τρίτην προσβολήν.

«Καὶ ἀναγαγὼν αὐτὸν εἰς ὄρος ὑψηλόν, δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας, καί φησι· Πάντα σοι ταῦτα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ· Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις». Ἐπειδὴ γὰρ λοιπὸν εἰς τὸν Πατέρα ἡμάρτανε, τὰ ἐκείνου πάντα αὐτοῦ λέγων εἶναι, καὶ θεὸν ἐσπούδαζεν ἑαυτὸν ἀποφῆναι, ὡς δημιουργὸν τοῦ παντός, τότε ἐπετίμησε καὶ οὐδὲ τότε μετὰ σφοδρότητος, ἀλλ' ἁπλῶς· «Ὕπαγε, Σατανᾶ»· ὅπερ καὶ πρόσταγμα μᾶλλον ἦν, ἢ ἐπιτίμησις. Ὁμοῦ τε γὰρ εἶπεν αὐτῷ, «Ὕπαγε», καὶ δραπετεῦσαι αὐτὸν ἐποίησεν· οὔτε γὰρ ἑτέρους πειρασμοὺς προσήγαγε.

4. Καὶ πῶς ὁ Λουκᾶς φησιν, ὅτι πάντα συνετέλεσε πειρασμόν; Ἐμοὶ δοκεῖ τὰ κεφάλαια τῶν πειρασμῶν εἰπών, πάντα εἰρηκέναι, ὡς καὶ τῶν ἄλλων ἐν τούτοις περιειλημμένων. Τὰ γὰρ μυρία συνέχοντα κακά, ταῦτά ἐστι· τὸ γαστρὶ δουλεύειν, τὸ πρὸς κενοδοξίαν τι ποεῖν, τὸ μανίᾳ χρημάτων ὑπεύθυνον εἶναι. Ὅπερ οὖν καὶ ὁ μιαρὸς οὗτος συνιδών, τὸ πάντων ἰσχυρότερον ὕστερον τέθεικε, τὴν τοῦ πλείονος ἐπιθυμίαν· ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς ὠδίνων ἐλθεῖν ἐπὶ τοῦτο, ἔσχατον δὲ τοῦτο τηρῶν, ὡς τῶν ἄλλων δυνατώτερον ὄν. Καὶ γὰρ οὗτος αὐτοῦ τῆς πάλης ὁ νόμος, τὰ δοκοῦντα μᾶλλον ὑποσκελίζειν, ταῦτα ἔσχατα προσάγειν. Ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ ἐποίησε. Διὸ δὴ καὶ ἐνταῦθα ἀπὸ τῶν δοκούντων εἶναι εὐτελεστέρων καὶ ἀσθενεστέρων ἀρξάμε-

1. Δευτ. 6, 13.

τοὺς πολλούς. Καὶ μὴ θαυμάσῃς, ποὺ συνομιλῶν μὲ τὸν Χριστὸν στριφογυρίζει ὅλον εἰς τὰ ἴδια. Διότι ὅπως οἱ πυγμάχοι, ὅταν δεχθοῦν καίρια κτυπήματα, παραπατοῦν ἐνῷ περιρρέονται ἀπὸ τὸ αἷμα πολὺ καὶ δὲν βλέπουν γύρω των, ὁμοίως καὶ αὐτὸς μέσα εἰς τὸ σκότος ἀπὸ τὸ πρῶτον καὶ δεύτερον κτύπημα, λέγει ἁπλῶς ὅ,τι τοῦ ἔρχεται καὶ προχωρεῖ εἰς τὴν τρίτην ἀπόπειράν του.

«Καὶ ἀναγαγὼν αὐτὸν εἰς ὄρος ὑψηλόν, δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας καὶ φησιν· Πάντα σοι ταῦτα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ· Ὕπαγε ὀπίσω μου Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις»[1]. Ἐπειδὴ τὸ ἁμάρτημα τοῦ διαβόλου ἐστρέφετο κατὰ τοῦ Πατρὸς μὲ τὸ νὰ λέγῃ ὅτι εἶναι ἰδικά του ὅσα ἀνήκουν εἰς ἐκεῖνον καὶ ἤθελε νὰ δείξῃ τὸν ἑαυτόν του Θεόν, σὰν νὰ ἦτο δημιουργὸς τοῦ παντός, διὰ τοῦτο μόνον τὸν ἐπετίμησε ἀλλὰ πάλιν χωρὶς σφοδρότητα μὲ τὴν φράσιν μόνον «Πήγαινε, Σατανᾶ». Τοῦτο βεβαίως ἦτο διαταγὴ μᾶλλον παρὰ ἐπιτίμησις. Διότι τοῦ εἶπε «Πήγαινε» καὶ συνάμα τὸν ἔκαμε νὰ δραπετεύσῃ. Εἰς ἄλλους πειρασμοὺς δὲν τὸν ὑπέβαλε πλέον.

4. Καὶ πῶς ὁ Λουκᾶς λέγει ὅτι ἐπέρασε κάθε πειρασμόν; Ἡ δική μου ἡ γνώμη εἶναι ἡ ἑξῆς· ἀφοῦ ἀνεφέρθη εἰς τοὺς μεγαλυτέρους πειρασμούς, τοὺς εἶπεν ὅλους, ἐπειδὴ καὶ οἱ ἄλλοι περιέχονται εἰς αὐτούς. Διότι αὐτοὶ εἶναι ποὺ περιέχουν ἄπειρα δεινά· ἡ δουλεία δηλαδὴ εἰς τὴν κοιλίαν, ἡ ἱκανοποίησις τῆς κενοδοξίας καὶ ἡ ἐγκατάλειψις εἰς τὴν μανίαν τῆς ἀποκτήσεως. Τὸ εἶχεν ἀντιληφθῆ τοῦτο αὐτὸς ὁ μιαρός, καὶ ἄφησε τελευταίαν τὴν ἐπιθυμίαν τῆς πλεονεξίας. Μοῦ φαίνεται ὅτι δι' αὐτὸ ἦλθεν ἀπὸ ἄνω καὶ ἀπὸ τὴν ἀρχὴν τῶν ὠδίνων, τὸ ἐφύλαξεν ὅμως τελευταῖον, ἐπειδὴ ἦτο ἰσχυρότερον ἀπὸ τὰ ἄλλα. Διότι αὐτὸν τὸν νόμον ἀκολουθεῖ κατὰ τοὺς ἀγῶνας του· ὅσα τοῦ φαίνονται ἰσχυρότερα νὰ τὰ χρησιμοποιῇ τελευταῖα. Τὸ ἴδιον ἐφήρμοσε καὶ εἰς τὸν Ἰώβ. Διὰ τοῦτο ἀκριβῶς καὶ ἐδῶ ἔκαμεν ἀρχὴν ἀπὸ ὅσα τοῦ ἐφαίνοντο μικρότερα καὶ πιὸ ἀνίσχυρα καὶ

νος, ἐπὶ τὸ ἰσχυρότερον πρόεισι. Πῶς οὖν τούτου περιγενέσθαι δεῖ; Οὕτως ὡς ὁ Χριστὸς ἐπαίδευσεν, ἐπὶ τὸν Θεὸν καταφεύγοντας, καὶ μήτε ἐν λιμῷ ταπεινοῦσθαι, πιστεύοντας τῷ δυναμένῳ καὶ διὰ λόγου τρέφειν, μήτε ἐν οἷς ἂν λαμβάνωμεν ἀγαθοῖς πειράζειν τὸν δεδωκότα, ἀλλ' ἀρκεῖσθαι τῇ ἄνωθεν δόξῃ, τῆς ἀνθρωπίνης οὐδένα ποιουμένους λόγον, καὶ πανταχοῦ τῆς χρείας τὸ περιττὸν ἀτιμάζειν. Οὐδὲν γὰρ οὕτως ὑποπίπτειν τῷ διαβόλῳ ποιεῖ, ὡς τὸ τοῦ πλείονος ἐφίεσθαι, καὶ πλεονεξίας ἐρᾶν. Καὶ τοῦτο καὶ ἀπὸ τῶν νῦν γινομένων ἔστιν ἰδεῖν. Καὶ γὰρ καὶ νῦν εἰσι οἱ λέγοντες· Ταῦτά σοι πάντα δώσομεν, ἐὰν πεσὼν προσκυνήσῃς· ἄνθρωποι μὲν ὄντες τὴν φύσιν, ὄργανα δὲ ἐκείνου γενόμενοι. Ἐπεὶ καὶ τότε οὐ δι' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ δι' ἑτέρων αὐτῷ προσῄει. Ὅπερ καὶ ὁ Λουκᾶς δηλῶν ἔλεγεν, ὅτι «Ἕως καιροῦ ἀπέστη, ὑπ' αὐτοῦ»· δηλῶν ὅτι μετὰ ταῦτα διὰ τῶν οἰκείων ὀργάνων αὐτῷ προσῄει. Καὶ «ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ». Ἡνίκα γὰρ τὰ τῆς προσβολῆς ἐγίνετο, οὐκ εἴασεν αὐτοὺς φαίνεσθαι, ὥστε μὴ ταύτῃ σοβῆσαι τὴν ἄγραν· ἐπειδὴ δὲ αὐτὸν ἐν ἅπασιν ἤλεγξε καὶ δραπετεῦσαι παρεσκεύασε τότε φαίνονται ἐκεῖνοι· ἵνα καὶ σὺ μάθῃς, ὅτι καὶ σὲ μετὰ τὰς κατ' ἐκεῖνον νίκας ἄγγελοι δέξονται, κροτοῦντες καὶ δορυφοροῦντες ἐν ἅπασιν. Οὕτω γοῦν καὶ τὸν Λάζαρον μετὰ τὴν κάμινον τῆς πτωχείας καὶ τοῦ λιμοῦ καὶ τῆς στενοχωρίας ἁπάσης, ἄγγελοι λαβόντες ἀπῆλθον. Ὅπερ γὰρ ἔφθην εἰπὼν πολλὰ ὁ Χριστὸς ἐπιδείκνυται νῦν, ὧν καὶ ἡμεῖς ἀπολαύειν μέλλομεν.

Ἐπεὶ οὖν ταῦτα πάντα διὰ σὲ γέγονε, ζήλωσον καὶ μίμησαι τὴν νίκην. Κἂν προσέλθῃ σοί τις τῶν τοῦ δαίμονος ἐκείνου θεραπευτῶν, καὶ τὰ ἐκείνου φρονούντων, ὀνειδίζων καὶ λέγων·

1. Λουκᾶ 4,13

κατέληξεν εἰς τὸ ἰσχυρότερον. Πῶς πρέπει λοιπὸν νὰ ὑπερισχύσωμεν εἰς αὐτό; Ὅπως ἀκριβῶς μᾶς ἐδίδαξεν ὁ Χριστός· νὰ καταφύγωμεν εἰς τὸν Θεὸν καὶ ἔτσι μήτε εἰς περίπτωσιν πείνης θὰ ταπεινωνώμεθα ἔχοντες ἐμπιστοσύνην εἰς ἐκεῖνον, ποὺ ἠμπορεῖ νὰ μᾶς θρέψῃ καὶ μόνον μὲ τὸν λόγον του, μήτε δι' ὅσα ἀγαθὰ λαμβάνομεν νὰ πειράζωμεν ἐκεῖνον ποὺ μᾶς τὰ ἔχει δώσει ἀλλὰ νὰ μᾶς εἶναι ἀρκετὴ ἡ οὐράνιος δόξα, χωρὶς καθόλου νὰ ὑπολογίζωμεν τὴν ἀνθρωπίνην καὶ εἰς πᾶσαν περίπτωσιν νὰ περιφρονοῦμεν ὅ,τι δὲν μᾶς εἶναι ἀπαραίτητον. Διότι δὲν μᾶς κάμνει ὑποχειρίους τοῦ διαβόλου τίποτε ἄλλο, ὅσον ἡ ἐπιθυμία τοῦ περισσοτέρου καὶ ἡ ἀγάπη τῆς πλεονεξίας. Τοῦτο εἶναι δυνατὸν νὰ τὸ διαπιστώσωμεν ἀπὸ ὅσα συμβαίνουν εἰς τὰς ἡμέρας μας. Καὶ τώρα ὑπάρχουν ἐκεῖνοι ποὺ λέγουν· Θὰ σοῦ τὰ παραχωρήσωμεν ὅλα αὐτά, ἂν πέσῃς καὶ μᾶς προσκυνήσῃς. Εἶναι βεβαίως ἄνθρωποι εἰς τὴν φύσιν ἀλλὰ τοῦ διαβόλου ὄργανα. Διότι καὶ τότε δὲν τὸν ἐπλησίαζεν ὁ ἴδιος μόνον ἀλλὰ καὶ δι' ἄλλων. Τοῦτο φανερὰ τὸ λέγει καὶ ὁ Λουκᾶς· «Ἕως καιροῦ ἀπέστη ἀπ' αὐτοῦ»[1]· θέλει νὰ πῇ ὅτι ἔπειτα τὸν ἐπλησίασε διὰ τῶν ὀργάνων του. Καὶ ἰδοὺ ἐπλησίασαν ἄγγελοι καὶ τὸν ὑπηρετοῦσαν. Ὅσον διαρκοῦσεν ἡ προσβολὴ ἐναντίον του, δὲν τοὺς ἄφησε νὰ φανερωθοῦν, διὰ νὰ μὴ ἀπομακρύνῃ κατ' αὐτὸν τὸν τρόπον τὸ θήραμα. Ἀφοῦ ὅμως τὸν ἤλεγξεν εἰς ὅλα ἀνίκανον καὶ τὸν ἔφερεν εἰς τὸ σημεῖον νὰ τὸ σκάσῃ, τότε παρουσιάζονται ἐκεῖνοι. Τοῦτο διὰ νὰ μάθῃς καὶ σύ, ὅτι ἔπειτα ἀπὸ τὰς νίκας ἐναντίον ἐκείνου θὰ σὲ ὑποδεχθοῦν ἄγγελοι μὲ κρότους καὶ δορυφορίαν γενικήν. Ἔτσι καὶ τὸν Λάζαρον ἔπειτα ἀπὸ τὸ καμίνι τῆς πτωχείας, τῆς πείνης καὶ τῆς λοιπῆς στενοχωρίας, τὸν ἐπῆραν οἱ ἄγγελοι καὶ ἔφυγαν. Τοῦτο εἶπα καὶ πρὸ ὀλίγου· πολλὰ μᾶς παρουσιάζει τώρα ὁ Χριστός, τὰ ὁποῖα πρόκειται νὰ ἀπολαύσωμεν καὶ ἡμεῖς.

Ἀφοῦ λοιπὸν ὅλα αὐτὰ ἔγιναν πρὸς χάριν σου, ζήλεψε τὴν νίκην καὶ μιμήσου την. Καὶ ἂν σὲ πλησιάσῃ κάποιος ἀπὸ τοὺς ὑπηρέτας τοῦ δαίμονος ἐκείνου ποὺ διαπνέονται ἀπὸ τὸ

Εἰ θαυμαστὸς εἶ καὶ μέγας, μετάστησον τὸ ὄρος· μὴ ταραχθῇς, μηδὲ θορυβηθῇς· ἀλλὰ μετὰ ἐπιεικείας ἀπόκριναι, καὶ εἰπὲ ὅπερ τοῦ Δεσπότου σου ἤκουσας λέγοντος· «Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου». Κἂν ἐκεῖνος δόξαν καὶ δυναστείαν προβαλλόμενος, καὶ χρημάτων πλῆθος ἄπειρον, κελεύῃ προσκυνεῖν, στῆθι πάλιν γενναίως. Οὐδὲ γὰρ ἐπὶ τοῦ κοινοῦ Δεσπότου πάντων ἡμῶν τοῦτο πεποίηκεν ὁ διάβολος μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν ἐφ' ἑκάστου τῶν ἐκείνου δούλων ταύτας προσάγει τὰς μηχανάς· οὐκ ἐν ὄρεσι μόνον καὶ ἐν ἐρημίαις, οὐδὲ δι' ἑαυτοῦ, ἀλλὰ καὶ ἐν πόλεσι καὶ ἐν ἀγοραῖς καὶ ἐν δικαστηρίοις καὶ διὰ τῶν συγγενῶν ἡμῖν ἀνθρώπων. Τί οὖν δεῖ ποιεῖν; Ἀπιστεῖν αὐτῷ καθόλου καὶ τὰς ἀκοὰς ἀποφράττειν καὶ κολακεύοντα μισεῖν, καὶ ὅταν μείζονα ἐπαγγέλληται, τότε μειζόνως ἀποστρέφεσθαι. Ἐπεὶ καὶ τὴν Εὔαν, ὅτε μάλιστα ἐπῆρε ταῖς ἐλπίσι, τότε κατέβαλε καὶ τὰ μέγιστα εἰργάσατο κακά. Καὶ γὰρ ἐχθρός ἐστιν ἄσπονδος καὶ πόλεμον ἀκήρυκτον ἀνεδέξατο πρὸς ἡμᾶς. Καὶ οὐχ οὕτως ἡμεῖς σπουδάζομεν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ὡς ἐκεῖνος ὑπὲρ τῆς ἀπωλείας τῆς ἡμετέρας.

Ἀποστραφῶμεν τοίνυν αὐτόν, μὴ ῥήμασι μόνον, ἀλλὰ καὶ ἔργοις· μὴ διανοίᾳ, ἀλλὰ καὶ πράξεσι· καὶ μηδὲν ποιῶμεν τῶν ἐκείνῳ δοκούντων· οὕτω γὰρ πάντα ποιήσομεν τὰ τῷ Θεῷ δοκοῦντα. Καὶ γὰρ καὶ ἐπαγγέλλεται πολλά, οὐχ ἵνα δῷ, ἀλλ' ἵνα λάβῃ. Ἐπαγγέλλεται ἐξ ἁρπαγῆς, ἵνα ἀφέληται βασιλείαν καὶ δικαιοσύνην· καὶ τίθησιν ὥσπερ τινὰς παγίδας καὶ θήρατρα θησαυροὺς ἐν τῇ γῇ, ἵνα καὶ τούτων καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀποστερήσῃ θησαυρῶν· καὶ βούλεται ἐνταῦθα πλουτεῖν, ἵνα μὴ πλουτήσωμεν ἐκεῖ. Κἂν μὴ δυνηθῇ διὰ πλούτου τῆς ἐκεῖ λήξεως ἡμᾶς ἐκβαλεῖν, ἑτέραν ἔρχεται τὴν διὰ τῆς πενίας ὁδόν· ὅπερ ἐπὶ τοῦ Ἰὼβ πεποίηκεν. Ἐπειδὴ γὰρ εἶδεν, ὅτι οὐδὲν

φρόνημά του, μὲ λόγους πειρακτικούς· "Ἂν εἶσαι ἀξιοθαύμαστος καὶ μέγας, μετακίνησε τὸ ὄρος", νὰ μὴ ταραχθῇς καὶ νὰ μὴ φοβηθῇς. Ἀποκρίσου μὲ πραότητα καὶ ἐπανάλαβε αὐτὸ ποὺ ἤκουσες ἀπὸ τὸν Κύριόν σου· «Δὲν θὰ ὑποβάλῃς εἰς δοκιμασίαν τὸν Κύριον τὸν Θεόν σου». Καὶ ἂν ἐκεῖνος σοῦ προτείνῃ ἐξουσίαν καὶ πλούτη ἄπειρα καὶ σὲ διατάξῃ νὰ τὸν προσκυνήσῃς, νὰ σταθῇς πάλιν μὲ γενναιότητα. Διότι δὲν τὸ ἔπραξε τοῦτο μόνον εἰς τὸν κοινὸν Κύριον ὅλων μας ἀλλὰ καὶ καθημερινῶς ἐφαρμόζει τὰ τεχνάσματα αὐτὰ εἰς κάθε ἕνα ἀπὸ τοὺς δούλους ἐκείνου, ὄχι μόνον εἰς τὰ ὄρη καὶ εἰς τὰς ἐρήμους οὔτε μόνον ὁ ἴδιος ἀπ' εὐθείας ἀλλὰ καὶ μέσα εἰς τὰς πόλεις καὶ εἰς τὰς ἀγορὰς καὶ εἰς τὰ δικαστήρια καὶ χρησιμοποιῶν τοὺς ὁμοίους μας ἀνθρώπους. Τί πρέπει λοιπὸν νὰ κάμνωμεν; Νὰ ἀπιστοῦμεν εἰς αὐτὸν καθ' ὁλοκληρίαν, νὰ φράζωμεν τὴν ἀκοήν μας, νὰ τὸν μισοῦμεν, ὅταν μᾶς κολακεύῃ, καὶ περισσότερον νὰ τὸν ἀποστρεφώμεθα, ὅταν μᾶς ὑπόσχεται περισσότερα. Διότι καὶ τῆς Εὔας, ὅταν τὴν ἐξεσήκωσε μὲ τὰς ἐλπίδας, τότε ἔκαμψε τὴν ἀντίστασιν καὶ ἐπροξένησε τὰ μέγιστα δεινά. Εἶναι, ὅπως καὶ νὰ τὸ κάμωμεν, ἐχθρός μας ἀδιάλλακτος καὶ ἀνέλαβεν ἐναντίον μας πόλεμον ἀκήρυκτον. Καὶ ἡμεῖς δὲν ἐνδιαφερόμεθα διὰ τὴν σωτηρίαν μας, ὅσον ἐκεῖνος διὰ τὴν ἀπώλειάν μας.

Ἂς τὸν ἀποστραφοῦμεν λοιπόν, ὄχι μόνον μὲ λόγους ἀλλὰ καὶ μὲ τὰ ἔργα· ὄχι μὲ τὸν νοῦν μόνον ἀλλὰ καὶ μὲ τὰς πράξεις· καὶ τίποτε ἀπὸ ὅσα ἐπιθυμεῖ ἂς μὴ ἐκτελοῦμεν. Ἔτσι θὰ πράξωμεν ὅλα ὅσα θέλει ὁ Θεός. Ὁ διάβολος ὑπόσχεται πολλά, ὄχι διὰ νὰ δώσῃ ἀλλὰ διὰ νὰ λάβῃ. Ὑπόσχεται ἀπὸ ἁρπαγήν, διὰ νὰ μᾶς ἀφαιρέσῃ τὴν βασιλείαν καὶ τὴν δικαίαν ἱκανοποίησιν· καὶ χρησιμοποιεῖ σὰν παγίδας καὶ δολώματα τοὺς θησαυροὺς τῆς γῆς, διὰ νὰ μᾶς ἀποστερήσῃ τελικῶς καὶ ἀπὸ αὐτοὺς ἀλλὰ καὶ ἀπὸ τοὺς οὐρανίους θησαυρούς. Θέλει ἀκόμη νὰ πλουτοῦμεν ἐδῶ, διὰ νὰ μὴ εἴμεθα πλούσιοι ἐκεῖ. Καὶ ἂν δὲν ἠμπορέσῃ νὰ μᾶς ἐξώσῃ μὲ τὸν πλοῦτον ἀπὸ τὴν οὐρανίαν κληρονομίαν μας, βαδίζει τὸν δρόμον τῆς πτωχείας, πρᾶγμα ποὺ ἔκαμε καὶ εἰς τὸν Ἰώβ. Ἐπειδὴ εἶδεν ὅτι καμμίαν

αὐτὸν ὁ πλοῦτος ἠδίκησε, διὰ τῆς πενίας πλέκει τὰ δίκτυα, ἐκεῖθεν αὐτοῦ περιέσεσθαι προσδοκῶν· οὗ τί γένοιτ' ἂν ἀνοητότερον; Ὁ γὰρ πλοῦτον δυνηθεὶς ἐνεγκεῖν σωφρόνως, πολλῷ μᾶλλον πενίαν οἴσει γενναίως· καὶ ὁ παρόντων οὐκ ἐπιθυμῶν χρημάτων, οὐδὲ ἀπόντα ζητήσει· ὥσπερ οὖν οὐδὲ ὁ μακάριος τότε ἐκεῖνος, ἀλλ' ἀπὸ τῆς πενίας λαμπρότερος ἐγίνετο πάλιν. Τὰ μὲν γὰρ χρήματα ἴσχυσεν ἀφελέσθαι ὁ πονηρὸς δαίμων ἐκεῖνος· τὴν δὲ ἀγάπην τὴν πρὸς τὸν Θεὸν οὐ μόνον ἀφελεῖν οὐκ ἠδυνήθη, ἀλλὰ καὶ δυνατωτέραν ἐποίησε, καὶ πάντων αὐτὸν γυμνώσας, πλείοσιν ἐποίησε κομᾶν ἀγαθοῖς· διὸ καὶ ἐν ἀμηχανίᾳ ἦν. Ὅσῳ γὰρ πλείους ἐπήγαγε πληγάς, τοσούτῳ τότε δυνατώτερον ἑώρα γινόμενον. Διὸ δὴ πάντα ἐπελθὼν καὶ διακωδωνίσας, ἐπειδὴ πλέον οὐδὲν ἤνυσεν, ἐπὶ τὸ παλαιὸν ὅπλον ἔδραμε, τὴν γυναῖκα, καὶ προσωπεῖον ὑποδύεται κηδεμονίας καὶ τὰς συμφορὰς ἐκτραγωδεῖ τὰς ἐκείνου σφόδρα ἐλεεινῶς καὶ προσποιεῖται ὑπὲρ ἀπαλλαγῆς τῶν ἐκείνου κακῶν τὴν ὀλεθρίαν ἐκείνην εἰσάγειν συμβουλήν.

Ἀλλ' οὐδὲ οὕτως ἐκράτησε· καὶ γὰρ συνεῖδεν αὐτοῦ τὸ δέλεαρ ὁ θαυμαστὸς ἐκεῖνος ἀνήρ, καὶ μετὰ πολλῆς τῆς συνέσεως τὴν ἐξ ἐκείνου φθεγγομένην γυναῖκα ἐπεστόμισεν.

5. Ὃ δὴ καὶ ἡμᾶς χρὴ ποιεῖν· κἂν ἀδελφὸν κἂν φίλον γνήσιον κἂν γυναῖκα κἂν ὁντιναοῦν τῶν ἀναγκαιοτάτων ἡμῖν ὑποδύς, φθέγγηταί τι τῶν οὐ προσηκόντων, μὴ ἀπὸ τοῦ προσώπου τοῦ ταῦτα λέγοντος δέχεσθαι τὴν συμβουλήν, ἀλλ' ἀπὸ τῆς συμβουλῆς τῆς ὀλεθρίας τὸν ταῦτα λέγοντα ἀποστρέφεσθαι. Καὶ γὰρ καὶ νῦν πολλὰ τοιαῦτα ποιεῖ, καὶ συμπαθείας προβάλλεται προσωπεῖον· καὶ δοκεῖ μὲν εἶναι εὔνους, τὰ δὲ ὀλέθρια καὶ δηλητηρίων χαλεπώτερα ἐνίησι ῥήματα. Τὸ μὲν γὰρ ἐπὶ

---

1. Ἡ ὀλεθρία συμβουλὴ τῆς συζύγου πρὸς τὸν Ἰώβ: «Μέχρι τίνος καρτερήσεις λέγων· Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;... Ἀλλὰ εἰπών τι ῥῆμα εἰς Κύριον καὶ τελεύτα». Καὶ ὁ Ἰώβ· «Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας;» (Ἰώβ, 2, 9.10).

ἐπίδρασιν δὲν εἶχεν ἐπάνω του ὁ πλοῦτος, πλέκει μὲ τὸ νῆμα τῆς πενίας τὸ δίχτυ του, ἀναμένων τὴν νίκην ἀπὸ ἐκεῖ. Ὑπάρχει ἀνοητοτέρα προσδοκία ἀπὸ αὐτήν; Διότι ὅποιος ἐχειρίσθη τὸν πλοῦτον μὲ σωφροσύνην πολὺ περισσότερον θὰ βαστάση μὲ γενναιότητα τὴν πενίαν. Καὶ αὐτὸς ποὺ δὲν ἐπιθυμεῖ πράγματα ποὺ τὰ ἔχει πλησίον του, οὔτε ὅταν τοῦ λείπουν δὲν θὰ τὰ ἀναζητήση. Ἔτσι ἀκριβῶς ἔκαμε καὶ ὁ μακάριος ἐκεῖνος καὶ ἐβγῆκεν ἀπὸ τὴν πενίαν λαμπρότερος. Ὁ πονηρὸς ἐκεῖνος δαίμων εὑρῆκε τὴν δύναμιν νὰ τοῦ ἀφαιρέση τὴν περιουσίαν· τὴν ἀγάπην ὅμως πρὸς τὸν Θεὸν ὄχι μόνον δὲν ἠμπόρεσε νὰ τοῦ ξερριζώση ἀλλὰ τὴν ἔκαμεν ἰσχυροτέραν, καὶ μολονότι τὸν ἐγύμνωσεν ἀπὸ ὅλα, τὸν ἔκαμε νὰ περικυκλωθῇ ἀπὸ περισσότερα ἀγαθά. Διὰ τοῦτο καὶ εὑρέθη εἰς ἀμηχανίαν. Ὅσον περισσότερα κτυπήματα τοῦ κατέφερε, τόσον τὸν ἔβλεπε νὰ γίνεται δυνατώτερος. Διὰ τοῦτο τέλος, ἀφοῦ τὰ ἐδοκίμασεν ὅλα καὶ τὰ ἐκροτάλισεν ἐναντίον του, ἀφοῦ πλέον δὲν ἐπέτυχε τίποτε, κατέφυγεν εἰς τὸ παλαιὸν ὅπλον, τὴν γυναῖκα. Φορεῖ τὸ προσωπεῖον τοῦ προστάτου, διεκτραγωδεῖ τὰ δεινοπαθήματα ἐκείνου μὲ τρόπον ὑπερβολικὰ συγκινητικὸν καὶ προσποιεῖται ὅτι χάριν τῆς ἀπαλλαγῆς ἐκείνου ἀπὸ τὰ δεινὰ δίδει τὴν ὀλεθρίαν ἐκείνην συμβουλὴν [1].

Καὶ πάλιν δὲν ἐπέτυχε τὴν νίκην. Ἀντελήφθη τὸ δόλωμά του ὁ θαυμάσιος ἐκεῖνος ἄνθρωπος καὶ μὲ πολλὴν φρόνησιν ἔκλεισε τὸ στόμα τῆς γυναικὸς ποὺ ὡμιλοῦσεν ἐκ μέρους ἐκείνου.

5. Τοῦτο πρέπει νὰ κάμνωμεν καὶ ἡμεῖς. Καὶ ἂν πάρη τὸ πρόσωπον τοῦ ἀδελφοῦ μας, ἑνὸς φίλου γνησίου, τῆς συζύγου μας, ὁποιουδήποτε ἀπὸ τοὺς οἰκειοτάτους μας καὶ μᾶς ὁμιλῇ διὰ κάτι ἀπὸ τὰ ἀνάρμοστα, νὰ μὴ δεχώμεθα τὴν συμβουλὴν ἐξ αἰτίας τοῦ προσώπου τοῦ συμβουλεύοντος, ἀλλὰ νὰ ἀποκρούωμεν τὸν συμβουλεύοντα ἐξ αἰτίας τῆς ὀλεθρίας συμβουλῆς. Διότι καὶ τώρα ἀκόμη δημιουργεῖ πολλὰ παρόμοια καὶ φορεῖ τὸ προσωπεῖον τῆς συμπαθείας. Καὶ παρουσιάζεται ὡς φίλος, ἐκχύνει ὅμως τὰ καταστρεπτικὰ καὶ χειρότερα ἀπὸ

βλάβῃ κολακεύειν, ἐκείνου· τὸ δὲ ἐπὶ τῷ συμφέροντι παιδεύειν, Θεοῦ.

Μὴ δὴ παραλογιζώμεθα, μηδὲ ἐκ παντὸς τρόπου τὸν ἄνετον ἐπιζητῶμεν βίον,«Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει», φησίν. Ὥστε ὅταν εὐημερίας ἀπολαύωμεν ἐν πονηρίᾳ ζῶντες, τότε μάλιστα ἀλγῶμεν. Ἀεὶ μὲν γὰρ ἁμαρτάνοντας δεδοικέναι χρή· μάλιστα δέ, ὅταν μηδὲν πάσχωμεν δεινόν. Ὅταν μὲν γὰρ κατὰ μέρος ἀπαιτῇ τὰς τιμωρίας ὁ Θεός, κούφην ἡμῖν ποιεῖ τὴν ὑπὲρ τούτων ἔκτισιν· ὅταν δὲ ἀφ' ἑκάστου τῶν πλημμελουμένων μακροθυμῇ, εἰς μεγάλην ἡμᾶς τοῖς τοιούτοις ἐπιμένοντας ταμιεύεται δίκην. Εἰ γὰρ τοῖς κατορθοῦσιν ἀναγκαῖον ἡ θλῖψις, πολλῷ μᾶλλον τοῖς ἁμαρτάνουσιν. Ὅρα γοῦν πόσης μακροθυμίας ἀπολαύσας ὁ Φαραώ, ἐσχάτην ὑπὲρ πάντων ὕστερον ἔδωκε δίκην· πόσα ὁ Ναβουχοδονόσορ πλημμελήσας, πρὸς τῷ τέλει τὸ πᾶν ἐξέτισε· καὶ ὁ πλούσιος, ἐπεὶ μηδὲν ἔπαθεν ἐνταῦθα δεινόν, δι' αὐτὸ τοῦτο μάλιστα γέγονεν ἄθλιος, ὅτι τρυφήσας ἐν τῷ παρόντι βίῳ, ἀπῆλθεν ἐκεῖ πάντων τούτων δώσων δίκην, ἔνθα οὐδὲ παραμυθίαν ἦν εὑρεῖν τοῦ κακοῦ.

Ἀλλ' ὅμως εἰσί τινες οὕτω ψυχροὶ καὶ ἀνόητοι, ὡς τὰ ἐνταῦθα ἐπιζητεῖν ἀεὶ μόνον καὶ τὰ καταγέλαστα ἐκεῖνα λέγειν ῥήματα· Ἀπολαύσω τῶν παρόντων τέως πάντων καὶ τότε σκέψομαι περὶ τῶν ἀδήλων· χαρίσομαι τῇ γαστρί, δουλεύσω ταῖς ἡδοναῖς, παραχρήσομαι τῷ παρόντι βίῳ· δίδου μοι τὴν σήμερον, καὶ λάμβανε τὴν αὔριον. Ὢ ὑπερβολὴ ἀνοίας! Καὶ τί τράγων καὶ χοίρων οἱ ταῦτα λέγοντες διαφέρουσιν; Εἰ γὰρ τοὺς ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον χρεμετίζοντας οὐκ ἀφίησιν ὁ προφήτης ἀνθρώπους νομίζεσθαι, τίς ἡμῖν ἐγκαλέσει τούτους τράγους καὶ χοίρους καὶ ὄνων ἀνοητοτέρους εἶναι νομίζουσιν, οἳ τὰ τῶν ὁρω-

1. Παρ. 3, 12.

2. Προφανῶς ἔχομεν ἀναφορὰν εἰς τοὺς ἐπικουρείους, οἱ ὁποῖοι περιώριζαν τὴν ζωὴν τοῦ ἀνθρώπου εἰς τὸν κόσμον αὐτὸν καὶ ἐπομένως ἐπεδίωκον τὴν ἀπόλαυσιν ἀδιακρίτως. Εἰς αὐτοὺς πάντως ἀποδίδεται τὸ «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν».

3. Ἱερ. 5,8.

δηλητήριον λόγια. Εἶναι ἰδική του, ἡ βλαβερὰ κολακεία· εἰς τὸν Θεὸν ἀνήκει νὰ μᾶς παιδεύει πρὸς τὸ συμφέρον μας.

Ἂς μὴ παραλογιζώμεθα λοιπὸν καὶ ἂς μὴν ἐπιζητοῦμεν ὁπωσδήποτε τὴν εὔκολον ζωήν. Διότι μᾶς λέγει· «Ὃν ἀγαπᾷ Κύριος παιδεύει» [1]. Ὥστε ὅταν εὐτυχοῦμεν, μολονότι ζῶμεν μέσα εἰς τὴν κακίαν, τότε πρέπει κυρίως νὰ δοκιμάζωμεν πόνον. Πάντοτε πρέπει νὰ φοβούμεθα, ὅταν διαπράττωμεν ἁμαρτίας, περισσότερον ὅμως, ὅταν δὲν ὑποφέρωμεν κανένα δεινόν. Ὅταν ὁ Θεὸς ζητῇ νὰ μᾶς τιμωρῇ χωριστὰ διὰ κάθε παράπτωμα, κάμνει ἐλαφρὰν τὴν ἐξόφλησίν των· ὅταν ὅμως μακροθυμῇ διὰ καθένα ἀπὸ αὐτά, σωρεύει δι' ἡμᾶς μεγάλην τιμωρίαν, ἂν ἐπιμείνωμεν εἰς αὐτά. Διότι ἐὰν εἶναι ἀπαραίτητος ὁ πόνος δι' ὅσους ἐπιτυγχάνουν, εἶναι πολὺ περισσότερον δι' ὅσους ἁμαρτάνουν. Πρόσεξε πόσην μακροθυμίαν ἀπήλαυσεν ὁ Φαραὼ καὶ ποίαν τιμωρίαν ὑπέστη εἰς τὸ τέλος δι' ὅλα. Πόσαι ἦσαν αἱ ἁμαρτίαι τοῦ Ναβουχοδονόσορος ἀλλὰ καὶ πῶς εἰς τὸ τέλος ἐπλήρωσε δι' ὅλας. Ἐπίσης ὁ πλούσιος· ἐπειδὴ δὲν ἔπαθεν εἰς τὴν ζωὴν αὐτὴν κανένα δεινόν, ἀκριβῶς δι' αὐτὸ γίνεται ἀξιολύπητος· ὅτι ἐδοκίμασεν εἰς τὴν παροῦσαν ζωὴν τὴν ἀπόλαυσιν καὶ ἔφυγε διὰ νὰ τιμωρηθῇ δι' ὅλα αὐτὰ ἐκεῖ ὅπου μήτε ἁπλῆν παρηγορίαν διὰ τὸ πάθημα δὲν ἠμπορεῖς νὰ εὕρῃς.

Ἐν τούτοις ὑπάρχουν μερικοὶ [2] τόσον ἀναίσθητοι καὶ ἀνόητοι, ὥστε ἐπιδιώκουν πάντοτε τὰ ἐδῶ μόνον καὶ λέγουν τοὺς γελοίους ἐκείνους λόγους· Θὰ ἀπολαύσω τώρα ὅλα τὰ παρόντα καὶ τότε θὰ σκεφθῶ διὰ τὰ ἄγνωστα. Ἂς κάμω χάριν εἰς τὴν κοιλίαν, ἂς γίνω δοῦλος τῶν ἡδονῶν, ἂς ζήσω χορταστικὰ τὴν ζωὴν αὐτήν. Δῶσε μου τὸ σήμερα, κράτησε τὸ αὔριον. Τί ἀνοησία τεραστία! Αὐτοὶ ποὺ λέγουν τοὺς λόγους αὐτοὺς εἰς τί διαφέρουν ἀπὸ τράγους καὶ χοίρους; Διότι, ἂν ὅσους χρεμετίζουν, ὅταν ἰδοῦν τὴν γυναῖκα τοῦ ἄλλου, δὲν ἐπιτρέπῃ ὁ προφήτης νὰ τοὺς θεωροῦμεν ἀνθρώπους, ποῖος θὰ καταγορήσῃ ἡμᾶς, ἐπειδὴ τοὺς θεωροῦμεν τράγους καὶ χοίρους καὶ πιὸ ἀνοήτους ἀπὸ ὄνους [3], ἀφοῦ νομίζουν ὅτι εἶναι κρυφὰ ὅσα εἶναι

μένων φανερώτερα ταῦτα ἄδηλα εἶναι νομίζουσιν; Εἰ γὰρ μηδενὶ τῶν ἄλλων πιστεύεις, παράστηθι δαίμοσι μαστιζομένοις, τοῖς ἐπὶ τῇ βλάβῃ τῇ ἡμετέρᾳ ἅπαντα καὶ λέγειν καὶ πράττειν μεμελετηκόσιν. Οὐ γὰρ δὴ πρὸς τοῦτο ἀντερεῖς, ὅτι οὐ πάντα ὥστε αὐξῆσαι τὴν ῥᾳθυμίαν ἡμῶν πράττουσι, καὶ τὸν τῆς γεέννης ἐκλῦσαι φόβον, καὶ ἀπιστηθῆναι τὰ ἐκεῖ δικαστήρια. Ἀλλ' ὅμως οἱ ταῦτα βουλόμενοι, βοῶντες καὶ ὀλολύζοντες πολλάκις τὰς ἐκεῖ βασάνους ἀνακηρύττουσι. Πόθεν οὖν ταῦτα λέγουσι καὶ ἐναντία ὧν βούλονται φθέγγονται; Οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἐκ τοῦ πλείονα ὑπομένειν ἀνάγκην. Οὐ γὰρ ἂν ἠβουλήθησαν ἑκόντες ὁμολογεῖν, οὐδ' ὅτι ὑπὸ νεκρῶν ἀνθρώπων βασανίζονται, οὐδ' ὅτι ὅλως πάσχουσί τι δεινόν.

Πρὸς τί οὖν μοι ταῦτα εἴρηται; Ὅτι δαίμονες ὁμολογοῦσι γέενναν, οἱ βουλόμενοι ἀπιστεῖσθαι γέενναν· σὺ δέ, ὁ τοσαύτης ἀπολαύων τιμῆς, καὶ ἀποῤῥήτων κοινωνήσας μυστηρίων, οὐδὲ ἐκείνους μιμῇ, ἀλλὰ καὶ τούτων ἀγνωμονέστερος γέγονας.

Καὶ τίς ἦλθεν ἐκ τῶν ἐν ᾅδου, φησί, καὶ ταῦτα ἀπήγγειλεν;

Ἀπὸ γὰρ τῶν οὐρανῶν τίς παρεγένετο, καὶ εἶπεν ὅτι Θεός ἐστιν ὁ τὰ πάντα δημιουργήσας; Ὅτι δὲ ψυχὴν ἔχομεν, πόθεν δῆλον; Εἰ γὰρ δὴ τοῖς ὁρωμένοις μέλλεις πιστεύειν, καὶ περὶ Θεοῦ καὶ περὶ ἀγγέλων καὶ περὶ νοῦ καὶ περὶ ψυχῆς ἀμφιβαλεῖς, καὶ οὕτω σοι πάντα οἰχήσεται τὰ τῆς ἀληθείας δόγματα. Καίτοιγε εἰ τοῖς φανεροῖς πιστεύειν βούλει, τοῖς ἀοράτοις μᾶλλον ἢ τοῖς ὁρωμένοις πιστεύειν δεῖ. Εἰ καὶ παράδοξον τὸ εἰρημένον, ἀλλ' ὅμως ἀληθές, καὶ παρὰ τοῖς νοῦν ἔχουσι σφόδρα ὡμολογημένον. Οἱ μὲν γὰρ ὀφθαλμοὶ πολλὰ σφάλλονται, οὐκ ἐν τοῖς ἀοράτοις μόνον (ἐκεῖνα γὰρ οὐδὲν ἴσασιν), ἀλλὰ καὶ ἐν αὐτοῖς οἷς δοκοῦσιν ὁρᾶν καὶ διαστήματος καὶ ἀέρος καὶ διανοίας

---

1. Εἶναι καὶ διὰ μίαν ἐκλαϊκευμένην κριτικὴν τῆς φιλοσοφικῆς θεωρίας τῆς αἰσθησιαρχίας ἕτοιμος ὁ μέγας στοχαστὴς τοῦ Χριστιανισμοῦ. Καὶ θὰ ἦτο ἕτοιμος ἀσφαλῶς καὶ διὰ μίαν ἐμπεριστατωμένην ἀνασκευὴν ὑψηλοῦ ἐπιπέδου.

πιὸ φανερὰ ἀπὸ ὅσα βλέπομεν; Ἂν δὲν πιστεύῃς κανένα ἄλλον, στάσου πλησίον ἐκείνων ποὺ τοὺς ἐξουσιάζουν δαίμονες, ποὺ τὰ πάντα ἔχουν μελετήσει πρὸς ζημίαν μας καὶ μὲ τὸν λόγον καὶ μὲ τὰ ἔργα. Δὲν θὰ ἔχῃς ἀντίρρησιν εἰς τοῦτο· ὅτι πράττουν τὰ πάντα, ὥστε νὰ αὐξήσουν τὴν χαύνωσίν μας, νὰ διαλύσουν τὸν φόβον τῆς γεέννης καὶ νὰ μᾶς κάμουν νὰ ἀπιστήσωμεν εἰς τὰ ἐκεῖ δικαστήρια; Ἐν τούτοις ἐκεῖνοι ποὺ αὐτὰ ἀκριβῶς ἐπιθυμοῦν, συχνὰ μὲ κραυγὰς καὶ θρήνους διαλαλοῦν τὰ ἐκεῖ βασανιστήρια. Ἀπὸ ποῦ λοιπὸν ὁρμῶνται, διὰ νὰ ὁμιλοῦν ἔτσι καὶ διακηρύττουν ἀντίθετα πρὸς ὅ,τι θέλουν; Διὰ κανένα ἄλλον λόγον ἀλλὰ μόνον διότι ὑφίστανται μεγαλυτέραν ἀνάγκην. Ἄλλως δὲν θὰ ἔφθαναν νὰ ὁμολογοῦν θεληματικῶς οὔτε ὅτι βασανίζονται ἀπὸ νεκροὺς ἀνθρώπους οὔτε γενικῶς ὅτι πάσχουν κάτι φοβερόν.

Διατί λοιπὸν τὰ λέγω αὐτά; Διότι οἱ δαίμονες παραδέχονται τὴν γέενναν, ποὺ θέλουν νὰ μὴ πιστεύωμεν εἰς αὐτήν, ἐνῷ σὺ ποὺ ἀπολαμβάνεις τόσην τιμὴν καὶ ἔγινες μέτοχος εἰς μυστήρια ἀπόρρητα, δὲν μιμεῖσαι τοὐλάχιστον ἐκείνους ἀλλὰ ἔγινες καὶ ἀπὸ αὐτοὺς περισσότερον ἀγνώμων.

Ἀλλὰ ποῖος ἦλθεν ἀπὸ τὸν Ἅδη, λέγει, καὶ μᾶς ὡμίλησε δι' αὐτά;

Τότε ποῖος ἦλθεν ἀπὸ τοὺς οὐρανοὺς καὶ μᾶς εἶπεν ὅτι ἐκεῖνος ποὺ ἐδημιούργησε τὰ πάντα εἶναι ὁ Θεός; Καὶ ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι ἔχομεν ψυχήν; Ἂν πρόκειται νὰ πιστεύῃς μόνον εἰς ὅσα βλέπεις, θὰ σοῦ γεννηθοῦν ἀμφιβολίαι καὶ σχετικῶς πρὸς τοὺς ἀγγέλους καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν καὶ ἔτσι θὰ χάσῃς ὅλην τὴν διδασκαλίαν περὶ τῆς ἀληθείας. Καὶ ὅμως· ἂν θέλῃς νὰ πιστεύῃς εἰς τὰ φανερά, πρέπει εἰς ὅσα δὲν βλέπεις νὰ πιστεύῃς μᾶλλον παρὰ εἰς ὅσα βλέπεις. Μολονότι δὲ παράδοξον τὸ λεχθέν, εἶναι ὅμως ἀληθὲς καὶ ἀναντιρρήτως παραδεκτὸν ἀπὸ ὅσους ἔχουν νοῦν. Διότι οἱ ὀφθαλμοὶ κάμνουν πολλὰ σφάλματα [1], ὄχι μόνον εἰς τὰ ἀόρατα (αὐτὰ μήτε τὰ ἀντιλαμβάνονται κἂν) ἀλλὰ καὶ εἰς αὐτὰ ποὺ νομίζουν ὅτι βλέπουν λόγῳ ἀποστάσεως καὶ μεσολαβήσεως τῆς ἀτμοσφαίρας, λόγῳ

ἀλλαχοῦ τετραμμένης καὶ θυμοῦ καὶ φροντίδος καὶ μυρίων ἑτέρων ἐμποδιζόντων αὐτῶν τὴν ἀκρίβειαν· ὁ δὲ τῆς ψυχῆς λογισμός, ἂν τὸ φῶς δέξηται τῶν θείων Γραφῶν, ἀκριβέστερον καὶ ἀνεξαπάτητον τῶν ὄντων ἔσται κριτήριον.

Μὴ δὴ μάτην ἑαυτοὺς ἀπατῶμεν, μηδὲ πρὸς τῇ ῥαθυμίᾳ τοῦ βίου, τῇ διὰ τῶν τοιούτων τικτομένῃ δογμάτων, καὶ ὑπὲρ αὐτῶν τῶν δογμάτων χαλεπώτερον ἑαυτοῖς ἐπισωρεύωμεν πῦρ. Εἰ γὰρ μὴ ἔστι κρίσις, μηδὲ εὐθύνας δώσομεν τῶν πεπραγμένων, οὐδὲ τιμὰς τῶν πεπονημένων ληψόμεθα. Ἐννόησον οἷ τείνει τὰ τῆς βλασφημίας ὑμῶν, ὅταν λέγητε τὸν δίκαιον Θεὸν καὶ φιλάνθρωπον καὶ ἥμερον τοσούτους πόνους καὶ ἱδρῶτας ὑπεροpᾶν. Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον;

6. Εἰ γὰρ μηδαμόθεν ἄλλοθεν, ἀπὸ γοῦν τῶν κατὰ τὴν οἰκίαν τὴν σὴν ταῦτα συλλογίζου, καὶ τότε ὄψει τὸ ἄτοπον. Κἂν γὰρ μυριάκις ᾖς αὐτὸς ὠμὸς καὶ ἀπάνθρωπος καὶ θηρίων αὐτῶν ἀγριώτερος, οὐκ ἂν ἕλοιο τὸν οἰκέτην τὸν εὔνουν γενόμενον τελευτῶν ἀφεῖναι ἄτιμον, ἀλλὰ καὶ ἐλευθερίᾳ ἀμείβῃ καὶ χρημάτων δωρεᾷ· καὶ ἐπειδὴ αὐτὸς λοιπὸν ἀπιὼν οὐδὲν δύνασαι εἰς αὐτὸν ἐργάσασθαι ἀγαθόν, τοῖς μέλλουσί σου κληρονομεῖν τῆς οὐσίας ἐπισκήπτεις ὑπὲρ αὐτοῦ δεόμενος, παρακαλῶν, πάντα ποιῶν, ὥστε μὴ μεῖναι αὐτὸν ἀγέραστον. Εἶτα σὺ μέν, ὁ πονηρός, οὕτω χρηστὸς καὶ φιλάνθρωπος γίνῃ πρὸς τὸν οἰκέτην· ἡ δὲ ἄπειρος ἀγαθότης, ὁ Θεός, ἡ ἄφατος φιλανθρωπία, ἡ τοσαύτη χρηστότης, τοὺς οἰκέτας τοὺς ἑαυτοῦ τοὺς περὶ Πέτρον καὶ Παῦλον καὶ Ἰάκωβον καὶ Ἰωάννην, τοὺς καθ' ἑκάστην ἡμέραν δι' αὐτὸν λιμώξαντας, δεσμευθέντας, μαστιχθέντας, καταποντισθέντας, θηρίοις παραδοθέντας, ἀποθνῄσκοντας, τοσαῦτα παθόντας, ἃ μηδὲ ἀριθμῆσαι ἔνι, ἀστεφανώτους περιόψεται; Καὶ ὁ μὲν ἀγωνοθέτης τὸν Ὀλυμπιονίκην ἀνακηρύττει καὶ

προσηλώσεως τῆς προσοχῆς εἰς ἄλλα, λόγῳ θυμοῦ καὶ φροντίδων καὶ ἀπείρων ἄλλων, τὰ ὁποῖα ἐπηρεάζουν τὴν ἀκρίβειάν των. Ἐνῷ ὁ λογισμός, ὅταν δεχθῇ τὸ φῶς τῶν θείων Γραφῶν, γίνεται κριτήριον τῶν ὄντων περισσότερον ἀκριβὲς καὶ ἀπαραπλάνητον.

Ἂς μὴ ἐξαπατῶμεν λοιπὸν ματαίως τοὺς ἑαυτούς μας καὶ ἂς μὴ παραδιδώμεθα εἰς τὴν ραθυμίαν, ποὺ προέρχεται ἀπὸ τὰς ἀντιλήψεις αὐτάς, καὶ ἂς μὴ ἀνάπτωμεν χάριν αὐτῶν τῶν ἀντιλήψεων σοβαρώτερον πῦρ διὰ τὸν ἑαυτόν μας. Ἂν δὲν ὑπάρχῃ κρίσις, οὔτε εὐθύνας θὰ δώσωμεν διὰ τὰς πράξεις μας οὔτε τιμὰς θὰ λάβωμεν διὰ τοὺς κόπους μας. Στοχάσου ποῦ ὁδηγεῖ ἡ βλασφημία σας, ὅταν ἀποφαίνεσθε ὅτι ὁ φιλάνθρωπος καὶ ἐπιεικὴς Θεὸς περιφρονεῖ τόσους κόπους καὶ ἱδρῶτας. Πῶς θὰ δικαιολογηθοῦν αὐτά;

6. Ἀπὸ τὰ γινόμενα εἰς τὸ σπίτι σου τοὐλάχιστον σκέψου τα, ἂν ὄχι ἀπὸ πουθενὰ ἀλλοῦ, καὶ θὰ διαπιστώσῃς τὸ ἀβάσιμόν των. Διότι καὶ ἂν ἀκόμη σὺ εἶσαι εἰς τὸ ἄπειρον ὠμὸς καὶ ἀπάνθρωπος, ἀγριώτερος καὶ ἀπὸ τὰ ἴδια τὰ θηρία, δὲν θὰ ἤθελες ἀποθνήσκων νὰ ἀφήσῃς εἰς τὴν ἀτιμίαν τὸν ὑπηρέτην ποὺ περιέβαλλες μὲ τὴν εὔνοιάν σου. Ἀλλὰ τὸν ἀνταμείβεις καὶ μὲ ἐλευθερίαν καὶ μὲ χρηματικὴν δωρεάν. Καὶ ὅταν σὺ ὁ ἴδιος ἀπέρχεσαι καὶ δὲν ἠμπορεῖς νὰ κάμῃς κανένα καλόν, ἀφήνεις παραγγελίας πρὸς χάριν του εἰς αὐτοὺς ποὺ θὰ κληρονομήσουν τὴν περιουσίαν σου μὲ παρακλήσεις καὶ προτροπὰς καὶ μὲ ὁ,τιδήποτε ἄλλο, ὥστε νὰ μὴ μείνῃ αὐτὸς χωρὶς ἀμοιβήν. Καὶ ἀφοῦ σὺ ὁ γεμᾶτος ἀπὸ κακίαν γίνεσαι τόσον καλὸς καὶ φιλάνθρωπος πρὸς τὸν ὑπηρέτην σου, ἡ ἄπειρος ἀγαθότης, ὁ Θεός, ἡ ἄφατος φιλανθρωπία, ἡ τόση καλωσύνη θὰ ἀφήσῃ τοὺς ὑπηρέτας του ποὺ περιστοιχίζουν τὸν Πέτρον, τὸν Παῦλον, τὸν Ἰάκωβον, τὸν Ἰωάννην, ποὺ πρὸς χάριν του καθημερινῶς ἐπείνασαν, ἐφυλακίσθησαν, ἐμαστιγώθησαν, ἐρρίφθησαν εἰς τὴν θάλασσαν, παρεδόθησαν εἰς τὰ θηρία, ἐφονεύθησαν, ποὺ ἔπαθαν τόσα ποὺ καὶ νὰ μετρηθοῦν δὲν εἶναι δυνατόν, θὰ τοὺς ἀφήσῃ ἀστεφανώτους; Καὶ ὁ μὲν ἀγωνοθέ-

στεφανοῖ, καὶ ὁ δεσπότης τὸν οἰκέτην καὶ ὁ βασιλεὺς τὸν στρατιώτην καὶ ἕκαστος ἁπλῶς τὸν θεραπεύσαντα αὐτὸν, οἷς δύναται ἀμείβεται καλοῖς· ὁ δὲ Θεὸς μόνος, μετὰ τοὺς τοσούτους ἱδρῶτας καὶ πόνους, οὐ μικρόν, οὐ μέγα αὐτοῖς ἀγαθὸν ἀποδίδωσιν, ἀλλ' οἱ δίκαιοι καὶ εὐσεβεῖς ἐκεῖνοι, καὶ πᾶσαν ἀρετὴν ἐπελθόντες, ἐν τοῖς αὐτοῖς κείσονται τοῖς μοιχοῖς, καὶ πατραλοίαις, καὶ ἀνδροφόνοις, καὶ τυμβωρύχοις; Καὶ ποῦ ταῦτα ἂν ἔχοι λόγον; Εἰ γὰρ μηδὲν μετὰ τὴν ἐντεῦθέν ἐστιν ἀποδημίαν, ἀλλὰ μέχρι τῶν παρόντων τὰ ἡμέτερα, ἐν τοῖς αὐτοῖς ἐκεῖνοι τούτοις· μᾶλλον δὲ οὐδὲ ἐν τοῖς αὐτοῖς. Εἰ γὰρ καὶ μετὰ ταῦτα ἐν τοῖς αὐτοῖς, κατὰ τὸν σὸν λόγον, ἀλλ' ἐνταῦθα ἐν ἀνέσει μὲν οὗτοι, ἐν κολάσει δὲ ἐκεῖνοι τὸν πάντα γεγόνασι χρόνον. Καὶ ποῖος τοῦτο τύραννος, τίς ὠμὸς ἄνθρωπος καὶ ἀπηνὴς οὕτω περὶ τῶν αὐτοῦ ποτε ἐβουλεύσατο θεραπόντων καὶ ὑπηκόων; Εἶδες τῆς ἀτοπίας τὴν ὑπερβολήν, καὶ ποῦ τελευτᾷ ὁ λόγος οὗτος; Οὐκοῦν εἰ καὶ μηδαμόθεν ἄλλοθεν βούλει, ἀπὸ τούτων τῶν λογισμῶν παιδευθείς, ἀπαλλάγηθι τῆς πονηρᾶς ταύτης ὑπονοίας, καὶ φεῦγε κακίαν, καὶ τῶν ὑπὲρ ἀρετῆς ἀντέχου πόνων· καὶ τότε εἴσῃ σαφῶς ὅτι οὐ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα ἕστηκε. Κἂν τις εἴρηταί σε, Τίς ἐλθὼν ἐκεῖθεν ἀπήγγειλε τὰ ἐκεῖ; εἰπὲ πρὸς αὐτόν· Ἀνθρώπων μὲν οὐδὲ εἷς· ἦ γὰρ ἂν καὶ ἠπιστήθη πολλάκις, ὅτε κομπάζων καὶ ἐπαίρων τὸ πρᾶγμα· ὁ δὲ τῶν ἀγγέλων Δεσπότης πάντα μετὰ ἀκριβείας ἐκεῖνα ἀπήγγειλε. Τί τοίνυν ἡμῖν δεῖ ἀνθρώπου, τοῦ μέλλοντος ἡμᾶς εὐθύνας ἀπαιτεῖν καθ' ἑκάστην ἡμέραν βοῶντος, ὅτι καὶ γέενναν ἡτοίμασε, καὶ βασιλείαν παρεσκεύασε, καὶ τούτων ἡμῖν ἀποδείξεις παρασχομένου σαφεῖς; Εἰ γὰρ μὴ ἔμελλε κρίνειν, οὐδ' ἂν ἐνταῦθα δίκην ἀπήτησε.

Καὶ γὰρ καὶ αὐτὸ τοῦτο πῶς ἂν ἔχοι λόγον, τὸ τῶν πονη-

της ἀνακηρύττει καὶ στεφανώνει τὸν ὀλυμπιονίκην, ὁ κύριος τὸν δοῦλον του, ὁ βασιλεὺς τὸν στρατιώτην καὶ γενικῶς κάθε ἕνας ἀμείβει μὲ ὅσον μεγαλυτέραν ἀμοιβὴν ἠμπορεῖ ἐκεῖνον ποὺ τὸν ὑπηρέτησε. Καὶ μόνον ὁ Θεός, ἔπειτα ἀπὸ τόσους ἀγῶνας καὶ ἱδρῶτας, δὲν ἀποδίδει εἰς αὐτοὺς οὔτε μικρὰν οὔτε μεγάλην ἀμοιβὴν ἀλλὰ αὐτοὶ οἱ δίκαιοι καὶ εὐσεβεῖς, ποὺ ἐπραγματοποίησαν κάθε ἀρετήν, θὰ κοίτωνται εἰς τὸν ἴδιον τόπον μὲ τοὺς μοιχούς, τοὺς πατροκτόνους, τοὺς δολοφόνους, τοὺς τυμβωρύχους; Ποίαν λογικὴν θὰ εἶχαν αὐτά; Ἂν δὲν ὑπάρχῃ τίποτε μετὰ τὴν ἀποδημίαν μας ἀπ' ἐδῶ ἀλλὰ ὡς ἐδῶ τελειώνουν τὰ ἰδικά μας, εὑρίσκονται εἰς αὐτὰ τὰ ἴδια καὶ ἐκεῖνοι. Ἢ μᾶλλον οὔτε μόνον εἰς τὰ ἴδια. Ἀκόμη καὶ ἂν ἔπειτα ἀπὸ τὴν ἐδῶ ζωὴν εὑρεθοῦν εἰς τὰ ἴδια, κατὰ τὸν λόγον σου, ἐδῶ ὅμως —ἀλλοίμονον—ἐν ἀνέσει μὲν περνοῦν αὐτοὶ ὅλον τὸν χρόνον ἐνῷ ἐκεῖνοι εἰς κόλασιν. Καὶ ποῖος τύραννος ποτέ, ποῖος ὠμὸς καὶ σκληρὸς ἄνθρωπος θὰ ἀπεφάσιζεν ἔτσι διὰ τοὺς ὑπηρέτας καὶ τοὺς ὑπηκόους του; Εἶδες πόσον ὑπερβολικὰ ἄτοπος εἶναι ὁ λόγος αὐτὸς καὶ ποῦ καταλήγει; Ἂν δὲν θέλῃς λοιπὸν ἀπὸ πουθενὰ ἀλλοῦ, συνετίσου τοὐλάχιστιν ἀπὸ τὰς ἀνωτέρω σκέψεις, ἀπαλλάξου ἀπὸ τὴν κακὴν αὐτὴν ἀντίληψιν καὶ ἀπομακρυνόμενος ἀπὸ τὴν κακίαν νὰ ἐπιδοθῇς εἰς τοὺς κόπους τῆς ἀρετῆς. Τότε θὰ ἐννοήσῃς σαφῶς ὅτι δὲν σταματᾷ ἡ ζωή μας ὡς ἐδῶ. Καὶ ἂν σὲ ἐρωτήσῃ κάποιος· Ποῖος ἦλθε καὶ μᾶς ἔφερεν εἴδησιν διὰ τὰ ἐκεῖ; εἰπέ του· Κανεὶς βεβαίως ἀπὸ τοὺς ἀνθρώπους· διότι αὐτὸς πολλάκις δὲν θὰ ἐγίνετο πιστευτός, ἀπὸ τὸν κομπασμὸν καὶ τὴν ἔπαρσιν ποὺ θὰ ἔδειχνε διὰ τὸ γεγονός. Δι' ὅλα ἐκεῖνα μᾶς ἐπληροφόρησε μὲ ἀκρίβειαν ὁ Κύριος τῶν ἀγγέλων. Τί ἀνάγκην λοιπὸν ἔχομεν ἀπὸ ἀνθρώπους, ὅταν καθημερινῶς φωνάζῃ ἐκεῖνος ποὺ πρόκειται νὰ μᾶς ζητήσῃ εὐθύνας ὅτι καὶ τὴν γέενναν ἡτοίμασε καὶ τὴν βασιλείαν μᾶς ἐπιφυλάσσει καὶ μάλιστα μᾶς ἔχει δώσει σαφεῖς ἀποδείξεις δι' αὐτά; Ἐὰν δὲν ἦτο νὰ μᾶς ὑποβάλῃ εἰς κρίσιν, δὲν θὰ ἀπαιτοῦσε τιμωρίαν οὔτε ἐδῶ.

Καὶ βεβαίως καὶ τοῦτο πῶς θὰ ἐδικαιολογεῖτο; νὰ τιμω-

ρῶν τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; Εἰ γὰρ μὴ προσωπολήπτης ἐστὶν ὁ Θεός, ὥσπερ οὖν οὐδέ ἐστι, τί δήποτε τὸν μέν ἀπήτησε δίκην, τὸν δὲ ἀφῆκεν ἀτιμώρητον ἀπελθεῖν; Τοῦτο γὰρ τοῦ προτέρου πάλιν ἐστὶν ἀπορώτερον. Ἀλλ' εἰ βούλεσθε μετ' εὐγνωμοσύνης ἀκούειν τῶν λεγομένων, καὶ ταύτην διαλύσομεν τὴν ἀπορίαν. Τίς οὖν ἐστιν ἡ λύσις; Οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν, καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα εἶναι τὰ πάντα νομίσῃς· ἀλλὰ καὶ κολάζει, καὶ οὐ κολάζει· δι' ὧν μὲν κολάζει, δεικνὺς ὅτι καὶ ἐκεῖ τοὺς οὐ κολασθέντας ἐνταῦθα ἀπαιτήσει λόγον· δι' ὧν δὲ οὐ κολάζει, παρασκευάζων σε πιστεύειν, ὅτι ἔστι τι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν κριτήριον φοβερόν. Εἰ δὲ καθόλου τῶν προτέρων ἠμέλει, οὐδ' ἂν ἐκόλασέ τινας ἐνταῦθα, οὐδ' ἂν εὐηργέτησε. Νῦν δὲ ὁρᾷς αὐτὸν διὰ σὲ καὶ οὐρανὸν τείνοντα καὶ ἥλιον ἀνάπτοντα καὶ γῆν θεμελιοῦντα καὶ θάλατταν χέοντα καὶ ἀέρα ἁπλοῦντα καὶ σελήνῃ τάττοντα δρόμους καὶ ταῖς ὥραις τοῦ ἔτους ἀκινήτους τιθέντα νόμους καὶ τὰ ἄλλα δὲ ἅπαντα τῷ νεύματι τῷ ἐκείνου τὸν ἑαυτῶν μετὰ ἀκριβείας ἀνύοντα δρόμον. Καὶ γὰρ ἡ φύσις ἡ ἡμετέρα καὶ ἡ τῶν ἀλόγων, τῶν ἑρπόντων, τῶν βαδιζόντων, τῶν πετομένων, τῶν νηχομένων, τῶν ἐν λίμναις, τῶν ἐν πηγαῖς, τῶν ἐν ποταμοῖς, τῶν ἐν ὄρεσι, τῶν ἐν νάπαις, τῶν ἐν οἰκίαις, τῶν ἐν ἀέρι, τῶν ἐν πεδίοις, καὶ φυτά, καὶ σπέρματα, καὶ δένδρα, τά τε ἄγρια, τά τε ἥμερα, τά τε ἔγκαρπα καὶ ἄκαρπα, καὶ πάντα ἁπλῶς ὑπὸ τῆς ἀκαμάτου κινούμενα χειρὸς ἐκείνης, τὴν ἡμετέραν οἰκονομεῖ ζωήν, οὐ πρὸς χρείαν μόνον, ἀλλὰ καὶ πρὸς φιλοτιμίαν τὴν διακονίαν ἡμῖν ἐξ αὐτῶν παρεχόμενα. Τοσαύτην τοίνυν ὁρῶν εὐταξίαν, καίτοιγε οὐδὲ τὸ πολλοστὸν εἴπομεν μέ-

ροῦνται δηλαδὴ μερικοὶ ἀπὸ τοὺς πονηρούς, καὶ οἱ ὑπόλοιποι νὰ μὴ τιμωροῦνται; Ἂν ὁ Θεὸς δὲν προσωποληπτῇ, καὶ οὔτε ἰδέα διὰ τὸ ἀντίθετον, διατί ἀπὸ τὸν ἕνα ἀπαιτεῖ τιμωρίαν, ἐνῷ ἀφήνει τὸν ἄλλον νὰ φύγῃ ἀτιμώρητος; Τοῦτο εἶναι περισσότερον ἀπὸ τὸ πρῶτον ἄξιον ἀπορίας. Ἂν ὅμως θέλετε μὲ καλὴν διάθεσιν νὰ ἀκούετε ὅ,τι σᾶς λέγω, θὰ λύσωμεν καὶ αὐτὴν τὴν ἀπορίαν. Ποία εἶναι ἡ λύσις; Οὔτε ἀπὸ ὅλους ζητεῖ ἐδῶ τιμωρίαν, διὰ νὰ μὴ ἀπιστήσῃς εἰς τὴν ἀνάστασιν καὶ ἀπελπισθῇς διὰ τὴν κρίσιν, ἀφοῦ ὅλοι δίδουν λόγον ἐδῶ. Οὔτε πάλιν τοὺς ἀφήνει ὅλους νὰ φύγουν ἀτιμώρητοι, διὰ νὰ μὴ νομίσῃς ὅτι ὅλα βαδίζουν χωρὶς καμμίαν πρόνοιαν. Ἀλλὰ τιμωρεῖ καὶ δὲν τιμωρεῖ μερικῶς. Μὲ ἐκείνους ποὺ τιμωρεῖ θέλει νὰ δείξῃ ὅτι ἀπὸ ἐκείνους ποὺ δὲν τιμωρεῖ ἐδῶ θὰ ζητήσῃ ἐκεῖ τὸν λόγον. Μὲ ἐκείνους πάλιν ποὺ δὲν τιμωρεῖ, σὲ προετοιμάζει νὰ πιστεύσῃς ὅτι μετὰ τὴν ἀποδημίαν σου ἀπ' ἐδῶ ὑπάρχει καὶ φοβερώτερον δικαστήριον. Ἐὰν ὅμως ἀδιαφοροῦσε δι' ὅλα τὰ προηγούμενα γενικῶς, οὔτε θὰ ἐτιμωροῦσεν ἐδῶ μερικοὺς οὔτε θὰ εὐεργετοῦσε. Τώρα ὅμως ποὺ βλέπεις πρὸς χάριν σου νὰ τεντώνῃ τὸν οὐρανόν, νὰ ἀνάπτῃ τὸν ἥλιον, νὰ θεμελιώνῃ τὴν γῆν, νὰ χύνῃ τὴν θάλασσαν, νὰ ἁπλώνῃ τὴν ἀτμόσφαιραν, νὰ ὁρίζῃ τὴν τροχιὰν τῆς σελήνης, νὰ θέτῃ σταθεροὺς νόμους διὰ τὰς ἐποχὰς τοῦ ἔτους καὶ ὅλα τὰ ἄλλα νὰ ἐκτελοῦν ἀκριβῶς τὸν δρόμον των μὲ μόνον τὸ νεῦμα ἐκείνου. Διότι καὶ ἡμεῖς οἱ ἄνθρωποι, ἀλλὰ καὶ τὰ ἄλογα ζῶα, ὅσα ἕρπουν, ὅσα βαδίζουν, ὅσα πετοῦν καὶ ὅσα κολυμβοῦν, ὅσα ζοῦν εἰς τὰς λίμνας, εἰς τὰς πηγάς, εἰς τοὺς ποταμούς, ἐπάνω εἰς τὰ ὄρη, κάτω εἰς τὰς κοιλάδας, εἰς τὰ σπίτια, εἰς τὸν ἀέρα, εἰς τὰς πεδιάδας, τὰ φυτά, τὰ σπέρματα, τὰ δένδρα εἴτε ἄγρια εἴτε ἥμερα, τὰ κάρπιμα καὶ τὰ ἄκαρπα, γενικῶς ὅλα, κινοῦνται ἀπὸ τὸ ἀκούραστον ἐκεῖνο χέρι καὶ ἐξυπηρετοῦν τὴν ζωήν μας ὄχι μόνον ὅσον ἀφορᾷ τὰ χρειώδη τῆς ζωῆς ἀλλὰ μᾶς διακονοῦν ἀπὸ τὸν ἑαυτόν των, διὰ νὰ μᾶς κάμουν τιμήν. Βλέπεις λοιπὸν τόσην τάξιν — μολονότι δὲν εἴπαμεν οὔτε τὸ πολλοστημόριόν της — καὶ τολμᾷς νὰ λέγῃς, ὅτι αὐτὸς ποὺ

ρος, τολμᾷς εἰπεῖν, ὅτι ὁ τοσαῦτα καὶ τηλικαῦτα ἐργασάμενος διὰ σέ, ἐν τοῖς καιρίοις σε παρόψεται, καὶ μετὰ τῶν ὄνων καὶ τῶν χοίρων ἀφήσει τελευτήσαντα κεῖσθαι, καὶ δώρῳ σε τιμήσας τοσούτῳ, τῷ τῆς εὐσεβείας, ᾧ καὶ τῶν ἀγγέλων ἐποίησεν ἴσον, περιόψεταί σε μετὰ τοὺς μυρίους πόνους καὶ ἱδρῶτας; Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; Ταῦτα γάρ, κἂν ἡμεῖς σιγήσωμεν, οἱ λίθοι κεκράξονται· οὕτω σαφῆ καὶ δῆλα, καὶ τῆς ἀκτῖνος αὐτῆς ἐστι φανότερα. Ταῦτ' οὖν ἅπαντα λογισάμενοι, καὶ πείσαντες τὴν ἑαυτῶν ψυχήν, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν καὶ βήματι παραστησόμεθα φοβερῷ καὶ λόγον δώσομεν τῶν πεπραγμένων ἁπάντων καὶ εὐθύνας ὑφέξομεν καὶ δίκην ὑποστησόμεθα, ἂν μένωμεν πλημμελοῦντες, καὶ στεφάνων ἀπολαυσόμεθα καὶ ἀγαθῶν ἀποῤῥήτων, ἂν μικρὸν ἑαυτοῖς προσέχειν βουληθῶμεν, τούς τε ἀντιλέγοντας ἐπὶ τούτοις ἐπιστομίζωμεν, καὶ αὐτοὶ τὴν τῆς ἀρετῆς ὁδὸν ἑλώμεθα, ἵνα μετὰ παῤῥησίας τῆς προσηκούσης εἰς ἐκεῖνο τὸ δικαστήριον ἀπελθόντες, ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τόσα πολλὰ καὶ μεγάλα ἔκαμε πρὸς χάριν σου, θὰ σὲ ἐγκαταλείψῃ εἰς τὰ βασικὰ καὶ ὅταν ἀποθάνῃς θὰ σὲ ἀφήσῃ νὰ κοίτεσαι μαζὶ μὲ τοὺς ὄνους καὶ τοὺς χοίρους; Καὶ μολονότι σὲ ἐτίμησε μὲ ἕνα τόσον μεγάλον δῶρον, τὴν εὐσέβειαν, μὲ τὴν ὁποίαν σὲ ἐξίσωσε πρὸς τοὺς ἀγγέλους, δὲν θὰ σὲ ὑπολογίσῃ ἔπειτα ἀπὸ ἀμετρήτους κόπους καὶ ἱδρῶτας; Ποία δικαιολογία ὑπάρχει δι' αὐτά; Αὐτά, καὶ ἂν ἡμεῖς τὰ ἀποσιωπήσωμεν, θὰ τὰ διαλαλήσουν οἱ λίθοι. Τόσον σαφῆ καὶ εὐκρινῆ καὶ φωτεινότερα ἀπὸ τὸν ἥλιον εἶναι. Ἂς τὰ ἀναλογισθοῦμεν ὅλα αὐτὰ καὶ ἂς πείσωμεν τὸν ἑαυτόν μας ὅτι ἔπειτα ἀπὸ τὴν ἀποδημίαν μας ἀπ' ἐδῶ καὶ εἰς φοβερὸν βῆμα θὰ ὁδηγηθοῦμεν καὶ λόγον θὰ δώσωμεν δι' ὅσα ἔχομεν πράξει· ὅτι θὰ σηκώσωμεν τὸ βάρος τῆς εὐθύνης μας καὶ θὰ ὑποστοῦμεν τὴν τιμωρίαν ἂν ἐπιμένωμεν ν' ἁμαρτάνωμεν, ἐνῷ θὰ ἀπολαύσωμεν τὸ στεφάνωμα καὶ τὴν δωρεὰν ἀρρήτων ἀγαθῶν, ἂν ὀλίγον μόνον θελήσωμεν νὰ προσέξωμεν τὸν ἑαυτόν μας, ἂν ἀποστομώνωμεν ὅσους ἔχουν ἀντιρρήσεις εἰς αὐτὰ καὶ ἐκλέξωμεν οἱ ἴδιοι τὴν ὁδὸν τῆς ἀρετῆς. Ἔτσι ἀφοῦ φύγωμεν μὲ τὴν ἁρμόζουσαν παρρησίαν πρὸς τὸ δικαστήριον ἐκεῖνο, νὰ ἐξασφαλίσωμεν τὰ ἀγαθά, διὰ τὰ ὁποῖα ἐλάβαμεν ὑπόσχεσιν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΔ'.

Ματθ. 4, 12-25

«Ἀκούσας δὲ ὁ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν».

1. Τίνος ἕνεκεν ἀναχωρεῖ; Πάλιν παιδεύων ἡμᾶς, μὴ ὁμόσε χωρεῖν τοῖς πειρασμοῖς, ἀλλ' εἴκειν καὶ παραχωρεῖν. Οὐ γὰρ ἔγκλημα τὸ μὴ ῥίπτειν ἑαυτὸν εἰς κίνδυνον, ἀλλὰ τὸ ἐμπεσόντα μὴ στῆναι γενναίως. Τοῦτο τοίνυν διδάσκων, καὶ τὸν φθόνον τὸν Ἰουδαϊκὸν παραμυθούμενος, ἀναχωρεῖ εἰς τὴν Καπερναούμ, ὁμοῦ μὲν πληρῶν τὴν προφητείαν, ὁμοῦ δὲ καὶ τοὺς διδασκάλους τῆς οἰκουμένης ἁλιεῦσαι σπεύδων, ἐπειδήπερ ἐκεῖ διέτριβον τῇ τέχνῃ χρώμενοι.

Σὺ δέ μοι σκόπει, πῶς πανταχοῦ μέλλων ἐπὶ τὰ ἔθνη ἀπιέναι, παρὰ Ἰουδαίων λαμβάνει τὰς αἰτίας. Καὶ γὰρ ἐνταῦθα ἐπιβουλεύσαντες τῷ Προδρόμῳ, καὶ εἰς δεσμωτήριον ἐμβαλόντες, ὠθοῦσιν αὐτὸν εἰς τὴν Γαλιλαίαν τῶν ἐθνῶν. Ὅτι γὰρ οὔτε ἀπὸ μέρους λέγει τὸ ἔθνος τὸ Ἰουδαϊκόν, οὔτε πάσας αἰνίττεται τὰς φυλάς, σκόπει πῶς διορίζει τὸ χωρίον ἐκεῖνο ὁ προφήτης, οὕτω λέγων· «Γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, φῶς εἶδε μέγα»· σκότος ἐνταῦθα οὐ τὸ αἰσθητὸν καλῶν, ἀλλὰ

---

1. Εἶναι καλύτερον οἱ πιστοὶ νὰ μὴν εἶναι προκλητικοί, ἀλλ' ἀπεναντίας νὰ παρακαλοῦν νὰ μὴν εὑρεθοῦν ἀντιμέτωποι μὲ τὸν πειρασμόν.

2. Μὲ τὸν λαμπρὸν αὐτὸν ἀφορισμὸν καθορίζεται ἡ ὀρθὴ στάσις τοῦ πιστοῦ ἔναντι τοῦ πειρασμοῦ. Ἀξίζει νὰ τὴν ἀπομνημονεύσωμεν· ἀνεφέρθη εἰς τὴν προηγουμένην ὁμιλίαν.

3. Ἡ Γαλιλαία εἶναι ἡ βορεία ἀπὸ τὰς τέσσαρας ἐπαρχίας τῆς Παλαιστίνης (Σαμάρεια, Ἰουδαία, Περαία, εἶναι αἱ ἄλλαι τρεῖς). Οἱ πρῶτοι κάτοι-

ΟΜΙΛΙΑ ΙΔ'.
Ματθ. 4, 12-25

«Ὅταν ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ὁ Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν».

1. Διὰ ποῖον λόγον ἀναχωρεῖ; Ἐπειδὴ θέλει νὰ μᾶς διδάξῃ πάλιν νὰ μὴν ἐπιτιθέμεθα[1] ἐναντίον τῶν πειρασμῶν ἀλλὰ νὰ ὑποχωροῦμεν καὶ νὰ παραμερίζωμεν εἰς αὐτούς. Δὲν εἶναι ἔγκλημα[2] νὰ μὴ ρίπτεσαι εἰς τὸν κίνδυνον ἀλλὰ νὰ μὴ ἀντισταθῇς μὲ γενναιότητα, ὅταν τὸν συναντήσῃς. Ἐπειδὴ λοιπὸν θέλει τοῦτο νὰ διδάξῃ καὶ νὰ διασκεδάσῃ τὸν φθόνον τῶν Ἰουδαίων, ἀναχωρεῖ εἰς τὴν Καπερναούμ. Καὶ τὴν προφητείαν ἐκπληρώνει καὶ συγχρόνως σπεύδει νὰ συλλάβῃ εἰς τὰ δίχτυά του τοὺς διδασκάλους τῆς οἰκουμένης, ἐπειδὴ εὑρίσκοντο ἐκεῖ ἀσκοῦντες τὴν τέχνην των.

Ἀλλὰ σὺ πρόσεξε πῶς εἰς ὅλας τὰς περιπτώσεις ποὺ μέλλει νὰ στραφῇ εἰς τὰ ἔθνη, λαμβάνει ἀφορμὰς ἀπὸ τοὺς Ἰουδαίους. Ἐδῶ μὲ τὸ νὰ ἔχουν ἐπιβουλευθῇ τὸν Πρόδρομον καὶ νὰ τὸν ἔχουν κλείσει εἰς τὸ δεσμωτήριον, ὠθοῦν τὸν ἴδιον εἰς τὴν εἰδωλολατρικὴν Γαλιλαίαν[3]. Ὅτι δὲν ἐννοεῖ ἀπὸ ἕνα μέρος του ὅλον τὸ Ἰουδαϊκὸν ἔθνος οὔτε ὅλας τὰς φυλάς, πρόσεξε πῶς ὁ προφήτης καθορίζει τὸ μέρος ἐκεῖνο μὲ τοὺς ἑξῆς λόγους· «Γῆ Νεφθαλεὶμ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα»[4]. Δὲν ἀναφέρεται

κοί της ἀπὸ τὰς φυλὰς Ἰσάχαρ, Ζαβουλών, Νεφθαλεὶμ καὶ Ἀσὴρ ἀνεμίχθησαν μὲ ἀλλοφύλους ἐξ οὗ καὶ τὸ περιφρονητικὸν ὄνομα 'Γαλιλαία τῶν ἐθνῶν'. Παρὰ ταῦτα οἱ Γαλιλαῖοι εἶχαν πνευματικωτέραν ἀντίληψιν περὶ Μεσσίου, διὰ τοῦτο καὶ ἐξέλεξεν ὁ Χριστὸς ἀπὸ ἐκεῖ τοὺς μαθητάς του.

4. Ἡσ. 9, 1-2.

τὴν πλάνην καὶ τὴν ἀσέβειαν. Διὸ καὶ ἐπήγαγε· «Τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς». Ἵνα γὰρ μάθῃς ὅτι οὔτε φῶς, οὔτε σκότος αἰσθητόν φησι, περὶ μὲν τοῦ φωτὸς διαλεγόμενος, οὐχ ἁπλῶς φῶς ἐκάλεσεν, ἀλλὰ φῶς μέγα, ὃ ἀλλαχοῦ ἀληθινόν φησιν· τὸ δὲ σκότος ἐξηγούμενος, σκιὰν θανάτου ὠνόμασεν.

Εἶτα δεικνὺς ὅτι οὐκ αὐτοὶ ζητήσαντες εὗρον, ἀλλ' ὁ Θεὸς αὐτοῖς ἄνωθεν ἐπεφάνη, φησί, «Φῶς ἀνέτειλεν αὐτοῖς», τουτέστιν, αὐτὸ τὸ φῶς ἀνέτειλε καὶ ἔλαμψεν· οὐκ αὐτοὶ πρότεροι τῷ φωτὶ προσέδραμον. Καὶ γὰρ ἐν ἐσχάτοις τὰ ἀνθρώπινα ἦν πρὸ τῆς Χριστοῦ παρουσίας. Οὐδὲ γὰρ ἐβάδιζον ἐν σκότει, ἀλλ' ἐκάθηντο ἐν σκότει· ὅπερ σημεῖον ἦν τοῦ μηδὲ ἐλπίζειν αὐτοὺς ἀπαλλάττεσθαι· ὥσπερ γὰρ οὐδὲ εἰδότες, ποῦ δεῖ προβῆναι, οὕτω καταληφθέντες ὑπὸ τοῦ σκότους ἐκάθηντο, μὴ δυνάμενοι μηδὲ στῆναι λοιπόν.

«Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν». Ἀπὸ τότε· πότε; Ἐξ οὗ ἐνεβλήθη Ἰωάννης. Καὶ διατί μὴ ἐξ ἀρχῆς αὐτοῖς ἐκήρυξε; τί δὲ ὅλως Ἰωάννου ἔδει, τῆς τῶν ἔργων μαρτυρίας αὐτὸν κηρυττούσης; Ἵνα κἀντεῦθεν αὐτοῦ τὴν ἀξίαν μάθῃς, ὅτι καθάπερ ὁ Πατήρ, οὕτω καὶ αὐτὸς προφήτας ἔχει· ὅπερ καὶ ὁ Ζαχαρίας ἔλεγε· «Καὶ σύ, παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ»· καὶ ἵνα μηδεμίαν τοῖς ἀναισχύντοις αἰτίαν καταλίπῃ Ἰουδαίοις· ὅπερ οὖν καὶ αὐτὸς τέθεικε λέγων· «Ἦλθεν Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσι· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν. Καὶ ἐδικαιώθη ἡ σοφία ὑπὸ τῶν τέκνων αὐτῆς». Ἄλλως δὲ

---

1. Λουκ. 1, 76.
2. Ματθ. 11, 18 - 19.

ἐδῶ εἰς τὸ αἰσθητὸν σκότος ἀλλὰ εἰς τὴν πλάνην καὶ τὴν ἀσέβειαν. Διὰ τοῦτο καὶ ἐπρόσθεσε· «Τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς». Διὰ νὰ καταλάβῃς ὅτι δὲν ὁμιλεῖ οὔτε περὶ φωτὸς οὔτε περὶ σκότους αἰσθητοῦ, ἀναφερόμενος εἰς τὸ φῶς δὲν τὸ ἐκάλεσεν ἁπλῶς φῶς ἀλλὰ φῶς μέγα, ποὺ ἀλλοῦ τὸ ἀποκαλεῖ ἀληθινόν· τὸ σκότος τὸ προσδιορίζει καλύτερα μὲ τὸ νὰ τὸ ἀποκαλῇ «σκιὰν θανάτου».

Ἔπειτα θέλει νὰ δείξῃ ὅτι δὲν τὸ εὗρῆκαν οἱ ἴδιοι κατόπιν ἀναζητήσεως ἀλλ' ὅτι ἐφάνη ὁ ἴδιος ὁ Θεὸς ὡς φῶς εἰς αὐτούς. Καὶ διὰ τοῦτο λέγει· «Φῶς ἀνέτειλεν αὐτοῖς», δηλαδὴ τὸ ἴδιο τὸ φῶς μόνον του ἀνέτειλε καὶ ἔλαμψε. Δὲν ἔτρεξαν αὐτοὶ πρῶτοι πρὸς τὸ φῶς. Διότι οἱ ἄνθρωποι εὑρίσκοντο εἰς τὴν ἐσχάτην κατάπτωσιν πρὶν ἀπὸ τὴν παρουσίαν τοῦ Χριστοῦ. Δὲν ἐβάδιζαν κἂν εἰς τὸ σκότος ἀλλὰ ἐκάθηντο μέσα εἰς τὸ σκότος. Τοῦτο ἀποτελεῖ ἔνδειξιν τῆς ἀπελπισίας διὰ τὴν ἀπαλλαγήν των ἀπὸ αὐτό. Καὶ ἐπειδὴ δὲν ἐγνώριζαν ποῦ πρέπει νὰ κατευθυνθοῦν, ἔτσι καθὼς τοὺς εἶχε προλάβει τὸ σκότος, εἶχαν καθήσει καὶ δὲν ἠμποροῦσαν πλέον μήτε νὰ σταθοῦν.

Ἀπὸ τότε ἤρχισεν ὁ Χριστὸς νὰ κηρύττῃ καὶ νὰ λέγῃ· «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν». Πότε ἀπὸ τότε; Ἀπὸ τότε ποὺ ἐφυλακίσθη ὁ Ἰωάννης. Καὶ διατί δὲν ἐκήρυξεν εἰς αὐτοὺς ἐξ ἀρχῆς; Καὶ τί ἀνάγκην εἶχε τὸν Ἰωάννην, ὅταν ἡ μαρτυρία τῶν ἔργων του ἦτο τόσον εὔγλωττος; Διὰ νὰ ἀντιληφθῇς καὶ ἀπὸ τὸ σημεῖον τοῦτο τὸ ἀξίωμά του, ὅτι ἔχει καὶ ὁ ἴδιος προφήτας, ὅπως ὁ Πατήρ του, καθὼς ἔλεγε καὶ ὁ Ζαχαρίας· «Καὶ σύ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ» [1]. Καὶ διὰ νὰ μὴ ἀφήσῃ καμμίαν δικαιολογίαν εἰς τοὺς ἀναισχύντους Ἰουδαίους, ἀκούσατε τί λέγει καὶ ὁ ἴδιος· «Ἦλθεν Ἰωάννης μήτε ἐσθίων μήτε πίνων καὶ λέγουσι· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν. Καὶ ἐδικαιώθη ἡ σοφία ὑπὸ τῶν τέκνων αὐτῆς» [2]. Ἦτο ἐξ ἄλλου ἀνάγκη νὰ λεχθοῦν ὅσα τὸν ἀφοροῦσαν ἀπὸ κάποιον ἄλλον προηγουμένως καὶ ὄχι ἀπὸ

καὶ ἀναγκαῖον ἦν παρ' ἑτέρου πρότερον λεχθῆναι τὰ περὶ αὐτοῦ, καὶ μὴ παρ' αὐτοῦ. Εἰ γὰρ καὶ μετὰ τοσαύτας καὶ τηλικαύτας μαρτυρίας τε καὶ ἀποδείξεις ἔλεγον· «Σὺ μαρτυρεῖς περὶ σεαυτοῦ· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής»· εἰ μηδὲν εἰρηκότος Ἰωάννου παρελθὼν εἰς μέσους πρῶτος αὐτὸς ἐμαρτύρησε τί οὐκ ἂν ἐφθέγξαντο; Διὰ τοῦτο οὔτε ἐκήρυξε πρὸ ἐκείνου, οὔτε ἐθαυματούργησεν, ἕως ἐνέπεσεν εἰς τὸ δεσμωτήριον ἐκεῖνος, ἵνα μὴ ταύτῃ τὸ πλῆθος σχίζηται. Διὰ τοῦτο οὐδὲ σημεῖον οὐδὲν ἐποίησεν Ἰωάννης, ἵνα καὶ ἐντεῦθεν τὸ πλῆθος τῷ Ἰησοῦ παραδῷ, τῶν θαυμάτων πρὸς ἐκεῖνον ἑλκόντων αὐτούς. Εἰ γὰρ καὶ τοσούτων οἰκονομηθέντων, καὶ πρὸ τοῦ δεσμωτηρίου καὶ μετὰ τὸ δεσμωτήριον, ζηλοτύπως πρὸς αὐτὸν εἶχον οἱ μαθηταὶ Ἰωάννου· καὶ οἱ πολλοὶ δὲ οὐχὶ αὐτόν, ἀλλὰ τὸν Ἰωάννην ὑπώπτευον εἶναι τὸν Χριστόν· εἰ μηδὲν τούτων ἐγένετο, τί οὐκ ἂν συνέβη; Διὰ τοῦτο καὶ ὁ Ματθαῖος ἐπισημαίνεται, ὅτι ἀπὸ τότε ἤρξατο κηρύσσειν· καὶ ἀρξάμενος τὸ κήρυγμα, ὃ ἐκεῖνος ἐκήρυττε, τοῦτο καὶ αὐτὸς ἐδίδασκε, καὶ οὐδὲν οὐδέπω περὶ ἑαυτοῦ τὸ κήρυγμα ὃ ἐκήρυττε λέγει. Καὶ γὰρ καὶ τοῦτο τέως ἀγαπητὸν ἦν παραδεχθῆναι, ἐπὶ μηδέπω τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον.

2. Διὰ τοῦτο καὶ ἀρχόμενος οὐδὲν φορτικὸν τίθησι καὶ ἐπαχθές, οἷον ἐκεῖνος, ἀξίνην καὶ δένδρον κοπτόμενον καὶ πτύου καὶ ἅλωνος καὶ πυρὸς ἀσβέστου μνημονεύων· ἀλλὰ χρηστὰ προοιμιάζεται, τοὺς οὐρανοὺς καὶ τὴν βασιλείαν τὴν ἐκεῖ τοῖς ἀκούουσιν εὐαγγελιζόμενος.

«Καὶ περιπατῶν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν (ἦσαν γὰρ ἁλιεῖς), καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ». Καίτοι Ἰωάννης φησὶν ἑτέρως αὐτοὺς κεκλῆσθαι. Ὅθεν δῆλον, ὅτι δευτέρα αὕτη ἡ κλῆσις ἦν· καὶ πολλαχόθεν

1. Ἰω. 8, 13.

τὸν ἴδιον. Διότι ἂν ἀκόμη καὶ ἔπειτα ἀπὸ τόσον πολλὰς καὶ μεγάλας μαρτυρίας καὶ ἀποδείξεις, τοῦ ἔλεγεν· «Σὺ μαρτυρεῖς περὶ σεαυτοῦ· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθὴς»[1]· σκεφθῆτε ἂν χωρὶς νὰ ἔχῃ εἰπεῖ τίποτε ὁ Ἰωάννης, ἐπροχωροῦσεν εἰς τὸ μέσον καὶ ἐμαρτυροῦσε πρῶτος αὐτός, τί δὲν θὰ ἦτο δυνατὸν νὰ εἰποῦν. Διὰ τοῦτο οὔτε ἐκήρυξε πρὶν ἀπὸ αὐτὸν οὔτε ἔκαμε θαύματα, προτοῦ ἐκεῖνος κλεισθῇ εἰς τὴν φυλακήν, διὰ νὰ μὴ δημιουργηθῇ διχογνωμία εἰς τὸ πλῆθος. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης ἐπίσης δὲν ἔκαμε κανένα θαῦμα, διὰ νὰ παραδώσῃ καὶ διὰ τοῦτον τὸν λόγον τὸ πλῆθος εἰς τὸν Ἰησοῦν, ἐπειδὴ τὰ θαύματα ἔσυραν τὸν λαὸν πρὸς ἐκεῖνον. Διότι ἔγινε τόση οἰκονομία καὶ πρὸ τῆς φυλακίσεως καὶ μετὰ τὴν φυλάκισιν καὶ ὅμως οἱ πολλοὶ ὑποψιάζοντο ὅτι ὁ Ἰωάννης ἦτο ὁ Χριστὸς καὶ ὄχι ὁ ἴδιος, τί θὰ συνέβαινεν, ἂν δὲν ἐπρονοεῖτο τίποτε ἀπὸ αὐτά; Διὰ τοῦτο ὁ Ματθαῖος ὑπογραμμίζει ὅτι ἀπὸ τότε ἤρχισε νὰ κηρύττῃ. Καὶ ὅταν ἤρχισε νὰ κηρύττῃ, ἐδίδασκεν ὅ,τι καὶ ὁ Ἰωάννης καὶ τὸ κήρυγμά του δὲν περιεῖχε τίποτε ἀκόμη διὰ τὸν ἑαυτόν του. Διότι τότε ἦτο ἀρκετὸν νὰ δεχθοῦν ἔστω καὶ τοῦτο, ἀφοῦ δὲν εἶχαν ἀκόμη δι' αὐτὸν τὴν ἰδέαν ποὺ ἔπρεπε.

2. Διὰ τοῦτο καὶ ἀρχίζων δὲν τοὺς πρότεινε τίποτε βαρὺ καὶ δυσάρεστον, ὅπως ἐκεῖνος τὴν ἀξίνην, τὸ δένδρον ποὺ κόπτεται, μήτε ἀναφέρει τὴν λιχνίστραν καὶ τὸ ἁλώνι καὶ τὴν ἄσβεστον φωτιάν. Ἀλλὰ ἀναφέρει εἰς τὸ προοίμιον τῆς διδασκαλίας του πράγματα ἐπιθυμητά, εὐαγγελίζεται εἰς αὐτοὺς ποὺ τὸν ἀκούουν τοὺς οὐρανοὺς καὶ τὴν ἐκεῖ βασιλείαν.

«Καὶ περιπατῶν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν (ἦσαν γὰρ ἁλιεῖς). καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ». Ὁ Ἰωάννης λέγει ὅτι ἡ πρόσκλησίς των ἔγινε κατ' ἄλλον τρόπον, ἀπὸ ὅπου γίνεται φανερὸν ὅτι αὐτὴ ἦτο ἡ δευτέρα πρόσκλησις, πρᾶγμα ποὺ ἠμπορεῖ κανεὶς νὰ

τοῦτο ἄν τις συνίδοι. Ἐκεῖ μὲν γάρ φησιν, ὅτι οὔπω βληθέντος Ἰωάννου εἰς τὴν φυλακὴν προσῆλθον· ἐνταῦθα δέ, μετὰ τὸ ἐμπεσεῖν αὐτόν. Κἀκεῖ μὲν ὁ Ἀνδρέας καλεῖ τὸν Πέτρον· ἐνταῦθα δέ ἀμφοτέρους ὁ Ἰησοῦς. Καὶ Ἰωάννης μέν φησιν, ὅτι «Ἰδὼν ὁ Ἰησοῦς τὸν Σίμωνα ἐρχόμενον, λέγει· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος».[1] Ὁ δὲ Ματθαῖός φησιν, ὅτι ἤδη τοῦτο κεκλημένος ἦν τὸ ὄνομα· «Ἰδὼν γάρ, φησί, Σίμωνα τὸν λεγόμενον Πέτρον». Καὶ ἀπὸ τοῦ τόπου δέ, ὅθεν ἐκλήθησαν, καὶ πολλαχόθεν ἄλλοθεν ἄν τις τοῦτο συνίδοι, καὶ ἐκ τοῦ ῥᾳδίως ὑπακοῦσαι καὶ ἐκ τοῦ πάντα ἀφεῖναι. Ἤδη γὰρ ἦσαν προπεπαιδευμένοι καλῶς. Ἐκεῖ μὲν γὰρ εἰς τὴν οἰκίαν φαίνεται ὁ Ἀνδρέας ἐρχόμενος καὶ πολλὰ ἀκούων· ἐνταῦθα δὲ ψιλὸν ῥῆμα ἀκούσαντες, εὐθέως ἠκολούθησαν. Καὶ γὰρ εἰκὸς ἀκολουθήσαντες ἐξ ἀρχῆς ἀφεῖναι πάλιν, τόν τε Ἰωάννην ἰδόντας εἰς δεσμωτήριον ἐμπεσόντα καὶ αὐτὸν ἀναχωροῦντα, καὶ ἐπὶ τὴν οἰκείαν πάλιν τέχνην ἐπανελθεῖν. Οὕτω γοῦν αὐτοὺς καὶ εὑρίσκει ἁλιεύοντας. Αὐτὸς δὲ οὔτε βουλομένους ἀναχωρῆσαι τὴν ἀρχὴν ἐκώλυσεν, οὔτε ἀναχωρήσαντας εἰς τέλος ἀφῆκεν· ἀλλ' ἐνδοὺς ὅτε ἀπεπήδησαν, ἔρχεται πάλιν αὐτοὺς ἀνακτησόμενος· ὅπερ μέγιστος τρόπος ἁλιείας ἐστί.

Σκόπει δὲ αὐτῶν καὶ τὴν πίστιν καὶ τὴν ὑπακοήν. Καὶ γὰρ ἐν μέσοις τοῖς ἔργοις ὄντες (ἴστε δὲ πῶς λίχνον ἡ ἁλιεία), ἀκούσαντες αὐτοῦ κελεύοντος, οὐκ ἀνεβάλοντο, οὐχ ὑπερέθεντο, οὐκ εἶπον· Ὑποστρέψαντες οἴκαδε διαλεχθῶμεν τοῖς προσήκουσιν· ἀλλὰ πάντα ἀφέντες, εἵποντο, καθάπερ καὶ Ἐλισσαῖος ἐπὶ Ἡλίου ἐποίησε. Τοιαύτην γὰρ ὁ Χριστὸς ὑπακοὴν ζητεῖ παρ' ἡμῶν, ὥστε μηδὲ ἀκαριαῖον ἀναβάλλεσθαι χρόνον, κἂν σφόδρα τι τῶν ἀναγκαιοτάτων ἡμᾶς κατεπείγῃ. Διὸ καὶ ἕτερόν τινα προσελθόντα καὶ ἀξιοῦντα θάψαι τὸν ἑαυτοῦ πατέρα, οὐδὲ τοῦ-

---

1. Ἰω. 1, 42.

διαπιστώση ἀπὸ πολλά. Ἐκεῖ λόγου χάριν λέγει ὅτι ἦλθαν εἰς αὐτὸν προτοῦ ὁ Ἰωάννης κλεισθῇ εἰς τὴν φυλακήν, ἐνῷ ἐδῶ, ἀφοῦ ἐκλείσθη εἰς αὐτήν. Καὶ ἐκεῖ ὁ Ἀνδρέας καλεῖ τὸν Πέτρον, ἐνῷ ἐδῶ ὁ Ἰησοῦς καὶ τοὺς δύο. Καὶ ὁ μὲν Ἰωάννης γράφει ὅτι «Ἰδὼν Ἰησοῦς τὸν Σίμωνα ἐρχόμενον λέγει· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος» [1]. Ὁ δὲ Ματθαῖος λέγει ὅτι ἀπὸ προηγουμένως ἐκαλεῖτο μὲ αὐτὸ τὸ ὄνομα. Μᾶς λέγει· «Ἰδὼν Σίμωνα τὸν λεγόμενον Πέτρον». Ἀλλὰ καὶ ἀπὸ τὸ μέρος ἀπὸ ὅπου ἔγινεν ἡ κλῆσις καὶ ἀπὸ πολλὰ ἄλλα θὰ τὸ διεπίστωνε τοῦτο κανεὶς καὶ ἀπὸ τὴν πρόθυμον ἀκόμη ὑπακοὴν καὶ τὴν ἐγκατάλειψιν ὅλων. Ἦσαν ἤδη προητοιμασμένοι καλῶς. Κατὰ τὴν πρώτην πρόσκλησιν παρουσιάζεται ὁ Ἀνδρέας νὰ ἔρχεται εἰς τὸ σπίτι καὶ νὰ ἀκούῃ πολλά. Ἐδῶ μόλις ἤκουσαν μίαν ἁπλῆν λέξιν καὶ ἠκολούθησαν ἀμέσως. Διότι βέβαια εἶναι φυσικόν, μολονότι τὸν εἶχαν ἀκολουθήσει ἀπὸ τὴν ἀρχήν, νὰ τὸν ἐγκαταλείψουν ἐν συνεχείᾳ· εἶχαν ἰδεῖ καὶ τὸν Ἰωάννην εἰς τὴν φυλακὴν καὶ τὸν ἴδιον νὰ ἀναχωρῇ. Ἔτσι ἐπέστρεψαν εἰς τὸ ἐπάγγελμά των. Διὰ τοῦτο καὶ τοὺς εὑρίσκει νὰ ἁλιεύουν. Ἀλλ' ἐκεῖνος οὔτε ὅταν πρῶτα ἠθέλησαν νὰ φύγουν τοὺς ἠμπόδισεν, οὔτε πάλιν ὅταν ἔφυγαν τοὺς ἄφησεν ὁριστικῶς. Ὑπεχώρησεν ὅταν ἐξέφυγαν, ἔρχεται ὅμως ἐκ νέου διὰ νὰ τοὺς κάμῃ πάλιν ἰδικούς του. Αὐτὸς εἶναι ὁ καλύτερος τρόπος ψαρεύματος.

Πρόσεξε ὅμως καὶ τὴν πίστιν των καὶ τὴν ὑπακοήν των. Ὅταν ἤκουσαν τὴν πρόσκλησίν του εὑρίσκοντο εἰς τὸ μέσον τῆς ἐργασίας των καὶ γνωρίζετε πόσον ἀχόρταγον εἶναι τὸ ψάρεμα. Καὶ ὅμως δὲν ἀνέβαλαν, δὲν ἄφησαν δι' ἀργότερα, δὲν εἶπαν· νὰ ἐπιστρέψωμεν εἰς τὸ σπίτι καὶ νὰ συνεννοηθοῦμεν μὲ τοὺς ἰδικούς μας. Τὰ ἄφησαν ὅλα καὶ τὸν ἀκολουθοῦσαν, ὅπως ἔκαμε ὁ Ἐλισσαῖος κατὰ τοὺς χρόνους τοῦ Ἠλία. Τέτοιαν ὑπακοὴν ζητεῖ ὁ Χριστὸς ἀπὸ ἡμᾶς, μήτε δευτερολέπτου ἀναβολὴν νὰ μὴ κάμωμεν, ἀκόμη καὶ ἂν μᾶς βιάζῃ κάτι ἀπὸ τὰ εὐτελῆ ἀπαραίτητα. Διὰ τοῦτο καὶ κάποιον ἄλλον, ὁ ὁποῖος τὸν ἐπλησίασε καὶ ἐζήτησε νὰ θάψῃ πρῶτα τὸν πατέρα του,

το ποιῆσαι ἀφῆκε, δεικνὺς ὅτι πάντων τὴν ἀκολούθησιν τὴν ἑαυτοῦ προτιμᾶν δεῖ.

Εἰ δὲ λέγοις, ὅτι μεγίστη ἡ ὑπόσχεσις· καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς θαυμάζω, ὅτι μηδὲν μηδέπω σημεῖον ἰδόντες, μεγέθει τοσούτῳ ἐπαγγελίας ἐπίστευσαν, καὶ πάντα δεύτερα ἔθεντο τῆς ἀκολουθήσεως ἐκείνης. Καὶ γὰρ δι᾽ ὧν ἡλιεύθησαν λόγων, ἐπίστευσαν ὅτι καὶ ἑτέρους διὰ τούτων ἁλιεύειν δυνήσονται. Τούτοις μὲν οὖν τοῦτο ὑπέσχετο· τοῖς δὲ περὶ Ἰάκωβον καὶ Ἰωάννην, οὐδὲν τοιοῦτόν φησιν. Ἡ γὰρ τῶν προφθασάντων ὑπακοὴ προωδοποίησε λοιπὸν τούτοις. Ἄλλως δὲ καὶ πολλὰ ἦσαν πρότερον ἀκηκοότες περὶ αὐτοῦ.

Θέα δὲ πῶς καὶ τὴν πενίαν αὐτῶν ἡμῖν μετὰ ἀκριβείας αἰνίττεται. Εὗρε γὰρ αὐτοὺς ῥάπτοντας τὰ δίκτυα αὐτῶν. Τοσαύτη ἦν τῆς πτωχείας ἡ ὑπερβολή, ὡς τὰ πεπονηκότα διορθοῦν, μὴ δυναμένους ὠνήσασθαι ἕτερα. Οὐ μικρὰ δὲ τέως καὶ αὕτη ἔνδειξις ἀρετῆς, τὸ πενίαν φέρειν εὐκόλως, τὸ ἀπὸ δικαίων τρέφεσθαι πόνων, τὸ συνδεδέσθαι ἀλλήλοις τῇ τῆς ἀγάπης δυνάμει, τὸ τὸν πατέρα ἔχειν μεθ᾽ ἑαυτῶν καὶ θεραπεύειν. Ἐπειδὴ τοίνυν αὐτοὺς ἡλίευσε, τότε ἄρχεται παρόντων θαυματουργεῖν, δι᾽ ὧν ποιεῖ τὰ ὑπὸ Ἰωάννου περὶ αὐτοῦ εἰρημένα βεβαιῶν. Συνεχῶς δὲ ταῖς συναγωγαῖς ἐπεχωρίαζε, καὶ ἐντεῦθεν αὐτοὺς παιδεύων, ὅτι οὐκ ἔστιν ἀντίθεός τις καὶ πλάνος, ἀλλὰ συμφωνῶν τῷ Πατρὶ παραγέγονεν. Ἐπιχωριάζων δέ, οὐκ ἐκήρυττε μόνον, ἀλλὰ καὶ σημεῖα ἐπεδείκνυτο.

3. Καὶ γὰρ πανταχοῦ εἴ πού τι ξένον γίνεται καὶ παράδοξον, καὶ πολιτείας τινὸς εἰσαγωγή, σημεῖα ποιεῖν εἴωθεν ὁ Θεός, ἐνέχυρα τῆς αὐτοῦ δυνάμεως παρέχων τοῖς τοὺς νόμους δέχεσθαι μέλλουσιν. Οὕτω γοῦν ὅτε τὸν ἄνθρωπον ποιεῖν ἔμελλε, τὸν κόσμον ἔκτισεν ἅπαντα, καὶ τότε αὐτῷ τὸν νόμον ἐ-

---

1. Ἡ σκηνὴ εἰς τὴν παραλίαν. Οἱ ἁλιεῖς ἐπιδιορθώνουν, ματίζουν τὰ δίχτυά των, ὅπου ἔχουν σχισθεῖ εἴτε εἰς τὰς πέτρας εἴτε ἀπὸ σκυλόψαρα εἴτε συρόμενα ἐπάνω εἰς τὴν βάρκαν. Ἡ πληγωμένη ψυχὴ «ματίζεται» καὶ αὐτὴ μὲ τὴν μετάνοιαν.

μήτε αὐτὸ δὲν τὸν ἄφησε νὰ πράξῃ· ἐτόνισεν ὅτι ἀπὸ ὅλα πρέπει νὰ προτιμήσωμεν νὰ τὸν ἀκολουθῶμεν.

Καὶ ἂν εἰπῇς ὅτι ἦτο μεγάλη ἡ ὑπόσχεσίς του. Διὰ τοῦτο τοὺς θαυμάζω περισσότερον· μολονότι δὲν εἶχαν ἰδεῖ ἀκόμη κανένα σημεῖον, ἐπίστευσαν εἰς μίαν τόσον μεγάλην ὑπόσχεσιν καὶ ὅλα τὰ ἄλλα τὰ ἐθεώρησαν δευτερεύοντα, προκειμένου νὰ τὸν ἀκολουθήσουν. Διότι μὲ τοὺς λόγους ποὺ οἱ ἴδιοι ἐψαρεύθησαν, ἐπίστευσαν ὅτι μὲ αὐτοὺς θὰ ἠμποροῦσαν νὰ ψαρεύσουν καὶ ἄλλους. Εἰς τούτους δίδει τὴν ὑπόσχεσιν αὐτήν, εἰς ἐκείνους ὅμως ποὺ ἦσαν μαζὶ μὲ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην δὲν λέγει τίποτε παρόμοιον. Διότι ἡ ὑπακοὴ τῶν πρώτων ἤνοιξεν ἔπειτα τὸν δρόμον καὶ εἰς αὐτούς. Εἶχαν ἐξ ἄλλου προηγουμένως ἀκούσει πολλὰ δι' αὐτόν.

Κοίταξε ἀκόμη πῶς κάμνει σαφῆ ὑπαινιγμὸν καὶ διὰ τὴν πενίαν των· τοὺς εὑρῆκε νὰ διορθώνουν τὰ δίκτυά των. Ἦτο τόσον τὸ μέγεθος τῆς πτωχείας των, ὥστε νὰ διορθώνουν [1] τὰ κατεστρεμμένα, ἐπειδὴ δὲν ἠμποροῦσαν νὰ ἀγοράσουν ἄλλα. Δὲν ἦτο καὶ αὐτὸ τότε μικρὰ ἔνδειξις ἀρετῆς, νὰ ὑποφέρουν ἡσύχως τὴν πτωχείαν των, νὰ ἐξασφαλίζουν τὴν τροφήν των ἀπὸ τίμιον μόχθον, νὰ συνδέωνται μεταξύ των μὲ τὴν δύναμιν τῆς ἀγάπης, νὰ ἔχουν μαζί των καὶ νὰ γηροκομοῦν τὸν πατέρα των. Καὶ ὅταν τοὺς ἐψάρευσεν εἰς τὰ δίκτυά του, τότε ἀρχίζει ἐνώπιόν των νὰ θαυματουργῇ καὶ νὰ βεβαιώνῃ μὲ τὰ ἔργα του ὅ,τι εἶχεν εἰπεῖ δι' αὐτὸν ὁ Ἰωάννης. Εὑρίσκετο συνεχῶς εἰς τὰς συναγωγὰς καὶ τοὺς ἔλεγεν· ὅτι δὲν εἶναι κάποιος ἀντίθεος καὶ πλάνος ἀλλὰ ὅτι εἶχεν ἔλθει μὲ τὸ θέλημα τοῦ Πατέρα. Καὶ ἐνῷ εὑρίσκετο ἐκεῖ δὲν ἐκήρυττε μόνον ἀλλὰ ἔκαμνε καὶ θαύματα.

3. Διότι παντοῦ, ὅπου γίνεται κάτι παράδοξον καὶ παράξενον καὶ ἐγκαθιδρύεται ὡς τρόπος ζωῆς, συνηθίζει ὁ Θεὸς νὰ κάμνῃ θαύματα. Παρέχει κατ' αὐτὸν τὸν τρόπον ἐχέγγυα τῆς δυνάμεώς του εἰς ἐκείνους ποὺ εἶναι νὰ δεχθοῦν τὴν νομοθεσίαν. Ἔτσι λοιπὸν ὅταν ἐπρόκειτο νὰ πλάσῃ τὸν ἄνθρωπον, ἐδημιούργησε τὸν κόσμον ὅλον καὶ τότε ἔδωσε τὸν νόμον ἐκεῖ-

κεῖνον ἔδωκε τὸν ἐν τῷ παραδείσῳ. Καὶ ὅτε τῷ Νῶε νομοθετεῖν ἔμελλε, πάλιν μεγάλα ἐπεδείξατο θαύματα, δι' ὧν ἅπασαν ἀνεστοιχείου τὴν κτίσιν, καὶ τὸ φοβερὸν ἐκεῖνο πέλαγος ἐπ' ἐνιαυτὸν ὁλόκληρον ἐποίει κρατεῖν, καὶ δι' ὧν ἐν τοσαύτῃ ζάλῃ τὸν δίκαιον ἐκεῖνον διέσωσε. Καὶ ἐπὶ τοῦ Ἀβραὰμ δὲ πολλὰ σημεῖα παρέσχετο· οἷον τὴν νίκην τὴν ἐν τῷ πολέμῳ, τὴν πληγὴν τὴν κατὰ τοῦ Φαραώ, τὴν ἐκ τῶν κινδύνων ἀπαλλαγήν. Καὶ Ἰουδαίοις νομοθετεῖν μέλλων, τὰ θαυμαστὰ ἐκεῖνα καὶ μεγάλα τεράστια ἐπεδείξατο, καὶ τότε τὸν νόμον ἔδωκεν.Οὕτω δὴ καὶ ἐνταῦθα μέλλων ὑψηλήν τινα εἰσάγειν πολιτείαν, καὶ ἃ μηδέποτε ἤκουσαν λέγειν αὐτοῖς, τῇ τῶν θαυμάτων ἐπιδείξει βεβαιοῖ τὰ λεγόμενα. Ἐπειδὴ γὰρ ἡ κηρυττομένη βασιλεία οὐκ ἐφαίνετο, ἀπὸ τῶν φαινομένων τὴν ἄδηλον ποιεῖ φανεράν.

Καὶ σκόπει τὸ ἀπέριττον τοῦ εὐαγγελιστοῦ, πῶς οὐ καθ' ἕκαστον ἡμῖν διηγεῖται τῶν θεραπευομένων, ἀλλὰ βραχέσι ῥήμασι νιφάδας παρατρέχει σημείων. «Προσήνεγκαν γὰρ αὐτῷ», φησί, «πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις, καὶ βασάνοις συνεχομένους καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς». Ἀλλὰ τί ζητούμενον ἐκεῖνό ἐστι· Τί δήποτε παρ' οὐδενὸς αὐτῶν πίστιν ἐπεζήτησεν; Οὐδὲ γὰρ εἶπεν ὃ μετὰ ταῦτα φαίνεται λέγων· «Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι;», ὅτι οὐδέπω τῆς αὐτοῦ δυνάμεως ἀπόδειξιν ἦν δεδωκώς. Ἄλλως δὲ καὶ αὐτὸ τὸ προσιέναι καὶ προσάγειν οὐ τὴν τυχοῦσαν ἐπεδείκνυτο πίστιν. Καὶ γὰρ πόῤῥωθεν αὐτοὺς ἔφερον, οὐκ ἂν ἐνεγκόντες, εἰ μὴ μεγάλα ἦσαν περὶ αὐτοῦ πεπεικότες ἑαυτούς.

Ἀκολουθήσωμεν τοίνυν αὐτῷ καὶ ἡμεῖς· καὶ γὰρ νοσήματα πολλὰ ἔχομεν ψυχῶν, καὶ ταῦτα προηγουμένως βούλεται

---

1. Μετὰ τὸν κατακλυσμὸν ὁ Θεὸς βεβαιώνει τὸν Νῶε ὅτι δὲν πρόκειται νὰ γίνῃ ἄλλος κατακλυσμός. Τὸ οὐράνιον τόξον εἶναι ἡ ἐγγύησις τῶν λόγων του. Ἡ ἐπαναβεβαίωσις αὐτὴ τῆς σωτηρίας τῶν ἀνθρώπων εὑρίσκεται εἰς Γέν. κεφ. 9.

νον τοῦ παραδείσου. Καὶ πάλιν ὅταν ἐπρόκειτο νὰ δώσῃ νόμους εἰς τὸν Νῶε[1], πάλιν ἐπαρουσίασε μεγάλα θαύματα. Μὲ αὐτά, ἀνεδημιούργησεν ὅλην τὴν πλάσιν καὶ ἔκαμεν ἐπὶ ἕνα ὁλόκληρον ἔτος νὰ κρατήσῃ τὸ φοβερὸν ἐκεῖνον πέλαγος καὶ μὲ αὐτὰ εἰς τόσον χαλασμὸν ἔσωσε ἐκεῖνον τὸν δίκαιον. Καὶ ἐπὶ τῆς ἐποχῆς τοῦ Ἀβραὰμ ἔδωσε πολλὰ σημεῖα, ὅπως ἡ νίκη κατὰ τὸν πόλεμον, ἡ πληγὴ κατὰ τοῦ Φαραώ, ἡ ἀπαλλαγὴ ἀπὸ τοὺς κινδύνους. Καὶ ὅταν ἦτο νὰ δώσῃ νόμους εἰς τοὺς Ἰουδαίους, ἐπαρουσίασε τὰ θαυμαστὰ καὶ τρισμεγάλα ἐκεῖνα σημεῖα καὶ τότε τοὺς ἔδωσε τὸν νόμον. Ἔτσι λοιπὸν καὶ ἐδῶ. Ἐπειδὴ πρόκειται νὰ φέρῃ ἕνα ὑψηλὸν τρόπον ζωῆς καὶ νὰ εἰπῇ εἰς αὐτοὺς ὅσα δὲν εἶχαν ἀκούσει ποτέ, ἐπιβεβαιώνει τὰ λεγόμενά του μὲ τὴν παρουσίασιν τῶν θαυμάτων. Ἐπειδὴ ἡ βασιλεία δηλαδὴ ποὺ ἐκήρυττε δὲν ἐφαίνετο, τὴν κάμνει φανεράν, αὐτὴν τὴν ἀόρατον, ἀπὸ τὰ ὁρατὰ σημεῖα.

Καὶ πρόσεξε τὴν λιτότητα τοῦ Εὐαγγελιστοῦ, πῶς δὲν μᾶς διηγεῖται διὰ τὸν καθένα ἀπὸ ὅσους ἐθεραπεύοντο, ἀλλὰ μὲ δύο λόγους παρατρέχει νέφη ὁλόκληρα ἀπὸ θαύματα. Λέγει· «Προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικοὺς καὶ ἐθεράπευσεν αὐτούς». Ἀλλὰ τὸ περίεργον εἶναι τοῦτο· Διατί ἄραγε δὲν ἐζήτησεν ἀπὸ κανένα ἀπὸ αὐτοὺς πίστιν; Οὔτε εἶπεν αὐτὸ ποὺ ἔπειτα ἔλεγε ἐμφαντικῶς· «Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι;»[2]. Διότι δὲν εἶχεν ἀκόμη δώσει ἀπόδειξιν τῆς δυνάμεώς του. Ἐξ ἄλλου καὶ μόνον τὸ ὅτι προσήρχοντο καὶ προσεκόμιζαν τοὺς ἀσθενεῖς ἐμαρτυροῦσε πίστιν ὄχι τυχαίαν. Τοὺς ἔφεραν ἀπὸ μακρυὰ καὶ δὲν θὰ τοὺς εἶχαν φέρει, ἂν δὲν εἶχαν ἀπόλυτα πείσει τοὺς ἑαυτούς των δι' αὐτόν.

Ἂς τὸν ἀκολουθήσωμεν λοιπὸν καὶ ἡμεῖς, διότι ἔχομεν πολλὰς ἀσθενείας τῆς ψυχῆς, ποὺ αὐτὰς κατὰ πρῶτον θέλει

---

2. Ματθ. 9, 28.

θεραπεύειν. Διὰ γὰρ τοῦτο κἀκεῖνα διορθοῦται, ἵνα ταῦτα ἐξορίσῃ τῆς ψυχῆς τῆς ἡμετέρας. Προσέλθωμεν τοίνυν αὐτῷ καὶ μηδὲν βιωτικὸν αἰτῶμεν, ἀλλ' ἁμαρτημάτων ἄφεσιν· καὶ γὰρ δίδωσι καὶ νῦν, ἐὰν σπουδάζωμεν. Τότε μὲν γὰρ εἰς τὴν Συρίαν ἐξῆλθεν αὐτοῦ ἡ ἀκοή· νῦν δὲ εἰς τὴν οἰκουμένην ὅλην. Κἀκεῖνοι μὲν ἀκούσαντες, ὅτι δαιμονῶντας ἐθεράπευσε, συνέτρεχον· σὺ δὲ πολλῷ πλείονα πεῖραν αὐτοῦ λαβὼν τῆς δυνάμεως καὶ μείζονα, οὐ διανίστασαι καὶ τρέχεις; ἀλλ' ἐκεῖνοι μὲν καὶ πατρίδα ἀφῆκαν καὶ φίλους καὶ συγγενεῖς· σὺ δὲ οὐδὲ οἰκίαν ἀφεῖναι ἀνέχῃ ὑπὲρ τοῦ προσελθεῖν, καὶ πολλῷ μειζόνων τυχεῖν; Μᾶλλον δὲ οὐδὲ τοῦτο ἀπαιτοῦμεν παρὰ σοῦ· ἀλλὰ συνήθειαν ἄφες πονηρὰν μόνον, καὶ μένων οἴκοι μετὰ τῶν σεαυτοῦ δυνήσῃ σωθῆναι ῥᾳδίως. Νῦν δὲ ἂν μὲν σωματικὸν ἔχωμεν πάθος, πάντα ποιοῦμεν καὶ πραγματευόμεθα, ὥστε ἀπαλλαγῆναι τοῦ λυποῦντος ἡμᾶς· τῆς δὲ ψυχῆς ἡμῶν κακῶς διακειμένης, μέλλομεν καὶ ἀναδυόμεθα. Διὰ τοῦτο οὐδὲ ἐκείνων ἀπαλλασσόμεθα· ἐπειδὴ τὰ μὲν ἀναγκαῖα ἡμῖν πάρεργα γίνεται, τὰ δὲ πάρεργα ἀναγκαῖα· καὶ τὴν πηγὴν τῶν κακῶν ἀφέντες, τοὺς ῥύακας ἐκκαθαίρειν ἐθέλομεν.

Ὅτι γὰρ τῶν ἐν τῷ σώματι κακῶν ἡ πονηρία τῆς ψυχῆς αἰτία, καὶ ὁ παραλελυμένος τριάκοντα καὶ ὀκτὼ ἔτη, καὶ ὁ διὰ τοῦ στέγους χαλασθείς, καὶ πρὸ τούτων δὲ ὁ Κάϊν ἐδήλωσε· καὶ πανταχόθεν δὲ ἑτέρωθεν τοῦτο ἄν τις κατίδοι. Ἀνέλωμεν τοίνυν τῶν κακῶν τὴν πηγήν, καὶ πάντα στήσεται τῶν νοσημάτων τὰ ῥεύματα. Οὐ γὰρ τὸ παραλελύσθαι μόνον νόσημα, ἀλλὰ καὶ τὸ ἁμαρτάνειν· καὶ τοῦτο μᾶλλον ἢ ἐκεῖνο, ὅσῳ καὶ ψυχὴ σώματος ἀμείνων.

Προσέλθωμεν τοίνυν αὐτῷ, καὶ νῦν, παρακαλέσωμεν ἵνα σφίγξῃ τὴν ψυχὴν ἡμῶν παραλελυμένην, καὶ τὰ βιωτικὰ ἀφέν-

---

1. Ἰω. κεφ. 5.
2. Λουκᾶ 5, 17-20.

νὰ θεραπεύσῃ. Διὰ τοῦτο ἀποκαθιστᾷ τὰς σωματικάς, διὰ νὰ ἐξορίσῃ τὰς ἀσθενείας τῆς ἰδικῆς μας ψυχῆς. Ἂς προσέλθωμεν λοιπὸν εἰς αὐτὸν καὶ ἂς μὴ τοῦ ζητοῦμεν τίποτε τὸ βιοτικόν, παρὰ μόνον συγχώρησιν τῶν ἁμαρτιῶν μας· τὴν παραχωρεῖ καὶ τώρα, ἂν τὴν ζητοῦμεν σοβαρά. Τότε ἡ φήμη του εἶχε διαδοθῆ μέχρι τῆς Συρίας, τώρα εἰς ὅλην τὴν οἰκουμένην. Καὶ ἐκεῖνοι μὲ τὸ ἄκουσμα ὅτι ἐθεράπευε δαιμονισμένους ἐμαζεύοντο ἀπὸ παντοῦ. Σὺ ὅμως ποὺ ἔχεις λάβει πολὺ περισσοτέραν πεῖραν τῆς δυνάμεώς του, διατί δὲν σηκώνεσαι νὰ τρέξῃς πρὸς αὐτόν; Ἐκεῖνοι ἄφησαν καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς· σὺ ὅμως δέν θέλεις νὰ ἀφήσῃς μήτε τὸ σπίτι σου, διὰ νὰ ἔλθῃς κοντὰ του καὶ νὰ λάβῃς πολὺ περισσότερα; Ἢ μᾶλλον μήτε τοῦτο δὲν ζητοῦμεν ἀπὸ σένα. Ἄφησε μόνον τὴν κακὴν συνήθειαν καὶ μέσα εἰς τὸ σπίτι σου μαζὶ μὲ τοὺς ἰδικούς σου θὰ ἠμπορέσῃς νὰ σωθῇς εὔκολα. Τώρα ὅμως, ἂν ἔχωμεν κάποιαν νόσον σωματικήν, κάμνομεν τὸ κάθε τι καὶ προσπαθοῦμεν νὰ ἀπαλλαγοῦμεν ἀπὸ τὴν ἐνόχλησιν. Ἂν ὅμως εὑρίσκεται εἰς κακὴν κατάστασιν ἡ ψυχή μας, ἀναβάλλομεν καὶ ἀποφεύγομεν. Διὰ τοῦτο δὲν ἀπαλλασσόμεθα οὔτε ἀπὸ ἐκεῖνα. Ἐπειδὴ εἰς ἡμᾶς τὸ ἀπαραίτητον γίνεται πάρεργον καὶ τὸ πάρεργον ἀναγκαῖον καὶ θέλομεν νὰ καθαρίσωμεν τὰ ρυάκια ἀφήνοντες τὴν πηγὴν τῶν κακῶν.

Ὅτι ἡ αἰτία τῶν σωματικῶν κακῶν εἶναι ἡ κακία τῆς ψυχῆς, τὸ ἐδήλωσε καὶ ὁ ἐπὶ τριανταοκτὼ ἔτη παράλυτος[1] καὶ ὁ ἄλλος ποὺ τὸν κατεβίβασαν ἀπὸ τὴν στέγην[2], ἀλλὰ καὶ ὁ Κάϊν τὸ ἔκαμεν φανερὸν πρὶν ἀπὸ αὐτούς. Ἠμποροῦμε νὰ τὸ διαπιστώσωμεν καὶ ἀπὸ πολλά. Ἂς κλείσωμεν τὴν πηγὴν τῶν κακῶν καὶ ὅλα τὰ ρεύματα τῶν ἀσθενειῶν θὰ στειρεύσουν. Δὲν εἶναι ἡ παράλυσις μόνον ἀσθένεια ἀλλὰ καὶ ἡ ἁμαρτία· καὶ μάλιστα ἡ δευτέρα βαρυτέρα ἀπὸ τὴν πρώτην ὅσον ἀνωτέρα εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα.

Ἂς ἔλθωμεν λοιπὸν καὶ τώρα κοντά του καὶ ἂς τὸν παρακαλέσωμεν νὰ σφίξῃ τὴν ψυχήν μας ποὺ ἔχει παραλύσει· ἂς πα-

τες πάντα τῶν πνευματικῶν μόνον ποιώμεθα λόγον. Εἰ δὲ καὶ τούτων ἀντέχῃ, μετ' ἐκεῖνα αὐτῶν φρόντιζε. Μηδ' ὅτι οὐκ ἀλγεῖς ἁμαρτάνων καταφρόνει, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα στέναξον, ἐπειδὴ οὐκ αἰσθάνῃ τῆς ὀδύνης τῶν πλημμελημάτων. Οὐ γὰρ παρὰ τὸ μὴ δάκνειν τὴν ἁμαρτίαν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὸ ἀναίσθητον εἶναι τὴν πλημμελοῦσαν ψυχήν. Ἐννόησον γοῦν τοὺς αἰσθανομένους τῶν οἰκείων ἁμαρτημάτων, πῶς τῶν τεμνομένων καὶ καιομένων πικρότερον ὀλολύζουσι, πόσα πράττουσι, πόσα πάσχουσι, πόσα πενθοῦσι καὶ ὀδύρονται, ὥστε ἀπαλλαγῆναι τοῦ πονηροῦ συνειδότος· ὅπερ οὐκ ἂν ἐποίησαν, εἰ μὴ σφόδρα ἤλγουν κατὰ ψυχήν.

4. Τὸ μὲν οὖν ἄμεινον, τὸ μηδὲ ὅλως ἁμαρτάνειν· τὸ δὲ μετ' ἐκεῖνο, τὸ ἁμαρτάνοντας αἰσθάνεσθαι καὶ διορθοῦσθαι. Εἰ δὲ μὴ τοῦτο ἔχοιμεν, πῶς δεησόμεθα τοῦ Θεοῦ καὶ ἄφεσιν αἰτησόμεθα ἁμαρτημάτων, οἱ τούτων μηδένα ποιούμενοι λόγον; Ὅταν γὰρ σὺ αὐτὸς ὁ πεπλημμεληκὼς μηδὲ αὐτὸ τοῦτο, ὅτι ἥμαρτες, εἰδέναι ἐθέλῃς, ὑπὲρ ποίων παρακαλέσεις τὸν Θεὸν πλημμελημάτων; ὑπὲρ ὧν οὐκ οἶδας; καὶ πῶς εἴσῃ τῆς εὐεργεσίας τὸ μέγεθος; Εἰπὲ τοίνυν σου τὰ πλημμελήματα κατ' εἶδος, ἵνα μάθῃς τίνων λαμβάνεις συγχώρησιν, ἵν' οὕτως εὐγνώμων γένῃ περὶ τὸν εὐεργέτην. Σὺ δὲ ἄνθρωπον μὲν παροξύνων, καὶ φίλους καὶ γείτονας καὶ θυρωροὺς παρακαλεῖς, καὶ χρήματα δαπανᾷς, καὶ πολλὰς ἀναλίσκεις ἡμέρας προσιὼν καὶ δεόμενος, κἂν ἅπαξ, κἂν δίς, κἂν μυριάκις σε διακρούσηται ὁ παροξυνθείς, οὐκ ἀναπίπτεις, ἀλλ' ἐναγώνιος μᾶλλον γενόμενος, πλείονα τὴν ἱκετηρίαν τίθῃς· τοῦ δὲ τῶν ὅλων Θεοῦ παροξυνομένου, χασμώμεθα καὶ ἀναπίπτομεν καὶ τρυφῶμεν καὶ μεθύομεν καὶ τὰ κατὰ συνήθειαν πάντα πράττομεν. Καὶ πότε αὐτὸν δυνησόμεθα ἵλεων ποιῆσαι; πῶς δὲ οὐκ αὐτῷ τούτῳ μειζόνως παροξυνοῦμεν;

---

1. Ἡ ἁμαρτία δαγκώνει. Ὁ πόνος αὐτὸς δημιουργεῖ συγχρόνως τὴν ἐλπίδα ἀπαλλαγῆς τοῦ ἁμαρτωλοῦ ἀπὸ τὴν ἁμαρτωλότητά του. Φοβερὸν θὰ ἦτο νὰ μὴ αἰσθάνεται κανεὶς τὸ δάγκωμα αὐτό, νὰ ἔχῃ δηλ. πωρωθῆ.

ραμερίσωμεν τὰ βιοτικὰ καὶ ἂς λαμβάνωμεν ὑπ' ὄψιν τὰ πνευματικὰ μόνον. Καὶ ἂν ἔχῃς προσηλωθῆ μὲ δύναμιν εἰς αὐτά, φρόντισε τότε καὶ δι' ἐκεῖνα. Μήτε νὰ ἀδιαφορῇς διὰ τὴν ἁμαρτίαν σου, ἐπειδὴ δὲν σοῦ προκαλεῖ πόνον· δι' αὐτὸ ἀκριβῶς νὰ στενάζῃς περισσότερον· ἐπειδὴ δὲν δοκιμάζεις λύπην διὰ τὴν ἁμαρτίαν σου. Τοῦτο συμβαίνει, ὄχι ἐπειδὴ ἡ ἁμαρτία δὲν δαγκώνει [1] ἀλλ' ἐπειδὴ εἶναι ἀναίσθητη ἡ ἁμαρτωλὴ ψυχή. Στοχάσου ἐκείνους ποὺ αἰσθάνονται τὰ ἁμαρτήματά των, πῶς κραυγάζουν σπαρακτικώτερα ἀπὸ ὅ,τι ὅσοι κομματιάζονται ἢ καίονται, καὶ τί κάμνουν, πόσον ὑποφέρουν, πόσον πενθοῦν καὶ κλαίουν, ὥστε νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν ἁμαρτωλὴν συνείδησιν. Τοῦτο δὲν θὰ τὸ ἔκαμναν, ἂν δὲν ᾐσθάνοντο σφοδρὸν ψυχικὸν ἄλγος.

4. Τὸ καλύτερον εἶναι νὰ μὴ ἁμαρτάνῃς καθόλου. Ὅ,τι ἔρχεται ἀμέσως ἔπειτα ἀπὸ αὐτὸ εἶναι νὰ συναισθάνεσαι τὴν ἁμαρτίαν σου καὶ νὰ διορθώνεσαι. Ἂν μᾶς λείπῃ τοῦτο, πῶς θὰ παρακαλέσωμεν τὸν Θεὸν καὶ θὰ ζητήσωμεν τὴν ἄφεσιν τῶν ἁμαρτημάτων μας, ἡμεῖς ποὺ δὲν τὰ λαμβάνομεν καθόλου ὑπ' ὄψιν μας; Ὅταν σὺ ὁ ἴδιος ποὺ ἡμάρτησες δὲν θέλεις μήτε τοῦτο νὰ ἀναγνωρίσῃς, ὅτι δηλαδὴ ἡμάρτησες, διὰ ποῖα σφάλματά σου θὰ παρακαλέσῃς τὸν Θεόν; Δι' αὐτὰ ποὺ δὲν ἀναγνωρίζεις; Καὶ πῶς θὰ ἀντιληφθῇς τὸ μέγεθος τῆς εὐεργεσίας; Ὁμολόγησε λοιπὸν μίαν μίαν τὰς ἁμαρτίας σου, διὰ νὰ μάθῃς διὰ ποίας λαμβάνεις τὴν συγχώρησιν καὶ νὰ αἰσθανθῇς εὐγνωμοσύνην πρὸς τὸν εὐεργέτην σου. Σὺ ὅμως ὅταν ἐρεθίσῃς κάποιον ἄνθρωπον, καὶ φίλους καὶ γείτονας καὶ θυρωροὺς παρακαλεῖς, καὶ χρήματα ἐξοδεύεις καὶ χάνεις πολλὰς ἡμέρας, διὰ νὰ πηγαίνῃς καὶ νὰ παρακαλῇς. Καὶ ἂν ὁ θυμωμένος μαζί σου σὲ ἀποκρούσῃ μίαν ἢ δύο καὶ ἀπείρους φοράς, δὲν ἀδρανεῖς ἀλλὰ μὲ αὔξουσαν ἀγωνίαν πολλαπλασιάζεις τὰς παρακλήσεις σου. Ὅταν ὅμως εἶναι θυμωμένος ὁ Θεὸς τῶν ὅλων, ἡμεῖς χασμώμεθα, ἡσυχάζομεν, συνεχίζομεν τὰς διασκεδάσεις μας καὶ τὴν μέθην καὶ δὲν ἀφήνομεν τὰς συνηθείας μας. Πότε θὰ ἠμπορέσωμεν νὰ τὸν ἐξιλεώσωμεν. Πῶς μὲ τὸν τρόπον μας αὐτὸν δὲν θὰ

Τοῦ γὰρ ἁμαρτάνειν τὸ μηδὲ ἀλγεῖν ἁμαρτάνοντας μᾶλλον ἀγανακτεῖν αὐτὸν ποιεῖ καὶ ὀργίζεσθαι. Διόπερ εἰς αὐτὴν λοιπὸν ἄξιον καταδῦναι τὴν γῆν, καὶ μηδὲ τὸν ἥλιον ὁρᾶν τοῦτον, μηδὲ ἀναπνεῖν ὅλως, ὅτι οὕτως εὐκατάλλακτον Δεσπότην ἔχοντες, παροξύνομέν τε αὐτόν, καὶ παροξύνοντες οὐδὲ μετανοοῦμεν· καίτοιγε αὐτός, οὐδὲ ὅταν ὀργίζηται, μισῶν καὶ ἀποστρεφόμενος ἡμᾶς τοῦτο ποιεῖ, ἀλλ' ἵνα κἂν οὕτως ἡμᾶς ἐπισπάσηται πρὸς ἑαυτόν. Εἰ γὰρ ὑβριζόμενος διηνεκῶς εὐηργέτει, μᾶλλον ἂν κατεφρόνησας. Ἵν' οὖν μὴ τοῦτο γένηται, ἀποστρέφεται πρὸς ὀλίγον, ἵνα διαπαντός σε ἔχῃ μεθ' ἑαυτοῦ.

Θαῤῥήσωμεν τοίνυν αὐτοῦ τῇ φιλανθρωπίᾳ, καὶ μετάνοιαν ἐπιδειξώμεθα μεμεριμνημένην, πρὶν ἢ τὴν ἡμέραν ἐπιστῆναι τὴν οὐκ ἐῶσαν ἡμᾶς κερδᾶναι ἐκ τούτου. Νῦν μὲν γὰρ ἐφ' ἡμῖν τὸ πᾶν κεῖται· τότε δέ ὁ δικάζων μόνος τῆς ψήφου γίνεται κύριος. «Προφθάσωμεν» τοίνυν «τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει», κλαύσωμεν, θρηνήσωμεν. Ἂν γὰρ δυνηθῶμεν παρακαλέσαι τὸν δικαστὴν πρὸ τῆς κυρίας ἀφεῖναι ἡμῖν τὰ ἁμαρτήματα, οὐδὲ εἰσόδου χρεία λοιπόν· ὥσπερ οὖν ἐὰν μὴ τοῦτο γένηται, δημοσίᾳ τῆς οἰκουμένης παρούσης ἡμῶν ἀκούσεται, καὶ οὐδεμία ἡμῖν ἔσται λοιπὸν συγγνώμης ἐλπίς. Οὐδεὶς γὰρ τῶν ἐνταῦθα μὴ διαλυσαμένων τὰ ἁμαρτήματα, ἀπελθὼν ἐκεῖ δυνήσεται τὰς ἐπὶ τούτοις εὐθύνας διαφυγεῖν· ἀλλ' ὥσπερ οἱ ἀπὸ τῶν δεσμωτηρίων τούτων μετὰ τῶν ἁλύσεων προσάγονται εἰς τὸ δικαστήριον, οὕτως αἱ ψυχαὶ πᾶσαι, ὅταν ἐντεῦθεν ἀπέλθωσι, τὰς ποικίλας περικείμενοι σειρὰς τῶν ἁμαρτημάτων, ἐπὶ τὸ βῆμα ἄγονται τὸ φοβερόν.

Καὶ γὰρ δεσμωτηρίου οὐδὲν ἄμεινον ὁ παρὼν βίος διάκειται· ἀλλ' ὥσπερ εἰς τὸ οἴκημα εἰσελθόντες ἐκεῖνο, πάντας ὁρῶμεν ἁλύσεις περικειμένους· οὕτω καὶ νῦν, ἂν τῆς φαντασίας τῆς ἔξωθεν ἑαυτοὺς ἀποστήσαντες, εἰς τὸν ἑκάστου βίον εἰσέλθωμεν,

---

1. Ψαλμ. 94, 2.

τὸν ἐξοργίσωμεν περισσότερον; Ἡ ἀναισθησία ποὺ συνοδεύει τὴν ἁμαρτίαν τὸν κάμνει νὰ ἀγανακτῇ καὶ νὰ ἐξοργίζεται περισσότερον ἀπὸ ὅ,τι ἡ ἰδία ἡ ἁμαρτία. Διὰ τοῦτο ἀξίζει νὰ κατέλθωμεν μέσα εἰς τὴν γῆν, νὰ μὴ ἀντικρύζωμεν τὸν ἥλιον, οὔτε κἂν νὰ ἀναπνέωμεν, ἐπειδή, μολονότι ἔχομεν ἕνα τόσον ἐπιεικῆ κύριον, τὸν θυμώνομεν καὶ ἀφοῦ τὸν θυμώνομεν, τοὐλάχιστον δὲν μετανοοῦμεν. Ἐνῷ ἐκεῖνος καὶ ὅταν θυμώνῃ, δὲν μᾶς μισεῖ οὔτε μᾶς ἀποστρέφεται, ἀλλὰ θέλει ἔστω καὶ μὲ τὸν τρόπον αὐτὸν νὰ μᾶς πάρῃ κοντά του. Διότι ἂν ἡμεῖς τὸν ὑβρίζαμεν καὶ ἐκεῖνος μᾶς εὐεργετοῦσεν ἀδιακόπως, θὰ τὸν ἐπεριφρονοῦσες περισσότερον. Διὰ νὰ μὴ γίνῃ τοῦτο, μᾶς ἀποστρέφεται πρὸς στιγμήν, διὰ νὰ μᾶς ἔχῃ διὰ παντὸς κοντά του.

Ἂς στηρίξωμεν λοιπὸν τὸ θάρρος μας εἰς τὴν φιλανθρωπίαν του καὶ ἂς δείξωμεν μετάνοιαν ἐπιμελῆ, πρὶν φθάσῃ ἡ ἡμέρα, κατὰ τὴν ὁποίαν ἡ μετάνοια δὲν θὰ μᾶς ὠφελήσῃ. Τώρα ὅλα τὰ ἔχομεν εἰς τὴν ἐξουσίαν μας· τότε ὅμως ὁ δικαστὴς μόνον εἶναι ὁ κύριος τῆς ἀποφάσεως. «Προφθάσωμεν τοίνυν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει»[1], ἂς κλαύσωμεν καὶ ἂς θρηνήσωμεν. Ἂν ἠμπορέσωμεν νὰ παρακαλέσωμεν τὸν δικαστὴν πρὸ τῆς δίκης νὰ συγχωρήσῃ τὰ ἁμαρτήματά μας, μήτε νὰ εἰσέλθωμεν εἰς τὸ δικαστήριον δὲν θὰ χρειασθῇ. Ὅπως πάλιν, ἂν δὲν γίνῃ τοῦτο, θὰ ἀκούσῃ τὴν ἀπολογίαν μας δημοσίᾳ, ἐπὶ παρουσίᾳ ὅλης τῆς οἰκουμένης, καὶ τότε δὲν θὰ ἔχωμεν ἐλπίδα συγχωρήσεως. Κανεὶς ἀπὸ ὅσους δὲν διέλυσαν ἐδῶ τὰ ἁμαρτήματά των, ὅταν ἀπέλθῃ ἐκεῖ δὲν θὰ ἀποφύγῃ τὰς εὐθύνας του δι' αὐτά. Ἀλλὰ ὅπως ἀπὸ τὰς φυλακὰς τῆς γῆς ὁδηγοῦνται οἱ φυλακισμένοι εἰς τὸ δικαστήριον δεμένοι μὲ τὰς ἁλυσίδας των, ἔτσι καὶ αἱ ψυχαὶ ὅλαι, ὅταν φύγουν ἀπὸ ἐδῶ, βαρημέναι ἀπὸ τὰς πολυπλόκους ἁλυσίδας τῶν ἁμαρτημάτων των, ὁδηγοῦνται εἰς τὸ φοβερὸν βῆμα.

Ἡ παροῦσα ζωὴ δὲν εἶναι καθόλου καλυτέρα ἀπὸ φυλακήν. Εἰς τὸ κτίριον ἐκεῖνο, ὅταν εἰσέλθωμεν, τοὺς βλέπομεν ὅλους δεμένους μὲ ἁλυσίδας. Καὶ τώρα ὅταν ἀποσύρωμεν τοὺς ὀφθαλμούς μας ἀπὸ τὰ ἐξωτερικὰ φαινόμενα καὶ εἰσέλθωμεν εἰς τὴν

εἰς τὴν ἑκάστου ψυχήν, ὀψόμεθα σιδήρου χαλεπώτερα δεσμὰ περικειμένην· καὶ μάλιστα ἂν εἰς τὰς τῶν πλουτούντων εἰσέλθῃς ψυχάς· ὅσῳ γὰρ ἂν πλείονα ὦσι περιβεβλημένοι, τοσούτῳ μᾶλλόν εἰσι δεδεμένοι. Ὥσπερ οὖν τὸν δεσμώτην ἐπειδὰν ἴδῃς καὶ ἐπὶ τοῦ νώτου, καὶ ἐπὶ τῶν χειρῶν, πολλάκις δὲ καὶ ἐπὶ τῶν ποδῶν σεσιδηρωμένον, διὰ τοῦτο μάλιστα ταλανίζεις, οὕτω καὶ τὸν πλούσιον, ὅταν θεάσῃ μυρία περιβεβλημένον πράγματα, μὴ διὰ ταῦτα πλούσιον, ἀλλ' δι' αὐτὰ μὲν οὖν ταῦτα ἄθλιον εἶναι νόμιζε· μετὰ γὰρ τῶν δεσμῶν τούτων καὶ δεσμοφύλακα ἔχει χαλεπόν, τὸν πονηρὸν ἔρωτα τῶν χρημάτων· ὃς οὐκ ἀφίησιν ὑπερβῆναι τοῦτο τὸ δεσμωτήριον, ἀλλὰ μυρίας αὐτῷ κατασκευάζει πέδας καὶ φύλακας καὶ θύρας καὶ μοχλούς, καὶ εἰς τὴν ἐνδοτέραν αὐτὸν ἐμβαλὼν φυλακήν, πείθει καὶ ἥδεσθαι τοῖς δεσμοῖς τούτοις, ἵνα μηδὲ ἐλπίδα τινὰ ἀπαλλαγῆς εὕρῃ τῶν ἐπικειμένων κακῶν. Κἂν ἀποκαλύψῃς τῷ λογισμῷ τὴν ψυχὴν ἐκείνου, οὐ δεδεμένην μόνον, ἀλλὰ καὶ αὐχμῶσαν καὶ ῥυπῶσαν καὶ φθειρῶν γέμουσαν ὄψει. Οὐδὲν γὰρ ἐκείνων ἀμείνους αἱ τῆς τρυφῆς ἡδοναί, ἀλλὰ καὶ βδελυρώτεραι καὶ μᾶλλον τὸ σῶμα αὐτῶν λυμαίνονται μετὰ καὶ τῆς ψυχῆς καὶ τούτῳ κἀκείνῃ μυρίας ἐπιφέρουσι νοσημάτων πληγάς.

Διὰ δὴ ταῦτα πάντα τὸν Λυτρωτὴν τῶν ψυχῶν τῶν ἡμετέρων παρακαλέσωμεν, ἵνα καὶ τὰ δεσμὰ διαῤῥήξῃ, καὶ τὸν χαλεπὸν ἡμῶν τοῦτον ἀποστήσῃ φύλακα, καὶ τοῦ φορτίου τῶν σιδηρῶν ἐκείνων ἁλύσεων ἀπαλλάξας, πτεροῦ κουφότερον ἡμῖν ποιήσῃ τὸ φρόνημα. Παρακαλοῦντες δὲ αὐτόν, καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, σπουδὴν καὶ γνώμην καὶ προθυμίαν ἀγαθήν. Οὕτω γὰρ δυνησόμεθα καὶ ἐν βραχεῖ καιρῷ τῶν κατεχόντων ἡμᾶς ἀπαλλαγῆναι κακῶν, καὶ μαθεῖν ἐν οἷς ἦμεν τὸ πρότερον, καὶ τῆς προσηκούσης ἀντιλαβέσθαι ἐλευθερίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ζωὴν καθενός, εἰς τὴν ψυχὴν καθενός, θὰ τὴν ἀντικρύσωμεν νὰ εἶναι δεμένη μὲ χειροτέρας ἀπὸ σιδηρᾶς ἁλυσίδας. Ἀκόμη χειρότερα, ὅταν εἰσέλθῃς μέσα εἰς τὰς ψυχὰς τῶν πλουσίων· ὅσα περισσότερα ἐνδύματα φοροῦν, τόσον περισσότερον εἶναι δεμένοι. Ὅταν ἰδῇς τὸν δεσμώτην μὲ σιδηρένια δεσμὰ καὶ εἰς τὴν πλάτην καὶ εἰς τὰ χέρια καὶ συχνὰ καὶ εἰς τὰ πόδια, τὸν κακοτυχίζεις ὑπερβολικά. Ἔτσι καὶ τὸν πλούσιον. Ὅταν τὸν ἰδῇς νὰ ἔχῃ φορέσει ἀμέτρητα πράγματα, ὄχι πλούσιον ἀλλὰ δι' αὐτὰ ἀκριβῶς νὰ τὸν θεωρῇς ἀξιολύπητον. Διότι ἐκτὸς ἀπὸ τὰ δεσμὰ αὐτὰ ἔχει καὶ δεσμοφύλακα βαρύν, τὴν ἁμαρτωλὴν ἐπιθυμίαν τῶν χρημάτων. Αὐτὴ δὲν τὸν ἀφήνει νὰ πηδήσῃ τοὺς τοίχους τῆς φυλακῆς του ἀλλὰ τοῦ κατασκευάζει πλῆθος δεσμὰ καὶ φύλακας καὶ θύρας καὶ μοχλούς· καὶ ἀφοῦ τὸν ρίψῃ εἰς τὸ βαθύτερον μέρος τῆς φυλακῆς τὸν κάμνει ἀκόμη καὶ νὰ χαίρεται μὲ τὰ δεσμὰ αὐτά, διὰ νὰ μὴ τοῦ γεννηθῇ μήτε ἐλπίδα ἀπαλλαγῆς ἀπὸ τὰ δεινὰ ποὺ τὸν ἀναμένουν. Καὶ ἂν ξεσκεπάσῃς μὲ τὴν φαντασίαν σου τὴν ψυχήν του, δὲν θὰ τὴν ἰδῇς σιδηροδέσμιον μόνον ἀλλὰ καὶ βρωμερὰν καὶ ρυπαρὰν καὶ γεμάτην ἀπὸ ζωύφια. Διότι βέβαια καθόλου καλύτεραι ἀπὸ αὐτὰ δὲν εἶναι αἱ σαρκικαὶ ἡδοναὶ ἀλλὰ πιὸ σιχαμεραὶ καὶ χειρότερα ἀπὸ αὐτὰ καταστρέφουν τὸ σῶμα μαζὶ μὲ τὴν ψυχήν των καὶ προξενοῦν εἰς αὐτὸ καὶ εἰς ἐκείνην ἀμέτρητα νοσηρὰ ἕλκη.

Δι' αὐτὰ λοιπὸν ὅλα ἂς παρακαλέσωμεν τὸν Λυτρωτὴν τῶν ψυχῶν μας, καὶ τὰ δεσμά μας νὰ σπάσῃ καὶ τὸν σκληρὸν τοῦτον φύλακα νὰ ἀπομακρύνῃ· νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὸ ἀσήκωτον φορτίον τῶν σιδηρένιων ἐκείνων ἁλυσίδων καὶ νὰ κάμῃ τὸ φρόνημά μας ἐλαφρότερον καὶ ἀπὸ πτερόν. Ἔτσι θὰ ἐπιτύχωμεν καὶ μάλιστα εἰς σύντομον χρόνον νὰ ἀπαλλαγοῦμεν ἀπὸ τὰ βάρη ποὺ μᾶς πιέζουν, νὰ ἀντιληφθοῦμεν ποῦ ἐζούσαμεν ἕως τότε, καὶ ἀκόμη νὰ κερδίσωμεν τὴν ἐλευθερίαν ποὺ ἁρμόζει εἰς ἡμᾶς. Αὐτὴν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΕ'.
Ματθ. 5, 1 - 16

«Ἰδὼν δὲ ὁ Ἰησοῦς τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς, λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν».

1. Ὅρα τὸ ἀφιλότιμον καὶ ἀκόμπαστον. Οὐ γὰρ περιῆγεν αὐτοὺς μεθ' ἑαυτοῦ, ἀλλ' ὅτε μὲν θεραπεῦσαι ἔδει, αὐτὸς περιῄει πανταχοῦ, καὶ πόλεις καὶ χώρας ἐπισκοπούμενος· ὅτε δὲ πολὺς ὄχλος γέγονεν, ἐν ἑνὶ καθέζεται χωρίῳ· καὶ οὐκ ἐν πόλει καὶ ἀγορᾷ μέσῃ, ἀλλ' ἐν ὄρει καὶ ἐρημίᾳ, παιδεύων ἡμᾶς μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν, καὶ τῶν ἐν μέσῳ θορύβων ἀπαλλάττεσθαι, καὶ μάλιστα ὅταν φιλοσοφεῖν δέῃ, καὶ περὶ ἀναγκαίων διαλέγεσθαι πραγμάτων.

Ἀναβάντος δὲ αὐτοῦ καὶ καθίσαντος, προσῆλθον οἱ μαθηταί. Εἶδες αὐτῶν τὴν ἐπίδοσιν τῆς ἀρετῆς καὶ πῶς ἀθρόον βελτίους ἐγένοντο; Οἱ μὲν γὰρ πολλοί, τῶν θαυμάτων ἦσαν θεαταί· οὗτοι δὲ καὶ ἀκοῦσαί τι λοιπὸν ἐπεθύμουν μέγα καὶ ὑψηλόν· ὅπερ οὖν αὐτὸν καὶ εἰς τὴν διδασκαλίαν ἐνέβαλε καὶ τῶν λόγων ἄρξασθαι τούτων ἐποίησεν. Οὐδὲ γὰρ σώματα ἐθεράπευε μόνον, ἀλλὰ καὶ ψυχὰς διώρθου, καὶ πάλιν ἀπὸ τῆς τούτων ἐπιμελείας ἐπὶ τὴν ἐκείνων μετέβαινε θεραπείαν, ποικίλλων τε ὁμοῦ τὴν ὠφέλειαν καὶ ἀναμιγνὺς τῇ τῶν λόγων διδασκαλίᾳ τὴν ἀπὸ τῶν ἔργων ἐπίδειξιν, καὶ τὰ ἀναίσχυντα τῶν αἱρετικῶν ἐμφράττων στόματα, δι' ὧν ἑκατέρας οὐσίας ἐκήδετο, δεικνὺς ὅτι ὁλοκλή-

ΟΜΙΛΙΑ ΙΕ'
Ματθ. 5, 1 - 16.

«Ἰδὼν δὲ ὁ Ἰησοῦς τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν».

1. Κοίταξε ταπεινότητα καὶ μετριοφροσύνην! Ἀποφεύγει νὰ περιφέρεται μὲ πλήθη λαοῦ, καὶ ὅταν ἔπρεπε νὰ θεραπεύσῃ, περιώδευεν ὁ ἴδιος παντοῦ καὶ ἐπεσκέπτετο πόλεις καὶ χώρας· ὅταν ἀντιθέτως ἐσυγκεντρώθη πολὺς κόσμος, ἐπῆγε καὶ ἐκάθισεν εἰς κάποιον τόπον· καὶ μάλιστα ὄχι μέσα εἰς κάποιαν πόλιν καὶ εἰς τὸ κέντρον της, ἀλλὰ εἰς ὄρος καὶ ἔρημον τόπον, καὶ μᾶς ἐδίδαξε νὰ μὴ ἐνεργοῦμεν τίποτε πρὸς ἐπίδειξιν, καὶ μάλιστα ὅταν εἶναι ὥρα ποὺ πρέπει νὰ ἀσχοληθοῦμεν μὲ σοβαρώτατα θέματα καὶ νὰ συζητήσωμεν διὰ ζητήματα ἀποφασιστικῆς σημασίας.

Καὶ μόλις ἔφθασεν ἐκεῖ καὶ ἐκάθισεν, ἔτρεξαν κοντά του οἱ μαθηταί του. Βλέπεις πόσον ἐνάρετοι ἔγιναν καὶ πόσον ἐβελτιώθησαν ὅλοι μαζί; Τὰ θαύματα τὰ ἔβλεπαν βεβαίως πολλοί. Αὐτοὶ ὅμως ἐπιθυμοῦσαν ἐπὶ πλέον νὰ ἀκούσουν κάτι τὸ σπουδαῖον καὶ τὸ ὑπέροχον. Αὐτὸ ἀκριβῶς τὸν ὤθησε νὰ τοὺς διδάξῃ καὶ τὸν ἔκαμε ν' ἀρχίσῃ τὴν ὁμιλίαν αὐτήν. Διότι δὲν ἐθεράπευε μόνον σώματα, ἀλλὰ ἐσωφρόνιζε καὶ ψυχὰς καὶ διεδέχετο τὴν φροντίδα του διὰ τὰς ψυχὰς ἡ θεραπεία τῶν σωμάτων. Ἔτσι ὠφελοῦσε ποικιλοτρόπως καί, ἐνῷ ἐδίδασκε μὲ τὸν λόγον, ἐγίνετο τὸ ὑπόδειγμα μὲ τὴν συμπεριφοράν του καί, ἐπειδὴ ἐφρόντιζε καὶ διὰ τὴν ψυχὴν καὶ διὰ τὸ σῶμα, ἔκλεισε τὰ ἀδιάντροπα στόματα τῶν αἱρετικῶν καὶ ἀπέδειξεν ὅτι εἶναι

ρου τοῦ ζώου αὐτός ἐστι Δημιουργός. Διὸ καὶ πολλῆς ἑκατέρᾳ τῇ φύσει μεταδίδου προνοίας, νῦν μὲν ἐκείνην, νῦν δὲ ταύτην διορθούμενος. Ὃ δὴ καὶ τότε ἐποίει.

«Ἀνοίξας γάρ», φησί, «τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς». Καὶ τίνος ἕνεκεν πρόσκειται τό, «Ἀνοίξας τὸ στόμα αὐτοῦ»; Ἵνα μάθης ὅτι καὶ σιγῶν ἐπαίδευεν, οὐχί φθεγγόμενος μόνον, ἀλλὰ νῦν μὲν τὸ στόμα ἀνοίγων, νῦν δὲ τὴν ἀπὸ τῶν ἔργων ἀφιεὶς φωνήν. Ὅταν δὲ ἀκούσῃς, ὅτι «Ἐδίδασκεν αὐτούς», μὴ τοῖς μαθηταῖς αὐτὸν διαλέγεσθαι νόμιζε μόνον, ἀλλὰ καὶ δι' ἐκείνων ἅπασιν. Ἐπειδὴ γὰρ τὸ πλῆθος δημῶδες ἦν, ἔτι δὲ καὶ τῶν χαμαὶ συρομένων, τῶν μαθητῶν τὸν χορὸν ὑποστησάμενος, πρὸς ἐκείνους ποιεῖται τοὺς λόγους, ἐν τῇ πρὸς αὐτοὺς διαλέξει καὶ τοῖς λοιποῖς ἅπασι, τοῖς σφόδρα ἀποδέουσι τῶν λεγομένων, ἀνεπαχθῆ γίνεσθαι παρασκευάζων τῆς φιλοσοφίας τὴν διδασκαλίαν. Ὅπερ οὖν καὶ ὁ Λουκᾶς αἰνιττόμενος ἔλεγεν ὅτι τὸν λόγον ἀπέστρεψε πρὸς αὐτούς· καὶ ὁ Ματθαῖος δὲ αὐτὸ τοῦτο δηλῶν ἔγραφεν, ὅτι «Προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ καὶ αὐτοὺς ἐδίδασκεν». Οὕτω γὰρ καὶ οἱ λοιποὶ προσέχειν ἔμελλον προθυμότερον, ἢ εἰ πρὸς ἅπαντας ἀπετείνατο.

Πόθεν οὖν ἄρχεται καὶ ποῖα θεμέλια τίθησι τῆς καινῆς πολιτείας ἡμῖν; Ἀκούσωμεν μετὰ ἀκριβείας τῶν λεγομένων· εἴρηται μὲν γὰρ πρὸς ἐκείνους, ἐγγράφη δὲ καὶ διὰ τοὺς μετὰ ταῦτα ἅπαντας. Διὰ δὴ τοῦτο προσεῖχε μὲν τοῖς μαθηταῖς δημηγορῶν· οὐκ εἰς ἐκείνους δὲ περιίστησι τὰ λεγόμενα, ἀλλ' ἀδιορίστως προσάγει τοὺς μακαρισμοὺς ἅπαντας. Οὐδὲ γὰρ εἶπε, Μακάριοί ἐστε ὑμεῖς, ἐὰν πτωχοὶ γένησθε, ἀλλά, «Μακάριοι

---

1. Καὶ σήμερα χρησιμοποιοῦμεν τὴν φράσιν: Ὁμιλοῦν τὰ ἔργα. Καὶ ὁ Δημοσθένης (Ὀλ. Α,2) λέγει: «Ὁ μὲν οὖν παρὼν καιρὸς μόνον οὐχὶ λέγει φωνὴν ἀφιείς. . . ».

2. Λουκᾶ 6,27

ὁ ἴδιος Δημιουργὸς τῆς ὑλικῆς καὶ τῆς πνευματικῆς φύσεως τοῦ ἀνθρώπου. Διὰ τοῦτο ἐμεριμνοῦσε πολὺ καὶ διὰ τὰς δύο καὶ ἐθεράπευε πότε τὴν μίαν καὶ πότε τὴν ἄλλην. Τοῦτο ἀκριβῶς ἔκαμε καὶ εἰς ἐκείνην τὴν περίπτωσιν.

Λέγει λοιπὸν ὁ Εὐαγγελιστής· «Ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς». Ἀλλὰ διὰ τί ἐπρόσθεσε τὴν φράσιν «Ἀνοίξας τὸ στόμα αὐτοῦ»; Διὰ νὰ ἐννοήσῃς ὅτι ἐδίδασκεν ὄχι μόνον ὅταν ὡμιλοῦσεν, ἀλλὰ καὶ ὅταν ἐσιωποῦσεν, ὅτι ἐδίδασκεν ἄλλοτε μὲ τὰ λόγια ποὺ ἔβγαιναν ἀπὸ τὸ στόμα του καὶ ἄλλοτε μὲ τὴν φωνὴν [1] ποὺ ἔβγαινεν ἀπὸ τὰ ἔργα του. Καὶ ὅταν ἀκούσῃς ὅτι «Ἐδίδασκεν αὐτούς», μὴ νομίσῃς ὅτι ἐσυζητοῦσε μονάχα μὲ τοὺς μαθητάς, ἀλλά, μέσῳ αὐτῶν, μὲ ὅλους. Ἐπειδὴ δηλαδὴ οἱ ἀκροαταί του ἦσαν ὁ κοινὸς λαός, ἀκόμη καὶ ἀπὸ τὰ χαμηλότερα στρώματα, ἐθεώρησεν ὡς ἐκπροσώπους των τὴν ὁμάδα τῶν μαθητῶν, ὁμιλεῖ πρὸς αὐτοὺς καί, μὲ τὴν συζήτησίν του μὲ αὐτούς, εὑρίσκει τρόπον νὰ γίνῃ εὔκολη καὶ δι' ὅλους τοὺς ὑπολοίπους, ὅσοι εἶναι ἐντελῶς ἀνίκανοι νὰ κατανοήσουν τὰ λεγόμενα, ἡ διδασκαλία τῶν ὑψηλῶν θρησκευτικῶν ἀληθειῶν. Αὐτὸ ἀσφαλῶς θέλει νὰ δείξῃ καὶ ὁ Λουκᾶς ὅταν λέγῃ ὅτι ἀπηύθυνε τὸν λόγον πρὸς αὐτούς[2]· Καὶ ὁ Ματθαῖος εἶπε τὸ ἴδιο μὲ τὰ ἑξῆς λόγια· «Προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ καὶ αὐτοὺς ἐδίδασκεν». Διότι μὲ αὐτὸν τὸν τρόπον ἦτο ἑπόμενον νὰ παρακολουθοῦν καὶ οἱ ὑπόλοιποι τὴν διδασκαλίαν μὲ περισσοτέραν προσοχήν, παρὰ ἐὰν ἀπηυθύνετο πρὸς ὅλους συγχρόνως.

Ἀπὸ ποῦ ἀρχίζει λοιπὸν καὶ ποῖα εἶναι τὰ θεμέλια ποὺ μᾶς καθορίζει διὰ τὸν νέον τρόπον ζωῆς; Ἂς ἀκούσωμεν μὲ πολλὴν προσοχὴν τοὺς λόγους του. Διότι, ἂν καὶ ἀπηυθύνετο πρὸς τοὺς μαθητάς, ἐγράφησαν καὶ δι' ὅλους τοὺς συγχρόνους καὶ τοὺς μεταγενεστέρους. Διὰ τοῦτο βεβαίως εἶχεν ἐνώπιόν του τοὺς μαθητάς του καὶ τοὺς ὡμιλοῦσε. Τὰ λόγια του δὲν τὰ προορίζει μόνον δι' αὐτούς, ἀλλὰ ἐκφράζει ὅλους τοὺς μακαρισμοὺς μὲ ἐντελῶς γενικὸν καὶ ἀόριστον ὑποκείμενον. Δὲν εἶπε δηλαδή· Ἐσεῖς εἶσθε μακάριοι, ἂν γίνετε πτωχοί, ἀλλὰ «Μακά-

οἱ πτωχοί». Καίτοι καὶ εἰ ἐκείνους εἰρήκει, κοινὰ τὰ τῆς συμβουλῆς ἔμελλε γίνεσθαι. Καὶ γὰρ ὅταν λέγῃ· «Ἰδοὺ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος», οὐ πρὸς ἐκείνους διαλέγεται μόνους, ἀλλὰ καὶ δι' ἐκείνων πρὸς τὴν οἰκουμένην ἅπασαν· καὶ ὅταν αὐτοὺς μακαρίζῃ διωκομένους καὶ ἐλαυνομένους καὶ τὰ ἀνήκεστα πάσχοντας, οὐκ ἐκείνοις μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς τὰ αὐτὰ κατορθοῦσι πλέκει τὸν στέφανον. Πλὴν ἀλλ' ἵνα καὶ σαφέστερον τοῦτο γένηται, καὶ μάθῃς ὅτι πρὸς σὲ ἔχει κοινωνίαν πολλὴν τὰ λεγόμενα, καὶ πρὸς τὴν φύσιν δὲ ἅπασαν τὴν ἀνθρωπίνην, εἴ τις βούλοιτο προσέχειν, ἄκουσον πῶς τῶν θαυμασίων τούτων ἄρχεται λόγων· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν». Τί ἐστιν, «Οἱ πτωχοὶ τῷ πνεύματι»; Οἱ ταπεινοὶ καὶ συντετριμμένοι τὴν διάνοιαν. Πνεῦμα γὰρ ἐνταῦθα τὴν ψυχὴν καὶ τὴν προαίρεσιν εἴρηκεν. Ἐπειδὴ γάρ εἰσι πολλοὶ ταπεινοί, οὐχ ἑκόντες, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης βιαζόμενοι, ἀφεὶς ἐκείνους (οὐδὲ γὰρ ἂν εἴη τοῦτο ἐγκώμιον), τοὺς ἀπὸ προαιρέσεως ἑαυτοὺς ταπεινοῦντας καὶ καταστέλλοντας μακαρίζει πρώτους.

Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, Οἱ ταπεινοὶ ἀλλ', «Οἱ πτωχοί»; Ὅτι τοῦτο ἐκείνου πλέον. Τοὺς γὰρ κατεπτηχότας ἐνταῦθά φησι, καὶ τρέμοντας τοῦ Θεοῦ τὰ ἐπιτάγματα, οὓς διὰ Ἡσαΐου τοῦ προφήτου σφόδρα ἀποδεχόμενος ὁ Θεός, ἔλεγεν· «Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;».

2. Καὶ γὰρ πολλοὶ τῆς ταπεινοφροσύνης οἱ τρόποι· καὶ ὁ μέν ἐστι ταπεινὸς συμμέτρως, ὁ δὲ μεθ' ὑπερβολῆς ἁπάσης. Ταύτην καὶ ὁ μακάριος προφήτης ἐπαινεῖ τὴν ταπεινοφροσύ-

---

1. Ματθ. 28,20
2. Ἠσ. 66,2

ριοι οἱ πτωχοί». Ἂν καὶ ὡμιλοῦσε πρὸς τοὺς μαθητάς, ἡ διδασκαλία του ἴσχυε δι' ὅλους τοὺς ἀνθρώπους. Διότι, ὅταν λέγῃ· «Ἰδοὺ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»[1], δὲν ἀπευθύνεται πρὸς τοὺς μαθητὰς μόνον, ἀλλὰ μέσῳ ἐκείνων ἀπευθύνεται πρὸς ὅλην τὴν οἰκουμένην. Καὶ ὅταν τοὺς μακαρίζῃ διὰ τοὺς διωγμοὺς καὶ τὰς ἐξορίας καὶ τὰς τρομερὰς ταλαιπωρίας των δὲν ὑπόσχεται ἀμοιβὴν εἰς αὐτοὺς μόνον, ἀλλὰ καὶ εἰς ὅλους ἐκείνους ποὺ ἐπιδεικνύουν τὴν ἰδίαν ἀξιέπαινον διαγωγήν. Ἀλλά, διὰ νὰ γίνουν σαφέστερα αὐτὰ καὶ νὰ βεβαιωθῇς ὅτι αὐτὰ τὰ λόγια ἀναφέρονται ἀσφαλῶς εἰς ἐσένα καὶ εἰς ὅλον τὸ γένος τῶν ἀνθρώπων, ἂν θελήσῃ κανεὶς νὰ ἐπιδείξῃ ἰδιαίτερον ζῆλον, ἄκουσε πῶς ἀρχίζει τὰ ἀξιοθαύμαστα αὐτὰ λόγια· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν». Τί σημαίνει, «Οἱ πτωχοὶ τῷ πνεύματι»; Ἐκεῖνοι ποὺ διακρίνονται διὰ τὴν ταπεινοφροσύνην των καὶ τὴν ὑποταγήν των εἰς τὸν Θεόν. Διότι ἡ λέξις «πνεῦμα» σημαίνει εἰς τὴν φράσιν αὐτὴν τὸν λογισμὸν καὶ τὴν βούλησιν. Ἐπειδὴ δηλαδὴ ὑπάρχουν πολλοὶ ποὺ δὲν εἶναι ἐνσυνειδήτως ταπεινοί, ἀλλὰ τοὺς ἀναγκάζει ἡ κατάστασις νὰ εἶναι ταπεινοί, τοὺς παρέλειψεν αὐτοὺς (διότι ἡ ταπεινοφροσύνη των δὲν εἶναι ἀξιέπαινη) καὶ μακαρίζει πρῶτα ἐκείνους ποὺ εἶναι ἐνσυνειδήτως ταπεινόφρονες καὶ ὑπακούουν εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ.

Ἀλλὰ διατί δὲν εἶπεν οἱ ταπεινοί, ἀλλὰ εἶπεν «Οἱ πτωχοί»; Διότι τὸ δεύτερον εἶναι ἐντονώτερον ἀπὸ τὸ πρῶτον. Ἐδῶ δηλαδὴ ἐννοεῖ ἐκείνους ποὺ σέβονται καὶ φοβοῦνται τοῦ Θεοῦ τὰς ἐντολάς, ἐκείνους ποὺ θεωρεῖ ὁ Θεὸς εὐσεβεῖς καὶ διὰ τοὺς ὁποίους εἶπε μέσῳ τοῦ Ἠσαΐου· «Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιονκαὶ τρέμον τά μου τοὺς λόγους;[2]».

2. Ὑπάρχουν ἀσφαλῶς πολλοὶ βαθμοὶ ταπεινοφροσύνης. Ἕνας ἔχει τὴν ταπεινοφροσύνην εἰς μέτριον βαθμόν, ἄλλος εἰς πάρα πολὺ μεγάλον. Αὐτὴν τὴν ταπεινοφροσύνην ἐπαινεῖ μὲ ὅσα λέγει καὶ ὁ εὐλογημένος ἀπὸ τὸν Θεὸν προφήτης καὶ διὰ τοῦτο δὲν ἀπαιτεῖ ἁπλῆν ταπείνωσιν τοῦ ψυχικοῦ μας κό-

νην, οὐ τὴν ἁπλῶς κατεσταλμένην ἡμῖν διάνοιαν ὑπογράφων, ἀλλὰ τὴν σφόδρα συντεθραυμένην, δι' ὧν φησι· «Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει».Καὶ οἱ παῖδες δὲ οἱ τρεῖς ταύτην ἀντὶ θυσίας μεγάλης προσάγουσι τῷ Θεῷ λέγοντες· «'Αλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν». Ταύτην καὶ ὁ Χριστὸς μακαρίζει νῦν. 'Επειδὴ γὰρ τὰ μέγιστα τῶν κακῶν καὶ τὴν οἰκουμένην λυμηνάμενα ἅπασαν ἐξ ἀπονοίας εἰσῆλθεν· ὅ τε γὰρ διάβολος, οὐκ ὢν πρὸ τούτου τοιοῦτος, οὕτω διάβολος γέγονεν· ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ἵνα μὴ τυφλωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου»· ὅ τε πρῶτος ἄνθρωπος ταύταις παρὰ τοῦ διαβόλου φυσηθεὶς ταῖς ἐλπίσιν ἐξετραχηλίσθη καὶ θνητὸς ἐγένετο· προσδοκήσας γὰρ ἔσεσθαι θεός, καὶ ὅπερ εἶχεν ἀπώλεσεν· ὅπερ οὖν καὶ ὁ Θεὸς ὀνειδίζων αὐτῷ καὶ τὴν ἄνοιαν αὐτοῦ κωμῳδῶν, ἔλεγεν· «'Ιδοὺ 'Αδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν».Καὶ ἕκαστος δὲ τῶν μετὰ ταῦτα ἐντεῦθεν εἰς ἀσέβειαν ἐξώκειλεν, ἰσοθεΐαν φαντασθείς.

'Επεὶ οὖν αὕτη τῶν κακῶν ἡ ἀκρόπολις ἦν καὶ ἡ ῥίζα καὶ ἡ πηγὴ τῆς πονηρίας ἁπάσης, τῷ νοσήματι τὸ κατάλληλον κατασκευάζων φάρμακον, ὥσπερ θεμέλιον ἰσχυρόν τινα καὶ ἀσφαλῆ τοῦτον πρῶτον κατεβάλετο τὸν νόμον. Ταύτης γὰρ ὑποκειμένης, μετὰ ἀαφαλείας ἅπαντα τὰ ἄλλα ἐπιτίθησιν ὁ οἰκοδομῶν· ταύτης δὲ ἐνηρημένης, κἂν μέχρι τῶν οὐρανῶν φθάσῃ πολιτευόμενος, ἅπαντα ὑποσύρεται ῥᾳδίως καὶ εἰς χαλεπὸν καταστρέφει τέλος. Κἂν νηστείαν, κἂν εὐχήν, κἂν ἐλεημοσύνην, κἂν σωφροσύνην, κἂν ἄλλ' ὁτιοῦν συναγάγῃς ἀγαθόν,ταπεινοφροσύνης χωρίς, διαῤῥεῖ καὶ ἀπόλλυται ἅπαντα. Ὅπερ οὖν καὶ ἐπὶ τοῦ Φαρισαίου γέγονε. Καὶ γὰρ μετὰ τὸ φθάσαι εἰς αὐτὴν τὴν κορυφήν, πάντα ἀπολέσας κατέβη, ἐπειδὴ τὴν μητέρα

1. Ψαλμ. 50,19
2. Δαν. 3,39
3. Α' Τιμ. 3,6
4. Γεν. 3,22
5. Λουκᾶ κεφ. 18

σμου, ἀλλὰ ἀπόλυτον ὑποταγήν του εἰς τὸ θέλημα τοῦ Θεοῦ· «Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ ταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει»[1]. Καὶ οἱ τρεῖς παῖδες ἐπρόσφεραν εἰς τὸν Θεόν, ἀντὶ πλουσίας θυσίας, αὐτοῦ τοῦ εἴδους τὴν ψυχικὴν ταπείνωσιν καὶ εἶπαν· «Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν»[2]. Αὐτοῦ τοῦ εἴδους τὴν ταπείνωσιν μακαρίζει καὶ ὁ Χριστὸς ἐδῶ. Ἐπειδὴ δηλαδὴ τὰ χειρότερα καὶ τὰ ὀλεθριώτερα διὰ τὸν ἄνθρωπον κακὰ ἔχουν τὴν ἀρχήν των εἰς τὴν ἀλαζονείαν. Διότι ἐξ αἰτίας της ἔγινε καὶ ὁ διάβολος διάβολος, ἐνῷ ἐξ ἀρχῆς δὲν ἦτο. Τοῦτο ἀκριβῶς θέλει νὰ μᾶς κάμῃ γνωστὸν καὶ ὁ Παῦλος ὅταν λέγῃ· «Ἵνα μὴ τυφλωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου»[3]· Καὶ οἱ πρωτόπλαστοι παρεσύσθησαν ἀπὸ τὸν διάβολον, ποὺ τοὺς κατέστησεν ἀναιδεῖς, ἀπεμακρύνθησαν ἀπὸ τὸν ὀρθὸν δρόμον καὶ ἔγιναν θνητοί. Ἐνῷ λοιπὸν ἐπερίμεναν νὰ γίνουν Θεοί, ἔχασαν καὶ ὅσα εἶχαν. Αὐτὸ βεβαίως ἐννοοῦσε καὶ ὁ Θεὸς ὅταν τοὺς ἐπιτιμοῦσε καὶ τοὺς ἐκατηγοροῦσε μὲ τὰ λόγια· «Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν»[4]. Δι' αὐτὸν τὸν λόγον, ἐπειδὴ δηλαδὴ ἐφαντάσθησαν ὅτι θὰ γίνουν ἴσοι μὲ τὸν Θεόν, ἔγιναν ἀσεβεῖς καὶ οἱ ἀπόγονοι τοῦ Ἀδάμ.

Ἐπειδὴ λοιπὸν ἡ ἀλαζονεία ἦτο ἡ κορυφὴ τῶν κακῶν καὶ ἡ ρίζα καὶ ἡ πηγὴ ὅλων τῶν ἐλαττωμάτων, εὑρῆκε τὸ φάρμακον τὸ κατάλληλον διὰ τὴν ἀσθένειαν αὐτὴν καὶ καθώρισεν ὡς θεμελιώδη ἀρετὴν τὴν ἀποτελεσματικὴν καὶ σταθερὰν καὶ βασικὴν αὐτὴν ἀρχήν. Διότι, ὅταν τεθῇ αὐτὴ ὡς θεμέλιον, κτίζει ὁ οἰκοδόμος μὲ ἀσφάλειαν ὅλα τὰ ἄλλα, ἐπάνω εἰς αὐτήν. Ἂν ὅμως ἐξαφανισθῇ αὐτή, κρημνίζονται ὅλα εὐκόλως καὶ καταλήγουν εἰς ὀδυνηρὰν καταστροφήν, ἔστω καὶ ἂν φθάσῃς μέχρι τῶν οὐρανῶν διὰ τῶν ἄλλων ἔργων σου. Ὁποιανδήποτε ἀρετὴν καὶ ἂν ἔχῃς, ἀκόμη καὶ ἂν νηστεύῃς καὶ προσεύχεσαι καὶ δίδῃς ἐλεημοσύνην καὶ εἶσαι εὐσεβής, ὅλα ἐξανεμίζονται καὶ χάνονται ἂν δὲν σὲ διακρίνῃ ἡ ταπεινοφροσύνη. Αὐτὸ ἀκριβῶς συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Φαρισαίου[5]. Διότι, ἀφοῦ ἔφθασεν ἀκριβῶς εἰς τὴν κορυφήν, ἔχασεν τὰ πάν-

τῶν ἀγαθῶν οὐκ εἶχεν. Ὥσπερ γὰρ ἡ ἀπόνοια πηγὴ κακίας ἁπάσης ἐστίν, οὕτως ἡ ταπεινοφροσύνη φιλοσοφίας ἁπάσης ἀρχή. Διὸ καὶ ἐντεῦθεν ἄρχεται, πρόῤῥιζον ἀνασπῶν τὴν ἀλαζονείαν ἐκ τῆς τῶν ἀκουόντων ψυχῆς.

Καὶ τί τοῦτο πρὸς τοὺς μαθητάς, φησί, τοὺς πάντοθεν ὄντας ταπεινούς; Οὐδὲ γὰρ εἶχον ἀφορμὴν ἀπονοίας τινά, ἁλιεῖς καὶ πένητες ὄντες καὶ ἄσημοι καὶ ἰδιῶται. Εἰ καὶ μὴ πρὸς τοὺς μαθητὰς ταῦτα, ἀλλὰ πρός γε τοὺς παρόντας τότε, καὶ τοὺς μετὰ ταῦτα μέλλοντας αὐτοὺς ὑποδέχεσθαι, ἵνα μὴ διὰ ταῦτα αὐτῶν καταφρονῶσι· μᾶλλον δὲ καὶ πρὸς τοὺς μαθητάς. Εἰ γὰρ καὶ μὴ τότε, ἀλλ' ὕστερον ἔμελλον δεῖσθαι τῆς ὠφελείας ταύτης, μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα καὶ τὴν τῆς οἰκουμένης τιμὴν καὶ τὴν πρὸς Θεὸν παῤῥησίαν. Οὔτε γὰρ πλοῦτος, οὔτε δυναστεία, οὐκ αὐτὴ ἡ βασιλεία οὕτως ἐπᾶραι ἦν ἱκανή, ὡς τὰ ἐκείνοις ὑπάρξαντα. Ἄλλως δὲ καὶ πρὸ τῶν σημείων εἰκὸς ἦν αὐτοὺς καὶ τότε ἐπαρθῆναι, τὸ πλῆθος ὁρῶντας καὶ τὸ θέατρον ἐκεῖνο τὸ περιεστηκὸς τὸν διδάσκαλον, καὶ παθεῖν τι ἀνθρώπινον. Διόπερ αὐτῶν εὐθέως καταστέλλει τὸ φρόνημα. Καὶ οὐκ εἰσάγει ἐν τάξει παραινέσεων τὰ λεγόμενα καὶ ἐπιταγμάτων, ἀλλ' ἐν τάξει μακαρισμοῦ, ἀνεπαχθέστερον τὸν λόγον ποιῶν, καὶ πᾶσιν ἀνοίγων τὸ τῆς διδασκαλίας στάδιον. Οὐ γὰρ εἶπεν, Ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ' Οἱ ταῦτα ποιοῦντες μακάριοι πάντες. Ὥστε κἂν δοῦλος ᾖς, κἂν πτωχός, κἂν πένης, κἂν ξένος, κἂν ἰδιώτης, οὐδέν ἐστι τὸ κωλύον σε ἔσεσθαι μακάριον, ἂν τὴν ἀρετὴν ταύτην ζηλώσῃς.

τα καὶ κατέβηκε, ἐπειδὴ τοῦ ἔλειπεν ἡ μητέρα τῶν ἀρετῶν. Διότι, ὅπως ἡ ἀλαζονεία εἶναι ἡ πηγὴ ὅλων τῶν ἐλαττωμάτων, ἔτσι καὶ ἡ ταπεινοφροσύνη εἶναι τὸ θεμέλιον τῆς εὐσεβείας. Διὰ τοῦτο ἀρχίζει τοὺς μακαρισμοὺς ἀπὸ αὐτὴν καὶ θέλει νὰ τὴν ἀποσπάση μὲ τὰς ρίζας της ἀπὸ τὴν ψυχὴν τῶν ἀκροατῶν.

Ἀλλὰ θὰ ἐρωτοῦσε κανείς· Διατί τὰ λέγει αὐτὰ πρὸς τοὺς μαθητάς του, οἱ ὁποῖοι εἶναι ἐντελῶς ταπεινοί; Αὐτοί, ἐπειδὴ, ἦσαν ψαράδες καὶ πτωχοὶ καὶ ἀφανεῖς καὶ ἁπλοῖ ἄνθρωποι δὲν εἶχαν οὔτε ἴχνος ἀλαζονείας. Δὲν ἀφοροῦσαν λοιπὸν αὐτὰ τοὺς μαθητάς, ἀλλὰ ἐκείνους ποὺ παρευρίσκοντο τότε καὶ ἐκείνους ποὺ ἐπρόκειτο νὰ ἀκούσουν τὴν διδασκαλίαν των ἀργότερα, διὰ νὰ μὴ καταφρονοῦν τοὺς μαθητὰς διὰ τὴν κοινωνικήν των ἀσημότητα. Ἀλλὰ ὀρθότερον εἶναι ὅτι τὰ ἔλεγε καὶ πρὸς τοὺς μαθητάς. Διότι, ἂν καὶ δὲν τὰ ἐχρειάζοντο τότε, θὰ τοὺς ἦσαν ὠφέλιμα ἀργότερα, μετὰ τὰ καταπληκτικὰ ἔργα των καὶ τὰ θαύματά των, μετὰ τὴν ἐκτίμησίν των ἀπὸ ὅλον τὸ ἀνθρώπινον γένος καὶ τὴν ἄμεσον ἐπικοινωνίαν των μὲ τὸν Θεόν. Διότι δὲν εἶχαν τόσην δύναμιν νὰ τοὺς κάμουν ἐγωιστὰς οὔτε ὁ πλοῦτος οὔτε τὰ πολιτικὰ ἀξιώματα οὔτε καὶ τὸ βασιλικὸν ἀξίωμα ἀκόμη, ὅσην εἶχαν ἐκεῖνα ποὺ ἀπέκτησαν αὐτοί. Δὲν θὰ ἦτο ἐξ ἄλλου παράξενον νὰ γίνουν αὐτοὶ ἐγωισταὶ καὶ νὰ ἐπηρεασθοῦν ὡς ἄνθρωποι καὶ τότε, προτοῦ νὰ κάμουν θαύματα, βλέποντες τὸ πλῆθος ἐκεῖνο τοῦ λαοῦ καὶ τοὺς θεατάς, ποὺ ἔτρεχαν γύρω ἀπὸ τὸν Διδάσκαλον. Διὰ τοῦτο φροντίζει νὰ ἐξαλείψῃ ἐκ τῶν προτέρων τὴν ἀλαζονείαν των. Καὶ δὲν παρουσιάζει ὑπὸ μορφὴν συμβουλῶν καὶ προσταγῶν τὴν ἠθικὴν διδασκαλίαν του, ἀλλὰ ὑπὸ μορφὴν μακαρισμοῦ, καὶ ἔτσι δὲν θίγει κανένα μὲ τὰ λόγια του, ἀλλὰ δίδει εἰς ὅλους πρότυπον τρόπου διδασκαλίας. Διότι δὲν εἶπεν· Ὁ τάδε καὶ ὁ τάδε, ἀλλά· «Ὅλοι, ὅσοι κάμνουν αὐτά, εἶναι μακάριοι». Ὥστε, ἂν ἀκούσῃς μὲ ὅλην τὴν ψυχήν σου τὴν ἀρετὴν αὐτήν, δὲν ὑπάρχει τίποτε ποὺ θὰ σὲ ἐμποδίσῃ νὰ γίνῃς μακάριος, ἀδιάφορον ἂν εἶσαι δοῦλος ἢ πτωχὸς ἢ ζητιᾶνος ἢ ἀσήμαντος ἢ ἁπλὸς πολίτης.

Ἀρξάμενος τοίνυν ἐντεῦθεν, ὅθεν μάλιστα ἐχρῆν, πρόεισιν ἐφ' ἑτέραν ἐντολήν, ἀπεναντίας δοκοῦσαν εἶναι τῇ τῆς οἰκουμένης ψήφῳ. Ἁπάντων γὰρ τοὺς χαίροντας ζηλωτούς εἶναι νομιζόντων, τοὺς δὲ ἐν ἀθυμίᾳ καὶ πενίᾳ καὶ πένθει ἀθλίους, αὐτὸς τούτους ἀντ' ἐκείνων μακαρίζει, λέγων οὕτω· «Μακάριοι οἱ πενθοῦντες». Καίτοιγε ἅπαντες αὐτοὺς ταλανίζουσι.

Διὰ γὰρ τοῦτο προλαβὼν τὰ σημεῖα εἰργάσατο, ἵνα τοιαῦτα νομοθετῶν ἀξιόπιστος ᾖ. Καὶ ἐνταῦθα δὲ πάλιν οὐχ ἁπλῶς τοὺς πενθοῦντας τέθεικεν, ἀλλὰ τοὺς ὑπὲρ ἁμαρτημάτων τοῦτο ποιοῦντας· ὡς τό γε ἕτερον καὶ σφόδρα ἐστὶ κεκωλυμένον, τὸ ἐπί τινι τῶν βιωτικῶν θρηνεῖν. Ὅπερ οὖν καὶ ὁ Παῦλος ἐδήλου λέγων, ὅτι «Ἡ μὲν τοῦ κόσμου λύπη, θάνατον κατεργάζεται· ἡ δὲ κατὰ Θεόν, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται».

3. Τούτους τοίνυν καὶ αὐτὸς ἐνταῦθα μακαρίζει τοὺς οὕτω λυπουμένους· καὶ οὐδὲ ἁπλῶς τοὺς λυπουμένους τέθεικεν, ἀλλὰ τοὺς μετ' ἐπιτάσεως. Διόπερ οὐδὲ εἶπεν, Οἱ λυπούμενοι, ἀλλά, «Οἱ πενθοῦντες».

Καὶ γὰρ αὕτη πάλιν ἡ ἐντολὴ πάσης ἐστὶ φιλοσοφίας διδάσκαλος. Εἰ γὰρ οἱ παῖδες, ἢ γυναῖκα, ἢ ἄλλον τινὰ τῶν προσηκόντων ἀπελθόντα πενθοῦντες οὐ χρημάτων, οὐ σωμάτων ἐρῶσι κατ' ἐκεῖνον τῆς ὀδύνης τὸν καιρόν, οὐ δόξης ἐφίενται, οὐχ ὕβρεσι παροξύνονται, οὐχ ὑπὸ βασκανίας ἁλίσκονται, οὐχ ὑπὸ ἄλλου πολιορκοῦνταί τινος πάθους, τοῦ πένθους γινόμενοι μόνου· πολλῷ μᾶλλον οἱ τὰ ἁμαρτήματα πενθοῦντες τὰ ἑαυτῶν, ὡς πενθεῖν ἄξιον, μείζονα ταύτης ἐπιδείξονται φιλοσοφίαν·

---

1. Β' Κορ. 7,10

'Αφοῦ ἤρχισε λοιπόν, ὅπως ἦτο ἀπολύτως ὀρθόν, ἀπὸ τὸν μακαρισμὸν τῶν ταπεινῶν, ἐπροχώρησεν εἰς τὸν δεύτερον μακαρισμόν, ὁ ὁποῖος φαίνεται ὅτι εἶναι ἀντίθετος πρὸς τὰς ἀντιλήψεις ὅλων τῶν ἀνθρώπων. 'Ενῷ δηλαδὴ θεωροῦν ἀξιοζηλεύτους ὅλοι οἱ ἄνθρωποι ἐκείνους ποὺ εἶναι εὐχαριστημένοι ἀπὸ τὴν ζωήν, καὶ ἀξιολυπήτους ἐκείνους ποὺ στενοχωροῦνται καὶ εἶναι πάμπτωχοι καὶ ἔχουν βάσανα καὶ θλίψεις, αὐτὸς μακαρίζει τοὺς δευτέρους ἀντὶ τῶν πρώτων καὶ λέγει τὰ ἑξῆς· «Μακάριοι οἱ πενθοῦντες». Αὐτὰ λέγει, ἂν καὶ τοὺς ἐλεεινολογοῦν ὅλοι οἱ ἄνθρωποι.

Διὰ τοῦτο ἀκριβῶς ἐπρόλαβε τὰς πιθανὰς ἀντιρρήσεις καὶ ἐπέτυχε νὰ εἶναι πειστικὸς πρὸς τὸ γεγονὸς ὅτι καθιερώνει πρωτοτύπους ἠθικὰς ἀρχάς. Καὶ εἰς τὸ σημεῖον τοῦτο δὲν ἐννοεῖ γενικῶς ἐκείνους ποὺ ἔχουν θλίψεις καὶ βάσανα, ἀλλὰ ἐκείνους ποὺ πενθοῦν διὰ τὰς ἁμαρτίας των· Διότι ὁ θρῆνος διὰ κάτι τὸ ἐγκόσμιον εἶναι ἀπηγορευμένον καὶ πολὺ μάλιστα. Αὐτὸ ἀκριβῶς διδάσκει καὶ ὁ Παῦλος ὅταν λέγῃ, ὅτι «Ἡ μὲν τοῦ κόσμου λύπη θάνατον κατεργάζεται· ἡ δὲ κατὰ Θεόν, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται»[1].

3. Αὐτὴν τὴν κατηγορίαν τῶν λυπουμένων μακαρίζει λοιπὸν καὶ ὁ Χριστὸς εἰς τὸ σημεῖον αὐτό. Καὶ ὄχι τοὺς ἁπλῶς λυπουμένους, ἀλλὰ τοὺς λυπουμένους πάρα πολύ. Διὰ τοῦτο δὲν εἶπεν, Οἱ λυπούμενοι, ἀλλὰ «Οἱ πενθοῦντες».

Καὶ ὁ μακαρισμὸς αὐτὸς διδάσκει ἐπίσης τὴν ἀπόλυτον εὐσέβειαν. Διότι, ἀφοῦ ἐκεῖνοι ποὺ πενθοῦν τὰ παιδιά των ἢ τὴν γυναῖκα των ἢ κάποιον ἄλλον ἀπὸ τοὺς ἰδικούς των, ποὺ ἀπέθανεν, ἀδιαφοροῦν κατὰ τὴν περίοδον τῆς μεγάλης θλίψεώς των διὰ τὰ χρήματα καὶ διὰ τοὺς ἑαυτούς των καὶ δὲν ἐπιθυμοῦν τὰ μεγαλεῖα οὔτε ἐξοργίζονται διὰ τυχὸν προσβολὰς οὔτε κυριεύονται ἀπὸ τὴν κακεντρέχειαν οὔτε διατρέχουν τὸν κίνδυνον νὰ κυριευθοῦν ἀπὸ κανένα πάθος ἐπειδὴ εἶναι ἐντελῶς παραδομένοι εἰς τὸ πένθος των, εἶναι βέβαιον ὅτι θὰ ἐπιδείξουν πολὺ μεγαλυτέραν σύνεσιν ὅσοι πενθοῦν διὰ τὰς ἁμαρτίας των ὅπως ἀξίζει νὰ πενθοῦν. 'Επομένως ποία θὰ εἶναι ἡ

Εἶτα, τί τὸ ἔπαθλον αὐτοῖς; «Ὅτι αὐτοὶ παρακληθήσονται», φησίν. Ποῦ παρακληθήσονται; εἰπέ μοι. Καὶ ἐνταῦθα καὶ ἐκεῖ. Ἐπειδὴ γὰρ τὸ ἐπίταγμα σφόδρα ἦν φορτικὸν καὶ ἐπαχθές, ὃ μάλιστα αὐτὸ κοῦφον ἐποίει, τοῦτο ὑπέσχετο δώσειν.

Ὥστε εἰ θέλεις παρακαλεῖσθαι, πένθει. Καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον. Ὅταν γὰρ ὁ Θεὸς παρακαλῇ, κἂν μυρίαι νιφάδες ἐπέλθωσι λυπηρῶν, πάντων ἀνώτερος ἔσῃ. Καὶ γὰρ πολλῷ μείζους ἀεὶ τῶν πόνων δίδωσι τὰς ἀμοιβὰς ὁ Θεός· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε, μακαρίους ἀποφαίνων τοὺς πενθοῦντας, οὐ κατὰ τὴν τοῦ πράγματος ἀξίαν, ἀλλὰ κατὰ τὴν αὐτοῦ φιλανθρωπίαν. Οἱ γὰρ πενθοῦντες, πλημμελήματα πενθοῦσι· τοῖς δὲ τοιούτοις ἀρκεῖ τὸ συγγνώμης ἀπολαῦσαι καὶ ἀπολογίας τυχεῖν. Ἀλλ' ἐπειδὴ αὐτὸς σφόδρα ἐστὶ φιλάνθρωπος, οὐδὲ ἐν τῇ τῶν κολάσεων ἀναιρέσει, οὐδὲ ἐν τῇ τῶν ἁμαρτημάτων ἀπαλλαγῇ τὴν ἀντίδοσιν ἵστησιν, ἀλλὰ καὶ μακαρίους ποιεῖ καὶ πολλῆς μεταδίδωσι παρακλήσεως. Πενθεῖν δὲ ἡμᾶς οὐχ ὑπὲρ τῶν οἰκείων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων κελεύει πλημμελημάτων· οἷαι τῶν ἁγίων ἦσαν αἱ ψυχαί· οἵα ἦν ἡ τοῦ Μωϋσέως· οἵα ἡ τοῦ Παύλου, ἡ τοῦ Δαυΐδ· καὶ γὰρ καὶ οὗτοι πάντες ἀλλότρια πολλάκις ἐπένθησαν κακά.

«Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν». Ποίαν γῆν; εἰπέ μοι. Τινὲς νοητήν φασιν. Ἀλλ' οὐκ ἔστι τοῦτο· οὐδαμοῦ γὰρ εὑρίσκομεν ἐν τῇ Γραφῇ γῆν νοητήν. Ἀλλὰ τί ποτέ ἐστι τὸ εἰρημένον; Αἰσθητὸν τίθησιν ἔπαθλον, ὥσπερ καὶ ὁ Παῦλος. Εἰπὼν γάρ, «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἐπήγαγεν, Οὕτω γὰρ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς». Καὶ αὐτὸς τῷ λῃστῇ πάλιν· «Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ πα-

1. Ἐφ. 6,2-3

ἐπιβράβευσίς των; «Ὅτι αὐτοὶ παρακληθήσονται», λέγει ὁ Χριστός. Ἀλλὰ εἰπέ μου, ποῦ θὰ εὕρουν ἀνακούφισιν; Καὶ ἐδῶ καὶ εἰς τοὺς οὐρανούς. Ἐπειδὴ ἡ ἐντολὴ ἦτο βεβαίως πάρα πολὺ ἐπίπονη καὶ δυσβάστακτη, ὑπέσχετο νὰ τὴν ἀμείψῃ μὲ κάτι ποὺ ἐπροξενοῦσε μεγάλην ἀνακούφισιν.

Ἂν θέλῃς ἑπομένως νὰ εὕρῃς ἀνακούφισιν, φρόντισε νὰ αἰσθάνεσαι ἐδῶ βαθεῖαν θλῖψιν. Καὶ μὴ νομίσῃς ὅτι ἡ φράσις αὐτὴ στερεῖται σαφηνείας. Διότι, ὅταν ἀποφασίσῃ ὁ Θεὸς νὰ σὲ προστατεύῃ, θὰ ἀναδειχθῇς νικητὴς ὅλων τῶν θλίψεων, ἔστω καὶ ἂν πέσουν βροχὴ ἐπάνω σου. Διότι ὁ Θεὸς δίδει πάντοτε πολλαπλασίαν ἀμοιβὴν διὰ τὰς θλίψεις μας. Αὐτὸ ἀκριβῶς ὑπόσχεται καὶ ἐδῶ καὶ διακηρύσσει ὅτι θὰ εἶναι μακάριοι ὅσοι πενθοῦν, ὄχι διότι τοὺς ἀξίζει πράγματι, ἀλλὰ διότι τὸ ἀπαιτεῖ ἡ φιλανθρωπία του. Διότι εἶναι φανερὸν ὅτι, ὅσοι αἰσθάνονται βαθεῖαν θλῖψιν, τὴν αἰσθάνονται διὰ τὰς ἁμαρτίας των. Δι' αὐτοὺς εἶναι ἀρκετὸν νὰ συγχωρηθοῦν καὶ νὰ ἔχουν τὴν δυνατότητα νὰ ἀπολογηθοῦν. Ἐπειδὴ ὅμως ὁ Θεὸς εἶναι ἀφάνταστα φιλάνθρωπος, δὲν περιορίζει τὸ ἀντάλλαγμα οὔτε εἰς τὴν ἐξαφάνισιν τῆς τιμωρίας οὔτε εἰς τὴν ἁπλῆν συγχώρησιν τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ μακαρίους τοὺς καθιστᾷ καὶ τοὺς παρέχει μεγάλην ἀνακούφισιν. Μᾶς ζητεῖ δὲ νὰ πενθοῦμεν ὄχι μόνον διὰ τὰς ἰδικάς μας ἁμαρτίας, ἀλλὰ καὶ διὰ τῶν συνανθρώπων μας. Ἔτσι ἔνοιωθαν αἱ ψυχαὶ τῶν ἁγίων· ἔτσι ἡ ψυχὴ τοῦ Μωϋσῆ, ἔτσι τοῦ Παύλου, ἔτσι τοῦ Δαυΐδ. Διότι εἶναι βέβαιον ὅτι ὅλοι αὐτοὶ ἐπένθησαν πολλὲς φορὲς διὰ τὰς κακίας τῶν ἄλλων.

«Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν». Ποίαν γῆν; εἰπέ μου. Μερικοὶ ὁμιλοῦν περὶ νοητῆς γῆς. Ἀλλὰ αὐτὸ δὲν εἶναι ὀρθόν. Διότι δὲν εὑρίσκομεν πουθενὰ εἰς τὴν ἁγίαν Γραφὴν νὰ γίνεται λόγος περὶ νοητῆς γῆς. Τί σημαίνουν ἑπομένως αὐτὰ τὰ λόγια; Ὑλικὴν ἀμοιβὴν ὁρίζει, ὅπως καὶ ὁ Παῦλος, ὁ ὁποῖος, ἀφοῦ εἶπε· «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου», ἐπρόσθεσε· «Οὕτω γὰρ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς»[1]. Καὶ εἰς τὸν λῃστὴν εἶπεν ὁ ἴδιος ὁ Χριστός· «Σήμερον μετ'

ραδείσῳ». Οὔτε γὰρ ἀπὸ τῶν μελλόντων ἀγαθῶν προτρέπει μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, διὰ τοὺς παχυτέρους τῶν ἀκροωμένων καὶ πρὸ τῶν μελλόντων ἐκεῖνα ζητοῦντας. Διὰ τοῦτο γοῦν καὶ προϊὼν ἔλεγεν· «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου». Εἶτα τῆς τοιαύτης φιλοσοφίας τὸ ἔπαθλον τίθησι, καί φησι· «Μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ». Ὁρᾷς πόθεν ἐφόβησεν; Ἀπὸ τῶν αἰσθητῶν, ἀπὸ τῶν παρὰ πόδας συμβαινόντων. Καὶ πάλιν· «Ὃς ἐὰν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, Ρακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ». Καὶ ὁ Παῦλος δὲ αἰσθητὰ τιθεὶς ἔπαθλα πολύς ἐστι, καὶ ἀπὸ τῶν παρόντων προτρέπων· οἷον ὡς ὅταν περὶ παρθενίας διαλέγηται· οὐδὲν γὰρ περὶ τῶν οὐρανῶν εἰπὼν ἐκεῖ, τέως ἀπὸ τῶν παρόντων ἐνάγει, λέγων· «Διὰ τὴν ἐνεστῶσαν ἀνάγκην»· καί, «Ἐγὼ δὲ ὑμῶν φείδομαι», καί, «Θέλω δέ ὑμᾶς ἀμερίμνους εἶναι». Οὕτω δὴ καὶ ὁ Χριστὸς τοῖς πνευματικοῖς τὰ αἰσθητὰ ἀνέμιξεν. Ἐπειδὴ γὰρ νομίζεται ὁ πρᾶος ἅπαντα ἀπολλύναι τὰ ἑαυτοῦ, τὸ ἐναντίον ὑπισχνεῖται λέγων, ὅτι οὗτος μὲν οὖν ἐστιν ὁ μετὰ ἀσφαλείας τὰ ὄντα κεκτημένος, ὁ μὴ θρασύς, μηδὲ ἀλαζών· ὁ δὲ τοιοῦτος καὶ τῶν πατρῴων ἐκστήσεται πολλάκις καὶ αὐτῆς τῆς ψυχῆς. Ἄλλως δὲ καὶ ἐπειδὴ ἐν τῇ Παλαιᾷ συνεχῶς ὁ Προφήτης, «Οἱ γὰρ πραεῖς κληρονομήσουσι γῆν», ἔλεγεν, ἀπὸ τῶν συντρόφων αὐτοῖς ῥημάτων ἐνυφαίνει τὸν λόγον, ὥστε μὴ πανταχοῦ ξενοφωνεῖσθαι. Ταῦτα δέ λέγει, οὐ μέχρι τῶν παρόντων ἱστὰς τὰς ἀμοιβάς, ἀλλὰ μετὰ τούτων κἀκεῖνα παρέχων. Ἄν τε γὰρ πνευματικὸν εἴπῃ τι, οὐκ ἀφαιρεῖται τὰ ἐν τῷ παρόντι βίῳ· ἄν τε τῶν ἐν τῷ βίῳ τι πάλιν ὑπόσχηται, οὐ μέχρι τούτου τὴν ὑπόσχεσιν ἵστησι. «Ζητεῖτε» γάρ,

---

1. Λουκᾶ 23,43
2. Ματθ. 5,25
3. Ματθ. 5,22
4. Α' Κορ. 7,26
5. Α' Κορ. 7,28
6. Α' Κορ. 7,32

ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»[1]. Διότι, ἕνεκα ἐκείνων ἐκ τῶν ἀκροατῶν του, οἱ ὁποῖοι συνδέονται περισσότερον μὲ τὰ ὑλικὰ ἀγαθὰ καὶ τὰ ἐπιδιώκουν περισσότερον ἀπὸ τὰ μέλλοντα, δὲν παρακινεῖ μόνον μὲ τὰ μέλλοντα ἀγαθά, ἀλλὰ καὶ μὲ τὰ ἐπίγεια. Διὰ τοῦτο ἀκριβῶς λέγει εἰς παρακάτω· «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου»[2]. Ἔπειτα ὁρίζει τὴν ἀμοιβὴν διὰ τὴν συνετὴν αὐτὴν συμπεριφορὰν καὶ λέγει· «Μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ». Βλέπεις μὲ τί τὸν ἐφοβέρισε; Μὲ τὰ αἰσθητὰ καὶ μὲ αὐτὰ ποὺ συμβαίνουν ἐνώπιόν του. Λέγει ἐπίσης· «Ὃς ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, ρακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ»[3]. Καὶ ὁ Παῦλος προβάλλει πολλὲς φορὲς ἐγκοσμίους ἀμοιβὰς καὶ προσπαθεῖ νὰ παρακινήσῃ μὲ αὐτάς, ὅπως π.χ. ὅταν ὁμιλῇ περὶ ἀγαμίας. Χωρὶς δηλαδὴ νὰ ἀναφέρῃ ἐκεῖ καθόλου τὰ οὐράνια, στηρίζει ἐπὶ ὡρισμένον χρόνον τὰς ἀπόψεις του ἐπὶ τῶν ἐγκοσμίων καὶ λέγει· «Διὰ τὴν ἐνεστῶσαν ἀνάγκην»[4]· Καί· «Ἐγὼ δὲ ὑμῶν φείδομαι»[5]· Καί· «Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι»[6]. Ἀποδεικνύεται λοιπὸν ὅτι καὶ ὁ Χριστὸς ἀντλεῖ ἐπιχειρήματα καὶ ἀπὸ τὰ ὑλικὰ καὶ ἀπὸ τὰ ἄυλα. Ἐπειδὴ ἐπομένως ἐπικρατεῖ ἡ γνώμη ὅτι ὁ πρᾶος χάνει ὅλα του τὰ ἀγαθά, μᾶς βεβαιώνει τὸ ἀντίθετον καὶ λέγει ὅτι αὐτὸς ποὺ συγκρατεῖται καὶ δὲν παραφέρεται, κατέχει σταθερὰ καὶ ἀκλόνητα τὰ ἀγαθά, ἐνῷ ὁ παράφορος καὶ ἐγωιστὴς θὰ χάσῃ πιθανώτατα καὶ ὅσα ἐκληρονόμησεν ἀπὸ τὸν πατέρα του, ἀκόμη καὶ τὴν ψυχήν του. Ἐξ ἄλλου, διὰ νὰ μὴ διαφέρῃ πάντοτε ὡς πρὸς τὴν ἔκφρασιν, ἐπειδὴ ὁ Προφήτης ἔλεγε συνεχῶς εἰς τὴν Παλαιὰν Διαθήκην «Οἱ γὰρ πραεῖς κληρονομήσουσι γῆν»[7], παρεμβάλει εἰς τὴν ὁμιλίαν του ὁμοίας λέξεις. Εἰς τὴν ὁμιλίαν του ὅμως δὲν περιορίζεται νὰ ἀναφέρῃ μόνον τὰς ἐπιγείους ἀμοιβάς, ἀλλὰ ὑπόσχεται συγχρόνως καὶ ἀμοιβὰς εἰς τὸν οὐρανόν. Διότι ἡ ὑπόσχεσις οὐρανίων ἀγαθῶν δὲν σημαίνει στέρησιν τῶν ἐπιγείων· καὶ ἡ ὑπόσχεσις ἐπίσης ἐπιγείων δὲν σημαίνει ὅτι αὐτὰ σταματοῦν ἕως ἐδῶ. Διὰ τοῦτο λέγει· «Ζητεῖτε τὴν βα-

7. Ψαλμ. 36,11

φησί, «τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν»· καὶ πάλιν· «Ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφούς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον κληρονομήσει».

«Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην». Ποίαν δικαιοσύνην; Ἢ τὴν καθόλου φησὶν ἀρετήν, ἢ τὴν μερικὴν ταύτην τὴν ἀπεναντίας τῇ πλεονεξίᾳ κειμένην. Ἐπειδὴ γὰρ μέλλει περὶ ἐλεημοσύνης ἐπιτάττειν, δεικνὺς πῶς ἐλεεῖν χρή, οἷον ὅτι οὐκ ἐξ ἁρπαγῆς, οὐδὲ ἐκ πλεονεξίας, μακαρίζει τοὺς δικαιοσύνης ἀντιποιουμένους.

4. Καὶ ὅρα μεθ' ὅσης αὐτὸ τίθησιν ὑπερβολῆς. Οὐ γὰρ εἶπε, Μακάριοι οἱ δικαιοσύνης ἀντεχόμενοι, ἀλλά, «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην»· ἵνα μὴ ἁπλῶς, ἀλλὰ μετὰ ἐπιθυμίας ἁπάσης αὐτὴν μετίωμεν. Ἐπειδὴ γὰρ τοῦτο μάλιστα ἴδιον τῆς πλεονεξίας ἐστί, καὶ οὐχ οὕτως ἐρῶμεν σιτίων καὶ ποτῶν, ὡς τοῦ πλείονα κτᾶσθαι καὶ περιβάλλεσθαι· τὴν ἐπιθυμίαν ταύτην περὶ τὸ μὴ πλεονεκτεῖν μεταθεῖναι ἐκέλευσεν. Εἶτα πάλιν αἰσθητὸν τὸ ἔπαθλον ὁρίζει, λέγων· «Ὅτι αὐτοὶ χορτασθήσονται». Διὰ γὰρ τὸ νομίζεσθαι τὴν πλεονεξίαν εὐπόρους ποιεῖν τοὺς πολλούς, λέγει ὅτι τοὐναντίον μὲν οὖν ἐστιν· ἡ γὰρ δικαιοσύνη τοῦτο ἐργάζεται. Μὴ τοίνυν δίκαια πράττων φοβοῦ πενίαν, μηδὲ τρέμει λιμόν. Οἱ γὰρ ἁρπάζοντες, οὗτοι μάλιστά εἰσιν οἱ πάντων ἐκπίπτοντες· ὡς ὅ γοῦν δικαιοσύνης ἐρῶν, τὰ πάντων αὐτὸς ἔχει μετὰ ἀσφαλείας. Εἰ δὲ οἱ τῶν ἀλλοτρίων μὴ ἐφιέμενοι τοσαύτης ἀπολαύουσιν εὐπορίας, πολλῷ μᾶλλον οἱ τὰ ἑαυτῶν προϊέμενοι.

---

1. Ματθ. 6,33
2. Ματθ. 19,29 καὶ Μάρκ. 10, 29 - 30

σιλείαν τοῦ Θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν»[1]. Ἐπίσης· «Ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφούς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον κληρονομήσει» [2].

«Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες δικαιοσύνην». Τί ἐννοεῖ μὲ τὴν λέξιν δικαιοσύνη; Ἢ τὴν ἀρετὴν γενικῶς ἢ τὴν στενοτέραν ἐκείνην ἔννοιαν, ἡ ὁποία ἀποτελεῖ τὸ ἀντίθετον τῆς πλεονεξίας. Ἐπειδὴ δηλαδὴ πρόκειται νὰ ὁμιλήσῃ ἀμέσως κατόπιν περὶ τῆς ἐλεημοσύνης, μακαρίζει ἐκείνους ποὺ ἐπιδεικνύουν ζῆλον διὰ τὴν δικαιοσύνην καὶ ὑποδεικνύει πῶς πρέπει νὰ γίνεται ἡ ἐλεημοσύνη, ὅτι δηλαδὴ δὲν πρέπει νὰ ἔχῃ τὰς ρίζας της εἰς τὴν ἁρπαγὴν καὶ τὴν πλεονεξίαν.

4. Παρατήρησε πόσον αἰσθητοποιεῖ μὲ τὸν τρόπον τῆς ἐκφράσεως τὸν μακαρισμὸν αὐτόν. Δὲν εἶπε δηλαδή· Μακάριοι οἱ ἐνεργοῦντες πάντοτε μὲ γνώμονα τὴν δικαιοσύνην, ἀλλά· «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην»· Διότι ἀπαιτεῖ ὄχι ἁπλῆν συμμόρφωσιν, ἀλλὰ ὁλόψυχον προσήλωσιν εἰς τὴν δικαιοσύνην. Ἐπειδὴ ὁλόψυχον προσήλωσιν ἐξασφαλίζει ἡ πλεονεξία καὶ δὲν ἐπιθυμοῦμεν τόσον ἔντονα τὸ φαγητὸν καὶ τὰ ποτά, ὅσον τὸ νὰ ἀποκτήσωμεν καὶ νὰ ἔχωμεν γύρω μας ὅσον τὸ δυνατὸν περισσότερα, αὐτὴν τὴν ὁλόψυχον προσήλωσιν μᾶς συμβουλεύει νὰ ἀναπτύξωμεν διὰ τὸ ἀντίθετον τῆς πλεονεξίας. Εἰς τὴν συνέχειαν καθορίζει πάλιν ὑλικὴν τὴν ἐπιβράβευσιν καὶ λέγει· «Ὅτι αὐτοὶ χορτασθήσονται». Ἐπειδὴ δηλαδὴ ἐπικρατεῖ ἡ γνώμη ὅτι ἡ πλεονεξία μεταβάλλει πολλοὺς εἰς πλουσίους, λέγει ὅτι συμβαίνει ἀκριβῶς τὸ ἀντίθετον. Διότι αὐτὸ τὸ ἐπιτυγχάνει ἡ δικαιοσύνη. Μὴ φοβῆσαι λοιπὸν ὅτι θὰ γίνῃς πτωχὸς ἂν εἶσαι δίκαιος, καὶ ἂς μὴ σὲ κυριεύῃ ὁ φόβος ὅτι θὰ πεινάσῃς. Διότι, ἐκεῖνοι ποὺ χάνουν μετὰ βεβαιότητος τὰ πάντα, εἶναι οἱ πλεονέκται. Ὅπως, ἀντιθέτως, ἐκεῖνος ποὺ ἔχει μετὰ βεβαιότητος τὰ πάντα, εἶναι ὁ ἐραστὴς τῆς δικαιοσύνης. Καὶ ἀφοῦ ἀποκτοῦν τόσα πλούτη ἐκεῖνοι ποὺ δὲν ἐπιθυμοῦν τὰ ξένα, θὰ ἀποκτήσουν πολὺ περισσότερα ἐκεῖνοι ποὺ μοιράζουν τὰ ἰδικά των.

«Μακάριοι οἱ ἐλεήμονες». Ἐνταῦθα οὐ τοὺς διὰ χρημάτων ἐλεοῦντας μόνον ἐμοὶ δοκεῖ λέγειν, ἀλλὰ καὶ τοὺς διὰ πραγμάτων. Ποικίλος γὰρ ὁ τῆς ἐλεημοσύνης τρόπος, καὶ πλατεῖα αὕτη ἡ ἐντολή. Τί οὖν αὐτῆς τὸ ἔπαθλον; «Ὅτι αὐτοὶ ἐλεηθήσονται». Καὶ δοκεῖ μὲν ἀντίδοσις εἶναί τις ἴση· ἔστι δὲ πολὺ μεῖζον τοῦ κατορθώματος. Αὐτοὶ μὲν γὰρ ἐλεοῦσιν ὡς ἄνθρωποι, ἐλεοῦνται δὲ παρὰ τοῦ τῶν ὅλων Θεοῦ. Οὐκ ἔστι δὲ ἴσος ἀνθρώπινος ἔλεος καὶ θεῖος, ἀλλ' ὅσον πονηρίας καὶ ἀγαθότητος τὸ μέσον, τοσοῦτον οὗτος ἐκείνου διέστηκε.

«Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Ἰδοὺ πάλιν πνευματικὸν τὸ ἔπαθλον. Καθαροὺς δὲ ἐνταῦθά φησιν, ἤτοι τοὺς καθολικὴν ἀρετὴν κεκτημένους καὶ μηδὲν ἑαυτοῖς συνειδότας πονηρόν, ἢ τοὺς ἐν σωφροσύνῃ διάγοντας· οὐδενὸς γὰρ ἡμῖν οὕτω δεῖ πρὸς τὸ τὸν Θεὸν ἰδεῖν, ὡς τῆς ἀρετῆς ταύτης. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Ὄψιν δὲ ἐνταῦθά φησιν, ἣν ἀνθρώπῳ δυνατὸν ἰδεῖν. Ἐπειδὴ γὰρ πολλοὶ ἐλεοῦσι μέν, καὶ οὐχ ἁρπάζουσιν, οὐδὲ πλεονεκτοῦσι, πορνεύουσι δὲ καὶ ἀσελγαίνουσι· δεικνὺς ὅτι οὐκ ἀρκεῖ τὸ πρότερον, καὶ τοῦτο προσέθηκεν. Ὅπερ δὴ καὶ ὁ Παῦλος Μακεδόσιν ἐμαρτύρησε, Κορινθίοις ἐπιστέλλων, ὅτι οὐ μόνον ἐν ἐλεημοσύνῃ ἐπλούτουν, ἀλλὰ καὶ ἐν τῇ ἄλλῃ ἀρετῇ· εἰπὼν γὰρ περὶ τῆς φιλοτιμίας αὐτῶν τῆς ἐν τοῖς χρήμασι, φησίν, ὅτι καὶ «Ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ καὶ ἡμῖν».

«Μακάριοι οἱ εἰρηνοποιοί». Ἐνταῦθα οὐ τὸ μὴ στασιάζειν αὐτοὺς μόνον καὶ ἀπεχθάνεσθαι πρὸς ἀλλήλους ἀναιρεῖ, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιζητεῖ, ἵνα καὶ ἑτέρους σταζιάζοντας

1. Ἑβρ. 12,14
2. Β' Κορ. 8,5

«Μακάριοι οἱ ἐλεήμονες». Ἔχω τὴν γνώμην ὅτι δὲν ἐννοεῖ ἐδῶ μόνον ἐκείνους ποὺ ἐλεοῦν μὲ χρήματα, ἀλλὰ καὶ ἐκείνους ποὺ ἐλεοῦν μὲ διάφορα ἀντικείμενα. Διότι ὑπάρχουν πολλοὶ τρόποι ἐλεημοσύνης καὶ ἔχει εὑρεῖαν ἐφαρμογὴν αὐτὴ ἡ ἐντολή. Ποία εἶναι λοιπὸν ἡ ἀμοιβὴ δι' αὐτήν; «Ὅτι αὐτοὶ ἐλεηθήσονται». Τοῦτο φαίνεται ἐκ πρώτης ὄψεως ὡς ἴση ἀπολαβή. Εἰς τὴν πραγματικότητα ὅμως εἶναι ἀσυγκρίτως μεγαλυτέρα. Διότι οἱ ἐλεήμονες ἐλεοῦν ὡς ἄνθρωποι, ἀλλὰ οἱ ἴδιοι ἐλεοῦνται ἀπὸ τὸν Θεόν. Καὶ δὲν εἶναι τὸ ἴδιο νὰ σὲ ἐλεοῦν οἱ ἄνθρωποι καὶ νὰ σέ ἐλεῇ ὁ Θεός, ἀλλὰ ἡ μεταξύ των ἀπόστασις εἶναι ἴση πρὸς τὴν ἀπόστασιν μεταξὺ ἀρετῆς καὶ κακίας.

«Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Νὰ ποὺ ἔχομεν πάλιν πνευματικὴν ἀμοιβήν. Καὶ καθαροὺς ὀνομάζει ἐδῶ ἢ ἐκείνους ποὺ εἶναι γενικῶς ἐνάρετοι καὶ ἔχουν τὴν συνείδησίν των ἀπολύτως καθαράν, ἢ ἐκείνους ποὺ κάθε ἐνέργειά των εἶναι εὐσεβής. Διότι τίποτε δὲν μᾶς εἶναι τόσον ἀπαραίτητον διὰ νὰ ἰδοῦμεν τὸν Θεόν, ὅσον αὐτὴ ἡ ἀρετή. Διὰ τοῦτο ἔλεγε καὶ ὁ Παῦλος· «Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον»[1]. Καὶ ἐννοεῖ ἐδῶ ὅτι θὰ τὸν ἰδοῦμεν ὅπως εἶναι δυνατὸν εἰς τὸν ἄνθρωπον. Ἐπειδὴ δηλαδὴ ὑπάρχουν πολλοὶ ποὺ ἐλεοῦν καὶ ποὺ δὲν εἶναι πλεονέκται, δὲν ἀποφεύγουν ὅμως τὴν πορνείαν καὶ τὴν ἠθικὴν παραλυσίαν, ἐπρόσθεσε καὶ τὸν μακαρισμὸν αὐτόν, διὰ νὰ δείξῃ ὅτι δὲν εἶναι ἀρκετὴ ἡ ἐλεημοσύνη ποὺ ἀναφέρεται εἰς τὸν προηγούμενον. Διὰ τοῦτο καὶ ὁ Παῦλος εἰς τὴν Β' ἐπιστολὴν πρὸς τοὺς Κορινθίους τοὺς βεβαιώνει ὅτι οἱ Μακεδόνες εἶχαν ἀρίστην ἐπίδοσιν ὄχι μόνον εἰς τὴν ἐλεημοσύνην, ἀλλὰ καὶ εἰς τὴν ἀρετὴν γενικῶς. Ἀφοῦ ὡμίλησε δηλαδὴ διὰ τὴν προθυμίαν των νὰ συνεισφέρουν μεγάλα ποσά, ἐπρόσθεσεν ὅτι, «Ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ καὶ ἡμῖν»[2].

«Μακάριοι οἱ εἰρηνοποιοί». Μὲ τὸν μακαρισμὸν αὐτὸν σκοπὸν ἔχει ὄχι μόνον νὰ ἐξαφανίσῃ τὰς μεταξύ των ἔριδας καὶ τὰ μίση, ἀλλὰ ἐπιδιώκει καὶ κάτι περισσότερον, νὰ ἀναλάβωμεν ἀγῶνα νὰ συμφιλιωθοῦν καὶ ἄλλοι, ποὺ φιλονεικοῦν μεταξύ

συνάγωμεν· καὶ πάλιν πνευματικὸν ἐπάγει τὸ ἔπαθλον. Ποῖον δὴ τοῦτο; «Ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται». Καὶ γὰρ τοῦ Μονογενοῦς ἔργον ἐγένετο τοῦτο, συναγαγεῖν τὰ διεστῶτα, καὶ καταλλάξαι τὰ ἐκπεπολεμωμένα. Εἶτα ἵνα μὴ νομίσῃς ὅτι πανταχοῦ ἡ εἰρήνη καλόν, ἐπήγαγε· «Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης»· τουτέστι, τῆς ἀρετῆς ἕνεκεν, τῆς ὑπὲρ ἑτέρων προστασίας, τῆς εὐσεβείας. Δικαιοσύνην γὰρ εἴωθεν ἀεὶ τὴν ἅπασαν λέγειν τῆς ψυχῆς φιλοσοφίαν.

«Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε». Οἷον, Κἂν γόητας, κἂν πλάνους, κἂν λυμεῶνας, κἂν ὁτιοῦν ἕτερον καλέσωσι, μακάριοί ἐστε, φησί. Τί τούτων καινότερον γένοιτ' ἂν τῶν ἐπιταγμάτων, ὅταν τὰ τοῖς ἄλλοις φευκτά, ταῦτα ποθεινὰ εἶναι λέγῃ; τὸ πτωχεύειν λέγω, καὶ πενθεῖν, καὶ διώκεσθαι, καὶ κακῶς ἀκούειν. Ἀλλ' ὅμως καὶ εἶπε καὶ ἔπεισεν, οὐχὶ δύο καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν καὶ χιλίους ἀνθρώπους, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν. Καὶ ἀκούοντες τὰ φορτικὰ καὶ ἐπαχθῆ καὶ ἀπεναντίας τῇ τῶν πολλῶν συνηθείᾳ, ἐξεπλήττοντο οἱ ὄχλοι. Τοσαύτη ἡ τοῦ λέγοντος δύναμις ἦν.

5. *Πλὴν ἀλλ' ἵνα μὴ νομίσῃς, ὅτι τὸ κακῶς ἀκούειν ἁπλῶς μακαρίους ποιεῖ, δύο τέθεικε διορισμούς, ὅταν καὶ δι' αὐτόν, καὶ ψευδῆ ᾖ τὰ λεγόμενα. Ἐπεὶ ἐὰν μὴ ταῦτα προσῇ, οὐ μόνον οὐ μακάριος, ἀλλὰ καὶ ἄθλιος ὁ κακῶς ἀκούων. Εἶτα ὅρα τὸ ἔπαθλον πάλιν· «Ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Σὺ δέ, εἰ καὶ μὴ καθ' ἕκαστον τῶν μακαρισμῶν βασιλείαν ἀκούεις δωρουμένην, μὴ ἀθύμει. Εἰ γὰρ καὶ διαφόρως ὀνομάζει τὰς ἀμοιβάς, ἀλλὰ πάντας εἰς τὴν βασιλείαν εἰσάγει. Καὶ γὰρ*

των. Καὶ καθορίζει πάλιν πνευματικὴν ἀμοιβήν. Ποία εἶναι αὐτή; «Ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται». Καὶ πράγματι αὐτὴ ἦτο ἡ ἀποστολὴ τοῦ Υἱοῦ τοῦ Θεοῦ, νὰ συμφιλιώσῃ τοὺς φιλονεικοῦντας καὶ νὰ συνδιαλλάξῃ τοὺς ἀλληλομισουμένους. Ἔπειτα ἐπρόσθεσε, διὰ νὰ μὴ νομίσωμεν ὅτι ἡ εἰρήνη εἶναι ὁπωσδήποτε κάτι τὸ καλόν· «Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης», δηλαδὴ ἕνεκα τῆς ἀρετῆς των, τῆς φροντίδος των διὰ τοὺς ἄλλους, τῆς εὐσεβείας των. Διότι συνηθίζει πάντοτε νὰ ὀνομάζῃ δικαιοσύνην τὴν ἠθικὴν τελειότητα γενικῶς.

«Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ρῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε». Μακάριοι θὰ εἶσθε, λέγει, καὶ ἂν σᾶς ἀποκαλέσουν π.χ. ἀγύρτας καὶ ἀπατεῶνας καὶ διαφθορεῖς καὶ ὁ,τιδήποτε ἄλλο. Ὑπάρχει τίποτε παραδοξότερον ἀπὸ αὐτὰς τὰς ἐντολάς, ποὺ καθιερώνουν ὅτι πρέπει νὰ ἐπιδιώκωμεν ἐκεῖνα ποὺ οἱ ἄλλοι πιστεύουν ὅτι πρέπει νὰ ἀποφεύγωμεν; Τὴν πενίαν ἐννοῶ καὶ τὴν βαθεῖαν θλῖψιν καὶ τὰς διώξεις καὶ τὰς κακολογίας. Παρὰ ταῦτα τὰ ἐδίδαξε καὶ ἔπεισεν ὄχι δύο οὔτε δέκα οὔτε εἴκοσι, οὔτε ἑκατὸν οὔτε χιλίους ἀνθρώπους, ἀλλὰ ὅλην τὴν οἰκουμένην. Τὰ πλήθη τοῦ λαοῦ ᾐσθάνοντο θαυμασμὸν ὅταν ἤκουαν αὐτὰ τὰ δυσβάστακτα καὶ κοπιαστικὰ καὶ ἀντίθετα πρὸς τὰ καθιερωμένα. Τόση ἦτο ἡ δύναμις τοῦ Διδασκάλου.

5. Ἀλλὰ διὰ νὰ μὴ νομίσωμεν ὅτι μόνη ἡ κακολογία εἶναι ἀρκετὴ διὰ νὰ γίνωμεν μακάριοι, ἐπρόσθεσε δύο προϋποθέσεις. Ὅταν μᾶς κακολογοῦν δι' αὐτὸν καὶ ὅταν αἱ κακολογίαι εἶναι ψευδεῖς. Διότι, ἂν δὲν ὑπάρχουν αὐταὶ αἱ προϋποθέσεις, ὄχι μόνον μακάριος δὲν θὰ εἶσαι, ἀλλὰ θὰ εἶσαι καὶ δυστυχὴς καὶ ἀξιοκατάκριτος. Ἔπειτα πρόσεξε πάλιν τὴν ἀμοιβήν· «Ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Μὴ θλίβεσαι ἂν δὲν ἀκούῃς μετὰ ἀπὸ κάθε μακαρισμὸν ὅτι ἀμοιβὴ θὰ εἶναι ἡ βασιλεία τῶν οὐρανῶν. Διότι, ἂν καὶ καθορίζει κατὰ διαφόρους τρόπους τὰς ἀμοιβάς, ὁρίζει ὅτι ὅλοι αὐτοὶ θὰ εἰσέλθουν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Διότι, ὅταν λέγῃ· «Ὅσοι πενθοῦν

ὅταν εἴπῃ, «Παρακληθήσονται οἱ πενθοῦντες καὶ ἐλεηθήσονται οἱ ἐλεοῦντες καὶ τὸν Θεὸν ὄψονται οἱ καθαροὶ τῇ καρδίᾳ καὶ υἱοὶ Θεοῦ κληθήσονται οἱ εἰρηνοποιοί», οὐδὲν ἄλλο ἢ τὴν βασιλείαν διὰ τούτων ἁπάντων αἰνίττεται· οἱ γὰρ τούτων ἀπολαύοντες, ἐκείνης ἐπιτεύξονται πάντως. Μὴ τοίνυν τῶν τῷ πνεύματι πτωχῶν μόνων νόμιζε εἶναι τὸ ἔπαθλον, ἀλλὰ καὶ τῶν πεινώντων τὴν δικαιοσύνην καὶ τῶν πράων καὶ τῶν ἄλλων ἁπάντων ἁπαξαπλῶς. Διὰ γὰρ τοῦτο ἐπὶ πάντων τὸν μακαρισμὸν ἔθηκεν, ἵνα μηδὲν αἰσθητὸν ἀναμένῃς. Οὐδὲ γὰρ ἂν εἴη μακάριος ὁ ἐν τούτοις στεφανούμενος, ἃ τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ σκιᾶς ταχύτερον παρατρέχει. Εἰπὼν δέ, «Ὅτι ὁ μισθὸς ὑμῶν πολύς, ἐπήγαγε καὶ ἑτέραν παράκλησιν, λέγων· «Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν». Ἐπειδὴ γὰρ ἐκεῖνο ἔμελλε, τὸ τῆς βασιλείας, καὶ ἐν ἐλπίσιν ἦν, ἐντεῦθεν αὐτοῖς παρέχεται τὴν παραμυθίαν, ἀπὸ τῆς κοινωνίας τῶν πρὸ αὐτῶν πεπονθότων κακῶς. Μὴ γὰρ νομίσητε, φησίν, ὅτι ἐναντία τινὰ λέγοντες καὶ νομοθετοῦντες, ταῦτα πάσχετε· ἢ ὅτι πονηρῶν δογμάτων ὄντες διδάσκαλοι, μέλλετε ἐλαύνεσθαι παρ' αὐτῶν. Οὐ γὰρ τῆς πονηρίας τῶν λεγομένων, ἀλλὰ τῆς κακίας τῶν ἀκουόντων αἱ ἐπιβουλαὶ καὶ οἱ κίνδυνοι. Ὅθεν οὐδὲ ὑμᾶς τοὺς κακῶς πάσχοντας διαβάλλουσιν, ἀλλὰ τοὺς κακῶς ποιοῦντας ἐκείνους. Οὐδὲ γὰρ τοῖς προφήταις παρανομίαν καὶ ἀντίθεον φρόνημα ἐγκαλοῦντες, τοὺς μὲν ἐλίθαζον, τοὺς δὲ ἤλαυνον, τοὺς δὲ μυρίοις ἑτέροις περιέβαλλον κακοῖς. Μὴ δὴ τοῦτο θορυβείτω ὑμᾶς· ἀπὸ γὰρ τῆς αὐτῆς γνώμης καὶ τὰ νῦν ἅπαντα πράττουσιν. Εἶδες πῶς τὰ φρονήματα αὐτῶν ἀνέστησεν, ἐγγὺς τῶν περὶ Μωϋσέα καὶ Ἠλίαν στήσας αὐτούς; Οὕτω καὶ ὁ Παῦλος Θεσσαλονι-

1. Ἑβρ. 11, 35 - 37

θὰ παρηγορηθοῦν, ὅσοι ἐλεοῦν θὰ ἐλεηθοῦν, ὅσοι ἔχουν καθαρὰν τὴν ψυχήν των ἀπὸ τὴν ἁμαρτίαν θὰ ἰδοῦν τὸν Θεόν, ὅσοι εἶναι εἰρηνοποιοὶ θὰ ὀνομασθοῦν υἱοὶ τοῦ Θεοῦ», δὲν κάμνει τίποτε ἄλλο, παρὰ ὑπονοεῖ μὲ ὅλα αὐτὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Διότι, ὅσοι θὰ ἀπολαύσουν αὐτὰ τὰ ἀγαθά, θὰ ἐπιτύχουν ὁπωσδήποτε τὴν βασιλείαν τῶν οὐρανῶν. Μὴ νομίζῃς λοιπὸν ὅτι ἡ ἀμοιβὴ αὐτὴ περιορίζεται μόνον εἰς τοὺς ταπεινόφρονας, ἀλλὰ ἀνήκει καὶ εἰς ἐκείνους ποὺ πεινοῦν τὴν δικαιοσύνην καὶ εἰς τοὺς πράους καὶ εἰς ὅλους τοὺς ἄλλους γενικῶς. Διὰ τοῦτο ἐχρησιμοποίησε δι' ὅλους τὴν λέξιν μακάριοι, διὰ νὰ μὴν ἀναμένῃς καμμίαν ὑλικὴν ἀμοιβήν. Διότι δὲν εἶναι δυνατὸν νὰ θεωρῆται μακάριος ἐκεῖνος ποὺ ἀμείβεται μὲ ὅσα τελειώνουν εἰς τὴν παροῦσαν ζωὴν καὶ ἐξαφανίζονται γρηγορώτερα ἀπὸ τὴν σκιάν. Καὶ ἀφοῦ εἶπεν· «Ὅτι ὁ μισθὸς ὑμῶν πολύς», ἐπρόσθεσε καὶ ἄλλην προτροπήν· «Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν». Ἐπειδὴ δηλαδὴ ἡ ἀμοιβὴ ἐκείνη, ἡ βασιλεία τῶν οὐρανῶν, ἀναφέρεται εἰς τὸ μέλλον καὶ ἀποτελεῖ προσδοκίαν, τοὺς παρακινεῖ καὶ μὲ αὐτὸν τὸν τρόπον, μὲ τὴν ὑπόμνησιν τῶν προφητῶν, ποὺ ἐταλαιπωρήθησαν πρὶν ἀπὸ αὐτούς· Μὴ νομίσετε λοιπόν, λέγει, ὅτι παθαίνετε αὐτά, διότι λέγετε καὶ καθιερώνετε ἀντιθέτους ἀπόψεις, ἢ ὅτι πρόκειται νὰ σᾶς καταδιώξουν, ἐπειδὴ διδάσκετε ἀνηθίκους ἀρχάς· διότι αἱ ἐπιβουλαὶ καὶ οἱ κίνδυνοι δὲν ὀφείλονται εἰς τὴν κακίαν τῆς διδασκαλίας σας, ἀλλὰ εἰς τὴν κακίαν τῶν ἀκροατῶν σας. Ἑπομένως δὲν διασύρουν ἐσᾶς ποὺ ταλαιπωρεῖσθε, ἀλλὰ τοὺς ἑαυτούς των ποὺ σᾶς ταλαιπωροῦν. Αὐτὰ τὰ ἐπιβεβαιώνει ὅλο τὸ παρελθόν. Διότι καὶ τοὺς προφήτας τοὺς ἐλιθοβόλησαν καὶ τοὺς κατεδίωξαν καὶ τοὺς ἐπροξένησαν ἀμέτρητα ἄλλα βάσανα, ὄχι βεβαίως ἐπειδὴ τοὺς ἐκατηγοροῦσαν ὡς ἁμαρτωλοὺς καὶ ἀσεβεῖς [1]. Νὰ μὴ σᾶς ἀνησυχῇ λοιπὸν αὐτό. Διότι καὶ τώρα ὅλαι αἱ ἐνέργειαί των ὀφείλονται εἰς τὴν ἰδίαν νοοτροπίαν των. Εἶδες πῶς παρουσίασε τὴν νοοτροπίαν των ἀφοῦ τοὺς ἐτοποθέτησε εἰς τὴν θέσιν ἐκείνων ποὺ ἔζησαν κατὰ τὴν ἐποχὴν τοῦ Μωϋσῆ καὶ τοῦ Ἠλία; Ἔτσι καὶ ὁ Παῦλος γράφει

κεῦσι γράφων, φησίν· «Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. Καὶ γὰρ καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων καὶ Θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναντίων». Ὃ δὴ καὶ ἐνταῦθα κατεσκεύασεν ὁ Χριστός. Καὶ ἐπὶ μὲν τῶν ἄλλων μακαρισμῶν ἔλεγε, «Μακάριοι οἱ πτωχοὶ καὶ οἱ ἐλεήμονες»· ἐνταῦθα δὲ οὐκ ἀδιορίστως αὐτὸ τέθεικεν, ἀλλὰ πρὸς αὐτοὺς τρέπει τὸν λόγον, λέγων· «Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα», δεικνὺς ὅτι αὐτῶν τοῦτο μάλιστα ἐξαίρετόν ἐστι, καὶ ὑπὲρ τοὺς ἄλλους ἅπαντας τῶν διδασκάλων ἴδιον τοῦτο. Ὁμοῦ δὲ καὶ τὸ αὐτοῦ ἀξίωμα ἐνταῦθα αἰνίττεται καὶ τὴν πρὸς τὴν γεγεννηκότα ὁμοτιμίαν. Ὥσπερ γὰρ ἐκεῖνοι διὰ τὸν Πατέρα, φησίν, οὕτω καὶ ὑμεῖς δι' ἐμὲ ταῦτα πείσεσθε. Ὅταν δὲ εἴπῃ, «Τοὺς προφήτας τοὺς πρὸ ὑμῶν», δείκνυσι καὶ αὐτοὺς προφήτας ἤδη γεγενημένους. Εἶτα δηλῶν ὅτι τοῦτο μάλιστα αὐτοὺς ὠφελεῖ καὶ ποιεῖ λαμπρούς, οὐκ εἶπεν, ὅτι Κακῶς μὲν ἐροῦσι καὶ διώξουσιν, ἐγὼ δὲ κωλύσω τοῦτο· οὐ γὰρ ἐν τῷ μὴ ἀκούειν κακῶς, ἀλλ' ἐν τῷ κακῶς ἀκούοντας φέρειν γενναίως, καὶ διὰ τῶν ἔργων αὐτοὺς ἐλέγχειν, τὴν ἀσφάλειαν αὐτοῖς βούλεται εἶναι· πολλῷ γὰρ τοῦτο ἐκείνου μεῖζον· ὥσπερ τοῦ μὴ πλήττεσθαι τὸ πληττόμενον μηδὲν πάσχειν δεινὸν πολλῷ μεῖζόν ἐστιν.

Ἐνταῦθα μὲν οὖν φησιν, ὅτι «Ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»· ὁ δὲ Λουκᾶς καὶ ἐπιτεταμένως καὶ μετὰ πλείονος αὐτὸν παραμυθίας τοῦτο εἰρηκέναι φησίν. Οὐ γὰρ δὴ μόνον τοὺς κακῶς ἀκούοντας διὰ τὸν Θεὸν μακαρίζει, ἀλλὰ καὶ τοὺς παρὰ πάντων καλῶς ἀκούοντας ταλανίζει· «Οὐαὶ γὰρ ὑμῖν», φη-

1. Α' Θεσσ. 2, 14 - 15
2. Λουκᾶ 6,26
3. Λουκᾶ 6, 22 - 23

εἰς τὴν Α' ἐπιστολήν του πρὸς τοὺς Θεσσαλονικεῖς. «Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. Καὶ γὰρ καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων καὶ Θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναντίων»[1]. Τὸ ἴδιον νόημα ἔχουν εἰς τὸ σημεῖον αὐτὸ καὶ τὰ λόγια τοῦ Χριστοῦ. Εἰς τοὺς ἄλλους μακαρισμοὺς ἔλεγε· «Μακάριοι οἱ πτωχοὶ καὶ οἱ ἐλεήμονες», εἰς τὸν τελευταῖον τοῦτον ὅμως δὲν ὁμιλεῖ ἀορίστως, ἀλλὰ ἀπευθύνεται πρὸς αὐτοὺς καὶ τοὺς λέγει· «Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ρῆμα καθ' ὑμῶν». Ἔτσι κάμνει φανερὸν ὅτι αὐτὸ ἀποτελεῖ ἰδιαιτέραν ἐξαίρεσιν δι' αὐτοὺς καὶ ὅτι αὐτὴ εἶναι ἡ μοῖρα κυρίως τῶν διδασκάλων. Συγχρόνως ὅμως ὑποδηλώνει ἐδῶ καὶ τὸ ἀξίωμά του καὶ τὴν ἰσοτιμίαν του πρὸς τὸν Πατέρα. Διότι λέγει ὅτι, ὅπως ἐκεῖνοι ἐδιώχθησαν διὰ τὸν Πατέρα, ἔτσι θὰ διωχθῆτε καὶ σεῖς δι' ἐμέ. Καὶ ὅταν λέγῃ· «Τοὺς προφήτας τοὺς πρὸ ὑμῶν», κάμνει γνωστὸν ὅτι ἔχουν γίνει καὶ αὐτοὶ προφῆται. Ἔπειτα διὰ νὰ δείξῃ ὅτι αἱ διώξεις τοὺς ὠφελοῦν πολὺ καὶ τοὺς δοξάζουν, δὲν εἶπεν· ὅτι ἐκεῖνοι μὲν θὰ σᾶς κακολογήσουν καὶ θὰ σᾶς καταδιώξουν, ἀλλὰ ἐγὼ θὰ τοὺς ἐμποδίσω. Διότι θέλει νὰ τοὺς ἐλέγχῃ ἀπὸ τὰ ἔργα των καὶ νὰ μένουν ἀκλόνητοι εἰς τὴν πίστιν των ὄχι ἐπειδὴ δὲν κακολογοῦνται, ἀλλὰ διότι ἀντιμετωπίζουν τὰς κακολογίας μὲ γενναιότητα· Διότι αὐτὸ εἶναι πολὺ ἀνώτερον ἀπὸ ἐκεῖνο, ὅπως εἶναι πολὺ σπουδαιότερον νὰ σὲ κτυποῦν καὶ νὰ μὴ παθαίνῃς τίποτε ἀπὸ τὸ νὰ μὴ σὲ κτυπᾷ κανείς.

Ἐδῶ λοιπὸν λέγει ὅτι «Ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»[2]. Ὁ Λουκᾶς ὅμως λέγει ὅτι αὐτὸ τὸ εἶπε μὲ ἔμφασιν καὶ μὲ περισσότερον ἐνθαρρυντικὸν τόνον. Διότι δὲν περιορίζεται μόνον εἰς τὸν μακαρισμὸν ἐκείνων ποὺ κακολογοῦνται διὰ τὸ ὄνομα τοῦ Θεοῦ, ἀλλὰ ἐλεεινολογεῖ ἐπὶ πλέον ἐκείνους ποὺ τοὺς ἐπαινοῦν ὅλοι οἱ ἄνθρωποι. Λέγει· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι»[3]. Καὶ ἐπαινοῦσαν βέβαια τοὺς

σίν, «ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι». Καίτοι καὶ τοὺς ἀποστόλους καλῶς ἔλεγον· ἀλλ' οὐ πάντες. Διὰ τοῦτο οὐκ εἶπεν, Ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι, ἀλλ', «Ὅταν πάντες». Οὐδὲ γὰρ δυνατὸν τοὺς ἐν τῇ ἀρετῇ ζῶντας παρὰ πάντων ἀκούειν καλῶς. Καὶ πάλιν φησίν· «Ὅταν ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, χαίρετε καὶ σκιρτήσετε». Οὐδὲ γὰρ τῶν κινδύνων μόνον, ὧν ὑπέμενον, ἀλλὰ καὶ τῆς κακηγορίας πολλὴν ὁρίζει τὴν ἀντίδοσιν. Διὰ τοῦτο οὐκ εἶπεν, Ὅταν ἐλάσωσιν ὑμᾶς καὶ ἀποκτείνωσιν, ἀλλ', «Ὅταν ὀνειδίσωσι καὶ εἴπωσι πᾶν πονηρόν». Μάλιστα γὰρ τῶν πραγμάτων αὐτῶν χαλεπώτερον δάκνουσιν αἱ κατηγορίαι. Ἐν μὲν γὰρ τοῖς κινδύνοις πολλὰ τὰ κουφίζοντα τὸν πόνον ἐστίν· οἷον, τὸ παρὰ πάντων ἀλείφεσθαι, τὸ πολλοὺς ἔχειν τοὺς κροτοῦντας καὶ στεφανοῦντας καὶ ἀνακηρύττοντας· ἐνταῦθα δὲ ἐν τῇ κακηγορίᾳ καὶ αὕτη ἀνῄρηται ἡ παραμυθία. Οὐ γὰρ δοκεῖ τι μέγα εἶναι τὸ κατόρθωμα, καὶ μᾶλλον τῶν κινδύνων δάκνει τὸν ἀγωνιζόμενον. Πολλοὶ γοῦν καὶ ἐπὶ βρόχον ἦλθον, πονηρὰν οὐ φέροντες δόξαν. Καὶ τὶ θαυμάζεις ἐπὶ τῶν ἄλλων; Τὸν γὰρ προδότην ἐκεῖνον, τὸν ἀναίσχυντον καὶ μιαρὸν καὶ πρὸς πάντα ἀπερυθριάσαντα ἁπλῶς, τοῦτο μάλιστα ἐπὶ βρόχον ὁρμῆσαι παρεσκεύασε. Καὶ ὁ Ἰὼβ δέ, ὁ ἀδάμας καὶ πέτρας στεῤῥότερος, ἡνίκα μὲν τὰ χρήματα ἀφῄρητο καὶ τὰ ἀνήκεστα ἔπασχε δεινὰ καὶ ἄπαις ἐξαίφνης ἐγένετο καὶ πηγὴν σκωλήκων τὸ σῶμα ἀναβλύζων ἑώρα καὶ τὴν γυναῖκα ἐπικειμένην, διεκρούσατο μετ' εὐκολίας ἅπαντα· ἐπειδὴ δὲ εἶδε τοὺς φίλους ὀνειδίζοντας καὶ ἐπεμβαίνοντας καὶ πονηρὰν δόξαν περὶ αὐτοῦ ἔχοντας καὶ λέγοντας ὑπὲρ ἁμαρτημάτων ταῦτα πάσχειν, καὶ κακίαις διδόναι δίκην· τότε ἐθορυβήθη, τότε ἐταράχθη ὁ γενναῖος καὶ μέγας ἀνήρ.

6. Καὶ ὁ Δαυὶδ δὲ ἅπαντα ἀφεὶς ἅπερ ἔπαθεν, ἀντὶ τῆς κακηγορίας μόνης ἀμοιβὴν ἐζήτει παρὰ τοῦ Θεοῦ· «Ἄφες γὰρ αὐτὸν καταρᾶσθαι», φησίν, «ὅτι Κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου καὶ ἀνταποδῷ μοι ἀντὶ τῆς

ἀποστόλους, ἀλλὰ ὄχι ὅλοι. Διὰ τοῦτο δὲν εἶπεν· Ὅταν σᾶς ἐπαινέσουν οἱ ἄνθρωποι, ἀλλά· «Πάντες οἱ ἄνθρωποι». Διότι δὲν εἶναι δυνατὸν νὰ ἐπαινοῦνται ἀπὸ ὅλους τοὺς ἀνθρώπους οἱ ἐνάρετοι. Λέγει ἐπίσης· «Ὅταν ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, χαίρετε καὶ σκιρτήσετε». Καὶ καθορίζει μεγάλην ἀνταμοιβὴν ὄχι μόνον διὰ τοὺς κινδύνους, τοὺς ὁποίους ἀντεμετώπιζαν, ἀλλὰ καὶ διὰ τὰς κακολογίας. Διὰ τοῦτο δὲν εἶπεν· Ὅταν σᾶς καταδιώξουν καὶ σᾶς σκοτώσουν, ἀλλά· «Ὅταν ὀνειδίσωσι καὶ εἴπωσι πᾶν πονηρόν». Διότι εἰς τοὺς κινδύνους εἶναι πολλὰ ἐκεῖνα ποὺ ἀνακουφίζουν τὸν πόνον, ὅπως π.χ. ὅτι σὲ ἐνθαρρύνουν ὅλοι, τὸ ὅτι πολλοὶ σὲ χειροκροτοῦν, σὲ στεφανώνουν, σὲ ἀνακηρύσσουν ἥρωα. Ὅταν σὲ κακολογοῦν ὅμως ἐξαφανίζεται ἀκόμη καὶ ἡ ἐνθάρρυνσις. Διότι δὲν θεωρεῖται κατόρθωμα νὰ σὲ κακολογοῦν, καὶ πληγώνει ἡ κακολογία τὸν ἀγωνιζόμενον περισσότερον ἀπὸ τοὺς κινδύνους. Δι' αὐτὸ ἔφθασαν πολλοὶ ἀκόμη καὶ εἰς τὴν αὐτοκτονίαν, διότι δὲν ὑπέφεραν τὴν κακὴν φήμην των. Μήπως σοῦ κάμνῃ ἐντύπωσιν αὐτό; Ἀλλὰ αὐτὸ ὡδήγησεν εἰς τὴν αὐτοκτονίαν τὸν προδότην ἐκεῖνον, τὸν ἀναίσχυντον καὶ ἀχρεῖον, καὶ ἐντελῶς ἀσυνείδητον. Καὶ ὁ Ἰώβ, τὸ διαμάντι, ὁ ὑπομομητικώτερος καὶ ἀπὸ τὴν πέτραν, ἀντεμετώπισε μὲ εὐκολίαν τὰ πάντα, ὅταν ἔχασε τὴν περιουσίαν του καὶ ὑπέφερεν ἀπὸ τὰ ἀνυπόφορα ἐκεῖνα δεινὰ καὶ ἔχασε ξαφνικὰ ὅλα τὰ παιδιά του καὶ ἔβλεπε νὰ γεννῶνται σκουλήκια ἀπὸ τὸ σῶμα του καὶ τὴν γυναῖκα του νὰ τὸν ἐπικρίνῃ. Ὅταν εἶδεν ὅμως νὰ τὸν περιφρονοῦν καὶ νὰ τὸν προσβάλλουν οἱ φίλοι του καὶ νὰ ἔχουν κακὴν γνώμην δι' αὐτὸν καὶ νὰ τοῦ λέγουν ὅτι ὑποφέρει ἕνεκα τῶν ἁμαρτιῶν του καὶ ὅτι τιμωρεῖται διὰ τὰ κακὰ ἔργα του, τότε ἀνησύχησε, τότε ἐταράχθη ὁ γενναῖος καὶ σπουδαῖος ἐκεῖνος ἄνθρωπος.

6. Καὶ ὁ Δαυὶδ δὲν ἐπεκαλέσθη ὅλα ὅσα ἔπαθεν, ἀλλὰ ἐζητοῦσεν ἀνταμοιβὴν ἀπὸ τὸν Θεὸν μόνον διὰ τὰς κακολογίας ἐναντίον του. Καὶ λέγει· «Ἄφες αὐτὸν καταρᾶσθαι, ὅτι Κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ Κύριος τὴν ταπείνωσίν μου καὶ ἀν-

κατάρας τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ». Καὶ ὁ Παῦλος δὲ οὐχὶ τοὺς κινδυνεύοντας μόνον, οὐδὲ τοὺς ἀφαιρουμένους τὰ ὄντα, ἀλλὰ καὶ τούτους ἀνακηρύττει, οὕτω λέγων· «Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι». Διὰ δὴ τοῦτο καὶ τὸν μισθὸν πολὺν τέθεικεν ὁ Χριστός. Εἶτα ἵνα μή τις λέγῃ· Ἐνταῦθα οὐκ ἀμύνεις, οὐδὲ ἀποῤῥάπτεις αὐτῶν τὰ στόματα, κἀκεῖ μισθὸν δίδως; τέθεικε τοὺς προφήτας, δεικνὺς ὅτι οὐδὲ ἐκεῖ ἤμυνεν ὁ Θεός. Εἰ δὲ ὅπου παρὰ πόδας ἦσαν αἱ ἀντιδόσεις, ἀπὸ τῶν μελλόντων αὐτοὺς ἤλειψε· πολλῷ μᾶλλον νῦν, ὅτε τρανοτέρα αὕτη γέγονεν ἡ ἐλπὶς καὶ μείζων ἡ φιλοσοφία.

Θέα δὲ καὶ μετὰ πόσας ἐντολὰς αὐτὸ τέθεικεν. Οὐδὲ γὰρ ἁπλῶς αὐτὸ πεποίηκεν, ἀλλὰ δηλῶν ὅτι οὐκ ἔνι τὸν μὴ πᾶσαν ἐκείνοις κατεσκευασμένον καὶ συγκεκροτημένον πρὸς τούτους ἐκβῆναι τοὺς ἀγῶνας. Διά τοι τοῦτο ἀπὸ τῆς προτέρας ἀεὶ τῇ ἐπιούσῃ προοδοποιῶν ἐντολῇ, σειρὰν ἡμῖν τινα χρυσῆν ὕφηνεν. Ὅ τε γὰρ ταπεινός, καὶ τὰ οἰκεῖα πάντως πενθήσει ἁμαρτήματα· ὁ πενθῶν, καὶ πρᾶος ἔσται καὶ δίκαιος καὶ ἐλεήμων· ὁ ἐλεήμων, καὶ δίκαιος καὶ κατανενυγμένος, πάντως καὶ καθαρὸς τῇ καρδίᾳ· ὁ δὲ τοιοῦτος, καὶ εἰρηνοποιός. Ὁ δὲ ταῦτα πάντα κατωρθωκώς, καὶ πρὸς κινδύνους ἔσται παρατεταγμένος, καὶ οὐ ταραχθήσεται ἀκούων κακῶς καὶ μυρία πάσχων δεινά. Παραινέσας τοίνυν ἃ προσῆκε, πάλιν ἀναπαύει τοῖς ἐγκωμίοις αὐτούς. Ἐπειδὴ γὰρ ὑψηλὰ τὰ ἐπιτάγματα ἦν, καὶ πολλῷ μείζονα τῶν ἐν τῇ Παλαιᾷ, ἵνα μὴ θορυβῶνται καὶ ταράττωνται καὶ λέγωσι· Πῶς δυνησόμεθα ταῦτα κατορθοῦν; ἄκουσον τί φησιν· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς»· δεικνὺς ὅτι ἀναγκαίως ταῦτα ἐπιτάττει. Οὐ γὰρ ὑπὲρ τῆς καθ' ἑαυτοὺς

---

1. Β' Βασ. 16,11 - 12
2. Ἑβρ. 10, 32 - 33

ταποδῷ μοι ἀντὶ τῆς κατάρας τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ»[1]. Καὶ ὁ Παῦλος ἐπαινεῖ ὄχι μόνον ἐκείνους ποὺ ἀγωνίζονται μὲ κίνδυνον, οὔτε ἐκείνους ποὺ χάνουν τὰ ὑπάρχοντά των, ἀλλὰ καὶ τοὺς κατηγορουμένους καὶ λέγει τὰ ἑξῆς· «Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι»[2]. Διὰ τοῦτο ἀκριβῶς ὥρισε μεγάλην ἀμοιβὴν ὁ Χριστός. Ἔπειτα ἀνέφερε τοὺς προφήτας, διὰ νὰ μὴ φέρῃ κανεὶς τὴν ἑξῆς ἀντίρρησιν· Ἐδῶ δὲν τοὺς συγκρατεῖς οὔτε ράβεις τὰ στόματά των καὶ ἐκεῖ δίδεις ἀμοιβήν; Ἔδειξε μὲ αὐτὸν τὸν τρόπον ὅτι οὔτε κατὰ τὴν ἐποχὴν τῶν προφητῶν δὲν τοὺς ἠμπόδισεν ὁ Θεός. Καὶ ἀφοῦ ἔδωσε θάρρος εἰς τοὺς προφήτας, μὲ μελλοντικὰς ἀμοιβὰς τότε, ποὺ αὐταὶ ἦσαν συνήθως ἄμεσοι, πολὺ περισσότερον τώρα, ὁπότε ἡ ἐλπὶς διὰ μελλοντικὰς ἀμοιβὰς ἔγινε σαφεστέρα καὶ ἡ πίστις εἰς τὸν Θεὸν μεγαλυτέρα.

Καὶ παρατήρησε μετὰ πόσας ἐντολὰς καθώρισεν αὐτὴν τὴν ἀμοιβήν. Καὶ δὲν τὸ ἔκαμε τυχαίως, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι δὲν εἶναι δυνατὸν νὰ ἀντεπεξέλθῃ εἰς τὸν ἀγῶνα αὐτὸν ἐκεῖνος ποὺ δὲν εἶναι ἐφωδιασμένος μὲ ὅλας ἐκείνας τὰς ἀρετὰς καὶ δὲν ἔχει ὑποστῆ τὴν ἀπαιτουμένην δοκιμασίαν. Διὰ τοῦτο μεταβαίνει προοδευτικῶς ἀπὸ τὴν προηγουμένην εἰς τὴν ἑπομένην καὶ μᾶς παρουσιάζει σὰν κέντημα μίαν ὡραίαν σειράν. Διότι ὁ ταπεινὸς θὰ λυπηθῇ ὁλοψύχως καὶ διὰ τὰς ἰδικάς του ἁμαρτίας. Ὅποιος πενθεῖ, θὰ εἶναι καὶ πρᾶος καὶ δίκαιος καὶ ἐλεήμων. Ὁ ἐλεήμων καὶ δίκαιος καὶ πρᾶος θὰ εἶναι καὶ καθαρὸς εἰς τὴν ψυχήν. Ὁ τελευταῖος αὐτὸς θὰ εἶναι καὶ εἰρηνοποιός. Καὶ ὅποιος θὰ ἔχῃ κατορθώσει ὅλα αὐτά, θὰ ἔχῃ ἀντιμετωπίσει κινδύνους καὶ δὲν θὰ χάσῃ τὴν ψυχραιμίαν του ὅταν κακολογῆται καὶ ὅταν ὑποφέρῃ ἀπὸ ἄπειρα δεινά. Ἐπειδὴ αἱ ἐντολαὶ ἦσαν ὑψηλαὶ καὶ πολὺ ἀνώτεραι ἀπὸ τῆς Παλαιᾶς Διαθήκης, διὰ νὰ μὴ ἀνησυχοῦν καὶ νὰ μὴ χάσουν τὸ θάρρος των καὶ νὰ μὴ διερωτῶνται· Πῶς θὰ ἠμπορέσωμεν νὰ κάμωμεν αὐτὰ τὰ κατορθώματα; ἄκουσε τί λέγει· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς». Ἔτσι κάμνει γνωστὸν ὅτι δίδει αὐτὰς τὰς ἐντολὰς κατ' ἀνάγ-

ζωῆς, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης, φησίν, ἁπάσης ὁ λόγος ἔσται ὑμῖν. Οὐδὲ γὰρ εἰς δύο πόλεις, καὶ δέκα, καὶ εἴκοσιν, οὐδὲ εἰς ἓν ἔθνος ὑμᾶς ἀποστέλλω, καθάπερ τοὺς προφήτας, ἀλλ' εἰς γῆν καὶ θάλατταν καὶ τὴν οἰκουμένην ἅπασαν, καὶ ταύτην κακῶς διακειμένην. Τῷ γὰρ εἰπεῖν, «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς», ἔδειξε μωρανθεῖσαν ἅπασαν τὴν ἀνθρωπίνην φύσιν καὶ κατασαπεῖσαν ὑπὸ τῶν ἁμαρτημάτων. Διά τοι τοῦτο ταύτας παρὰ αὐτῶν ἐπιζητεῖ τὰς ἀρετάς, αἳ μάλιστα πρὸς τὴν τῶν πολλῶν ἐπιμέλειάν εἰσιν ἀναγκαῖαι καὶ χρήσιμοι. Ὅ τε γὰρ πρᾶος καὶ ἐπιεικὴς καὶ ἐλεήμων καὶ δίκαιος, οὐκ εἰς αὐτὸν συγκλείει τὰ κατορθώματα μόνον, ἀλλὰ καὶ εἰς τὴν ἑτέρων ὠφέλειαν τὰς καλὰς ταύτας παρασκευάζει πηγάς. Ὁ δ' αὖ καθαρὸς τὴν καρδίαν καὶ εἰρηνοποιὸς καὶ ἐλαυνόμενος ὑπὲρ τῆς ἀληθείας, πάλιν πρὸς τὸ κοινῇ συμφέρον τὸν βίον καθίσταται. Μὴ τοίνυν νομίσητε, φησίν, ἐπὶ τοὺς τυχόντας ἀγῶνας ἕλκεσθαι, μηδὲ ὑπὲρ μικρῶν τινων εἶναι τὸν λόγον ὑμῖν· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς». Τί οὖν; τὰ σεσηπότα αὐτοὶ διώρθωσαν; Οὐδαμῶς. Οὔτε γὰρ δυνατὸν τὰ διεφθορότα ἤδη ἐπιπάσσοντας ἅλας ὠφελεῖν. Οὐ δὴ τοῦτο ἐποίουν· ἀλλὰ ἀνανεωθέντα πρότερον καὶ παραδοθέντα αὐτοῖς, καὶ τῆς δυσωδίας ἀπαλλαγέντα ἐκείνης, τότε ἥλιζον, κατέχοντες καὶ διατηροῦντες ἐν τῇ νεαρότητι ταύτῃ, ἣν παρὰ τοῦ Δεσπότου παρέλαβον. Τὸ μὲν γὰρ ἀπαλλαγῆναι τῆς σηπεδόνος τῶν ἁμαρτημάτων τοῦ Χριστοῦ κατόρθωμα γέγονε· τὸ δ' αὖ πάλιν μηκέτι ἐπ' ἐκείνην ἐπανελθεῖν τῆς τούτων σπουδῆς καὶ ταλαιπωρίας ἔργον ἦν.

Ὁρᾷς πῶς κατὰ μικρὸν δείκνυσι καὶ τῶν προφητῶν ὄντας βελτίους; Οὐ γὰρ τῆς Παλαιστίνης διδασκάλους εἶναί φησιν, ἀλλὰ τῆς γῆς ἁπάσης· καὶ οὐχ ἁπλῶς διδασκάλους, ἀλλὰ καὶ φο-

κην. Διότι, λέγει, ἡ διδασκαλία σας θὰ ἀποβλέπῃ εἰς τὴν ζωὴν ὄχι τῶν μεμονωμένων ἀτόμων, ἀλλὰ ὁλοκλήρου τῆς ἀνθρωπότητος. Διότι δὲν σᾶς ἀποστέλλω, ὅπως ἀπέστειλα τοὺς προφήτας, εἰς δύο ἢ δέκα ἢ εἴκοσι πόλεις, οὔτε εἰς ἕνα ἔθνος, ἀλλὰ εἰς τὴν ξηρὰν καὶ τὴν θάλασσαν καὶ εἰς ὁλόκληρον τὴν οἰκουμένην, ἡ ὁποία μάλιστα δὲν εὑρίσκεται εἰς καλὴν κατάστασιν. Διότι μὲ τὴν φράσιν· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς», ἐννοεῖ ὅτι ἔχασε τὰ λογικά του ὅλον τὸ ἀνθρώπινον γένος καὶ ὅτι ἔπαθε σῆψιν ἕνεκα τῶν ἁμαρτιῶν του. Διὰ τοῦτο ἀπαιτεῖ νὰ ἔχουν αὐτοὶ αὐτὰς τὰς ἀρετάς, αἱ ὁποῖαι εἶναι ἀπολύτως ἀπαραίτητοι καὶ ὠφέλιμοι διὰ τοὺς προοριζομένους νὰ ἀναλάβουν τὴν νουθεσίαν τῶν πολλῶν. Διότι ὁ πρᾶος καὶ συνετὸς καὶ ἐλεήμων καὶ δίκαιος δὲν ἀρκεῖται εἰς τὴν ἀτομικήν του ἐπιτυχίαν μόνον, ἀλλὰ προσπαθεῖ νὰ ξεχειλίζουν αἱ πηγαὶ αὐταὶ καὶ νὰ ὠφελοῦν καὶ ἄλλους. Ὁ καθαρὸς πάλιν εἰς τὴν ψυχὴν καὶ εἰρηνοποιὸς καὶ καταδιωκώμενος διὰ τοὺς ἀγῶνας του ὑπὲρ τῆς ἀληθείας ρυθμίζει τὸν βίον του σύμφωνα μὲ τὸ κοινὸν συμφέρον. Μὴ νομίσετε λοιπόν, λέγει, ὅτι καλεῖσθε εἰς συνήθεις ἀγῶνας, οὔτε ὅτ[1] ἡ διδασκαλία σας θὰ ἀναφέρεται εἰς μικροπράγματα· «Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς». Λοιπόν; Οἱ μαθηταὶ ἐθεράπευσαν τὴν νόσον; Ἀσφαλῶς ὄχι. Διότι δὲν ἦτο δυνατὸν νὰ παστώσουν μὲ ἅλας καὶ νὰ σώσουν ὅ,τι εἶχε σαπίσει. Δὲν ἔκαμαν λοιπὸν αὐτό, ἀλλά, ἀφοῦ τὰ ἀνενέωσε πρῶτα ὁ Χριστὸς καὶ τοὺς τὰ παρέδωσε καὶ τὰ ἀπήλλαξε ἀπὸ τὴν δυσωδίαν, τὰ ἀλάτιζαν καὶ τὰ διατηροῦσαν καὶ τὰ ἐσυντηροῦσαν εἰς τὴν νέαν αὐτὴν κατάστασιν, εἰς τὴν ὁποίαν τὰ παρέλαβαν. Ἡ ἀπαλλαγὴ ἑπομένως ἀπὸ τὴν σῆψιν τῆς ἁμαρτίας εἶναι κατόρθωμα τοῦ Χριστοῦ· Ἡ ἀποφυγὴ ὅμως τῆς ἐπανόδου εἰς τὴν κατάστασιν ἐκείνην ἦτο τῆς φροντίδος καὶ τοῦ ἐπιπόνου ἀγῶνος ἐκείνων.

Βλέπεις πῶς κάμνει σιγά - σιγὰ γνωστὸν ὅτι εἶναι ἀνώτεροι καὶ ἀπὸ τοὺς προφήτας; Διότι λέγει ὅτι εἶναι διδάσκαλοι ὄχι μόνον τῆς Παλαιστίνης, ἀλλὰ ὁλοκλήρου τῆς οἰκουμένης. Καὶ δὲν εἶναι μόνον διδάσκαλοι, ἀλλὰ καὶ φοβεροὶ διδάσκαλοι. Καὶ εἶναι ἄξιον μεγάλου θαυμασμοῦ τοῦτο, ὅτι ἔγιναν

βερούς. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ κολακεύοντες, οὐδὲ θεραπεύοντες, ἀλλ' ἐπιστύφοντες ὥσπερ τὸ ἅλας, οὕτω ποθεινοὶ πᾶσι γεγόνασι.

Μὴ τοίνυν θαυμάσητε, φησίν, εἰ τοὺς ἄλλους ἀφεὶς ὑμῖν διαλέγομαι καὶ πρὸς τοσούτους ἕλκω κινδύνους. Ἐννοήσατε γὰρ ὅσαις πόλεσι καὶ δήμοις καὶ ἔθνεσι μέλλω πέμπειν ὑμᾶς ἐπιστάτας. Διὰ τοῦτο οὐχ ὑμᾶς εἶναι βούλομαι φρονίμους μόνον, ἀλλὰ καὶ ἑτέρους τοιούτους ποιεῖν. Τοὺς δὲ τοιούτους πολὺ δεῖ συνετοὺς εἶναι, ἐν οἷς ἡ τῶν ἄλλων κινδυνεύεται σωτηρία, καὶ τοσαύτην αὐτοῖς τὴν περιουσίαν εἶναι τῆς ἀρετῆς, ὡς καὶ ἄλλοις μεταδιδόναι τῆς ὠφελείας. Εἰ γὰρ τοιοῦτοι μὴ γένοισθε, οὐδὲ ὑμῖν αὐτοῖς ἀρκέσετε.

7. Μὴ τοίνυν δυσχεράνητε, ὡς ἐπαχθῶν ὄντων τῶν λεγομένων. Τοῖς μὲν γὰρ ἄλλοις μωρανθεῖσι δυνατὸν ἐπανελθεῖν δι' ὑμῶν· ὑμεῖς δέ, εἰ τοῦτο πάθοιτε, μεθ' ἑαυτῶν καὶ ἑτέρους προσαπολεῖτε. Ὥστε ὅσῳ μεγάλα ἐγχειρίζεσθε πράγματα, τοσούτῳ καὶ μείζονος δεῖσθε σπουδῆς. Διό φησιν·«Ἂν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων». Οἱ μὲν γὰρ ἄλλοι μυριάκις πίπτοντες, δύνανται τυχεῖν συγγνώμης· ὁ δὲ διδάσκαλος, ἐὰν τοῦτο πάθῃ, πάσης ἀπεστέρηται ἀπολογίας καὶ τὴν ἐσχάτην δώσει τιμωρίαν. Ἵνα γὰρ μὴ ἀκούοντες, «Ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν», δειλιάσωσιν εἰς μέσον προελθεῖν, λέγει ὅτι Ἂν μὴ πρὸς ταῦτα ἦτε παρατεταγμένοι, εἰκῇ ἐξελέγητε. Οὐ γὰρ τὸ κακῶς ἀκούειν χρὴ δεδοικέναι, ἀλλὰ τὸ συναποκρινομένους φαίνεσθαι· τότε γὰρ μωρανθήσεσθε καὶ καταπατηθήσεσθε. Ἐὰν

περοπόθητοι ἀπὸ ὅλους, ἂν καὶ δὲν ἐκολάκευαν οὔτε εἶχαν ἴχνος δουλοπρεπείας, ἀλλὰ ἐπροκαλοῦσαν πόνον, ὅπως τὸ ἅλας.

Μὴ ἐκπλαγῆτε λοιπόν, λέγει, ἂν ἄφησα τοὺς ἄλλους καὶ συζητῶ μαζί σας καὶ σᾶς ὁδηγῶ εἰς τόσους κινδύνους. Διότι πρέπει νὰ ἀναλογισθῆτε εἰς πόσας πόλεις καὶ χωρία καὶ ἔθνη πρόκειται νὰ σᾶς ἀποστείλω ὡς διδασκάλους. Διὰ τοῦτο δὲν μοῦ εἶναι ἀρκετὸν νὰ εἶσθε σεῖς μόνον ἠθικοὶ καὶ συνετοί, ἀλλὰ νὰ κάμνετε καὶ ἄλλους. Αὐτοὶ δέ, ποὺ ἀναλαμβάνουν τέτοιο ἔργον, πρέπει νὰ εἶναι συνετοί, ἀφοῦ πρόκειται διὰ ζητήματα, ἀπὸ τὰ ὁποῖα ἐξαρτᾶται ἡ σωτηρία τῶν ἄλλων, καὶ νὰ ἔχουν τόσον περίσσευμα ἀρετῆς, ὥστε νὰ κάμνουν ἐναρέτους καὶ τοὺς ἄλλους. Διότι, ἂν δὲν τὸ κατορθώσετε δὲν θὰ εἶσθε ἱκανοὶ οὔτε τοὺς ἑαυτούς σας νὰ σώσετε.

7. Μὴ δυσανασχετῆτε λοιπὸν διὰ τὴν δυσκολίαν ποὺ παρουσιάζει ἡ συμμόρφωσις πρὸς τὰς ἐντολάς. Διότι, ἂν ἀπομακρυνθοῦν οἱ ἄλλοι ἀπὸ τὸν ἠθικὸν δρόμον, εἶναι δυνατὸν νὰ τοὺς ἐπαναφέρετε ἐσεῖς εἰς αὐτόν. Ἂν ὅμως ἀπομακρυνθῆτε ἐσεῖς, θὰ καταστρέψετε καὶ ἄλλους ἐκτὸς ἀπὸ τοὺς ἑαυτούς σας. Ὥστε, ὅσον μεγαλυτέρα εἶναι ἡ ἀποστολή σας, τόσον ἔχετε ἀνάγκην μεγαλυτέρας προσοχῆς. Διὰ τοῦτο λέγει· «Ἂν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων». Οἱ ἄλλοι λοιπὸν εἶναι δυνατὸν νὰ συγχωρηθοῦν, ἔστω καὶ ἂν ἁμαρτήσουν χίλιες φορές. Ἂν ὅμως ἁμαρτήσῃ μίαν φορὰν ὁ διδάσκαλος, δὲν θὰ ἔχῃ οὔτε τὴν παραμικρὰν δικαιολογίαν καὶ θὰ τιμωρηθῇ αὐστηρότατα. Διὰ νὰ μὴ διστάσουν λοιπὸν νὰ ἀναλάβουν τὸν ἀγῶνα ὅταν ἀκούσουν· «ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν», λέγει ὅτι· Ἂν δὲν εἶσθε ἕτοιμοι νὰ ἀγωνισθῆτε δι' αὐτά, σᾶς ἐδιάλεξα ἄδικα. Διότι δὲν πρέπει νὰ σᾶς φοβίζουν αἱ κακολογίαι, ἀλλὰ ἡ ὑποκριτικὴ συμμόρφωσίς σας πρὸς τὰς ἀπόψεις τῶν ἄλλων. Διότι τότε θὰ φύγετε ἀπὸ τὸν ἠθικὸν δρόμον καὶ θὰ καταπατηθῆτε ἀπὸ τοὺς ἀνθρώπους. Ἂν σᾶς κακολογοῦν ὅμως ἐπειδὴ ἐπιμένετε νὰ

δὲ πένητε αὐτοὺς ἐπιστύφοντες, εἶτα κακῶς ἀκούητε, χαίρετε. Τοῦτο γὰρ ἁλὸς ἔργον ἐστί, τὸ δάκνειν καὶ λυπεῖν τοὺς χαύνους. Ὥστε ἀναγκαίως ἡ κακηγορία ἕπεται, οὐδὲν ὑμᾶς βλάπτουσα, ἀλλὰ καὶ μαρτυροῦσα ὑμῶν τῇ στεῤῥότητι. Ἂν δὲ φοβηθέντες αὐτήν, προδῶτε τὴν προσήκουσαν ὑμῖν σφοδρότητα, πολλῷ χαλεπώτερα πείσεσθε, καὶ κακῶς ἀκούοντες καὶ καταφρονούμενοι παρὰ πάντων. Τοῦτο γάρ ἐστι, καταπατεῖσθαι.

Εἶτα ἐφ' ἕτερον ὑψηλότερον ἄγει παράδειγμα· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου». Πάλιν τοῦ κόσμου, οὐκ ἔθνους ἑνός, οὐδὲ εἴκοσι πόλεων, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης· καὶ φῶς νοητὸν καὶ τῆς ἀκτῖνος ταύτης πολὺ βέλτιον, ὥσπερ οὖν καὶ ἅλας πνευματικόν. Καὶ πρότερον ἅλας, καὶ τότε φῶς· ἵνα μάθῃς ἡλίκον τῶν κατεστυμμένων ῥημάτων τὸ κέρδος, καὶ τῆς σεμνῆς διδασκαλίας τὸ ὄφελος. Καὶ γὰρ σφίγγει καὶ οὐκ ἀφίησι διαῤῥεῦσαι καὶ διαβλέψαι ποιεῖ, πρὸς ἀρετὴν χειραγωγοῦσα.

«Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸν μόδιον». Πάλιν αὐτοὺς διὰ τούτων εἰς ἀκρίβειαν ἄγει βίου, παιδεύων ἐναγωνίους εἶναι, ὡς ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς κειμένους καὶ ἐν μέσῳ τῷ τῆς οἰκουμένης ἀγωνιζομένους θεάτρῳ. Μὴ γὰρ δὴ τοῦτο ἴδητε, φησίν, ὅτι ἐνταῦθα καθήμεθα νῦν, καὶ ἐν μικρῷ γωνίας ἐσμὲν μέρει· οὕτω γὰρ κατάδηλοι ἔσεσθε πᾶσιν, ὡσανεὶ πόλις ὑπὲρ κορυφῆς ὄρους κειμένη, ὡσανεὶ λύχνος ἐν οἰκίᾳ ὑπὲρ τῆς λυχνίας φαίνων.

Ποῦ νῦν οἱ τῇ δυνάμει τοῦ Χριστοῦ διαπιστοῦντες; Ἀκουέτωσαν ταῦτα καί, τῆς προφητείας τὴν δύναμιν ἐκπλαγέντες, προσκυνείτωσαν αὐτοῦ τὴν ἰσχύν. Ἐννόησον γὰρ ἡλίκα

τοὺς ἐλέγχετε, πρέπει νὰ εἶσθε πολὺ εὐχαριστημένοι. Διότι τὸ ἅλας ἔχει αὐτὴν τὴν ἰδιότητα, νὰ προξενῇ πόνον καὶ λύπην εἰς τοὺς ἁμαρτωλούς. Ἡ κακολογία ἑπομένως εἶναι τὸ ἀναγκαῖον ἐπακόλουθον, ἀλλὰ δὲν σᾶς βλάπτει. Ἀποτελεῖ ἀντιθέτως ἀπόδειξιν τῆς ἐπιμονῆς σας. Ἂν ὅμως φοβηθῆτε τὴν κακολογίαν καὶ μειώσετε τὸν ζῆλον ποὺ πρέπει νὰ ἔχετε, θὰ πάθετε πολὺ χειρότερα καὶ θὰ σᾶς κακολογοῦν καὶ θὰ σᾶς περιφρονοῦν ὅλοι. Αὐτὸ ἐννοῶ ὅταν λέγω ὅτι θὰ καταπατηθῆτε.

Μετὰ ἀπὸ αὐτὰ τοὺς διδάσκει μὲ ἄλλην μεταφορικὴν ἔκφρασιν. «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου». Ὁμιλεῖ πάλιν περὶ τοῦ κόσμου, ὄχι περὶ ἑνὸς λαοῦ οὔτε εἴκοσι πόλεων, ἀλλὰ περὶ ὁλοκλήρου τῆς οἰκουμένης. Καὶ ἐννοεῖ τὸ πνευματικὸν φῶς, ποὺ εἶναι πολὺ ἀνώτερον ἀκόμη καὶ ἀπὸ τὰς ἀκτῖνας τοῦ ἡλίου, ὅπως καὶ τὸ πνευματικὸν ἅλας. Προηγουμένως τοὺς παρέβαλε μὲ ἅλας, τώρα μὲ φῶς. Διὰ νὰ κατανοήσῃς πόσον μεγάλον εἶναι τὸ κέρδος ἀπὸ τὰς πικρὰς κακολογίας καὶ ἡ ὠφέλεια ἀπὸ κάθε λαμπρὰν διδασκαλίαν. Διότι θέτει εἰς ἐνέργειαν τὴν συνείδησίν μας, καὶ δὲν τῆς ἐπιτρέπει νὰ μείνῃ χαλαρὰ καὶ τὴν κάμνει νὰ βλέπῃ καθαρά, ἐπειδὴ τὴν κατευθύνει πρὸς τὴν ἀρετήν.

«Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸν μόδιον». Προσπαθεῖ πάλιν μὲ αὐτὰ τὰ λόγια νὰ τοὺς ὁδηγήσῃ εἰς ἠθικὴν τελείωσιν καὶ τοὺς διδάσκει νὰ εὑρίσκωνται εἰς διαρκῆ ἐπαγρύπνησιν, διότι θὰ παρακολουθοῦνται ἀπὸ ὅλους καὶ θὰ ἔχουν ὡς θεατὰς ὁλόκληρον τὴν ἀνθρωπότητα. Μὴ ἔχετε, λέγει, τὴν ἐντύπωσιν ὅτι τώρα καθόμαστε ἐδῶ καὶ ὅτι εὑρισκόμεθα εἰς κάποιαν γωνίαν τῆς γῆς. Διότι τόσον πολὺ θὰ σᾶς βλέπουν ὅλοι, ὅπως βλέπουν μιὰν πόλιν ποὺ εἶναι κτισμένη εἰς τὴν κορυφὴν ὅπως βλέπουν μέσα εἰς ἕνα σπίτι τὸ λυχνάρι, ποὺ εὑρίσκεται ἐπάνω εἰς τὸν λυχνοστάτην καὶ σκορπίζει γύρω τὸ φῶς.

Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ ἀμφιβάλλουν διὰ τὴν δύναμιν τοῦ Χριστοῦ; Ἂς τὰ ἀκούσουν αὐτά, ἂς θαυμάσουν τὴν προφητικήν του δύναμιν καὶ ἂς προσκυνήσουν τὴν ἐξουσίαν του. Ἀναλογίσου δηλαδὴ ποίας ὑποσχέσεις ἔδιδε πρὸς ἀνθρώπους

ὑπέσχετο τοῖς οὐδὲ ἐν τῇ χώρᾳ γνωρίμοις οὖσι τῇ αὐτῶν· ὅτι γῆ καὶ θάλαττα αὐτοὺς εἴσεται καὶ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἥξουσι τῇ φήμῃ· μᾶλλον δὲ οὐδὲ τῇ φήμῃ, ἀλλὰ καὶ τῇ τῆς εὐεργεσίας ἐνεργείᾳ. Οὐδὲ γὰρ ἡ φήμη φέρουσα πανταχοῦ δήλους αὐτοὺς ἐποίησεν, ἀλλὰ καὶ αὐτὴ ἡ διὰ τῶν ἔργων ἐπίδειξις. Καθάπερ γὰρ ὑπόπτεροι γενόμενοι, τῆς ἀκτῖνος σφοδρότερον τὴν γῆν ἐπέδραμον ἅπασαν, σπείροντες τῆς εὐσεβείας τὸ φῶς. Ἐνταῦθα δέ μοι αὐτοὺς καὶ πρὸς παῤῥησίαν ἀλείφειν δοκεῖ· τὸ μὲν γὰρ εἰπεῖν, «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη», τὴν αὐτοῦ δύναμίν ἐστιν ἐμφαίνοντος· ὥσπερ γὰρ ἐκείνην κρυβῆναι ἀμήχανον, οὕτω τὸ κήρυγμα ἀδύνατον σιγηθῆναι καὶ λαθεῖν. Ἐπειδὴ γὰρ εἶπε διωγμοὺς καὶ κακηγορίας καὶ ἐπιβουλὰς καὶ πολέμους, ἵνα μὴ νομίσωσιν ὅτι ταῦτα αὐτοὺς ἐπιστομίσαι δυνήσεται, θαῤῥύνων αὐτούς φησιν, ὅτι οὐ μόνον οὐ λήσεται, ἀλλὰ καὶ καταλάμψει τὴν οἰκουμένην ἅπασαν· καὶ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο ἔσονται λαμπροὶ καὶ ἐπίσημοι.

Τούτῳ μὲν οὖν τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται· τῷ δὲ ἑξῆς τὴν παῤῥησίαν ἀπαιτεῖ τὴν παρ᾽ αὐτῶν, οὕτω λέγων· «Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ἐγὼ μὲν γὰρ ἧψα τὸ φῶς, φησί· τὸ δὲ μεῖναι καιόμενον, τῆς ὑμετέρας γενέσθω σπουδῆς· οὐ δι᾽ ὑμᾶς αὐτοὺς μόνον, ἀλλὰ καὶ διὰ τοὺς μέλλοντας τῆς αὐγῆς ἀπολαύειν ταύτης καὶ πρὸς τὴν ἀλήθειαν χειραγωγεῖσθαι. Οὐ γὰρ δὴ δυνήσονται αἱ κακηγορίαι συσκιάσαι ὑμῶν τὴν λαμπηδόνα, ἐὰν ὑμεῖς ἦτε μετὰ ἀκριβείας βιοῦντες, καὶ οὕτως ὡς μέλλοντες ἅπασαν ἐπιστρέφειν τὴν οἰκουμένην.

πού ἦσαν ἄγνωστοι ἀκόμη καὶ εἰς τὴν ἰδιαιτέραν των πατρίδα. Τοὺς ὑπέσχετο ὅτι θὰ τοὺς γνωρίσῃ ἡ ξηρὰ καὶ ἡ θάλασσα καὶ ὅτι ἡ φήμη των θὰ φθάσῃ εἰς τὰ πέρατα τῆς οἰκουμένης. Ἤ, ὀρθότερα, ὄχι ἁπλῶς ἡ φήμη, ἀλλὰ καὶ ἡ εὐεργητική των ἐπίδρασις. Διότι πράγματι δὲν τοὺς ἔκαμε παντοῦ γνωστοὺς μόνον ἡ φήμη, ἀλλὰ τὰ ἴδια τὰ ἔργα των. Διότι διέτρεξαν ὅλην τὴν γῆν ὡσὰν νὰ ἦσαν πτερωτοί, ταχύτεροι ἀπὸ τὰς ἀκτῖνας, καὶ ἔσπειραν τὸ φῶς τῆς εὐσεβείας. Καὶ ἔχω τὴν ἐντύπωσιν ὅτι εἰς τὸ σημεῖον αὐτὸ τοὺς προετοιμάζει διὰ τὴν ποιμαντορικὴν δρᾶσιν των· Ἡ φράσις λοιπόν· «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, ἀποδεικνύει τὴν δύναμίν του. Διότι, ὅπως δὲν ὑπάρχει τρόπος νὰ κρυφθῇ ἡ πόλις αὐτή, ἔτσι εἶναι δυνατὸν νὰ ἀποσιωπηθῇ, καὶ νὰ μείνῃ ἀπαρατήρητον τὸ κήρυγμα. Ἐπειδὴ ὅμως ὡμίλησε διὰ διωγμοὺς καὶ κακολογίας καὶ παγίδας καὶ πολέμους, τοὺς ἐνθαρρύνει καί, διὰ νὰ μὴ νομίσουν ὅτι αὐτὰ θὰ καταφέρουν νὰ τοὺς κλείσουν τὸ στόμα, τοὺς λέγει ὅτι ὄχι μόνον δὲν θὰ μείνῃ ἀπαρατήρητον, ἀλλὰ καὶ θὰ φωτίσῃ ὁλόκληρον τὴν οἰκουμένην. Καὶ δι' αὐτὸ ἀκριβῶς θὰ γίνουν ἔνδοξοι καὶ ἐπιφανεῖς.

Μὲ αὐτὸ λοιπὸν φανερώνει τὴν δύναμίν του. Μὲ τὸ ἀμέσως ἑπόμενον ὅμως τοὺς ζητεῖ νὰ ἐπιδοθοῦν μὲ ζῆλον εἰς τὸ ἔργον των καὶ τοὺς λέγει· «Οὐδὲ καίουσι λύχνον καὶ τειθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ἐγὼ δηλαδὴ ἄναψα, λέγει, τὸ φῶς· Ἔργον ἰδικόν σας εἶναι νὰ παραμείνῃ ἀναμμένον. Καὶ ὄχι μόνον διὰ τὸν ἑαυτόν σας, ἀλλὰ καὶ δι' ἐκείνους πού θὰ θελήσουν νὰ ἀπολαύσουν αὐτὸ τὸ λαμπρὸν φῶς καὶ νὰ κατευθυνθοῦν πρὸς τὴν ἀλήθειαν. Ἂν ζῆτε λοιπὸν ἐνάρετα καὶ ὅπως πρέπει εἰς ἐκείνους πού προορίζονται νὰ διδάξουν ὅλην τὴν οἰκουμένην, δὲν θὰ ἠμπορέσουν αἱ κακολογίαι νὰ μειώσουν τὴν λάμψιν σας. Ἐπιδιώξετε λοιπὸν νὰ εἶναι ἡ ζωή σας ἀξία τῆς

Ἄξιον τοίνυν τῆς χάριτος ἐπιδείξασθε βίον, ἵν᾽ ὥσπερ ἐκείνη πανταχοῦ κηρύττεται, οὕτω καὶ αὕτη ἐκείνῃ συντρέχῃ.

Εἶτα καὶ ἕτερον κέρδος τίθησι μετὰ τῆς τῶν ἀνθρώπων σωτηρίας, ἱκανὸν αὐτοὺς ἐναγωνίους ποιῆσαι καὶ εἰς πᾶσαν ἀγαγεῖν σπουδήν. Οὐ γὰρ δὴ τὴν οἰκουμένην διορθώσετε, φησί, μόνον, ὀρθῶς βιοῦντες, ἀλλὰ καὶ τὸν Θεὸν δοξάζεσθαι παρασκευάσετε· ὥσπερ οὖν τὰ ἐναντία ποιοῦντες, καὶ τοὺς ἀνθρώπους ἀπολεῖτε, καὶ τοῦ Θεοῦ τὸ ὄνομα βλασφημεῖσθαι ποιήσετε.

8. Καὶ πῶς, φησίν, ὁ Θεὸς δοξασθήσεται δι᾽ ἡμῶν, εἴγε μέλλοιεν ἡμᾶς κακηγορεῖν οἱ ἄνθρωποι; Ἀλλ᾽ οὐ πάντες· κἀκεῖνοι δὲ αὐτοὶ οἱ ἐν βασκανίᾳ τοῦτο ποιοῦντες, κατὰ τὸ συνειδὸς ὑμᾶς θαυμάσονται καὶ ἀποδέξονται· ὥσπερ οὖν οἱ φανερῶς κολακεύοντες τοὺς ἐν πονηρίᾳ ζῶντας καὶ νοῦν διαβάλλουσι.

Τί οὖν; πρὸς ἐπίδειξιν ἡμᾶς κελεύεις ζῆν καὶ πρὸς φιλοτιμίαν; Ἄπαγε, οὐ τοῦτό φημι. Οὐδὲ γὰρ εἶπον, Σπουδάζετε ὑμεῖς εἰς μέσον φέρειν τὰ κατορθώματα ὑμῶν· οὐδὲ εἶπον, Δείξατε αὐτά· ἀλλά, «Λαμψάτω τὸ φῶς ὑμῶν»· τουτέστι, πολλὴ ἔστω ἡ ἀρετὴ καὶ δαψιλὲς τὸ πῦρ καὶ τὸ φῶς ἄφατον. Ὅταν γὰρ τοσαύτη ᾖ ἡ ἀρετή, ἀδύνατον αὐτὴν λαθεῖν, κἂν μυριάκις ὁ μετιὼν αὐτὴν συσκιάσῃ. Ἄληπτον αὐτοῖς παράσχεσθε βίον καὶ μηδεμίαν ἐχέτωσαν ἀληθῆ κατηγορίας ἀφορμήν· καί, κἂν μυρίοι οἱ κατηγοροῦντες ὦσιν, οὐδεὶς ὑμῖν ἐπισκιάσαι δυνήσεται. Καὶ καλῶς εἶπε, «Τὸ φῶς». Οὐδὲν γὰρ οὕτως ἐπίσημον ἄνθρωπον ποιεῖ, κἂν μυριάκις λανθάνειν βούληται, ὡς ἀρετῆς ἐπίδειξις. Ὥσπερ γὰρ αὐτὴν τὴν ἀκτῖνα περιβεβλημένος, οὕτως αὐτῆς φαιδρότερος λάμπει, οὐκ εἰς γῆν τὰς μαρμαρυγὰς ἀφιείς, ἀλλὰ καὶ αὐτὸν ὑπερβαίνων τὸν οὐρανόν. Ἐντεῦθεν καὶ παραμυθεῖται αὐτοὺς μειζόνως. Εἰ γὰρ καὶ ἀλγεῖτε, φησί,

εὐλογίας τοῦ Θεοῦ, ὥστε νὰ εἶναι συμπαραστάτης σας παντοῦ, ὅπως θὰ τὴν κηρύσσετε παντοῦ.

Ἔπειτα, ἐκτὸς ἀπὸ τὴν σωτηρίαν τῶν ἀνθρώπων, ὑπόσχεται καὶ ἄλλην ὠφέλειαν, ἱκανὴν νὰ τοὺς ἐνισχύσῃ εἰς τοὺς ἀγῶνας των καὶ νὰ τοὺς δραστηριοποιήσῃ. Ἂν εἶναι, λέγει, ἐνάρετος ὁ βίος σας, δὲν θὰ συμβάλετε μόνον εἰς τὸν φρονηματισμὸν τῆς οἰκουμένης, ἀλλὰ καὶ εἰς τὴν δόξαν τοῦ Θεοῦ. Ὅπως ἀκριβῶς θὰ καταστρέψετε τὸ ἀνθρώπινον γένος καὶ θὰ κάμετε νὰ ὑβρίζεται τὸ ὄνομα τοῦ Θεοῦ, ἂν κάμνετε τὸ ἀντίθετον.

8. Πῶς θὰ δοξασθῇ ὅμως, λέγει, ὁ Θεὸς μὲ τὴν ἰδικήν μας συμβολήν, ἀφοῦ θὰ μᾶς κακολογοῦν οἱ ἄνθρωποι; Δὲν θὰ σᾶς κακολογοῦν ὅλοι. Καὶ ἐκεῖνοι ἀκόμη ποὺ θὰ σᾶς κακολογοῦν ἀπὸ φθόνον, θὰ σᾶς θαυμάζουν καὶ θὰ σᾶς σέβωνται κρυφὰ μέσα εἰς τὴν συνείδησίν των, ὅπως ἀκριβῶς κατηγοροῦν ἐνδόμυχα οἱ κόλακες ἐκείνους ποὺ ζοῦν ἀνήθικα.

Λοιπόν; Μᾶς συμβουλεύεις νὰ ζοῦμεν πρὸς αὐτοπροβολὴν καὶ μὲ σκοπὸν τὴν ἀπόκτησιν δόξης; Ὄχι! Δὲν ἐννοῶ αὐτό. Διὰ τοῦτο δὲν εἶπα· Προσπαθήσετε νὰ κάμετε γνωστὰ τὰ κατορθώματά σας. Διὰ τοῦτο δὲν εἶπα· Δείξετε τὰ κατορθώματά σας, ἀλλά· «Λαμψάτω τὸ φῶς ὑμῶν»· Τοῦτο σημαίνει· Νὰ εἶναι πολλὴ ἡ ἀρετή σας καὶ ἄφθονη ἡ φλόγα σας καὶ ἄπειρον τὸ φῶς σας. Διότι, ὅταν εἶναι τόσον πολλὴ ἡ ἀρετή, εἶναι ἀδύνανατον νὰ μὴ τὴν προσέξουν, ἀκόμη καὶ ἂν προσπαθῇ νὰ τὴν κρύψῃ ὁ ἐνάρετος. Ἡ ζωή σας νὰ εἶναι ἀδιάβλητη καὶ μὴ τοὺς δίδετε καμμίαν ἀφορμὴν νὰ σᾶς κακολογοῦν. Καὶ τότε δὲν θὰ ἠμπορέσῃ κανεὶς νὰ κηλιδώσῃ τὸν βίον σας, ἔστω καὶ ἂν σᾶς κακολογοῦν χιλιάδες. Ὡραῖα τὸ εἶπε· «Τὸ φῶς». Διότι, ὅσον καὶ ἂν ἐπιθυμῇ ὁ ἄνθρωπος νὰ μείνῃ ἀπαρατήρητος, δὲν ὑπάρχει τίποτε ποὺ νὰ τοῦ δίδῃ τόσην δόξαν, ὅσην ἡ ἄσκησις τῆς ἀρετῆς. Διότι εἶναι φωτεινότερος ἀπὸ τὴν ἰδίαν τὴν ἀκτῖνα, ὡσὰν νὰ ἀκτινοβολῇ ὁ ἴδιος, καὶ ἐκπέμπει τὴν λάμψιν του ὄχι μόνον ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐπάνω ἀπὸ τὸν οὐρανόν. Ἔτσι τοὺς ἐνθαρρύνει περισσότερον. Καὶ ἂν πονῆτε, λέγει, ἐπειδὴ σᾶς

βλασφημούμενοι, ἀλλ' ἕξετε πολλοὺς τοὺς δι' ὑμᾶς θαυμάζοντας τὸν Θεόν. Ἑκατέρωθεν δὲ ὁ μισθὸς ὑμῖν συλλέγεται, καὶ δοξαζομένου τοῦ Θεοῦ δι' ὑμᾶς καὶ βλασφημουμένων ὑμῶν διὰ τὸν Θεόν. Ἵνα γὰρ μὴ ἐπιτηδεύωμεν κακῶς ἀκούειν, μαθόντες ὅτι μισθὸν ἔχει τὸ πρᾶγμα, οὔτε ἐκεῖνο ἁπλῶς τέθεικε, ἀλλὰ μετὰ δύο διορισμῶν· οἷον, ὅταν ψευδῆ λέγηται, καὶ ὅταν διὰ τὸν Θεόν· καὶ δείκνυσιν, ὅτι οὐκ ἐκεῖνο μόνον, ἀλλὰ καὶ τὸ καλῶς ἀκούειν πολὺ φέρει τὸ κέρδος, τῆς δόξης εἰς τὸν Θεὸν διαβαινούσης· καὶ χρηστὰς αὐτοῖς ὑποτείνει τὰς ἐλπίδας. Οὐ γὰρ τοσοῦτον, φησίν, ἰσχύει ἡ κακηγορία τῶν πονηρῶν, ὡς καὶ τοῖς ἄλλοις ἐπισκοτεῖν εἰς τὸ ἰδεῖν ὑμῶν τὸ φῶς. Ὅταν γὰρ μωρανθῆτε, τότε ὑμᾶς καταπατήσουσι μόνον, οὐχ ὅταν τὰ ὀρθὰ πράττοντες διαβάλησθε. Τότε γὰρ καὶ πολλοὶ ἔσονται οἱ θαυμάζοντες, οὐχ ὑμᾶς μόνον, ἀλλὰ δι' ὑμᾶς καὶ τὸν Πατέρα τὸν ὑμέτερον. Καὶ οὐκ εἶπε, τὸν Θεόν, ἀλλά, τὸν Πατέρα, τῆς μελλούσης αὐτοῖς δίδοσθαι εὐγενείας ἤδη προκαταβάλλων τὰ σπέρματα. Εἶτα δεικνὺς τὸ ὁμότιμον, ἀνωτέρω μὲν ἔλεγε· Μὴ λυπεῖσθε ὅταν κακῶς ἀκούητε· ἀρκεῖ γὰρ ὑμῖν τὸ δι' ἐμὲ ταῦτα ἀκούειν· ἐνταῦθα δὲ τὸν Πατέρα τίθησι, πανταχοῦ τὸ ἴσον δηλῶν.

Εἰδότες τοίνυν τὸ ἀπὸ τῆς σπουδῆς ταύτης κέρδος καὶ τῆς ῥᾳθυμίας τὸν κίνδυνον (τῆς γὰρ ἡμετέρας ἀπωλείας πολλῷ χεῖρον τὸ τὸν Δεσπότην τὸν ἡμέτερον βλασφημεῖσθαι δι' ἡμᾶς), ἀπρόσκοποι γινώμεθα καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· τόν τε βίον ἡλίου λαμπρότερον παρεχόμενοι, κἂν τις βούληται κακηγορεῖν, μὴ τῷ κακῶς ἀκούειν ἀλγοῦντες,

κακολογοῦν, νὰ εἶσθε βέβαιοι ὅτι θὰ εἶναι πολλοὶ ἐκεῖνοι ποὺ θὰ λατρεύσουν τὸν Θεὸν μὲ τὴν βοήθειάν σας. Ἡ ἀμοιβή σας ἑπομένως προέρχεται ἀπὸ δύο πηγάς, καὶ ἐπειδὴ δοξάζεται ὁ Θεὸς μὲ τὴν ἰδικήν σας συμβολὴν καὶ ἐπειδὴ σᾶς κακολογοῦν ἐξ αἰτίας τῆς διδασκαλίας σας περὶ τοῦ Θεοῦ. Διὰ νὰ μὴ ἐπιδιώκωμεν λοιπὸν νὰ κακολογούμεθα ὅταν μάθωμεν ὅτι θὰ ἀμειφθοῦμεν δι' αὐτό, δὲν ἀναφέρει αὐτὸ μόνον, ἀλλὰ προσθέτει καὶ δύο προσδιορισμούς· Ὅταν λέγουν ψέματα καὶ ὅταν σᾶς κακολογοῦν διὰ τὸν Θεόν. Καὶ κάμνει γνωστὸν συγχρόνως ὅτι δὲν ὠφελεῖ ἡ κακολογία μόνον, ἀλλὰ ὠφελοῦν πολὺ καὶ οἱ ἔπαινοι, διότι ἡ δόξα μεταβαίνει πρὸς τὸν Θεόν. Καὶ τοὺς δημιουργεῖ ὡραίας ἐλπίδας. Διότι, λέγει, δὲν ἔχουν τόσην δύναμιν οἱ κακολογίαι τῶν κακῶν ἀνθρώπων, ὥστε νὰ τυφλώσουν τοὺς ἄλλους καὶ νὰ τοὺς κάμουν νὰ μὴ ἰδοῦν τὸ ἰδικόν σας φῶς. Τότε μόνον λοιπὸν θὰ σᾶς καταπατήσουν, ὅταν ἀπομακρυνθῆτε ἀπὸ τὸν ἠθικὸν δρόμον, ὄχι ὅταν ἐνεργῆτε ἠθικὰ καὶ σᾶς συκοφαντοῦν. Εἰς τὴν δευτέραν αὐτὴν περίπτωσιν μάλιστα θὰ σᾶς θαυμάζουν πολλοὶ καὶ ὄχι μόνον ἐσᾶς, ἀλλά, μὲ τὴν ἰδικήν σας συμβολήν, καὶ τὸν Πατέρα σας. Καὶ δὲν εἶπε τὸν Θεόν, ἀλλὰ τὸν Πατέρα, διότι ἤθελε νὰ ρίψῃ ἀπὸ τώρα τὸν σπόρον τῆς ὑψηλῆς καταγωγῆς, τὴν ὁποίαν ἐπρόκειτο νὰ ἀπολαύσουν. Ἔπειτα, διὰ νὰ δείξῃ τὴν ὁμοτιμίαν του μὲ τὸν Πατέρα, ἐνῷ εἶπε παραπάνω· Μὴ στενοχωρῆσθε ὅταν σᾶς κακολογοῦν. Διότι σᾶς εἶναι ἀρκετὸν ὅτι σᾶς κακολογοῦν ἐξ αἰτίας μου. Ἐδῶ ἀναφέρει τὸν Πατέρα καὶ κάμνει γνωστὸν ὅτι ἡ ἰσοτιμία ἰσχύει εἰς ὅλας τὰς περιπτώσεις.

Ἀφοῦ ἐβεβαιώθημεν λοιπὸν διὰ τὴν ὠφέλειαν, ποὺ θὰ ἔχωμεν ἀπὸ τὸν ζῆλον μας, καὶ τὸν κίνδυνον ποὺ θὰ διατρέχωμεν διὰ τὴν τυχὸν ἀδιαφορίαν μας (διότι εἶναι πολὺ χειρότερον ἀπὸ τὴν καταστροφήν μας νὰ βλασφημῆται ὁ Θεὸς ἐξ αἰτίας μας), ἂς μὴ δίδωμεν καμμίαν ἀφορμὴν νὰ μᾶς κατηγοροῦν οὔτε οἱ Ἰουδαῖοι οὔτε οἱ εἰδωλολάτραι οὔτε ὅσοι πιστεύουν εἰς τὸν ἀληθινόν Θεόν. Ἂς εἶναι ὁ βίος μας λαμπρότερος ἀπὸ τὸν ἥλιον καὶ ἂς μὴ ὑποφέρῃ ἡ ψυχή μας ἂν κάποιος μᾶς κα-

ἀλλὰ τῷ δικαίως ἀκούειν κακῶς. Ἂν μὲν γὰρ ἐν πονηρίᾳ ζῶμεν, κἂν μηδεὶς ὁ κακηγορῶν ᾖ, πάντων ἐσμὲν ἀθλιώτεροι· ἂν δὲ ἀρετῆς ἐπιμελώμεθα, κἂν ἡ οἰκουμένη λέγῃ κακῶς, τότε πάντων ἐσόμεθα ζηλωτότεροι καὶ πάντας ἐπισπασόμεθα τοῖς σῴζεσθαι προαιρουμένους· οὐδὲ γὰρ τῇ κακηγορίᾳ τῶν πονηρῶν, ἀλλὰ τῇ ἀρετῇ τοῦ βίου προσέξουσι. Καὶ γὰρ σάλπιγγος ἁπάσης λαμπροτέρα ἡ διὰ τῶν ἔργων ἐπίδειξις καὶ τοῦ φωτὸς αὐτοῦ φανότερος βίος καθαρός, κἂν μυρίοι οἱ διαβάλλοντες ὦσιν. Ἂν γὰρ τὰ προειρημένα ἅπαντα ἔχωμεν, καὶ πρᾶοι καὶ ταπεινοὶ καὶ ἐλεήμονες ὦμεν καὶ καθαροὶ καὶ εἰρηνοποιοὶ καὶ κακῶς ἀκούοντες μὴ ἀνθυβρίζωμεν, ἀλλὰ καὶ χαίρωμεν, τῶν σημείων οὐκ ἔλαττον ἐπισπασόμεθα τοὺς θεωροῦντας ἡμᾶς καὶ ἡδέως ἅπαντες πρὸς ἡμᾶς ἕξουσι κἂν θηρίον κἂν δαίμων τις ᾖ κἂν ὁτιοῦν. Εἰ δὲ εἶέν τινες καὶ οἱ κακηγοροῦντες, μηδὲ ἐντεῦθεν θορυβηθῇς, μηδ' ὅτι σε δημοσίᾳ ὑβρίζουσιν ἴδῃς, ἀλλ' ἐξέτασον αὐτῶν τὸ συνειδὸς καὶ ὄψει κροτοῦντάς σε καὶ θαυμάζοντας καί μυρίους ἀριθμοῦντας ἐπαίνους. Ὅρα γοῦν πῶς ὁ Ναβουχοδονόσορ ἐπαινεῖ τοὺς παῖδας τοὺς ἐν τῇ καμίνῳ· καίτοιγε ἐχθρὸς ἦν καὶ πολέμιος.

Ἀλλ' ἐπειδὴ εἶδε γενναίως ἑστῶτας, ἀνακηρύττει καὶ στεφανοῖ, δι' ἕτερον μὲν οὐδέν, ὅτι δὲ αὐτοῦ παρήκουσαν καὶ τοῦ νόμου ἤκουσαν τοῦ Θεοῦ. Ὁ γὰρ διάβολος, ὅταν ἴδῃ ἑαυτὸν μηδὲν ἀνύοντα, ἀφίσταται λοιπόν, δεδοικὼς μὴ πλειόνων ἡμῖν στεφάνων αἴτιος γένηται· ἐκείνου δὲ ἀποστάντος, κἂν μιαρὸς ᾖ τις καὶ διεφθαρμένος, γνώσεται τὴν ἀρετήν, τῆς ἀχλύος ἐκείνης ἀναιρεθείσης. Ἂν δὲ καὶ ἄνθρωποι παραλογίσωνται, παρὰ τοῦ Θεοῦ ἕξεις τὸν ἔπαινον καὶ τὸ θαῦμα μεῖζον.

1. Δαν. κεφ. 3

κολογῆ ἐπειδὴ τοῦ ἀρέσει, ἀλλὰ ἂν μᾶς κακολογῆ σωστά. Διότι εἴμεθα πολὺ ἀξιολύπητοι ἂν ὁ βίος μας εἶναι ἁμαρτωλός, ἔστω καὶ ἂν δὲν μᾶς κακολογῆ κανείς. Ἂν ὅμως εἴμεθα ἐνάρετοι, θὰ εἴμεθα πολὺ ἀξιοζήλευτοι καί, ἔστω καὶ ἂν μᾶς κακολογῆ ὅλη ἡ οἰκουμένη, θὰ μᾶς μιμηθοῦν ὅλοι, ὅσοι ἐπιθυμοῦν τὴν σωτηρίαν των. Διότι δὲν θὰ δώσῃ κανεὶς σημασίαν εἰς τὰς κακολογίας τῶν κακῶν, ἀλλὰ εἰς τὴν ἐνάρετην ζωήν μας. Διότι τὰ ἔργα φωνάζουν καθαρώτερα ἀπὸ τὴν σάλπιγγα καὶ ὁ ἠθικὸς βίος εἶναι λαμπρότερος ἀπὸ τὸ φῶς, ἔστω καὶ ἂν εἶναι χιλιάδες ἐκεῖνοι ποὺ μᾶς συκοφαντοῦν. Ἂν ἔχωμεν ἑπομένως ὅλας τὰς παραπάνω ἀρετάς, ἂν εἴμεθα δηλαδὴ πρᾶοι καὶ ταπεινοὶ καὶ ἐλεήμονες καὶ ἀναμάρτητοι καὶ εἰρηνοποιοὶ καὶ ἂν δὲν ἀνταποδίδωμεν τὰς κακολογίας ὅταν κακολογούμεθα, ἀλλὰ χαίρωμεν, θὰ ἐπηρεάσωμεν περισσότερον ἀπὸ τὰ θαύματα ἐκείνους ποὺ μᾶς παρακολουθοῦν καὶ θὰ ἔχουν ὅλοι καλὰς διαθέσεις ἀπέναντί μας, ἔστω καὶ ἂν εἶναι μερικοὶ ἀπὸ αὐτοὺς θηρία ἢ διάβολοι ἢ ὁ,τιδήποτε ἄλλο. Ἂν θὰ ὑπάρχουν ὅμως μερικοὶ ποὺ θὰ σὲ κακολογοῦν, νὰ μὴ στενοχωρηθῇς καθόλου καὶ μὴ λάβῃς ὑπ' ὄψιν σου ὅτι σὲ κατηγοροῦν δημοσίως, ἀλλὰ ἐρεύνησε τὸ βάθος τῆς ψυχῆς των καὶ θὰ διαπιστώσῃς ὅτι σὲ ἐπιδοκιμάζουν καὶ αἰσθάνονται θαυμασμὸν καὶ σὲ ἐπαινοῦν ὑπέρμετρα. Σκέψου π.χ. πόσον ἐπαινεῖ ὁ Ναβουχοδονόσορ τοὺς παῖδας ποὺ ἔβαλεν ἐπάνω εἰς τὴν κάμινον, ἂν καὶ ἦτο ἐχθρὸς καὶ διώκτης των[1].

Ἐπειδὴ ὅμως εἶδεν ὅτι ἐκράτησαν γενναίαν στάσιν, τοὺς θεωρεῖ νικητὰς καὶ τοὺς στεφανώνει ὄχι διὰ κανένα ἄλλον λόγον, ἀλλὰ διότι δὲν ἐπειθάρχησαν εἰς αὐτὸν καὶ ἀπειθάρχησαν εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ. Διότι ὁ διάβολος, μόλις ἰδῇ ὅτι δὲν κατορθώνει τίποτε, ἀπομακρύνεται ἀμέσως, διότι φοβᾶται μήπως γίνῃ αἴτιος νὰ κερδίσωμεν περισσότερα στεφάνια. Καὶ μόλις ἀπομακρυνθῇ ἐκεῖνος, χάνεται ἐκείνη ἡ πυκνὴ ὁμίχλη καὶ βλέπει ὁ καθένας τὴν ἀρετήν, ὅσον καὶ ἂν εἶναι ἁμαρτωλὸς καὶ ἀνήθικος. Ἀλλὰ καὶ ἂν ἀκόμη ἀπατηθοῦν οἱ ἄνθρωποι, θὰ σὲ ἐπαινέσῃ ὁ Θεὸς καὶ αὐτὸ εἶναι ποὺ ἔχει μεγάλην ἀξίαν.

9. Μὴ τοίνυν ἄλγει, μηδὲ κατάπιπτε· ἐπεὶ καὶ οἱ ἀπόστολοι τοῖς μὲν ὀσμὴ θανάτου ἦσαν, τοῖς δὲ ὀσμὴ ζωῆς. Ἂν γὰρ σὺ μηδεμίαν παράσχῃς λαβήν, πάντων ἀπήλλαξαι τῶν ἐγκλημάτων· μᾶλλον δὲ καὶ μακαριώτερος γέγονας. Λάμπε τοίνυν κατὰ τὸν βίον καὶ τῶν κακηγορούντων μηδένα ποιοῦ λόγον. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἀρετῆς ἐπιμελόμενον μὴ πολλοὺς ἔχειν ἐχθρούς. Ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸν ἐνάρετον· διὰ γὰρ τῶν τοιούτων λαμπρότερος ἔσται μειζόνως. Ταῦτ' οὖν ἐννοοῦντες, ἓν μόνον σκοπῶμεν, μετὰ ἀκριβείας τὸν ἑαυτῶν οἰκονομεῖν βίον· οὕτω γὰρ καὶ πρὸς τὴν ἐκεῖ χειραγωγήσομεν ζωὴν τοὺς ἐν σκότῳ καθημένους. Τοιαύτη γὰρ τοῦ φωτὸς τούτου ἡ δύναμις, ὡς μὴ ἐνταῦθα μόνον λάμπειν, ἀλλὰ καὶ ἐκεῖ ἐφοδηγεῖν τοὺς ἑπομένους. Ὅταν γὰρ ἴδωσι πάντων τῶν παρόντων καταφρονοῦντας καὶ πρὸς τὸ μέλλον παρασκευαζομένους, πρὸ λόγου παντὸς τοῖς ἔργοις ἡμῶν πεισθήσονται. Τίς γὰρ οὕτως ἀνόητος, ὡς ὁρῶν τὸν χθὲς καὶ πρώην τρυφῶντα καὶ πλουτοῦντα, πάντα ἀποδυόμενον καὶ πτερούμενον καὶ πρὸς λιμὸν καὶ πενίαν καὶ πρὸς σκληραγωγίαν ἅπασαν καὶ πρὸς κινδύνους καὶ πρὸς αἷμα καὶ πρὸς σφαγὴν καὶ πρὸς πάντα τὰ δοκοῦντα εἶναι δεινὰ παρατεταγμένον, μὴ σαφῆ λαβεῖν τῶν μελλόντων ἐντεῦθεν ἀπόδειξιν; Ἂν δὲ τοῖς παροῦσιν ἑαυτοὺς ἐμπλέκωμεν καὶ ἐνδοτέρω ὠθῶμεν, πῶς δυνήσονται πεισθῆναι, ὅτι πρὸς ἀποδημίαν ἐπειγόμεθα ἑτέραν; Τίς δὲ ἡμῖν ἔσται ἀπολογία λοιπόν, ὅταν ὅσον ἴσχυσεν ἡ ἀνθρωπίνη δόξα παρὰ τοῖς Ἑλλήνων φιλοσόφοις, μὴ ἰσχύῃ παρ' ἡμῖν ὁ τοῦ Θεοῦ φόβος; Καὶ γὰρ ἐκείνων τινὲς καὶ χρήματα ἐπεδύσαν-

---

1. Ἐννοεῖ ὅτι τὴν διδασκαλίαν τῶν Ἀποστόλων, καὶ τὴν Χριστιανικὴν διδασκαλίαν γενικώτερον, ἄλλοι (οἱ κακολογοῦντες) τὴν ἐθεωροῦσαν καταστρεπτικὴν καὶ ὀλεθρίαν, ἄλλοι (οἱ πιστεύοντες εἰς αὐτὴν) ὡς παρέχουσαν ζωὴν αἰώνιον Β' Κορ. 2,16

9. Μὴ στενοχωρῆσαι λοιπὸν καὶ μὴ χάνῃς τὸ θάρρος σου. Διότι καὶ οἱ Ἀπόστολοι δι' ἄλλους ἦσαν μυρωδιὰ θανάτου, δι' ἄλλους ἄρωμα ζωῆς [1]. Ἂν λοιπὸν δὲν δώσῃς ἐσὺ καμμίαν ἀφορμήν, ἔσβησαν ὅλαι αἱ ἁμαρτίαι σου ἢ μᾶλλον ἔγινες μακάριος. Πρέπει λοιπὸν νὰ εἶναι ὁλοκάθαρος ὁ βίος σου. Καὶ τότε μὴ λογαριάζῃς κανένα ἀπὸ τοὺς κακολογοῦντας. Διότι δὲν εἶναι δυνατόν, δὲν εἶναι δυνατὸν νὰ μὴ ἔχῃ πολλοὺς ἐχθροὺς ὅποιος ἀγωνίζεται διὰ τὴν ἀρετήν. Αὐτὸ ὅμως δὲν ζημιώνει καθόλου τὸν ἐνάρετον. Διότι μὲ αὐτὰ τὰ δύο θὰ γίνῃ πολὺ λαμπρότερος. Ἂς ἔχωμεν λοιπὸν αὐτὰ ὑπ' ὄψιν μας καὶ ἂς μᾶς ἀπασχολῇ ἕνα μόνον, νὰ ρυθμίζωμεν τὸν βίον μας μὲ γνώμονα τὴν ἠθικήν. Διότι ἔτσι θὰ ὁδηγήσωμεν εἰς ἠθικὴν ζωὴν καὶ ἐκείνους ποὺ ζοῦν μέσα εἰς τὸ σκότος τῆς ἁμαρτίας. Διότι ἡ ἠθική μας συμπεριφορὰ ἔχει τόσην δύναμιν, ὥστε νὰ μὴ περιορίζεται ἐδῶ ἡ λάμψις της, ἀλλὰ νὰ ὁδηγῇ ἐπὶ πλέον εἰς τὴν λύτρωσιν ἐκείνους ποὺ τὴν ἀκολουθοῦν. Διότι, ὅταν μᾶς ἰδοῦν ὅτι περιφρονοῦμεν ὅλα τὰ ἐγκόσμια καὶ προετοιμαζόμεθα διὰ τὴν μέλλουσαν ζωήν, θὰ ἐπηρεασθοῦν ἀπὸ τὰ ἔργα μας περισσότερον παρὰ ἀπὸ τὰ λόγια μας. Διότι ποῖος εἶναι τόσον ἀνόητος, ὥστε νὰ βλέπῃ ἐκεῖνον ποὺ ἐκαλοπερνοῦσε καὶ ἦτο πλούσιος μέχρι χθὲς καὶ προχθές, νὰ περιφρονῇ ὅλα αὐτὰ καὶ νὰ ἀποκτᾷ πτερὰ καὶ νὰ εἶναι ἕτοιμος νὰ ἀγωνισθῇ πρὸς κάθε ταλαιπωρίαν καὶ πεῖναν καὶ ἀνέχειαν καὶ κινδύνους καὶ αἷμα καὶ σφαγὴν καὶ πρὸς ὅλα ὅσα θεωροῦνται φοβερὰ καὶ νὰ μὴ βεβαιωθῇ ἐξ αἰτίας αὐτῶν διὰ τὰ μέλλοντα ἀγαθά; Ἂν ἀσχολούμεθα ὅμως ὑπέρμετρα μὲ τὰ παρόντα καὶ βυθιζώμεθα βαθύτερον μέσα εἰς αὐτά, πῶς εἶναι δυνατὸν νὰ πιστεύσουν ὅτι φροντίζομεν διὰ τὴν ἄλλην ζωήν; Τί θὰ ἀπολογηθοῦμεν λοιπόν, ὅταν δὲν μᾶς ἐπηρεάζῃ ὁ φόβος τοῦ Θεοῦ ὅσον ἐπηρέασε τοὺς Ἕλληνας φιλοσόφους ἡ ἀνθρωπίνη δόξα; Διότι μερικοὶ [2] ἀπὸ

---

2. Ἐδῶ ἐννοεῖ ἀσφαλῶς τὸν Σωκράτη (469 - 399 π.Χ.) καὶ μερικοὺς ἄλλους, ὅπως π.χ. τὸν παλαιότερον Πυθαγόραν (570 - 496), τὸν Κυνικὸν Ἀντισθένη (445 - 365) κλπ.

το καὶ θανάτου κατεφρόνησαν, ἵνα ἀνθρώποις ἐπιδείξωνται· διὸ καὶ κεναὶ γεγόνασιν αὐτῶν αἱ ἐλπίδες. Τί οὖν ἡμᾶς ἐξαιρήσεται λόγος, ὅταν τοσούτων προκειμένων καὶ τοσαύτης φιλοσοφίας ἡμῖν ἀνοιχθείσης, μηδὲ τὰ αὐτὰ δυνηθῶμεν ἐκείνοις, ἀλλὰ καὶ ἑαυτοὺς καὶ ἑτέρους προσαπόλλυμεν; Οὐδὲ γὰρ οὕτω βλάπτει Ἕλλην παράνομα πράσσων, ὡς Χριστιανὸς ταῦτα ποιῶν· καὶ μάλα εἰκότως. Ἐκείνων μὲν γὰρ διεφθαρμένη ἡ δόξα· ἡ ἡμετέρα διὰ τὴν τοῦ Θεοῦ χάριν καὶ παρὰ τοῖς ἀσεβέσι σεμνὴ καὶ περιφανής. Διὸ ὅταν μάλιστα ἡμῖν ὀνειδίσαι βούλωνται καὶ τὴν κατηγορίαν αὐξῆσαι, τοῦτο ἐπιλέγουσιν, οἷον, Ὁ Χριστιανός· οὐκ ἂν εἰπόντες, εἰ μὴ μεγάλην περὶ τοῦ δόγματος ἔσχον ὑπόνοιαν.

Οὐκ ἤκουσας πόσα ὁ Χριστὸς ἐπέταξε καὶ ἡλίκα; Πότε οὖν δυνήσῃ μίαν ἐκείνων ἀνύσαι τῶν ἐντολῶν; Ὅταν πάντα ἀφεὶς περιέρχῃ τόκους συλλέγων, δανείσματα ῥάπτων, πραγματείας συντιθείς, ἀγέλας ἀνδραπόδων ὠνούμενος, ἀργυρᾶ σκεύη κατασκευάζων, ἀγροὺς καί οἰκίας καὶ ἔπιπλα ἀγοράζων μυρία; Καὶ εἴθε τοῦτο μόνον. Ὅταν δὲ ταῖς ἀκαίροις ταύταις σπουδαῖς καὶ ἀδικίαν προστιθῇς, γῆν ἀποτεμνόμενος, οἰκίας ἀποσπῶν, πενίαν ἐπιτρίβων, λιμὸν αὔξων, πότε δυνήσῃ τῶν προθύρων ἐπιβῆναι τούτων;

Ἀλλ᾽ ἔστιν ὅτε καὶ πένητας ἐλεεῖς. Οἶδα κἀγώ· ἀλλὰ καὶ ἐκεῖ πολλὴ πάλιν ἡ λύμη. Ἢ γὰρ μετὰ τύφου, ἢ μετὰ κενοδοξίας τοῦτο ποιεῖς, ἵνα μηδὲ ἐν τοῖς ἀγαθοῖς κερδάνῃς· οὗ τί γένοιτ᾽ ἂν ἀθλιώτερον, ὅταν καὶ ἐν τῷ λιμένι ναυαγῇς;

αὐτοὺς καὶ διὰ τὰ χρήματα ἀδιαφόρησαν καὶ τὸν θάνατον κατεφρόνησαν, διὰ νὰ ἐντυπωσιάσουν τοὺς ἀνθρώπους. Διὰ τοῦτο αἱ ἐλπίδες των δὲν ἐκαρποφόρησαν. Ποία δικαιολογία λοιπὸν θὰ μᾶς σώσῃ, ἂν δὲν κατορθώσωμεν οὔτε ὅσα ἐκεῖνοι, ἀλλὰ καταστρέφομεν ἐπὶ πλέον, ἂν καὶ μᾶς περιμένουν τόσον μεγάλαι ἀμοιβαὶ καὶ ἔχομεν ἐνώπιόν μας τὴν θαυμασίαν διδασκαλίαν τοῦ Χριστοῦ, τοὺς ἑαυτούς μας καὶ τοὺς ἄλλους; Καὶ δὲν βλάπτει τόσον ὁ εἰδωλολάτρης ὅταν ἁμαρτάνῃ, ὅσον βλάπτει ὁ Χριστιανός. Καὶ εἶναι τοῦτο πολὺ λογικόν. Διότι ἡ ἰδική των δόξα στερεῖται ἠθικοῦ μεγαλείου, ἐνῷ τὴν ἰδικήν μας τὴν σέβονται μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ τὴν ἀναγνωρίζουν ἀκόμη καὶ οἱ ἐχθροὶ τῆς πίστεως. Διὰ τοῦτο, ὅταν θέλουν νὰ μᾶς δείξουν μεγάλην περιφρόνησιν καὶ νὰ μᾶς προσβάλουν περισσότερον, προσθέτουν καὶ τὸν χαρακτηρισμόν· Ὁ Χριστιανός. Δὲν θὰ τὸν ἔλεγαν, ἂν δὲν ἔδιδαν μεγάλην σημασίαν εἰς τὴν πίστιν μας.

Ἤκουσες πόσας καὶ πόσον σπουδαίας ἐντολὰς ἔδωσεν ὁ Χριστός. Πότε λοιπὸν θὰ κατορθώσῃς νὰ ἐκτελέσῃς μίαν ἀπὸ αὐτάς; Ὅταν ἀδιαφορῇς διὰ τὰ πάντα καὶ τρέχῃς διὰ νὰ εἰσπράττῃς τόκους, νὰ χορηγήσῃς δάνεια, νὰ κάμῃς διαπραγματεύσεις, νὰ ἀγοράσῃς κοπάδια δούλων, νὰ ἐφοδιασθῇς μὲ ἀσημικά, νὰ προμηθευθῇς χωράφια καὶ σπίτια καὶ χιλιάδες ἔπιπλα; Καὶ μακάρι νὰ ἔφθανεν ἕως ἐδῶ τὸ κακόν. Πότε θὰ εὕρῃς ὅμως τὸν καιρὸν νὰ ἐκτελέσῃς μίαν ἀπὸ αὐτὰς τὰς ἐντολάς, ὅταν μάλιστα συνοδεύῃ καὶ ἡ ἀδικία τὰς ἁμαρτωλὰς αὐτὰς ἐνεργείας σου, ἀφοῦ σφετερίζεσαι ξένα χωράφια, παίρνεις διὰ τῆς βίας σπίτια, ταλαιπωρεῖς τοὺς πτωχοὺς καὶ αὐξάνεις τὴν πεῖναν των.

Ἀλλὰ κάποτε - κάποτε δίδεις καὶ ἐλεημοσύνην εἰς τοὺς πτωχούς. Μοῦ εἶναι γνωστόν. Ἀλλὰ καὶ ἡ ἐνέργειά σου αὐτὴ σοῦ προξενεῖ μεγάλην βλάβην. Διότι τὴν χαρακτηρίζει ὁ ἐγωισμὸς ἢ ἡ ματαιοδοξία, μὲ ἀποτέλεσμα νὰ μὴ ὠφελῆσαι οὔτε ἀπὸ τὰς καλὰς πράξεις σου. Καὶ δὲν ὑπάρχει λυπηρότερον, ἀπὸ τὸ νὰ ναυαγῇς ἀκόμη καὶ μέσα εἰς τὸ λιμάνι.

Ἵν' οὖν μὴ τοῦτο γένηται, ποιήσας τι καλόν, μὴ ζήτει παρ' ἐμοῦ τὴν χάριν, ἵνα τὸν Θεὸν ἔχῃς ὀφειλέτην. «Δανείζετε γάρ», φησί, «παρ' ὧν μὴ προσδοκᾶτε λήψεσθαι». Ἔχεις χρεώστην· τί ἐκεῖνον ἀφείς, ἐμὲ ἀπαιτεῖς, ἄνθρωπον πένητα καὶ ταλαίπωρον; Μὴ γὰρ ἀγανακτεῖ ὁ χρεώστης ἀπαιτούμενος; μὴ γὰρ πένης ἐστί; μὴ οὐ βούλεται καταθεῖναι; Οὐχ ὁρᾷς αὐτοῦ τοὺς ἀφάτους θησαυρούς; οὐχ ὁρᾷς τὴν ἀνεκδιήγητον φιλοτιμίαν; Αὐτὸν τοίνυν κάτασχε καὶ ἀπαίτησον· οὕτω γὰρ ἀπαιτούμενος χαίρει. Ὅτι ἂν ἕτερον ἀπαιτούμενον ἴδῃ ἀνθ' ὧν αὐτὸς ὀφείλει, ὡς ὑβρισθεὶς οὕτω διακείσεται· καὶ οὐκέτι σοι ἀποδίδωσιν, ἀλλὰ καὶ ἐγκαλεῖ δικαίως. Ποίαν γάρ μοι ἀγνωμοσύνην κατέγνως; φησί· ποίαν μοι πενίαν σύνοιδας, ὅτι παραδραμὼν ἐμὲ ἐφ' ἑτέρους ἔρχῃ; Ἄλλῳ ἐδάνεισας καὶ ἄλλον ἀπαιτεῖς; Εἰ γὰρ καὶ ἄνθρωπος ὑπεδέξατο, ἀλλ' ὁ Θεὸς ἐκέλευσε καταβαλεῖν· καὶ αὐτὸς καὶ πρωτότυπος ὀφειλέτης καὶ ἐγγυητὴς εἶναι βούλεται, μυρίας σοι παρέχων ἀφορμὰς τοῦ πάντοθεν αὐτὸν ἀπαιτεῖν. Μὴ δὴ οὖν τοσαύτην εὐκολίαν καὶ εὐπορίαν ἀφείς, παρ' ἐμοῦ ζήτει λαβεῖν τοῦ μηδὲν ἔχοντος. Τίνος γὰρ ἕνεκεν ἐμοὶ ἐπιδείκνυσαι ἐλεῶν πένητα; Μὴ γὰρ ἐγώ σοι εἶπον, Δός; μὴ γὰρ παρ' ἐμοῦ ἤκουσας, ἵνα καὶ παρ' ἐμοῦ ἀπαιτήσῃς; Αὐτὸς εἶπεν· «Ὁ ἐλεῶν πένητα, δανείζει Θεῷ». Θεῷ ἐδάνεισας· αὐτῷ περίθες. Ἀλλ' οὐκ ἀποδίδωσι τὸ πᾶν νῦν. Καὶ τοῦτο ὑπὲρ σοῦ ποιεῖ. Τοιοῦτος γάρ ἐστιν ὀφειλέτης· οὐχ ὡς πολλοὶ τὸ δανεισθὲν σπουδάζουσιν ἀποδοῦναι μόνον, ἀλλ' ὥστε καὶ τὸ δοθὲν ἐν ἀσφαλείᾳ καταθεῖναι, πάντα πραγματεύεται καὶ ποιεῖ. Διά τοι τοῦτο τὰ μὲν ἐνταῦθα καταβάλλει, τὰ δὲ ἐκεῖ ταμιεύεται.

10. Ταῦτ' οὖν εἰδότες πολὺν ποιῶμεν τὸν ἔλεον καὶ πολλὴν

---

1. Λουκᾶ 6,35
2. Παρμ. 19,17

Διὰ νὰ μὴ συμβῇ λοιπὸν αὐτό, μὴ ζητῇς νὰ σοῦ ἀνταποδώσω τὸ καλὸν ποὺ μοῦ ἔκαμες, διὰ νὰ σοῦ τὸ ἀνταποδώσῃ ὁ Θεός. Διότι λέγει· «Δανείζετε παρ' ὧν μὴ προσδοκᾶτε λήψεσθαι»[1] Ὑπάρχει ἐκεῖνος ποὺ θὰ σὲ πληρώσῃ. Διατί λοιπὸν τὸν λησμονεῖς καὶ ἀπαιτεῖς νὰ σὲ πληρώσω ἐγὼ ὁ πτωχὸς καὶ ὁ ταλαίπωρος ἄνθρωπος; Μήπως ἀγανακτεῖ ὁ ὀφειλέτης σου ὅταν τοῦ ζητῇς; Μήπως δὲν ἔχει; Μήπως ἀρνεῖται νὰ σὲ πληρώσῃ; Δὲν βλέπεις τοὺς ἀπείρους θησαυρούς του; Δὲν βλέπεις τὴν ἄπειρον γενναιοδωρίαν του; Κέρδισε λοιπὸν τὴν ἀγάπην του καὶ ζήτησέ του. Διότι εἶναι χαρά του νὰ τοῦ ζητῇς μὲ αὐτὸν τὸν τρόπον. Ἂν ἰδῇ ὅμως ὅτι ζητεῖς ἀπὸ ἄλλον αὐτὰ ποὺ σοῦ ὀφείλει ἐκεῖνος, σὲ θεωρεῖ ὑβριστήν του. Καὶ ὄχι μόνον δὲν σὲ πληρώνει, ἀλλὰ δικαίως διατυπώνει καὶ κατηγορίαν ἐναντίον σου. Διατί, λέγει, μὲ ἐθεώρησες ἀγνώμονα; Πῶς ἐσχημάτισες τὴν γνώμην ὅτι εἶμαι πτωχὸς καὶ μὲ περιφρονεῖς καὶ τρέχεις νὰ ζητῇς ἀπὸ ἄλλους; Εἰς ἄλλον ἐδάνεισες καὶ ἀπὸ ἄλλον ζητεῖς νὰ πληρωθῇς; Ἄνθρωπος βεβαίως εἰσέπραξε, ἀλλὰ ὁ Θεὸς ἔδωσε τὴν ἐντολὴν νὰ τοῦ τὰ δώσῃς. Καὶ αὐτὸς θέλει νὰ εἶναι μοναδικὸς χρεώστης καὶ ἐγγυητὴς καὶ διὰ τοῦτο σοῦ παρέχει ἀπείρους εὐκαιρίας νὰ τοῦ ζητῇς. Μὴ ἀφήνῃς λοιπὸν τόσην προθυμίαν καὶ τόσον πλοῦτον καὶ ζητῇς νὰ σὲ πληρώσω ἐγὼ ποὺ δὲν ἔχω τίποτε. Διατί ἐπιδεικνύεσαι εἰς ἐμένα ὅταν ἐλεῇς τοὺς πτωχούς; Μήπως σοῦ εἶπα ἐγὼ νὰ δώσῃς; Μήπως σοῦ ἔδωσα ἐγὼ τὴν ἐντολήν, ὥστε νὰ ζητῇς νὰ σὲ πληρώσω ἐγώ; Ὁ Κύριος εἶπεν· «Ὁ ἐλεῶν πένητα, δανείζει Θεῷ»[2]. Εἰς τὸν Θεὸν ἔδωσες δανεικά; εἰς αὐτὸν νὰ ἀπευθυνθῇς. Ἀλλὰ δὲν θὰ σοῦ ἐπιστρέψῃ τὰ πάντα τώρα. Καὶ αὐτὸ τὸ κάμνει πρὸς τὸ συμφέρον σου. Διότι εἶναι τέτοιος ὀφειλέτης. Ρυθμίζει καὶ ἐκτελεῖ τὰ πάντα ὄχι ὅπως οἱ ἄλλοι, οἱ ὁποῖοι φροντίζουν μόνον νὰ ἐπιστρέψουν τὰ χρέη των, ἐνῷ ἐκεῖνος φροντίζει καὶ νὰ εἶναι ἐξησφαλισμένα τὰ ἐπιστρεφόμενα. Διὰ τοῦτο ἀκριβῶς ἄλλα ἐπιστρέφει κατὰ τὴν παροῦσαν ζωήν, ἐνῷ ἄλλα τὰ ἐπιστρέφει εἰς τὴν ἄλλην ζωήν.

10. Ἀφοῦ λοιπὸν γνωρίζομεν αὐτὰ ἂς ἐλεοῦμεν πλουσιοπά-

τὴν φιλανθρωπίαν ἐπιδειξώμεθα καὶ διὰ χρημάτων καὶ διὰ πραγμάτων. Κἂν ἴδωμέν τινα κακῶς πάσχοντα καὶ τυπτόμενον ἐν ἀγορᾷ, κἂν ἀργύριον δυνατὸν καταβαλεῖν, ποιῶμεν· κἂν λόγοις δυνατὸν διαλῦσαι, μὴ ὀκνῶμεν. Ἔστι γὰρ καὶ λόγου μισθός, μᾶλλον δὲ καὶ στεναγμῶν· καὶ τοῦτο ὁ μακάριος Ἰὼβ ἔλεγεν·«Ἐγὼ δὲ ἔκλαυσα ἐπὶ παντὶ ἀδυνάτῳ, ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις». Εἰ δὲ δακρύων καὶ στεναγμῶν ἔστι μισθός, ὅταν καὶ λόγοι καὶ σπουδή, καὶ πολλὰ ἕτερα προσῇ, ἐννόησον ἡλίκη ἡ ἀντίδοσις γίνεται. Καὶ γὰρ καὶ ἡμεῖς ἐχθροὶ ἦμεν τῷ Θεῷ· καὶ ὁ Μονογενὴς ἡμᾶς κατήλλαξε, μέσον ἑαυτὸν ἐμβαλὼν καὶ πληγὰς ὑπὲρ ἡμῶν δεξάμενος καὶ θάνατον ὑπὲρ ἡμῶν ὑπομείνας. Σπουδάσωμεν τοίνυν καὶ ἡμεῖς τοὺς ἐμπίπτοντας μυρίων ἀπαλλάττειν κακῶν, ἀλλὰ μή, ὡς νῦν ποιοῦμεν, ἐπειδὰν ἴδωμέν τινας συγκρουομένους καὶ συῤῥηγνυμένους ἀλλήλοις, ἑστήκαμεν εὐφραινόμενοι τοῖς ἑτέρων ἀσχημοσύναις καὶ θέατρον περιιστῶντες διαβολικόν· οὗ τί γένοιτ' ἂν ὠμότερον; Ὁρᾷς κακῶς ἀκούοντας, διαῤῥηγνυμένους, κατατέμνοντας τὴν ἐσθῆτα, συγκοπτομένους τὸ πρόσωπον, καὶ ὑπομένεις ἡσυχῇ παρεστάναι; Μὴ γὰρ ἄρκτος ἐστὶν ὁ μαχόμενος; μὴ γὰρ θηρίον; μὴ γὰρ ὄφις; Ἄνθρωπός ἐστιν ὁ πανταχοῦ σοι κοινωνῶν, ἀδελφός ἐστι, μέλος ἐστί. Μὴ θεώρει, ἀλλὰ διάλυε· μὴ τέρπου, ἀλλὰ διόρθου· μὴ ἑτέρους παρακίνει ἐπὶ τὴν ἀσχημοσύνην, ἀλλὰ καὶ τοὺς συνειλεγμένους ἀποσόβει καὶ διάλυε. Ἀναισχύντων γὰρ καὶ οἰκοτρίβων τὸ χαίρειν ταῖς τοιαύταις συμφοραῖς καὶ καθαρμάτων καὶ ὄνων ἀλόγων. Ὁρᾷς ἄνθρωπον ἀσχημονοῦντα καὶ οὐχ

1. Ἰὼβ 30,25

ροχα καὶ ἂς ἀποδείξωμεν καὶ μὲ χρήματα μὲ πράγματα μεγάλην τὴν φιλανθρωπίαν μας. Καὶ ἂν ἰδοῦμεν νὰ βασανίζουν καὶ νὰ δέρνουν κάποιον εἰς τὴν ἀγορὰν καὶ ἔχωμεν τὴν δυνατότητα νὰ πληρώσωμεν, ἂς τὸ κάμωμεν. Καὶ ἂν εἶναι δυνατὸν νὰ φέρωμεν τὴν συμφιλίωσιν μὲ τὰ λόγια, ἂς μὴ διστάσωμεν. Διότι ὑπάρχει ἀμοιβὴ καὶ διὰ τὰ λόγια μας καὶ περισσότερον διὰ τοὺς ἀναστεναγμούς μας. Αὐτὴν τὴν ἀμοιβὴν ζητεῖ ὁ μακάριος Ἰώβ· «Ἐγὼ δὲ ἔκλαυσα ἐπὶ παντὶ ἀδυνάτῳ, ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις»[1]. Καὶ ἀφοῦ ὑπάρχει ἀμοιβὴ διὰ τὰ δάκρυα καὶ τοὺς ἀναστεναγμούς μας, σκέψου πόσον αὐξάνεται ἡ ἀμοιβή, ὅταν προστεθοῦν καὶ τὰ λόγια καὶ αἱ φροντίδες καὶ ἄλλα πολλά. Εἶναι γνωστὸν ὅτι καὶ ἐμεῖς δὲν εἴχαμεν ἀγαθὰς σχέσεις μὲ τὸν Θεόν. Καὶ ὅτι μᾶς ἐσυμφιλίωσεν ὁ Μονογενὴς Υἱός, ἀφοῦ ἐμεσολάβησεν αὐτοπροσώπως καὶ ἐδέχθη νὰ τοῦ προκαλέσουν πληγὰς διὰ τὴν σωτηρίαν μας καὶ ἠνέχθη νὰ σταυρωθῇ διὰ τὴν σωτηρίαν μας. Ἂς φροντίσωμεν λοιπὸν καὶ ἐμεῖς νὰ ἀπαλλάσσωμεν ἀπὸ τὰ κακὰ ὅσους συναντοῦμεν καὶ ἂς μὴ κάμνωμεν ὅ,τι κάμνομεν τώρα πού, ὅταν ἰδοῦμεν κάποιους νὰ μαλώνουν μεταξύ των καὶ νὰ συμπλέκωνται, στεκόμεθα καὶ διασκεδάζομεν μὲ τὴν κακὴν συμπεριφοράν των καὶ σχηματίζομεν γύρω των διαβολικὸν θέατρον. Ὑπάρχει τίποτε περισσότερον ἀπάνθρωπον ἀπὸ αὐτό; Βλέπεις ἀνθρώπους ποὺ ὑβρίζονται, μαλώνουν, σχίζουν τὰ ροῦχα των, κτυπῶνται εἰς τὰ πρόσωπα, καὶ ἔχεις τὴν δύναμιν νὰ στέκεσαι ἥσυχος ἐκεῖ κοντά; Μήπως εἶναι ἀρκοῦδες αὐτοὶ ποὺ μαλώνουν; Μήπως εἶναι θηρία; Μήπως εἶναι φίδια; Ἄνθρωποι εἶναι καὶ αὐτοί, ἀδελφοί σου εἶναι, μέλη τῆς ἀνθρωπίνης κοινωνίας. Μὴ τοὺς βλέπῃς, ἀλλὰ συμφιλίωσέ τους. Μὴ διασκεδάζῃς, ἀλλὰ συνέτισέ τους. Μὴ παρακινῇς τοὺς ἄλλους εἰς κακὴν συμπεριφοράν, ἀλλὰ ἀπομάκρυνε καὶ διάλυσε τοὺς συγκεντρωμένους. Διότι τὴν ἰδιότητα νὰ χαίρουν διὰ τὰ λυπηρὰ αὐτὰ γεγονότα τὴν ἔχουν οἱ ἀδιάντροποι καὶ οἱ δοῦλοι καὶ τὰ καθάρματα καὶ οἱ ἠλίθιοι. Κάθεσαι καὶ βλέπεις ἄνθρωπον ποὺ ἀσχημονεῖ καὶ δὲν νομίζεις ὅτι ἀσχημονεῖς ὁ ἴδιος; Καὶ δὲν ἐπεμβαίνεις

ἡγῇ αὐτὸς ἀσχημονεῖν; οὐδὲ εἰσέρχῃ μέσος καὶ διασκεδάζεις τοῦ διαβόλου τὴν φάλαγγα καὶ τὰ ἀνθρώπινα διαλύεις κακά; Ἵνα καὶ αὐτὸς πληγὰς λάβω, φησί· καὶ σὺ τοῦτο κελεύεις; Μάλιστα μὲν οὐδὲ τοῦτο πείσῃ· ἂν δὲ καὶ τοῦτο πάθῃς, μαρτύριόν σοι τὸ πρᾶγμά ἐστι· διὰ γὰρ τὸν Θεὸν ἔπαθες. Εἰ δὲ πληγὰς ὀκνεῖς λαβεῖν, ἐννόησον ὅτι ὁ Δεσπότης σου σταυρὸν οὐκ ὤκνησεν ὑπομεῖναι διὰ σέ. Ἐκεῖνοι μὲν γὰρ μεθύουσι καὶ ἐσκότωνται, τοῦ θυμοῦ τυραννοῦντος καὶ σταρτηγοῦντος αὐτοῖς, δέονται δέ τινος ὑγιαίνοντος τοῦ βοηθήσοντος αὐτοῖς, ὅ τε ἀδικῶν, ὅ τε ἀδικούμενος· ὁ μέν, ἵνα ἀπαλλαγῇ πάσχων κακῶς, ὁ δέ, ἵνα παύσηται ποιῶν κακῶς. Πάρελθε τοίνυν καὶ χεῖρα ὄρεξον, ὁ νήφων τῷ μεθύοντι. Ἔστι γὰρ καὶ ὀργῆς μέθη, καὶ τῆς ἐκ τοῦ οἴνου χαλεπωτέρα. Οὐχ ὁρᾷς τοὺς ναύτας, οἵ, ὅταν ναυαγίῳ τινὰς περιπεσόντας ἴδωσι, τὰ ἱστία πετάσαντες μετὰ πολλῆς ἀπέρχονται σπουδῆς, ὥστε τοὺς ὁμοτέχνους ἐξαρπάσαι τοῦ κλύδωνος; Εἰ δὲ τέχνης κοινωνοὶ τοσαύτην ἐπιδείκνυνται προστασίαν, πόσῳ μᾶλλον τοὺς τῆς φύσεως κοινωνοὺς ταῦτα πάντα ποιεῖν δίκαιον; Καὶ γὰρ καὶ ἐνταῦθα ναυάγιόν ἐστιν ἐκείνου χαλεπώτερον. Ἢ γὰρ ἐβλασφήμησεν ἐπηρεασθεὶς καὶ πάντα ἐκένωσεν· ἢ ἐπιώρκησεν ὑπὸ τοῦ θυμοῦ τυραννούμενος, καὶ πάλιν εἰς γέενναν ἐνέπεσεν· ἢ πληγὴν δίδωσι καὶ φόνον ἐργάζεται, καὶ τὸ αὐτὸ τοῦτο πάλιν ὑπομένει ναυάγιον. Ἄπελθε τοίνυν, καὶ στῆσον τὸ κακὸν καὶ καταποντιζομένους ἀνάσπασον, εἰς αὐτὸ τῆς ζάλης τὸ πέλαγος καταβάς· καὶ διαλύσας τοῦ διαβόλου τὸ θέατρον καὶ κατ' ἰδίαν λαβὼν ἕκαστον, παραίνεσον καταστεῖλαι τὴν φλόγα καὶ τὰ κύματα κοιμίσαι. Εἰ δὲ μείζων ἡ

καὶ δὲν διαλύεις τὴν διαβολικὴν συγκέντρωσιν καὶ δὲν φροντίζεις νὰ σταματήσῃ ἡ κακὴ συμπεριφορὰ τῶν ἀνθρώπων; Διὰ νὰ κτυπήσουν καὶ ἐμένα; Ἐσὺ μοῦ δίδεις αὐτὴν τὴν συμβουλήν; Αὐτὸ θὰ ἐρωτοῦσε κάποιος. Πρῶτα-πρῶτα δὲν θὰ σοῦ συμβῇ αὐτό· ἀλλὰ καὶ ἂν σοῦ συμβῇ, θὰ δοκιμάσῃ τὴν δύναμιν τῆς πίστεώς σου ὁ Θεός. Διότι ἐκακοπάθησες πρὸς χάριν τοῦ Θεοῦ. Ἀλλὰ ἂν διστάζῃς μήπως κτυπηθῇς, σκέψου ὅτι ὁ Κύριός σου δὲν ἐδίστασε νὰ ὑποστῇ τὴν σταύρωσιν πρὸς χάριν σου. Ἐκεῖνοι ἐξ ἄλλου, ὁ ἀδικῶν καὶ ὁ ἀδικούμενος, εἶναι μεθυσμένοι καὶ ἔχουν πάθει σύγχυσιν, διότι τοὺς κυβερνᾷ καὶ τοὺς κατευθύνει ἡ ὀργή, καὶ ἔχουν ἀνάγκην κάποιου συνετοῦ νὰ τοὺς βοηθήσῃ. Ὁ ἕνας, διὰ νὰ παύσῃ νὰ βασανίζεται, ὁ ἄλλος διὰ νὰ παύσῃ νὰ βασανίζῃ. Προχώρησε λοιπὸν ἐσὺ ποὺ ἔχεις τὰ λογικά σου καὶ πρόσφερε τὴν βοήθειάν σου εἰς τὸν μεθυσμένον. Διότι τὸ μεθύσι, ποὺ ὀφείλεται εἰς τὴν ὀργήν, εἶναι χειρότερον ἀπὸ τὸ μεθύσι ποὺ ὀφείλεται εἰς τὴν οἰνοποσίαν. Δὲν βλέπεις τοὺς ναύτας, οἱ ὁποῖοι ἀνοίγουν τὰ πανιὰ καὶ τρέχουν πολὺ βιαστικοὶ ὅταν ἰδοῦν ὅτι ἄλλοι ἐναυάγησαν, διὰ νὰ σώσουν ἀπὸ τὴν καταστροφὴν τοὺς συναδέλφους των; Καὶ ἀφοῦ δείχνουν αὐτοὶ τόσην διάθεσιν νὰ σώσουν τοὺς συναδέλφους των, πόσον εἶναι ὀρθότερον νὰ κάμνωμεν τὸ ἴδιο διὰ τοὺς συνανθρώπους μας; Ἀφοῦ μάλιστα ἔχομεν καὶ ἐδῶ ναυάγιον καὶ χειρότερον ἀπὸ τὸ πρῶτον. Διότι εἴτε ἐξύβρισε καὶ δὲν παρέλειψε καμμίαν ὕβριν, ἐπειδὴ τὸν ἠνώχλησαν· εἴτε ἐπιώρκησεν, ἐπειδὴ ἔγινε δοῦλος τῆς ὀργῆς του, ὑπέπεσεν εἰς μεγάλην ἁμαρτίαν· ἢ κτυπᾷ καὶ προσπαθεῖ νὰ σκοτώσῃ, ἔχομεν πάλιν ἀκριβῶς τὸ ἴδιο ναυάγιον. Πρέπει λοιπὸν νὰ τρέξῃς καὶ νὰ σταματήσῃς τὸ κακόν, νὰ κατεβῇς μέσα εἰς τὸ τρικυμισμένον πέλαγος καὶ νὰ σώσῃς αὐτοὺς ποὺ πνίγονται. Καὶ ἀφοῦ διαλύσῃς ὅσους ἐσυγκέντρωσεν ὁ διάβολος καὶ καλέσῃς ἰδιαιτέρως τὸν καθένα, συμβούλευσέ τους νὰ σβήσουν τὴν φωτιὰν καὶ νὰ ἐξαφανίσουν τὰ κύματα. Καὶ μὴ φοβηθῇς ἂν ἀνάψῃ περισσότερον ἡ φωτιὰ καὶ γίνῃ φοβερώ-

πυρὰ καὶ χαλεπωτέρα γίνεται ἡ κάμινος, μὴ φοβηθῇς· πολλοὺς γὰρ ἔχεις τοὺς συνεφαπτομένους καὶ χεῖρα ὀρέγοντας, ἂν ἀρχὴν παράσχῃς μόνον, καὶ πρό γε πάντων τὸν τῆς εἰρήνης Θεόν. Κἂν πρῶτος διατινάξῃς τὴν φλόγα, πολλοὶ καὶ ἕτεροι ἀκολουθήσουσι καὶ τῶν ὑπ' ἐκίνων κατορθουμένων αὐτὸς λήψῃ τὸν μισθόν. Ἄκουσον τί παρῄνεσεν ὁ Χριστὸς τοῖς Ἰουδαίοις τοῖς χαμαὶ ἕρπουσιν·«Ἂν τὸ ὑποζύγιον ἴδῃς τοῦ ἐχθροῦ σου», φησί, «καταπῖπτον, μὴ παραδράμῃς, ἀλλ' ἀνάστησον». Καίτοι τοῦ κείμενον ὑποζύγιον ἀναστῆσαι πολὺ κουφότερον τὸ μαχομένους ἀνθρώπους διαλῦσαι καὶ διαλλάξαι. Εἰ δὲ ἐχθρῶν ὄνον, πολλῷ μᾶλλον φίλων ψυχὰς συνδιανιστάναι χρή· καὶ μάλιστα ὅταν χαλεπώτερον ᾖ τὸ πτῶμα· οὐ γὰρ εἰς βόρβορον αὗται πίπτουσιν, ἀλλ' εἰς τὸ γεέννης πῦρ, τὸ φορτίον οὐ φέρουσαι τοῦ θυμοῦ. Σὺ δὲ ὁρῶν τὸν ἀδελφὸν ὑπὸ τὸν νόμον κείμενον καὶ τὸν διάβολον ἐφεστῶτα καὶ τὴν πυρὰν ἀνάπτοντα, παρατρέχεις ὠμῶς καὶ ἀνηλεῶς· ὅπερ οὐδὲ ἐπ' ἀλόγῳ ποιῆσαι ἀκίνδυνον.

11. Καὶ ὁ μὲν Σαμαρείτης τραυματίαν ἰδὼν ἀγνῶτα καὶ οὐδὲν αὐτῷ προσήκοντα, καὶ ἐπέστη, καὶ ἐπὶ ὑποζύγιον ἀνεβίβασε, καὶ εἰς τὸ πανδοχεῖον κατήγαγε, καὶ ἰατρὸν ἐμισθώσατο, καὶ τὸ μὲν ἔδωκεν ἀργύριον, τὸ δὲ ὑπέσχετο. Σὺ δὲ οὐ λῃσταῖς περιπεσόντα βλέπων, ἀλλὰ δαιμόνων φάλαγγι καὶ θυμοῦ πολιορκίᾳ, οὐκ ἐν ἐρημίᾳ, ἀλλ' ἐν ἀγορᾷ μέσῃ, οὐ χρήματα ἀναλίσκειν μέλλων, οὐδὲ ὑποζύγιον μισθοῦσθαι, οὐδὲ μακρὰν προπέμπειν ὁδόν, ἀλλὰ ῥήματα φθέγγεσθαι μόνον, ὀκνεῖς καὶ ἀναδύῃ καὶ παρατρέχεις ὠμῶς καὶ ἀνηλεῶς; Καὶ πῶς προσδοκᾷς τὸν Θεὸν καλῶν ἵλεών ποτε ἕξειν;

Εἴπω δὲ καὶ πρὸς ὑμᾶς τοὺς ἀσχημονοῦντας δημοσίᾳ πρὸς τὸν ἐπηρεάζοντα καὶ ἀδικοῦντα. Πληγὰς ἐντείνεις, εἰπέ μοι, καὶ

---

1. Ἐξ. 23,5
2. Λουκᾶ 10,33 ἑ.

τερον τὸ καμίνι. Διότι, ἂν κάμῃς ἀρχήν, εἶναι πολλοὶ ἐκεῖνοι ποὺ θὰ συνεργασθοῦν μαζί σου καὶ θὰ σὲ βοηθήσουν, καὶ πρὸ πάντων ὁ Θεὸς τῆς εἰρήνης. Ἂν καταστείλῃς πρῶτος τὴν φωτιάν, θὰ σὲ ἀκολουθήσουν καὶ πολλοὶ ἄλλοι καὶ θὰ ἀμειφθῇς ἐσὺ διὰ τὰ ἔργα ἐκείνων. Ἄκουσε τί συμβουλὴν ἔδωσεν ὁ Χριστὸς εἰς τοὺς Ἰουδαίους, ποὺ ἐκυλίοντο μέσα εἰς τὴν ἁμαρτίαν· «Ἂν τὸ ὑποζύγιον ἴδῃς τοῦ ἐχθροῦ σου καταπῖπτον, μὴ παραδράμῃς», λέγει, «ἀλλ' ἀνάστησον»[1]. Ἂν καὶ εἶναι πολὺ κατώτερον νὰ χωρίσῃς καὶ νὰ συμφιλιώσῃς ἀνθρώπους ποὺ φιλονεικοῦν, ἀπὸ τὸ νὰ σηκώσῃς ἐπάνω τὸ ζῶον ποὺ ἔπεσεν. Ἀφοῦ ἔχεις καθῆκον νὰ βοηθήσῃς τὸν ὄνον τῶν ἐχθρῶν σου, ἔχεις πολὺ μεγαλύτερον διὰ τὰς ψυχὰς φίλων, ἀφοῦ μάλιστα ἡ πτῶσις εἶναι τρομερώτερη. Διότι αἱ ψυχαὶ δὲν πίπτουν μέσα εἰς τὴν λάσπην, ἀλλὰ εἰς τὴν αἰωνίαν κόλασιν, ἐπειδὴ δὲν ἀντέχουν τὸ φορτίον τῆς ὀργῆς. Ἐσὺ ὅμως προσπερνᾷς ἐντελῶς ἀδιάφορος καὶ ἀσυγκίνητος, ἂν καὶ βλέπεις ὅτι τὸν ἔχει σκεπάσει τὸ φορτίον καὶ ὅτι στέκεται ἐπάνω του ὁ διάβολος καὶ τοῦ ἀνάπτει τὴν φωτιάν. Αὐτὴ ἡ διαγωγὴ εἶναι ἐπικίνδυνη ἀκόμη καὶ ὅταν πρόκειται διὰ θηρίον.

11. Ὁ Σαμαρείτης ὅταν εἶδεν ἕνα τραυματίαν ποὺ τοῦ ἦτο ἐντελῶς ἄγνωστος καὶ δὲν εἶχαν καμμίαν σχέσιν, ἐσταμάτησε καὶ τὸν ἀνέβασεν εἰς τὸ ζῶον του καὶ τὸν μετέφερεν εἰς ξενοδοχεῖον καὶ ἐμίσθωσεν ἰατρὸν καὶ τοῦ ἔδωσε χρήματα καὶ τοῦ ὑπεσχέθη καὶ ἄλλα[2]. Ἐσύ, ἀντιθέτως, ἂν καὶ δὲν βλέπεις ἄνθρωπον ποὺ ἔπεσεν εἰς ἐνέδραν ληστῶν, ἀλλὰ εἰς ἐνέδραν μιᾶς ὁμάδος διαβόλων, καὶ τὸν πολιορκεῖ ἡ ὀργή του, ὄχι εἰς ἔρημον τόπον, ἀλλὰ εἰς τὸ μέσον τῆς ἀγορᾶς, ἐσὺ ποὺ δὲν πρόκειται νὰ ἐξοδεύσῃς χρήματα οὔτε νὰ ἐνοικιάσῃς ζῶον οὔτε νὰ συνοδεύσῃς εἰς μακρὸν δρόμον, ἀλλὰ νὰ ἀπευθύνῃς ὀλίγας συμβουλάς, διστάζεις καὶ ἀλλάσσεις δρόμον καὶ προσπερνᾷς ἀπάνθρωπα καὶ χωρὶς οἶκτον. Πῶς περιμένεις, ὅταν ἐπικαλεσθῇς τὸν Θεόν, νὰ σὲ εὐσπλαχνισθῇ ποτέ;

Θὰ ἀπευθυνθῶ τώρα καὶ πρὸς ἐσᾶς, οἱ ὁποῖοι συμπεριφέρεσθε κακῶς καὶ μάλιστα ἐνώπιον πολλῶν ἀνθρώπων, πρὸς

λακτίζεις καὶ δάκνεις; Ὗς ἄγριος ἐγένου, καὶ ὄνος ἄγριος; Καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς ἐκθηριούμενος καὶ τὴν οἰκείαν εὐγένειαν προδιδούς; Εἰ γὰρ πένης εἶ, ἀλλ' ἐλεύθερος· εἰ γὰρ χειροτέχνης εἶ, ἀλλὰ Χριστιανός. Δι' αὐτὸ μέν οὖν τοῦτο ὅτι πένης εἶ, ἀναγκαῖον ἡσυχάζειν. Τῶν γὰρ πλουτούντων ἐστὶ τὸ μάχεσθαι, οὐ τῶν πενήτων· τῶν πλουτούντων, τῶν πολλὰς ἐχόντων ἀνάγκας πολέμων. Σὺ δὲ τὴν ἡδονὴν οὐκ ἔχων τοῦ πλούτου, τὰ κακὰ τοῦ πλούτου περιέρχῃ συνάγων σεαυτῷ, ἔχθρας καὶ φιλονεικίας καὶ μάχας καὶ ἀποπνίγεις τὸν ἀδελφὸν καὶ ἄγχεις καὶ καταβάλλεις δημοσίᾳ ἁπάντων ὁρώντων· καὶ οὐχ ἡγῇ μᾶλλον αὐτὸς ἀσχημονεῖν, τῶν ἀλόγων μιμούμενος τὰς ὁρμάς, μᾶλλον δὲ καὶ ἐκείνων χείρων γινόμενος; Πάντα γὰρ ἐκείνοις κοινὰ καὶ συναγελάζονται ἀλλήλοις καὶ συμβαδίζουσιν· ἡμῖν δὲ οὐδὲν κοινόν· ἀλλὰ πάντα ἄνω καὶ κάτω, μάχαι, φιλονεικίαι, λοιδορίαι καὶ ἀπέχθειαι καὶ ὕβρεις. Καὶ οὔτε τὸν οὐρανὸν αἰδούμεθαι, εἰς ὃν ἐκλήθημεν κοινῇ ἅπαντες, οὐδὲ τὴν γῆν ἣν κοινὴν πᾶσιν ἀνῆκεν, οὐκ αὐτὴν τὴν φύσιν· ἀλλὰ πάντα ὁ θυμὸς καὶ ὁ τῶν χρημάτων, ἔρως παρασύρας οἴχεται. Οὐκ εἶδες ἐκεῖνον τὸν τὰ μυρία τάλαντα ὀφείλοντα, εἶτα μετὰ τὴν ἐκείνων ἄφεσιν ἀποπνίγοντα τὸν ἑαυτοῦ σύνδουλον ὑπὲρ ἑκατὸν δηναρίων, ὅσα ὑπέστη κακά, καὶ πῶς ἀθανάτῳ παρεδόθη κολάσει; Οὐ δέδοικας τὸ ὑπόδειγμα; οὐ φοβῇ μὴ καὶ αὐτὸς τὰ αὐτὰ πάθῃς; Καὶ γὰρ καὶ ἡμεῖς ὀφείλομεν τῷ Δεσπότῃ πολλὰ καὶ μεγάλα ὀφλήματα· ἀλλ' ὅμως ἀνέχεται καὶ μακροθυμεῖ καὶ οὔτε ἐπίκειται, καθάπερ ἡμεῖς τοῖς συνδούλοις, οὔτε ἄγχει καὶ ἀποπνίγει· καίτοιγε εἰ καὶ τὸ

1. Ματθ. 18,28 ἑ.

ἐκείνους ποὺ προσβάλλουν καὶ ἀδικοῦν. Ἀπάντησέ μου. Κτυπᾷς καὶ κλωτσᾷς καὶ δαγκώνεις; Ἔγινες ἀγριόχοιρος καὶ ὄνος ἄγριος; Καὶ δὲν ἐντρέπεσαι οὔτε κοκκινίζεις ποὺ γίνεσαι θηρίον καὶ προδίδεις τὴν ἀνθρωπίνην φύσιν σου; Ἠμπορεῖ νὰ εἶσαι πτωχός, ἀλλὰ εἶσαι ἐλεύθερος ἄνθρωπος. Ἠμπορεῖ νὰ εἶσαι ἕνας ἁπλὸς τεχνίτης, ἀλλὰ εἶσαι Χριστιανός. Δι' αὐτὸ ἀκριβῶς, διότι εἶσαι πτωχός, πρέπει νὰ εἶσαι ἥσυχος. Αἱ φιλονεικίαι εἶναι χαρακτηριστικὸν τῶν πλουσίων, ὄχι τῶν πτωχῶν· τῶν πλουσίων, ποὺ ἔχουν μεγάλην ἀνάγκην τῶν φιλονεικιῶν. Ἐσύ, ποὺ δὲν ἔχεις τὰς ἀπολαύσεις τοῦ πλούτου, περιφέρεσαι καὶ συγκεντρώνεις διὰ τὸν ἑαυτόν σου τὰ κακὰ τοῦ πλούτου, τὰ μίση καὶ τὰς φιλονεικίας καὶ τὰς μάχας Καὶ ἀγωνίζεσαι νὰ πνίξῃς τὸν ἀδελφόν σου καὶ νὰ τὸν ἀπαγχονίσῃς καὶ νὰ τὸν ἐξευτελίσῃς ἐνώπιον ὅλων. Καὶ δὲν συναισθάνεσαι ὅτι συμπεριφέρεσαι πολὺ κακῶς, διότι μιμεῖσαι τὰ κακὰ ἔνστικτα τῶν θηρίων καὶ γίνεσαι πολὺ χειρότερος ἀπὸ αὐτά; Διότι τὰ θηρία ἔχουν κοινὰ τὰ πάντα καὶ βόσκουν μαζὶ καὶ περιφέρονται μαζί. Ἐμεῖς ἀντιθέτως δὲν ἔχομεν τίποτε ἀπὸ κοινοῦ, ἀλλὰ εἶναι τὰ πάντα ἄνω - κάτω. Ἐμεῖς ἀντιπαθοῦμεν, φιλονεικοῦμεν, ὑβρίζομεν, μισοῦμεν καὶ προσβάλλομεν. Καὶ δὲν ἐντρεπόμεθα οὔτε τὸν οὐρανόν, εἰς τὸν ὁποῖον μᾶς ἐκάλεσεν ὅλους μαζὶ ὁ Θεός, οὔτε τὴν γῆν, τὴν ὁποίαν ἐπρόσφερεν κοινὴν εἰς ὅλους, οὔτε τὴν ἀνθρωπίνην φύσιν μας, ἀλλὰ ὅλα τὰ ἐπῆραν μαζί των καὶ ἔφυγαν ἡ ὀργὴ καὶ ἡ φιλαργυρία μας. Δὲν εἶδες πόσα κακὰ ἔπαθε καὶ πῶς ἐρρίφθη εἰς τὴν αἰωνίαν κόλασιν ἐκεῖνος ποὺ ἐχρεωστοῦσε δέκα χιλιάδες τάλαντα καί, ἀφοῦ τοῦ τὰ ἐχάρισεν ὁ δανειστής του, ἐκεῖνος ἐβασάνισε σκληρὰ ἕνα συνάνθρωπόν του, ἐπειδὴ τοῦ ἐχρεωστοῦσεν ἑκατὸν δηνάρια[1]; Δὲν σὲ φοβίζει τὸ παράδειγμα; Δὲν φοβᾶσαι μήπως πάθῃς καὶ σὺ τὰ ἴδια; Διότι καὶ τὰ ἰδικά μας χρέη πρὸς τὸν Κύριον εἶναι πολλὰ καὶ μεγάλα. Ἐκεῖνος ὅμως δὲν μᾶς ἐνοχλεῖ καὶ ἀναμένει μὲ ὑπομονὴν καὶ οὔτε μᾶς πιέζει, ὅπως πιέζομεν ἐμεῖς τοὺς συνανθρώπους μας, οὔτε μᾶς ταλαιπωρεῖ οὔτε μᾶς βασανίζει. Ἂν καὶ θὰ εἴχαμεν ἐξοντωθῆ ἀπὸ καιρόν, ἂν

πολλοστὸν μέρος αὐτῶν ἡμᾶς ἐβουλήθη ἀπαιτῆσαι, πάλαι ἂν ἀπολώλειμεν.

Ταῦτ' οὖν ἐννοοῦντες, ἀγαπητοί, ταπεινωθῶμεν, καὶ χάριν ἔχωμεν τοῖς ὀφείλουσιν ἡμῖν· γίνονται γὰρ ἡμῖν, ἂν φιλοσοφῶμεν, ἀφορμὴ συγχωρήσεως μεγίστης, καὶ ὀλίγα διδόντες, πολλὰ ληψόμεθα. Τί τοίνυν ἀπαιτεῖς μετὰ βίας, δέον, εἰ καὶ ἐκεῖνος ἐβούλετο δοῦναι, αὐτὸν συγχωρῆσαι, ἵνα παρὰ τοῦ Θεοῦ τὸ πᾶν λάβῃς; Νυνὶ δὲ πάντα ποιεῖς καὶ βιάζῃ καὶ φιλονεικεῖς, ὥστε σοι μηδὲν ἀφεθῆναι τῶν σῶν· καὶ δοκεῖς μὲν ἐπηρεάζειν τῷ πλησίον, κατὰ δὲ σεαυτοῦ τὸ ξίφος ὠθεῖς, αὔξων τὴν ἐν γεέννῃ κόλασιν· εἰ δὲ μικρὸν ἐνταῦθα φιλοσοφήσεις, ἡμέρους σεαυτῷ τὰς εὐθύνας ποιεῖς. Καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο ἡμᾶς βούλεται ἄρχεσθαι τῆς τοιαύτης φιλοτιμίας, ἵνα ἀφορμὴν λάβῃ τοῦ πλείονα ἡμῖν ἀντιδοῦναι. Ὅσους τοίνυν ὀφειλέτας ἔχεις καὶ χρημάτων καὶ ἁμαρτημάτων, πάντας ἀφεὶς ἐλευθέρους, τὸν Θεὸν ἀπαίτει τῆς τοιαύτης μεγαλοψυχίας τὴν ἀμοιβήν. Ἕως μὲν γὰρ ἂν ἐκεῖνοί σοι ὦσιν ὀφείλοντες, οὐχ ἕξεις τὸν Θεὸν ὀφειλέτην· ἐὰν δὲ ἐκείνους ἀφῇς, δυνήσῃ τὸν Θεὸν κατασχεῖν καὶ ἀπαιτῆσαι μετὰ πολλῆς τῆς φιλοτιμίας τῆς τοσαύτης φιλοσοφίας τὴν ἀμοιβήν. Εἰ γὰρ ἄνθρωπος παρελθὼν καὶ ἰδών σε τὸν ὑπεύθυνον κατέχοντα, καὶ κελεύσας ἐκεῖνον μὲν ἀφεῖναι, πρὸς δὲ αὐτὸν ἔχειν τὸν ὑπὲρ ἐκείνου λόγον, οὐκ ἂν ἕλοιτο ἀγνωμονῆσαι μετὰ τὴν ἄφεσιν, ἅτε ἐφ' ἑαυτὸν τὸ πᾶν μεταθείς· πῶς ὁ Θεὸς οὐ πολλαπλασίονα καὶ μυριοπλασίονα ἀποδώσει, ὅταν διὰ τὸ αὐτοῦ πρόσταγμα τοὺς ὑπευθύνους ἡμῖν ὄντας, μὴ μικρόν, μὴ μέγα ἐγκαλέσαντες, ἀφῶμεν ἀπελθεῖν ἀνευθύνους γενομένους; Μὴ δὴ τὴν πρόσκαιρον ἐννοῶμεν ἡδονὴν τὴν ἐγγινο-

ἀπεφάσιζε νὰ ζητήσῃ νὰ τοῦ ἐπιστρέψωμεν μικρὸν μέρος ἀπὸ τὰ χρέη μας.

Ἂς ἔχωμεν λοιπὸν αὐτὰ ὑπ' ὄψιν μας, ἀγαπητοί, ἂς γίνωμεν ταπεινόφρονες καὶ ἂς δείχνωμεν μεγάλην ἐπιείκειαν πρὸς τοὺς ὀφειλέτας μας. Διότι, ἂν ἀντιμετωπίζωμεν μὲ σύνεσιν τὰ πράγματα, αὐτοὶ γίνονται αἰτία νὰ μᾶς συγχωρηθοῦν πολλὰ καὶ νὰ κερδίσωμεν πολλὰ μὲ τὴν προσφορὰν ὀλίγων. Διατί λοιπὸν τὸν πιέζεις νὰ σοῦ τὰ ἐπιστρέψῃ, ἐνῷ ἔπρεπε νὰ τοῦ τὰ χαρίσῃς ἀκόμη καὶ ἂν ἐκεῖνος ἤθελε νὰ σοῦ τὰ ἐπιστρέψῃ, διὰ νὰ σοῦ χαρίσῃ ὁ Θεὸς τὰ πάντα; Τώρα ὅμως κάμνεις τὸ πᾶν καὶ ἐκβιάζεις καὶ φιλονεικεῖς, διὰ νὰ μὴ σοῦ χαρισθῇ τίποτε ἀπὸ τὰ χρέη σου. Καὶ ἔχεις τὴν ἐντύπωσιν ὅτι ἐνοχλεῖς τὸν πλησίον σου, ἀλλὰ ἡ ἀλήθεια εἶναι ὅτι κτυπᾷς μὲ τὸ ξίφος τὸν ἑαυτόν σου καὶ πολλαπλασιάζεις τὴν αἰωνίαν τιμωρίαν σου. Ἂν δείξῃς ὅμως ὀλίγην σύνεσιν ἐδῶ, ἐξαφανίζεις σχεδὸν τὰς εὐθύνας σου. Διότι ὁ Θεὸς θέλει νὰ δείξωμεν αὐτὴν τὴν φιλότιμον συμπεριφοράν, διὰ νὰ τοῦ δώσωμεν τὴν χαρὰν νὰ μᾶς ἀνταποδώσῃ περισσότερα. Ἄφησε λοιπὸν ἐλευθέρους ὅλους, ὅσοι σοῦ ὀφείλουν χρήματα ἢ ἁμαρτήματα, καὶ ζήτησε ἀπὸ τὸν Θεὸν νὰ ἀμείψῃ τὴν μεγαλοψυχίαν σου αὐτήν. Διότι, ἕως ὅτου σοῦ ὀφείλουν ἐκεῖνοι, δὲν σοῦ ὀφείλει ὁ Θεός. Μόλις ὅμως τοὺς τὰ χαρίσῃς, θὰ ἠμπορέσῃς νὰ ἀπευθυνθῇς πρὸς τὸν Θεὸν καὶ νὰ ζητήσῃς μὲ πολλὴν σεβασμὸν νὰ σὲ ἀμείψῃ διὰ τὴν τόσην εὐσέβειάν σου. Ἂν ἐπερνοῦσε π.χ. ἕνας ἄνθρωπος καὶ σὲ ἔβλεπε νὰ ἔχῃς εἰς τὴν ἐξουσίαν σου τὸν ὀφειλέτην σου, καὶ σὲ ἐπαρακαλοῦσε νὰ τὸν ἀφήσῃς καὶ νὰ ζητῇς ἀπὸ αὐτὸν ὅ,τι σοῦ ὀφείλει ὁ ἄλλος, δὲν θὰ ἐδέχετο ποτὲ νὰ φανῇ ἀχάριστος, ἀφοῦ ἀνέλαβεν ἐκεῖνος τὴν εὐθύνην δι' ὅλα. Πῶς εἶναι δυνατὸν νὰ μὴ μᾶς καταβάλῃ ὁ Θεὸς πολὺ περισσότερα, χιλιάδες περισσότερα, ὅταν, πιστοὶ εἰς τὴν ἐντολήν του, ἀφήσωμεν νὰ φύγουν καὶ χαρίσωμεν ὅλας τὰς ὀφειλὰς εἰς ἐκείνους ποὺ μᾶς χρεωστοῦν, χωρὶς νὰ τοὺς ζητήσωμεν καμμίαν, μικρὰν ἢ μεγάλην, εὐθύνην; Ἂς μὴ λογαριάζωμεν λοιπὸν τὴν πρόσκαιρην εὐχαρίστησιν ποὺ θὰ αἰσθανθοῦμεν ἀπὸ τὰς

μένην ἡμῖν ἐκ τοῦ τοὺς ὑπευθύνους ἀπαιτεῖν, ἀλλὰ τὴν ζημίαν, ὅσην εἰς τὸ μέλλον ἐντεῦθεν ὑπομενοῦμεν, ἐν τοῖς ἀθανάτοις ἑαυτοὺς καταβλάπτοντες.

Πάντων οὖν ἀνώτεροι γενόμενοι, χαρισώμεθα καὶ χρήματα καὶ πλημμελήματα τοῖς ὑπευθύνοις ἡμῖν, ἵνα ἡμέρους αὐτοῖς ἡμῖν τὰς εὐθύνας κατασκευάσωμεν, καὶ ὅπερ οὐκ ἰσχύσαμεν διὰ τῆς ἄλλης ἀρετῆς ἀνύσαι, τούτου διὰ τοῦ μὴ μνησικακεῖν τοῖς πλησίον ἐπιτυχόντες, τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀπαιτήσεις μας πρὸς τοὺς χρεώστας μας, ἀλλὰ τὴν ζημίαν, τὴν ὁποίαν θὰ ὑποστοῦμεν ἐκ τῆς διαγωγῆς μας αὐτῆς εἰς τὴν μέλλουσαν ζωήν, ἀφοῦ ἡ ζημία μας θὰ ἀναφέρεται εἰς τὰ αἰώνια ἀγαθά.

Ἂς ἀνεβοῦμεν λοιπὸν εἰς ὑψηλὰ ἠθικὰ ἐπίπεδα καὶ ἂς χαρίσωμεν εἰς τοὺς ὀφειλέτας μας τὰ χρήματα καὶ τὰ ἁμαρτήματά των, διὰ νὰ ἐφοδιάσωμεν τοὺς ἑαυτούς μας μὲ καλὴν ἀπολογίαν. Καὶ ἀφοῦ ἐπιτύχωμεν μὲ τὴν ἐπιείκειάν μας πρὸς τοὺς συνανθρώπους μας ὅ,τι δὲν κατωρθώσαμεν νὰ ἐπιτύχωμεν διὰ τῶν ἄλλων ἀρετῶν μας, ἂς ἀπολαύσωμεν τὰ αἰώνια ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΣΤ΄.
Ματθ. 5, 17 - 26

«Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας».

1. Τίς γὰρ τοῦτο ὑπώπτευσεν ἢ τίς ἐνεκάλεσεν ἵνα πρὸς τοῦτο ποιήσηται τὴν ἀπάντησιν; Οὐδὲ γὰρ ἐκ τῶν εἰρημένων τοιαύτη τις ὑποψία ἐτίκτετο· τὸ γὰρ κελεύειν πράους εἶναι, καὶ ἐπιεικεῖς καὶ ἐλεήμονας καὶ καθαροὺς τῇ καρδίᾳ καὶ ὑπὲρ δικαιοσύνης ἀγωνίζεσθαι, οὐδὲν τοιοῦτον ἐνεδείκνυτο, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. Τί δήποτε οὖν τοῦτο εἴρηκεν; Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ· ἀλλ' ἐπειδὴ μείζονα τῶν παλαιῶν ἔμελλε νομοθετεῖν παραγγελμάτων, λέγων· «Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν· Μηδὲ ὀργίζεσθε»· καὶ θείας τινὸς καὶ οὐρανίου πολιτείας τέμνειν ὁδόν· ἵνα μὴ τὸ ξένον ταράξῃ τῶν ἀκουόντων τὰς ψυχάς, καὶ διαστασιάζειν παρασκευάσῃ πρὸς τὰ λεγόμενα, ταύτῃ κέχρηται τῇ προδιορθώσει. Εἰ γὰρ καὶ μὴ ἐπλήρουν τὸν νόμον, ἀλλ' ὅμως πολλῇ κατείχοντο πρὸς αὐτὸν συνειδήσει καὶ τοῖς πράγμασιν αὐτὸν καθ' ἑκάστην παραλύοντες τὴν ἡμέραν, τὰ γράμματα ἤθελον μένειν ἀκίνητα καὶ μηδένα προσθεῖναι πλέον αὐτοῖς· μᾶλλον δὲ προστιθέντων μὲν ἠνείχοντο τῶν ἀρχόντων, οὐκ ἐπὶ τὸ κρεῖττον δέ, ἀλλ' ἐπὶ τὸ χεῖρον. Καὶ γὰρ τὴν εἰς τοὺς γονέας τιμὴν οὕτω παρέλυον ταῖς ἑαυτῶν προσθήκαις· καὶ ἕτερα δὲ πλείονα τῶν ἐγκειμένων ἐξέλυον τοῖς ἀκαίροις τούτοις πλεονασμοῖς. Ἐπεὶ οὖν ὁ Χριστὸς οὔτε ἐξ ἱερατικῆς φυλῆς ἐτύγχανεν ὢν καί, ἅπερ ἔμελλεν

1. Ματθ. 5,21 - 22

ΟΜΙΛΙΑ ΙΣΤ'.
Ματθ. 5, 17-26

«Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας».

1. Ποῖος τέλος πάντων ἐξέφρασεν ὑποψίας ἢ ποῖος διετύπωσε κατηγορίαν, διὰ νὰ δώσῃ ὁ Χριστὸς αὐτὴν τὴν ἀπάντησιν; Τὰ προηγούμενα δὲν ἐδημιουργοῦσαν βεβαίως αὐτὴν τὴν ὑποψίαν. Διότι αἱ ἐντολαὶ νὰ εἴμεθα πρᾶοι καὶ ἐπιεικεῖς καὶ ἐλεήμονες καὶ καθαροὶ ἀπὸ κάθε ἁμαρτίαν καὶ νὰ ἀγωνιζώμεθα διὰ τὴν δικαιοσύνην, δὲν περιεῖχον καμμίαν τέτοιαν ἔνδειξιν, ἀλλ' ἀκριβῶς τὸ ἀντίθετον. Διατί λοιπὸν εἶπεν αὐτά; Ὄχι τυχαίως οὔτε ἄνευ λόγου, ἀλλὰ ἐπειδὴ ἐπρόκειτο νὰ καθιερώσῃ σπουδαιοτέρας ἀπὸ τὰς παλαιὰς ἐντολὰς μὲ τὰ ἑξῆς λόγια· «Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν· Μηδὲ ὀργίζεσθε»[1]. Ἐπρόκειτο ἀκόμη νὰ ἀνοίξῃ τὸν δρόμον πρὸς μίαν θείαν καὶ οὐράνιον ζωήν. Διὰ νὰ μὴ καταπλήξῃ ὁ πρωτάκουστος λόγος του τὰς ψυχὰς τῶν ἀκροατῶν του καὶ τοὺς κάμῃ νὰ ἀντιμετωπίζουν μὲ καχυποψίαν τὰ λεγόμενα, προβαίνει εἰς αὐτὴν τὴν προειδοποίησιν. Διότι, ἂν καὶ δὲν ἐφήρμοζαν τὸν Μωσαϊκὸν νόμον, εἶχαν μεγάλην εὐθυξίαν δι' αὐτὸν καί, ἂν καὶ τὸν παρέβαιναν καθημερινῶς μὲ τὰς πράξεις των, ἤθελαν νὰ παραμένῃ ἀπολύτως ἀμετάβλητον τὸ γράμμα του καὶ νὰ μὴ προσθέσῃ κανεὶς τίποτε εἰς αὐτό. Ὀρθότερον εἶναι ὅμως ὅτι δὲν εἶχαν ἀντίρρησιν νὰ προσθέτουν οἱ ἀρχηγοὶ τῆς συναγωγῆς, ὄχι ὅμως πρὸς τὸ καλύτερον, ἀλλὰ πρὸς τὸ χειρότερον. Ἔτσι π.χ. ἐμείωναν μὲ τὰς προσθήκας των τὸν σεβασμὸν πρὸς τοὺς γονεῖς. Καὶ πολλὰς ἄλλας ἀπὸ τὰς διατάξεις του ἐκαταργοῦσαν μὲ τὰς ἀκαταλλήλους αὐτὰς προσθήκας. Ἐπειδὴ λοιπὸν ὁ Χριστὸς δὲν ἀνῆκεν εἰς κανένα

εἰσηγεῖσθαι, προσθήκη τις ἦν, οὐ μὴν ἐλαττοῦσα, ἀλλ' ἐπιτείνουσα τὴν ἀρετήν· προειδὼς ἀμφότερα ταῦτα μέλλοντα αὐτοὺς ταράττειν, πρὶν ἢ τοὺς θαυμαστοὺς ἐκείνους ἐγγράψαι νόμους, ἐκβάλλει τὸ μέλλον αὐτῶν ὑφορμεῖν τῇ διανοίᾳ. Τί δὲ ἦν τὸ ὑφορμοῦν καὶ ἀντικροῦον; Ἐνόμιζον αὐτὸν ταῦτα λέγοντα ἐπ' ἀναιρέσει τῶν παλαιῶν νομίμων ποιεῖν. Ταύτην τοίνυν ἰᾶται τὴν ὑπόνοιαν. Καὶ οὐκ ἐνταῦθα τοῦτο ποιεῖ μόνον, ἀλλὰ καὶ ἑτέρωθι πάλιν. Ἐπειδὴ γὰρ ἀντίθεον ἐντεῦθεν αὐτὸν ἐνόμιζον εἶναι, ἀπὸ τοῦ τὸ Σάββατον μὴ τηρεῖν, θεραπεύων αὐτῶν τὴν τοιαύτην ὑποψίαν, κἀκεῖ πάλιν τίθησιν ἀπολογίας, τὰς μὲν ἑαυτῷ πρεπούσας, ὥσπερ ὅταν λέγῃ· «Ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι»· τὰς δὲ πολὺ τὸ συγκαταβατικὸν ἐχούσας, οἷον ὡς ὅταν εἰς μέσον παράγῃ πρόβατον ἀπολλύμενον ἐν Σαββάτῳ, καὶ δεικνύῃ διὰ τὴν ἐκείνου σωτηρίαν τὸν νόμον κινούμενον, καὶ περιτομῆς μνημονεύῃ τὸ αὐτὸ τοῦτο ποιούσης πάλιν. Διὸ δὴ καὶ ταπεινότερα φθέγγεται πολλάκις ῥήματα, ἵνα τὸ δοκεῖν εἶναι ἀντίθεος ἀνέλῃ. Διὰ τοῦτο ὁ μυρίους νεκροὺς ἐγείρας λόγῳ μόνῳ, ἡνίκα τὸν Λάζαρον ἐκάλει, καὶ εὐχὴν προσέθηκεν· εἶτα, ἵνα μὴ τοῦτο ἐλάττονα αὐτὸν δείξῃ τοῦ γεγεννηκότος, διορθούμενος τὴν ὑπόνοιαν, ἐπήγαγεν, ὅτι «Ταῦτα εἶπον διὰ τὸν ὄχλον τὸν περιεστῶτα, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας». Καὶ οὔτε πάντα ὡς αὐθεντῶν ἐργάζεται, ἵνα τὴν ἐκείνων ἀσθένειαν διορθώσηται· οὔτε πάντα εὐχόμενος ποιεῖ, ἵνα μὴ τοῖς μετὰ ταῦτα καταλίπῃ πονηρᾶς ὑποψίας ὑπόθεσιν, ὡς ἀσθενῶν καὶ ἀδυνάτως ἔχων· ἀλλὰ μίγνυσι ταῦτα ἐκείνοις, κἀκεῖνα τούτοις. Καὶ οὐδὲ τοῦτο ἁπλῶς ποιεῖ, ἀλλὰ μετὰ τῆς αὐτῷ προσηκούσης συνέσεως. Τὰ γὰρ μείζονα ἐξουσιαστικῶς ποιῶν, ἐν τοῖς ἐλάττοσιν εἰς τὸν οὐρανὸν ἀ-

---

1. Ἰω. 5,17
2. Ἡ περιτομὴ ἐγίνετο τὴν ὀγδόην ἡμέραν ἀπὸ τῆς γεννήσεως, ἔστω καὶ ἂν συνέπιπτε νὰ εἶναι Σάββατον (Βλ. Ἰω. 7, 21 - 23).
3. Ματθ. 12, 11 - 12
4. Ἰω. 11,41
5. Ἰω. 11,42

ἱερατικὸν γένος καί, ὅσα ἐπρόκειτο νὰ διδάξῃ, ἀποτελοῦσαν προσθήκην, ἡ ὁποία βεβαίως δὲν ἠλάττωνεν, ἀλλὰ ηὔξανε τὴν ἀρετήν, ἐπειδὴ ἐγνώριζεν ἐκ τῶν προτέρων ὅτι ἐπρόκειτο νὰ τοὺς ἐνοχλήσουν καὶ τὰ δύο αὐτά, προσπαθεῖ, προτοῦ νὰ κάμῃ τὰς θαυμαστὰς προσθήκας του, νὰ ἐξαφανίσῃ ὅ,τι ἐπρόκειτο νὰ δημιουργήσῃ εἰς τὴν ψυχήν των ὑποψίας. Ἀλλὰ τί ἦτο ἐκεῖνο ποὺ ἐδημιουργοῦσεν ὑποψίας καὶ ἀντιδράσεις; Ἐνόμιζαν ὅτι μὲ τὴν διδασκαλίαν του αὐτὴν ἐνεργοῦσε διὰ τὴν κατάργησιν τοῦ Μωσαϊκοῦ νόμου. Αὐτὴν τὴν ὑποψίαν λοιπὸν ἐπιθυμεῖ νὰ θεραπεύσῃ. Καὶ δὲν τὸ κάμνει μόνον ἐδῶ, ἀλλὰ καὶ ἀλλοῦ. Ἐπειδὴ π.χ. τὸν ἐθεωροῦσαν ὅτι εἶναι ἀσεβὴς διὰ τὸν λόγον ὅτι δὲν ἐτηροῦσε τὴν ἀργίαν τοῦ Σαββάτου, ἤθελε νὰ σβήσῃ αὐτὴν τὴν ὑποψίαν των καὶ φροντίζει νὰ παρουσιάσῃ δικαιολογίας, ἄλλοτε συμφώνους μὲ τὴν θείαν φύσιν του, ὅπως π.χ. ὅταν λέγῃ· «Ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι»[1]. Ἄλλοτε μὲ μεγάλην συγκατάβασιν, ὅπως π.χ. ὅταν φέρῃ ὡς παρέδειγμα πρόβατον ποὺ ἐχάθη τὸ Σάββατον καὶ ἀποδεικνύῃ ὅτι παραβαίνεται ὁ νόμος, διὰ νὰ σωθῇ ἐκεῖνο, καὶ ὑπενθυμίζῃ τὴν περιτομήν, ποὺ ὁδηγεῖ εἰς τὸ ἴδιον συμπέρασμα[2]. Διὰ νὰ ἀντικρούσῃ λοιπὸν τὴν ψευδῆ γνώμην ὅτι εἶναι ἀσεβής, χρησιμοποιεῖ πολλὲς φορὲς ἁπλᾶ λόγια[3]. Διὰ τοῦτο αὐτός, ποὺ ἀνέστησε χιλιάδες νεκροὺς μὲ μίαν λέξιν μόνον, ἐπρόσθεσε καὶ προσευχὴν ὅταν ἐκάλεσε τὸν Λάζαρον νὰ σηκωθῇ ἀπὸ τὸν τάφον του[4]. Ἔπειτα, διὰ νὰ μὴ θεωρηθῇ κατώτερος ἀπὸ τὸν Πατέρα, ἐφρόντισε νὰ ἐξουδετερώσῃ τὴν ὑποψίαν καὶ ἐπρόσθεσεν ὅτι· «Ταῦτα εἶπον διὰ τὸν ὄχλον τὸν περιεστῶτα, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας»[5]. Ἀλλὰ δὲν ἐνεργεῖ πάντα ὡσὰν νὰ εἶναι αὐτεξούσιος, διὰ νὰ θεραπεύσῃ τὴν ἀσθένειάν των. Οὔτε ἐνεργεῖ πάντα κατόπιν προσευχῆς, διὰ νὰ μὴ δώσῃ ἀφορμὴν εἰς τοὺς μεταγενεστέρους νὰ ὑποψιασθοῦν ὅτι ἐστερεῖτο δυνάμεως καὶ ἐξουσίας, ἀλλὰ χρησιμοποιεῖ πότε τὸν ἕνα καὶ πότε τὸν ἄλλον τρόπον. Καὶ δὲν τὸ κάμνει οὔτε αὐτὸ κατὰ τύχην, ἀλλὰ μὲ τὴν σύνεσιν ποὺ τοῦ ταιριάζει. Διότι ἀπευθύνεται πρὸς τὸν οὐρανὸν ὅταν κάμνῃ κάτι μικρόν, ἐνῷ διὰ τὰ

ναβλέπει. Ἁμαρτήματα μὲν γὰρ λύων καὶ τὰ ἀπόῤῥητα ἀποκαλύπτων καὶ παράδεισον ἀνοιγνὺς καὶ δαίμονας ἀπελαύνων καὶ λεπροὺς καθαρίζων καὶ θάνατον χαλινῶν καὶ νεκροὺς ἐγείρων μυρίους, ἐξ ἐπιτάγματος πάντα ἐποίει. Ἡνίκα δέ, ὃ πολλῷ τούτων ἔλαττον ἦν, ἄρτους ἐξ ὀλίγων πολλοὺς παρεσκεύαζε πηγάζειν, τότε εἰς οὐρανὸν ἀνέβλεπε, δεικνὺς ὅτι οὐ δι' ἀσθένειαν τοῦτο ἐργάζεται. Ὁ γὰρ τὰ μείζονα δυνηθεὶς μετ' ἐξουσίας ποιῆσαι, πῶς ἂν ἐν τοῖς ἐλάττοσιν εὐχῆς ἐδεήθη; Ἀλλ', ὅπερ ἔφην, ἵνα ἐκείνων ἐπιστομίσῃ τὴν ἀναισχυντίαν, τοῦτο ποιεῖ. Τὸ αὐτὸ τοίνυν καὶ ἐν τοῖς ῥήμασιν, ὅταν ἀκούσῃς αὐτοῦ ταπεινὰ φθεγγομένου, λογίζου. Καὶ γὰρ πολλαὶ καὶ τῶν ῥημάτων καὶ τῶν πραγμάτων τῶν τοιούτων εἰσὶν αἰτίαι· οἷον, τὸ μὴ νομίζεσθαι ἀλλότριον εἶναι τοῦ Θεοῦ, τὸ πάντας παιδεύειν αὐτὸν καὶ θεραπεύειν, τὸ ταπεινοφροσύνην διδάσκειν, τὸ σάρκα περικεῖσθαι, τὸ μὴ δύνασθαι Ἰουδαίους πάντας ἀθρόως ἀκούειν, τὸ διδάσκειν μηδὲν μέγα περὶ ἑαυτῶν φθέγγεσθαι. Διὰ τοῦτο πολλὰ ταπεινὰ αὐτὸς περὶ ἑαυτοῦ πολλάκις εἰπών, τὰ μεγάλα ἑτέροις ἀφίησι λέγειν.

2. Αὐτὸς μὲν γὰρ Ἰουδαίοις διαλεγόμενος ἔλεγε·«Πρὸ τοῦ Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι»· ὁ μαθητὴς δὲ αὐτοῦ οὐχ οὕτως, ἀλλ', «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος». Πάλιν, ὅτι οὐρανὸν καὶ γῆν καὶ θάλατταν αὐτὸς ἐποίησε, καὶ τὰ ὁρώμενα καὶ τὰ ἀόρατα πάντα, αὐτὸς μὲν οὐδαμοῦ σαφῶς εἴρηκεν· ὁ δὲ μαθητὴς μετὰ πολλῆς τῆς παῤῥησίας, οὐδὲν ὑποστειλάμενος, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις τοῦτό φησι, «Πάντα δι' αὐτοῦ ἐγένετο», γράφων, «καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»· καί, «Ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο». Και τί θαυμάζεις, εἰ ἕτεροι μείζονα περὶ αὐτοῦ εἰρήκασιν, ὧν αὐτὸς εἴρηκεν, ὅπου γε πολλὰ διὰ τῶν πραγμάτων

1. Ἰω. 8,58
2. Ἰω. 1,1
3. Ἰω. 1,3
4. Ἰω. 1,10

μεγαλύτερα ἐνεργεῖ μὲ ἀπόλυτον ἐξουσίαν. Ὅταν π.χ. συγχωρῇ ἁμαρτίας καὶ ἀποκαλύπτῃ μυστικὰ καὶ ἀνοίγῃ τὸν παράδεισον καὶ διώχνῃ τὰ δαιμόνια καὶ θεραπεύῃ λεπροὺς καὶ χαλιναγωγῇ τὸν θάνατον καὶ ἐπαναφέρῃ εἰς τὴν ζωὴν χιλιάδες νεκρούς, ἐνεργεῖ μὲ μίαν ἁπλῆν προσταγὴν εἰς ὅλας αὐτὰς τὰς περιπτώσεις. Ὅταν ὅμως ἐπολλαπλασίαζε τοὺς ὀλίγους ἄρτους, πρᾶγμα πολὺ κατώτερον ἀπὸ τὰ προηγούμενα, τότε ἀπηυθύνετο εἰς τὸν οὐρανὸν καὶ ἔκαμνε κατανοητὸν ὅτι ἐνεργεῖ ἔτσι ὄχι ἀπὸ ἀδυναμίαν. Διότι πῶς εἶναι δυνατὸν νὰ χρειάζεται νὰ προσευχηθῇ διὰ τὰ μικρά, ἀφοῦ ἠμποροῦσε νὰ κάμῃ τὰ μεγαλύτερα μὲ ἀπόλυτον ἐξουσίαν; Ἀλλά, ὅπως εἶπα, αὐτὸ τὸ κάμνει, διὰ νὰ χαλιναγωγήσῃ τὴν ἀναισχυντίαν των. Πρέπει λοιπὸν νὰ σκέπτεσαι τὰ ἴδια καὶ διὰ τὰ λόγια του, ὅταν τὸν ἀκούῃς νὰ διδάσκῃ μὲ ἁπλᾶ λόγια. Διότι εἶναι πολλὰ τὰ αἴτια τῶν λόγων καὶ τῶν πράξεών του, ὅπως π.χ. νὰ μὴ θεωρῆται ὅτι δὲν εἶναι ἴδιος μὲ τὸν Θεόν, νὰ διδάσκῃ καὶ νὰ θεραπεύῃ τοὺς πάντας, νὰ διδάσκῃ τὴν ταπεινοφροσύνην, νὰ ἔχῃ ἀνθρώπινον σῶμα, νὰ μὴ ἠμποροῦν οἱ Ἰουδαῖοι νὰ διδαχθοῦν τὰ πάντα συγχρόνως, νὰ τοὺς διδάσκῃ νὰ μὴ περιαυτολογοῦν ποτέ. Διὰ τοῦτο εἶπε πολλὲς φορὲς ὁ ἴδιος πολλὰ ταπεινὰ διὰ τὸν ἑαυτόν του καὶ ἄφησε νὰ λέγουν ἄλλοι τὰ μεγάλα.

2. Αὐτὸς π.χ. ἀπευθυνόμενος πρὸς τοὺς Ἰουδαίους ἔλεγε· «Πρὸ τοῦ Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι»[1]· Ὁ μαθητής του ὅμως δὲν λέγει ἔτσι, ἀλλά· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος»[2]. Ἐπίσης ὁ ἴδιος δὲν εἶπε πουθενὰ σαφῶς ὅτι αὐτὸς ἐδημιούργησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ ὅλα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα. Ὁ μαθητὴς ὅμως τὸ λέγει καὶ μίαν καὶ δύο καὶ πολλὲς φορὲς μὲ πολλὴν σαφήνειαν, χωρὶς κανένα δισταγμόν. Γράφει· «Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»[3]· Καὶ παρακάτω· «Ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο»[4]. Διατί σοῦ κάμνει ἐντύπωσιν ὅτι ἄλλοι εἶπαν δι' αὐτὸν περισσότερα ἀπὸ ὅσα εἶπεν ὁ ἴδιος, ἀφοῦ εἶναι γνωστὸν ὅτι, ἐνῷ ἔδειχνε συχνὰ τὴν δύναμίν του διὰ τῶν ἔργων του, δὲν τὴν παρουσίαζε καθαρὰ

ἐπιδεικνύμενος, διὰ τῶν ῥημάτων σαφῶς οὐκ ἔλεγεν; Ὅτι γὰρ τὸν ἄνθρωπον αὐτὸς ἐποίησεν, ἔδειξε σαφῶς καὶ διὰ τοῦ τυφλοῦ· ἡνίκα δὲ περὶ τῆς ἐν ἀρχῇ πλάσεως ὁ λόγος ἦν αὐτῷ, οὐκ εἶπεν, ὅτι Ἐγὼ ἐποίησα, ἀλλ', «Ὁ ποιήσας ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς». Πάλιν, ὅτι τὸν κόσμον ἐδημιούργησε καὶ τὰ ἐν αὐτῷ, διὰ τῶν ἰχθύων, διὰ τοῦ οἴνου, διὰ τῶν ἄρτων, διὰ τῆς γαλήνης τῆς ἐν τῇ θαλάσσῃ, διὰ τῆς ἀκτῖνος, ἣν ἀπέστρεψεν ἐν τῷ σταυρῷ, διὰ πλειόνων ἑτέρων ἀπέδειξε· ῥήμασι δὲ οὐδαμοῦ τοῦτο σαφῶς εἶπεν, ἀλλ' οἱ μαθηταὶ συνεχῶς τοῦτο φθέγγονται καὶ Ἰωάννης καὶ Παῦλος καὶ Πέτρος. Εἰ γὰρ ἐκεῖνοι, οἱ νύκτωρ καὶ μεθ' ἡμέραν ἀκούοντες αὐτοῦ διαλεγομένου καὶ θαυματουργοῦντα βλέποντες καὶ οἷς κατ' ἰδίαν πολλὰ ἐπέλυσε καὶ τοσαύτην ἔδωκε δύναμιν, ὡς καὶ νεκροὺς ἐγείρειν, καὶ οὕτως ἀπηρτισμένους εἰργάσατο, ὡς πάντα ἀφεῖναι δι' αὐτόν, μετὰ τὴν τοσαύτην ἀρετὴν καὶ φιλοσοφίαν οὐκ ἴσχυον τὰ πάντα βαστάσαι πρὸ τῆς τοῦ Πνεύματος χορηγίας· πῶς δῆμος Ἰουδαϊκός, καὶ συνέσεως ἄμοιρος, καὶ τῆς τοσαύτης ἀρετῆς ἀπολιμπανόμενος, καὶ ἐκ τοῦ παρατυγχάνοντος παραγινόμενος τοῖς γινομένοις ἢ τοῖς λεγομένοις ποτέ, μὴ ἀλλότριον αὐτὸν εἶναι τοῦ τῶν ὅλων Θεοῦ ἐπείσθη, εἰ μὴ τοσαύτῃ συγκαταβάσει διὰ πάντων ἐχρήσατο; Διὰ γάρ τοι τοῦτο, καὶ ὅτε τὸ Σάββατον ἔλυεν, οὐ προηγουμένως τὴν τοιαύτην εἰσῆγε νομοθεσίαν, ἀλλὰ ποικίλας καὶ πολλὰς συντίθησιν ἀπολογίας. Εἰ δὲ μίαν ἐντολὴν μέλλων, ἀναπαύειν τοσαύτῃ κέχρηται λόγων οἰκονομίᾳ, ἵνα μὴ πλήξῃ τοὺς ἀκούοντας· πολλῷ μᾶλλον προσθεὶς ὁλοκλήρῳ τῷ νόμῳ ὁλόκληρον ἑτέραν νομοθεσίαν, πολλῆς ἐδεῖτο τῆς κατασκευῆς καὶ τῆς θεραπείας, ὥστε μὴ θορυβῆσαι τοὺς ἀκροωμένους τότε.

Διὰ δὴ τοῦτο οὐδὲ περὶ τῆς θεότητος τῆς αὐτοῦ πανταχοῦ

1. Ματθ. 19,4· Γεν. 1,27

μὲ τὰ λόγια του; Διὰ τῆς θεραπείας τοῦ τυφλοῦ π.χ. ἔδειξε σαφῶς ὅτι αὐτὸς ἔπλασε τὸν ἄνθρωπον. Ὅταν ὅμως ὡμιλοῦσε διὰ τὴν δημιουργίαν τοῦ ἀνθρώπου γενικῶς, δὲν εἶπεν· Ἐγὼ τὸν ἔπλασα, ἀλλά· «Ὁ ποιήσας ἄρσεν και θῆλυ ἐποίησεν αὐτούς»[1]. Ἀπέδειξεν ἐπίσης μὲ τὰ θαύματα τοῦ πολλαπλασιασμοῦ τῶν ἰχθύων, τῆς μεταβολῆς τοῦ νεροῦ εἰς οἶνον, τοῦ πολλαπλασιασμοῦ τῶν ἄρτων, τῆς γαληνεύσεως τῆς θαλάσσης, τῶν ἀκτίνων τοῦ ἡλίου, ποὺ τὰς ἠνάγκασεν, ὅταν εὑρίσκετο ἐπάνω εἰς τὸν σταυρόν, νὰ μὴ φωτίζουν τὴν γῆν, καὶ πολλῶν ἄλλων, ὅτι ἐδημιούργησε τὸν κόσμον καὶ ὅλα τὰ ἐγκόσμια. Μὲ λόγια ὅμως δὲν τὸ εἶπε πουθενὰ καθαρά, ἀλλὰ οἱ μαθηταὶ τὸ λέγουν πολλὲς φορές, καὶ ὁ Ἰωάννης καὶ ὁ Παῦλος καὶ ὁ Πέτρος. Ἀφοῦ λοιπὸν ἐκεῖνοι, ποὺ τὸν ἤκουαν ἡμέραν καὶ νύκτα νὰ ὁμιλῇ καὶ τὸν ἔβλεπαν νὰ κάμνῃ θαύματα, καὶ τοὺς ἔλυσεν εἰδικώτερα πολλὰς ἀπορίας καὶ τοὺς ἔδωσε τόσην δύναμιν, ὥστε καὶ νεκροὺς νὰ ἐπαναφέρουν εἰς τὴν ζωήν, καὶ τοὺς κατήχησε τόσον, ὥστε νὰ ἐγκαταλείψουν τὰ πάντα δι' αὐτόν, δὲν εἶχαν τὴν δύναμιν προτοῦ νὰ φωτισθοῦν ἀπὸ τὸ ἅγιον Πνεῦμα, παρὰ τὴν τόσην ἀρετὴν καὶ πίστιν των, νὰ κατανοήσουν τὰ πάντα, πῶς θὰ ἐπείθετο ὁ Ἰουδαϊκὸς λαός, ὁ ὁποῖος δὲν εἶχε τὴν ἀπαιτουμένην νοημοσύνην καὶ δὲν εἶχε τόσην ἀρετὴν καὶ παρευρίσκετο σποραδικῶς καὶ κατὰ τύχην κατὰ τὰς ὁμιλίας καὶ τὰ θαύματά του, ὅτι αὐτὸς δὲν εἶναι ἄλλος ἀπὸ τὸν Θεὸν τοῦ παντός, ἂν δὲν κατέβαλλε μὲ κάθε τρόπον τόσην προσπάθειαν διὰ νὰ τὸν κατανοήσουν; Διὰ τοῦτο ἀκριβῶς καί, ὅταν δὲν ἐτηροῦσε τὴν ἀργίαν τοῦ Σαββάτου, δὲν διετύπωσεν ἀμέσως αὐτὴν τὴν ἐντολήν, ἀλλὰ παρουσιάζει πολλὰς καὶ ποικίλας δικαιολογίας. Καὶ ἀφοῦ χρησιμοποιῇ τόσον μετρημένα λόγια προκειμένου νὰ κάμῃ νὰ ἀτονήσῃ μία ἐντολή, διὰ νὰ μὴ ἐρεθίσῃ τοὺς ἀκροατάς του ἦτο ἑπόμενον νὰ ἐνεργήσῃ μὲ περισσοτέραν λεπτότητα καὶ προσοχὴν ὅταν ἐπρόσθετεν ὁλόκληρον ἄλλην νομοθεσίαν εἰς ὅλον τὸν Μωσαϊκὸν νόμον, διὰ νὰ μὴ ἀντιδράσουν οἱ ἀκροαταί του.

Εἶναι φανερὸν ὅτι δι' αὐτὸν ἀκριβῶς τὸν λόγον δὲν διδά-

φαίνεται σαφῶς παιδεύων· Εἰ γὰρ ἡ τοῦ νόμου προσθήκη τοσοῦτον αὐτοὺς ἐθορύβει, πολλῷ μᾶλλον τὸ Θεὸν ἑαυτὸν ἀποφαίνειν. Διὰ τοῦτο πολλὰ καταδεέστερα τῆς οἰκείας ἐκβαίνειν εἰς τὴν τοῦ νόμου προσθήκην, πολλῇ τῇ προδιορθώσει κέχρηται. Οὐδὲ γὰρ ἅπαξ εἶπεν, ὅτι Οὐ λύω τὸν νόμον, ἀλλὰ καὶ δεύτερον αὐτὸ πάλιν ἀνέλαβε καὶ ἕτερον προσέθηκε μεῖζον. Εἰπὼν γάρ, «Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι», ἐπήγαγεν, «Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι». Τοῦτο δὲ οὐκ Ἰουδαίων ἐμφράττει τὴν ἀναισχυντίαν μόνον, ἀλλὰ καὶ τῶν αἱρετικῶν ἀποῤῥάπτει τὰ στόματα, τῶν ἐκ τοῦ διαβόλου λεγόντων εἶναι τὴν Παλαιάν. Εἰ γὰρ καταλῦσαι τὴν ἐκείνου τυραννίδα παρεγένετο ὁ Χριστός, πῶς ταύτην οὐ μόνον οὐ καταλύει, ἀλλὰ καὶ πληροῖ; Οὐ γὰρ μόνον εἴρηκεν, ὅτι Οὐ καταλύω· καίτοι ἤρκει τοῦτο· ἀλλ' ὅτι καὶ Πληρῶ· ὅπερ οὐ μόνον οὐκ ἐναντιουμένου ἦν, ἀλλὰ καὶ συγκροτοῦντος αὐτήν. Καὶ πῶς οὐ κατέλυσε; φησί· πῶς δὲ καὶ ἐπλήρωσεν ἢ τὸν νόμον ἢ τοὺς προφήτας; Τοὺς προφήτας μέν, δι' ὧν τὰ περὶ αὐτοῦ λεχθέντα ἅπαντα τοῖς ἔργοις ἐβεβαίωσε· διὸ καὶ καθ' ἕκαστον ὁ εὐαγγελιστὴς ἔλεγεν· «Ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου»· καὶ ἡνίκα ἐτέχθη, καὶ ἡνίκα τὰ παιδία τὸν θαυμαστὸν ὕμνον ᾖδεν εἰς αὐτόν, καὶ ἡνίκα ἐπὶ τῆς ὄνου ἐκάθισε, καὶ ἐφ' ἑτέρων δὲ πλειόνων τὸ αὐτὸ τοῦτο ἐπλήρωσεν· ἅπερ πάντα ἔμελλον ἀπλήρωτα εἶναι, εἰ μὴ παρεγένετο. Τὸν δὲ νόμον οὐχ ἑνὶ μόνον, ἀλλὰ καὶ δευτέρῳ καὶ τρίτῳ ἐπλήρωσε τρόπῳ. Ἑνὶ μέν, τῷ μηδὲν παραβῆναι τῶν νομίμων. Ὅτι γὰρ πάντα αὐτὸν ἐπλήρωσεν, ἄκουσον τί φησι τῷ Ἰωάννῃ· «Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην». Καὶ Ἰουδαίοις δὲ ἔλεγε· «Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας». Καὶ τοῖς μαθηταῖς δὲ πάλιν· «Ἔρχεται ὁ

1. Πρόκειται διὰ τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ, οἱ ὁποῖοι «ἐξ ἑνὸς σώματος ὕμνουν καὶ ἐδόξαζον καὶ ηὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ». Βλ. Δαν. 3, 19 ἑ.

2. Ματθ. 3,15

3. Ἰω. 8,46

σκει παντοῦ μὲ σαφήνειαν διὰ τὴν θεϊκὴν φύσιν του. Διότι, ἀφοῦ τοὺς ἐνωχλοῦσε τόσον πολὺ κάθε προσθήκη εἰς τὸν Μωσαϊκὸν νόμον, θὰ τοὺς ἐνωχλοῦσε πολὺ περισσότερον νὰ παρουσιάσῃ τὴν θεϊκὴν φύσιν του. Διὰ τοῦτο λέγει πολλὰ κατώτερα ἀπὸ τὴν ἀξίαν του. Καὶ εἰς τὸ σημεῖον αὐτό, ποὺ πρόκειται νὰ συμπληρώσῃ τὸν νόμον, λαμβάνει πολλὰ προφυλακτικὰ μέτρα. Διὰ τοῦτο δὲν εἶπε μίαν φοράν· Δὲν καταργῶ τὸν νόμον, ἀλλὰ τὸ ἐπανέλαβε καὶ διὰ δευτέραν φοράν. Ἀφοῦ δηλαδὴ εἶπε· «Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι», ἐπρόσθεσε· «Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι». Αὐτὸ δὲν ἐξουδετερώνει μόνον τὴν ἀναίδειαν τῶν Ἰουδαίων, ἀλλὰ κλειδώνει καὶ τὰ στόματα τῶν αἱρετικῶν ἐκείνων, ποὺ λέγουν ὅτι τῆς Παλαιᾶς Διαθήκης συντάκτης εἶναι ὁ διάβολος. Διότι, ἀφοῦ ἦλθεν εἰς τὸν κόσμον ὁ Χριστὸς διὰ νὰ ἐξαφανίσῃ τὴν ἐξουσίαν τοῦ διαβόλου, πῶς ὄχι μόνον δὲν τὴν καταργεῖ ὁ Χριστός, ἀλλὰ καὶ τὴν συμπληρώνει; Διὰ τοῦτο δὲν εἶπεν ἁπλῶς· Δὲν τὴν καταλύω, ἂν καὶ αὐτὸ ἦτο ἀρκετόν, ἀλλὰ εἶπε· «Τὴν συμπληρώνω»· Αὐτὸ ἀποδεικνύει ὅτι, ὄχι μόνον δὲν τὴν ἐκαταπολεμοῦσεν, ἀλλὰ καὶ ὅτι τὴν ἐδέχετο. Ἀλλὰ πῶς δὲν τὴν κατήργησε; λέγει. Πῶς ἐσυμπλήρωσε τὸν νόμον ἢ τοὺς προφήτας; Τοὺς προφήτας, διότι ἐπεβεβαίωσεν ἐμπράκτως ὅλα ὅσα εἶπαν δι' αὐτόν. Διὰ τοῦτο ἔλεγεν εἰς κάθε περίπτωσιν ὁ εὐαγγελιστής· «Ἵνα πληρωθῇ τὸ ρηθὲν ὑπὸ τοῦ προφήτου»· Καὶ ἐπρόσθετεν αὐτὸ τὸ συμπλήρωμα καὶ ὅταν ἐγεννήθη καὶ ὅταν ἔψαλαν τὰ παιδιὰ [1] τὸν θαυμάσιον ἐκεῖνον ὕμνον πρὸς αὐτὸν καὶ ὅταν ἐκάθισεν ἐπάνω εἰς τὸν θηλυκὸν ὄνον καὶ εἰς πολλὰς ἄλλας περιπτώσεις. Αὐτὰ ὅλα θὰ ἔμεναν ἀπραγματοποίητα, ἂν δὲν ἐλάμβανεν ἀνθρωπίνην μορφήν. Τὸν νόμον ἐξ ἄλλου τὸν ἐτελειοποίησεν ὄχι μόνον μὲ ἕνα τρόπον, ἀλλὰ καὶ μὲ δεύτερον καὶ μὲ τρίτον. Ὁ πρῶτος εἶναι ὅτι δὲν παρέβη καμμίαν διάταξίν του. Ἄκουσε τί λέγει εἰς τὸν Ἰωάννην, διὰ νὰ ἴδῃς ὅτι τὸν ἐφήρμοσε πάντοτε· «Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην»[2]. Καὶ εἰς τοὺς Ἰουδαίους ἔλεγεν· «Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;»[3]. Καὶ εἰς τοὺς μαθητὰς ἐπίσης·

ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδέν». Καὶ ὁ προφήτης δὲ ἄνωθεν ἔλεγεν, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν.

Ἑνὶ μὲν οὖν αὐτὸν ἐπλήρωσε τούτῳ τῷ τρόπῳ ἑτέρῳ δέ, τῷ καὶ δι' ἡμῶν τοῦτο ποιῆσαι. Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν. ὅτι οὐ μόνον αὐτὸς ἐπλήρωσεν, ἀλλὰ καὶ ἡμῖν ἐχαρίσατο τοῦτο, Ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ὅτι Τέλος νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι». Καὶ τὴν ἁμαρτίαν δὲ αὐτὸν ἔλεγε «Κρῖναι ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι». Καὶ πάλιν· «Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο. Ἀλλὰ νόμον ἱστῶμεν». Ἐπειδὴ γὰρ ὁ νόμος τοῦτο ἐσπούδαζε, δίκαιον ποιῆσαι τὸν ἄνθρωπον, ἠτόνει δέ, ἐλθὼν αὐτὸς καὶ τρόπον εἰσαγαγὼν δικαιοσύνης τὸν διὰ τῆς πίστεως, ἔστησε τοῦ νόμου τὸ βούλημα· καὶ ὅπερ οὐκ ἴσχυσε διὰ γραμμάτων ἐκεῖνος, τοῦτο αὐτὸς διὰ τῆς πίστεως ἤνυσε. Διὰ τοῦτό φησιν· «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον».

3. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε καὶ ἕτερον τρίτον τρόπον εὑρήσει, καθ' ὃν τοῦτο γέγονε. Ποῖον δὴ τοῦτον; Τὸν τῆς μελλούσης νομοθεσίας, ἥνπερ ἔμελλε παραδιδόναι. Οὐ γὰρ ἀναίρεσις τῶν προτέρων, ἀλλ' ἐπίτασις καὶ πλήρωσις ἦν τὰ λεγόμενα. Τοῦ γὰρ μὴ φονεύειν οὐκ ἀναίρεσις τὸ μὴ ὀργίζεσθαι, ἀλλὰ πλήρωσις καὶ πλείων ἀσφάλεια· καὶ τῶν ἄλλων ἁπάντων. Διὸ δὴ καὶ τὰ σπέρματα τούτων προκαταβαλόμενος ἀνυπόπτως τότε, ὅτε σαφέστερον ἔμελλεν ἐκ τῆς παραθέσεως τῶν παλαιῶν καὶ νέων νομίμων ἐπὶ ἐναντιώσει ὑποπτεύεσθαι, τῇ προδιορθώσει κέχρηται. Αἰνιγματωδῶς μὲν γὰρ αὐτὰ καὶ ἤδη κατεβάλετο διὰ τῶν εἰρημένων. Τὸ γάρ, «Μακάριοι οἱ πτωχοί», ταὐτόν ἐστι τῷ μὴ ὀργίζεσθαι· καὶ τό, «Μακάριοι οἱ καθαροὶ τῇ καρ-

1. Ἰω. 14,30.
2. Ἡσ. 53,9
3. Ρωμ. 10,4
4. Ρωμ. 8,4
5. Ρωμ. 3,31

«Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδέν»[1]. Καὶ ὁ προφήτης ἔλεγε παλαιότερα ὅτι δὲν πρόκειται νὰ κάμῃ ἁμαρτίαν [2].

Αὐτὸς λοιπὸν εἶναι ὁ ἕνας τρόπος συμπληρώσεως. Ἄλλος εἶναι τὸ ὅτι τὸν ἐσυμπλήρωσε καὶ διὰ μέσου ἡμῶν. Τὸ σπουδαῖον δηλαδὴ εἶναι ὅτι ὄχι μόνον ὁ ἴδιος τὸν ἐφήρμοσεν, ἀλλὰ ἐζήτησε νὰ κάμωμεν καὶ ἐμεῖς τὸ ἴδιον. Τοῦτο διδάσκει καὶ ὁ Παῦλος μὲ τὰ ἑξῆς λόγια· «Τέλος νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι»[3]. Καὶ διὰ τὴν ἁμαρτίαν δὲ λέγει· «Κρῖναι ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι»[4]. Καὶ ἀλλοῦ· «Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο. Ἀλλὰ νόμον ἱστῶμεν»[5]. Ἐπειδὴ δηλαδὴ ὁ νόμος εἶχε σκοπὸν νὰ κάμῃ δίκαιον τὸν ἄνθρωπον, ἀλλὰ δὲν ἐφηρμόζετο, ἦλθεν ὁ Κύριος, μᾶς ἐδίδαξεν ὅτι ἡ ἀρετὴ ἔχει θεμέλιον τὴν πίστιν καὶ ἔδωσεν ἰσχὺν εἰς τὰς ἐντολὰς τοῦ νόμου. Καὶ κατώρθωσε διὰ τῆς πίστεως ὅ,τι δὲν κατώρθωσεν ὁ νόμος μὲ τὰς ἐντολάς του. Διὰ τοῦτο λέγει· «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον».

3. Ἂν ἐξετάσῃ κανεὶς μὲ προσοχήν, θὰ εὕρῃ καὶ τρίτον τρόπον, μὲ τὸν ὁποῖον ἔγινεν αὐτό. Ποῖος εἶναι αὐτός; Ἡ μέλλουσα νομοθεσία, τὴν ὁποίαν ἐπρόκειτο νὰ καθιερώσῃ. Διότι ἡ διδασκαλία του δὲν ἐκαταργοῦσε τὰ προηγούμενα, ἀλλὰ τὰ ἐπεξέτεινε καὶ τὰ συνεπλήρωνε. Διότι ἡ ἐντολὴ νὰ μὴ ὀργιζώμεθα δὲν καταργεῖ τὴν ἐντολὴν νὰ μὴ φονεύωμεν, ἀλλὰ τὴν συμπληρώνει καὶ τὴν τελειοποιεῖ. Τὸ ἴδιον συμβαίνει καὶ μὲ ὅλας τὰς ἄλλας. Διὰ τοῦτο ἀκριβῶς, ἐπειδὴ ἔρριπτε τότε ἁπλῶς τὸν σπόρον τῶν νέων ἐντολῶν χωρὶς νὰ δημιουργῆται καχυποψία, φροντίζει νὰ προλάβῃ τὴν παρεξήγησιν, διότι ἐπρόκειτο νὰ τὸν ὑποψιάζωνται ἀργότερα, ἕνεκα τῆς συγκρίσεως τῶν νέων πρὸς τὰς παλαιὰς ἐντολάς, ὅτι θέλει νὰ καταργήσῃ τὰς δευτέρας. Ἔρριψε λοιπὸν ἀπὸ τώρα ἐμμέσως τὸν σπόρον μὲ τὴν διδασκαλίαν του αὐτήν. Διότι ἡ ἐντολή· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι» ἰσοδυναμεῖ μὲ τὴν ἐντολήν· Νὰ μὴ ὀργίζεσθε. Καὶ ἡ ἐντολή· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ» ἰσοδυ-

δίᾳ», τῷ μὴ ἐμβλέψαι εἰς γυναῖκα πρὸς ἐπιθυμίαν· καὶ τὸ μὴ θησαυρίζειν θησαυροὺς ἐπὶ τῆς γῆς, τῷ, «Μακάριοι οἱ ἐλεήμονες», συνᾴδει· καὶ τὸ πενθεῖν δὲ καὶ τὸ διώκεσθαι καὶ ὀνειδίζεσθαι, ἴσον ἐστὶ τῷ διὰ τῆς στενῆς πύλης εἰσιέναι· καὶ τὸ πεινᾶν καὶ διψᾶν τὴν δικαιοσύνην, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐκεῖνο, ὃ μετὰ ταῦτά φησιν, ὅτι «Ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς».

Καὶ τὸν εἰρηνοποιὸν μακαρίσας, πάλιν τὸ αὐτὸ σχεδὸν εἴρηκεν, ὅτε ἐκέλευσεν ἀφεῖναι τὸ δῶρον, καὶ ἐπὶ τὴν καταλλαγὴν σπεύδειν τοῦ λελυπημένου, καὶ τὸ εὐνοεῖν τῷ ἀντιδίκῳ. Ἀλλ' ἐκεῖ μὲν τὰ ἔπαθλα τῶν κατορθούντων τέθεικεν, ἐνταῦθα δὲ τῶν μὴ ποιούντων τὰς τιμωρίας. Διόπερ ἐκεῖ μὲν ἔλεγεν, ὅτι οἱ πραεῖς κληρονομήσουσι γῆν· ἐνταῦθα δέ, ὁ μωρὸν καλῶν τὸν ἀδελφὸν αὐτοῦ, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. Καὶ ἐκεῖ μέν, ὅτι τὸν Θεὸν ὄψονται οἱ καθαροὶ τῇ καρδίᾳ· ἐνταῦθα δέ, ὅτι μοιχός ἐστιν ἀπηρτισμένος ὁ ἀκολάστως ἰδών· καὶ τοὺς εἰρηνοποιοὺς υἱοὺς Θεοῦ καλέσας ἐκεῖ, ἐνταῦθα ἑτέρωθεν φοβεῖ λέγων· «Μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ».

Οὕτω καὶ τοὺς πενθοῦντας καὶ τοὺς διωκομένους μακαρίζων ἐν τοῖς ἔμπροσθεν, ἐν τοῖς μετὰ ταῦτα τὸ αὐτὸ τοῦτο κατασκευάζων, ἀπώλειαν ἀπειλεῖ τοῖς μὴ ταύτην ἐρχομένοις τὴν ὁδόν· οἱ γὰρ διὰ τῆς πλατείας βαδίζοντες, φησίν, ἐκεῖ καταστρέφουσι. Καὶ τό, «Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ», ἴσον εἶναί μοι δοκεῖ τῷ, «Μακάριοι οἱ ἐλεήμονες», καί, «Οἱ πεινῶντες τὴν δικαιοσύνην». Ἀλλ', ὅπερ ἔφην, ἐπειδὴ μέλλει τρανότερον αὐτὰ λέγειν, καὶ οὐ τρανότερον μόνον, ἀλλὰ καὶ

1. Ματθ. 7,12
2. Ματθ. 6,24

ναμεῖ μὲ τὴν ἐντολήν· Νὰ μὴ στρέψῃς τὸ βλέμμα σου πρὸς γυναῖκα μὲ πόθον σαρκικόν. Καὶ ἡ ἐντολὴ νὰ μὴ συγκεντρώνωμεν θησαυροὺς ἐπὶ τῆς γῆς ἰσοδυναμεῖ μὲ τό· «Μακάριοι οἱ ἐλεήμονες». Καὶ αἱ ἐντολαὶ νὰ πενθοῦμεν, νὰ καταδιωκώμεθα, νὰ ὑβριζώμεθα ἰσοδυναμοῦν μὲ τὴν ἐντολὴν νὰ περνοῦμεν ἀπὸ τὴν στενὴν πύλην. Καὶ ἡ ἐντολὴ νὰ πεινοῦμεν καὶ νὰ διψοῦμεν τὴν δικαιοσύνην δὲν σημαίνει τίποτε ἄλλο, παρὰ ἐκεῖνο ποὺ λέγει εἰς τὴν συνέχειαν· «Ὅσα ἂν θέλητε νὰ ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς»[1].

Καὶ ὅταν ἐμακάρισε τὸν εἰρηνοποιόν, εἶπε πάλιν τὸ ἴδιο σχεδὸν μὲ τὰς ἐντολὰς ποὺ ἔδωσε νὰ ἀφήσωμεν τὸ δῶρον μας κοντὰ εἰς τὸ θυσιαστήριον, καὶ νὰ τρέξωμεν νὰ συμφιλιωθοῦμεν μὲ ἐκεῖνον ποὺ ἠδικήσαμεν καὶ νὰ εἴμεθα ἐπιεικεῖς πρὸς τοὺς ἀντιπάλους μας. Ἀλλὰ ἐκεῖ καθώρισε τὴν ἀμοιβὴν ἐκείνων ποὺ ἐκτελοῦν τὰς ἐντολάς, ἐδῶ δὲ τὴν τιμωρίαν ἐκείνων ποὺ τὰς παραβαίνουν. Διὰ τοῦτο ἔλεγεν ἐκεῖ ὅτι, ὅσοι διακρίνονται διὰ τὴν αὐτοκυριαρχίαν των, θὰ λάβουν ὡς κληρονομίαν τὴν γῆν τῆς ἐπαγγελίας, ἐδῶ δὲ ὅτι, ὅποιος ὑβρίσῃ τὸν ἀδελφόν του, θὰ τιμωρηθῇ μὲ τὴν αἰωνίαν κόλασιν. Ἔλεγεν ἀκόμη ἐκεῖ ὅτι οἱ ἀναμάρτητοι θὰ ἰδοῦν τὸν Θεόν. Ἐδῶ δὲ λέγει ὅτι εἶναι τέλειος μοιχός, ὅποιος κοιτάξῃ μὲ πονηρίαν γυναῖκα. Καὶ ἐνῷ ἐκεῖ ἐχαρακτήρισε τοὺς εἰρηνοποιοὺς παιδιὰ τοῦ Θεοῦ, ἐδῶ ἀντιθέτως φοβερίζει μὲ τὰ ἑξῆς λόγια· «Μή ποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ».

Τὸ ἴδιο συμβαίνει καὶ μὲ ἐκείνους ποὺ πενθοῦν διὰ τὰς ἁμαρτίας των καὶ καταδιώκονται διὰ τὴν ἀρετήν των, ποὺ τοὺς μακαρίζει πρῶτα καὶ ἔπειτα προσπαθεῖ νὰ ἐπιτύχῃ τὸ ἴδιο ἀποτέλεσμα καὶ τοὺς ἀπελεῖ μὲ ἀφανισμὸν ἂν δὲν ἀκολουθήσουν αὐτὸν τὸν δρόμον. Διότι λέγει ὅτι, ὅσοι βαδίζουν εἰς τὴν εὐρεῖαν λεωφόρον, καταστρέφονται μέσα εἰς αὐτήν. Καὶ ἡ ἐντολή· «Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ»[2], νομίζω ὅτι ἰσοδυναμεῖ μὲ τὴν ἐντολὴν «Μακάριοι οἱ ἐλεήμονες», καί· «Οἱ πεινῶντες τὴν δικαιοσύνην». Ἀλλὰ ἐπειδὴ πρόκειται νὰ ὁμιλήσῃ καθαρώτερα, ὅπως εἶπα καὶ παραπάνω, καὶ ὄχι μόνον καθαρώτερα,

πλείονα τῶν εἰρημένων προστιθέναι πάλιν (οὐκέτι γὰρ ἐλεήμονα ζητεῖ μόνον, ἀλλὰ καὶ τοῦ χιτωνίσκου ἐξίστασθαι κελεύει· οὐδὲ πρᾶον ἁπλῶς, ἀλλὰ καὶ τὴν ἑτέραν σιαγόνα στρέφειν τῷ βουλομένῳ ῥαπίζειν), τὴν δοκοῦσαν ἀντίθεσιν εἶναι πρότερον ἀναιρεῖ. Διὰ δὴ τοῦτο, ὅπερ ἔφθην εἰπών, οὐδὲ ἅπαξ τοῦτο εἴρηκεν, ἀλλὰ καὶ δεύτερον. Εἰπὼν γάρ, «Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι», ἐπήγαγεν· «Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγων ὑμῖν· Ἐὰν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ τοῦ νόμου, ἕως ἂν πάντα γένηται». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἀμήχανον ἀτέλεστον μεῖναι, ἀλλὰ καὶ τὸ βραχύτατον αὐτοῦ πληρωθῆναι δεῖ. Ὅπερ αὐτὸς ἐποίησε, μετὰ ἀκριβείας αὐτὸν ἁπάσης ἀπαρτίσας. Ἐνταῦθα δὲ ἡμῖν αἰνίττεται ὅτι καὶ ὁ κόσμος ἅπας μετασχηματίζεται. Καὶ οὐχ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλ᾽ ἵνα ἐπάρῃ τὸν ἀκροατὴν καὶ δείξῃ δικαίως ἑτέραν εἰσαγαγὼν πολιτείαν· εἴγε μέλλοι καὶ τὰ τῆς κτίσεως ἅπαντα μετασχηματίζεσθαι, καὶ τὸ τῶν ἀνθρώπων γένος πρὸς ἑτέραν καλεῖσθαι πατρίδα, καὶ βίου παρασκευὴν ὑψηλοτέραν. «Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».

Ἐπειδὴ γὰρ ἀπήλλαξεν ἑαυτὸν τῆς πονηρᾶς ὑποψίας καὶ τοὺς βουλομένους ἀντιλέγειν ἐπεστόμισε, τότε λοιπὸν καὶ φοβεῖ, καὶ ἀπειλὴν τίθησι μεγίστην ὑπὲρ τῆς μελλούσης νομοθεσίας. Ὅτι γὰρ οὐχ ὑπὲρ τῶν παλαιῶν νόμων εἴρηκεν, ἀλλ᾽ ὑπὲρ ὧν αὐτὸς ἔμελλε νομοθετεῖν, ἄκουσον τῶν ἑξῆς. «Λέγω γὰρ ὑμῖν», φησίν· «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Εἰ δὲ περὶ τῶν παλαιῶν ἠπείλει νόμων, πῶς ἔλεγεν, «Ἐὰν μὴ περισσεύσῃ»; Τοὺς γὰρ τὰ αὐτὰ ποιοῦντας, ἅ-

ἀλλὰ νὰ προσθέσῃ καὶ ἄλλα ἀκόμη (διότι π.χ. δὲν ζητεῖ ἁπλῶς νὰ εἴμεθα ἐλεήμονες, ἀλλὰ ἀπαιτεῖ νὰ προσφέρωμεν καὶ τὰ ἐνδύματά μας. Οὔτε νὰ εἴμεθα ἁπλῶς ἤρεμοι, ἀλλὰ νὰ στρέφωμεν καὶ τὸ ἄλλο μάγουλον εἰς ὅποιον θέλει νὰ μᾶς κτυπήσῃ) φροντίζει νὰ ἀπαλείψῃ ἐκ τῶν προτέρων τὴν γνώμην ὅτι καταπολεμεῖ τὸν Μωσαϊκὸν νόμον. Διὰ τοῦτο, ὅπως εἶπα καὶ παραπάνω, δὲν τὸ λέγει μίαν φοράν, ἀλλὰ καὶ δευτέραν. Ἀφοῦ εἶπε δηλαδή· «Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι», ἐπρόσθεσεν· «Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ τοῦ νόμου, ἕως ἂν πάντα γένηται». Ἐκεῖνο ποὺ ἐννοεῖ, εἶναι τὸ ἑξῆς· Εἶναι ἀδύνατον νὰ μείνουν ἀνεκτέλεστα αὐτά, ἀλλὰ θὰ ἐφαρμοσθοῦν καὶ αἱ μικρότεραι λεπτομέρειαι τοῦ νόμου. Τοῦτο ἀκριβῶς ἐφήρμοσεν ὁ ἴδιος, ἀφοῦ μάλιστα τὸν ἐσυμπλήρωσε μὲ κάθε λεπτομέρειαν. Ἐδῶ δὲ μᾶς γνωστοποιεῖ ἐμμέσως καὶ ὅτι θὰ ἀλλάξῃ μορφὴν ὁ κόσμος ὅλος. Καὶ δὲν τὸ ἀναφέρει αὐτὸ ἄνευ λόγου, ἀλλὰ διὰ νὰ παρακινήσῃ τὸν ἀκροατὴν καὶ νὰ τοῦ ἀποδείξῃ ὅτι ὀρθῶς εἰσηγεῖται νέον τρόπον ζωῆς, ἀφοῦ βεβαίως πρόκειται νὰ μεταβληθῇ πρὸς τὸ καλύτερον ὅλη ἡ κτίσις καὶ νὰ προσκληθῇ τὸ ἀνθρώπινον γένος εἰς ἄλλην πατρίδα καὶ νὰ προετοιμασθῇ διὰ ἠθικωτέραν ζωήν. «Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».

Ἀφοῦ λοιπὸν ἀπήλλαξε τὸν ἑαυτόν του ἀπὸ τὴν καχυποψίαν καὶ ἀπεστόμωσεν ἐκείνους ποὺ ἤθελαν νὰ ἐκφράζουν διαφορετικὰς ἀπόψεις, τότε πλέον φοβερίζει καὶ διατυπώνει τρομερὰν ἀπειλὴν πρὸς ὑποστήριξιν τῆς νέας νομοθεσίας. Ἄκουσε λοιπὸν τὰ παρακάτω, διὰ νὰ βεβαιωθῇς ὅτι δὲν ἠπείλησε διὰ τὸν παλαιὸν νόμον, ἀλλὰ διὰ τὸν νόμον, τὸν ὁποῖον ἔθεσεν ὁ ἴδιος. Εἶπε· «Λέγω γὰρ ὑμῖν· Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἂν ἡ ἀπειλὴ ἀνεφέρετο εἰς τὸν παλαιὸν νόμον, δὲν θὰ ἔλεγεν· «Ἐὰν μὴ περισσεύσῃ».

περ ἐποίουν ἐκεῖνοι, οὐκ ἦν περισσεῦσαι κατὰ τὸν τῆς δικαιοσύνης λόγον. Ἀλλὰ ποῖον ἦν τὸ περισσόν; Τὸ μὴ ὀργισθῆναι, τὸ μηδὲ ἐμβλέψαι εἰς γυναῖκα ἀκολάστως.

4. Τίνος οὖν ἕνεκεν ἐλαχίστας αὐτὰς ἐκάλεσε, καίτοι οὕτω μεγάλας καὶ ὑψηλὰς οὔσας; Ἐπειδὴ αὐτὸς τὴν νομοθεσίαν εἰσάγειν ἔμελλεν. Ὥσπερ γὰρ ἑαυτὸν ἐταπείνωσε, καὶ μέτρια πολλαχοῦ περὶ ἑαυτοῦ φθέγγεται· οὕτω καὶ περὶ τῆς ἑαυτοῦ νομοθεσίας, παιδεύων ἡμᾶς κἂν τούτῳ πανταχοῦ μετριάζειν. Ἄλλως δὲ καὶ ἐπειδὴ καινοτομίας ἐδόκει τις ὑποψία εἶναι, ὑπεσταλμένως τέως κέχρηται τῷ λόγῳ.

Ὅταν δὲ ἀκούσῃς ἐλάχιστον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μηδὲν ἄλλο ὑπόπτευε ἢ γέενναν καὶ κόλασιν. Βασιλείαν γὰρ οἶδεν οὐχὶ τὴν ἀπόλαυσιν μόνον λέγειν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναστάσεως καὶ τὴν παρουσίαν ἐκείνην τὴν φοβεράν. Ἐπεὶ πῶς ἂν ἔχοι λόγον, τὸν μὲν ἀπόντα τὸν ἀδελφὸν μωρὸν καὶ μίαν παραβάντα ἐντολήν, εἰς τὴν γέενναν ἐμπεσεῖν· τὸν δὲ ὅλας λύοντα, καὶ ἑτέρους εἰς τοῦτο ἐνάγοντα, ἐν τῇ βασιλείᾳ εἶναι; Οὐ τοίνυν τοῦτό φησιν, ἀλλ' ὅτι ἐν ἐκείνῳ τῷ καιρῷ ἐλάχιστος ἔσται, ἀπερριμμένος, ἔσχατος· ὁ δὲ ἔσχατος πάντως εἰς τὴν γέενναν ἐμπεσεῖται τότε. Καὶ γὰρ Θεὸς ὢν προῄδει τὴν τῶν πολλῶν ῥᾳθυμίαν, καὶ ὅτι μέλλουσί τινες ὑπερβολῆς νομίζειν εἶναι τὰ εἰρημένα μόνης καὶ συλλογίζεσθαι τοὺς νόμους καὶ λέγειν· Ἐὰν οὖν τις μωρὸν καλέσῃ, κολάζεται; ἐὰν οὖν ἴδῃ τις ἁπλῶς, μοιχὸς γίνεται; Διὸ δὴ ταύτην προαναιρῶν τὴν ὀλιγωρίαν, ἀπειλὴν τέθεικε μεγίστην ἑκατέροις, καὶ τοῖς παραβαίνουσι καὶ τοῖς ἑτέρους εἰς τοῦτο ἐνάγουσιν.

Διότι δὲν ἦτο δυνατὸν βεβαίως νὰ ὑπερτερήσουν κατὰ τὴν ἀρετήν, ἂν ἔκαμναν τὰ ἴδια, ποὺ ἔκαμναν καὶ ἐκεῖνοι. Ἀλλὰ ποῖον ἦτο τὸ ἐπὶ πλέον; Νὰ μὴ ὀργίζωνται οὔτε νὰ στρέφουν τὸ βλέμμα των πρὸς γυναῖκα μὲ σκοπὸν ἀνήθικον.

4. Διατί ὅμως τὰς ἐχαρακτήρισεν ἐλαχίστας, ἀφοῦ εἶναι τόσον σπουδαῖαι καὶ ὑψηλαί; Ἐπειδὴ ἐπρόκειτο νὰ εἶναι νομοθέτης ὁ ἴδιος. Ὅπως λοιπὸν ἐταπείνωσε τὸν ἑαυτόν του καὶ ὁμιλεῖ εἰς πολλὰ σημεῖα μὲ μετριοφροσύνην διὰ τὸν ἑαυτόν του, ἔτσι ἐνεργεῖ καὶ διὰ τὴν νομοθεσίαν του καὶ μᾶς διδάσκει καὶ μὲ αὐτὸ νὰ εἴμεθα πάντοτε μετριόφρονες. Ὁμιλεῖ ἐπίσης πρὸ πολλοῦ μὲ μετριοφροσύνην, ἐπειδὴ τὸν ὑποπτεύοντο ὡς καινοτόμον.

Ὅταν ἀκούῃς ἐξ ἄλλου τὴν φράσιν· ἐλάχιστος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, μὴ ἐννοῇς τίποτε ἄλλο παρὰ τὴν αἰωνίαν τιμωρίαν καὶ κόλασιν. Διότι μὲ τὴν λέξιν «βασιλεία» δὲν ἐννοεῖ μόνον τὸν παράδεισον, ἀλλὰ καὶ τὸν χρόνον τῆς ἀναστάσεως τῶν νεκρῶν καὶ τὴν γνωστὴν καὶ φοβερὰν δευτέραν παρουσίαν. Ἀλλοιῶς θὰ ἦτο ἐντελῶς παράλογον νὰ τιμωρῆται μὲ αἰωνίαν κόλασιν ἐκεῖνος ποὺ εἶπε μωρὸν τὸν ἀδελφόν του καὶ παρέβη μίαν ἐντολὴν καὶ νὰ πηγαίνῃ εἰς τὸν παράδεισον ἐκεῖνος ποὺ τὰς παραβαίνει ὅλας καὶ ὠθεῖ καὶ ἄλλους εἰς αὐτό. Δὲν ἐννοεῖ λοιπὸν αὐτό, ἀλλὰ ὅτι κατὰ τὴν δευτέραν παρουσίαν θὰ εὑρεθῇ εἰς δεινὴν θέσιν, θὰ εἶναι περιφρονημένος, κατώτερος ἀπὸ ὅλους. Καὶ εἶναι ἑπόμενον ὅτι αὐτὸς θὰ ριφθῇ τότε εἰς τὴν κόλασιν. Ἐπειδὴ ἦτο Θεός, ἐγνώριζε βεβαίως ἐκ τῶν προτέρων ὅτι πολλοὶ εἶναι ἀδιάφοροι καὶ ὅτι πρόκειται νὰ θεωρήσουν μερικοὶ πολὺ ὑπερβολικὰς τὰς ἐντολάς, νὰ τὰς θέτουν ὑπὸ ἀμφισβήτησιν καὶ νὰ λέγουν· Εἶναι δυνατὸν νὰ ριφθῇ κανεὶς εἰς τὴν κόλασιν, ἐπειδὴ εἶπε κάποιον μωρόν; Εἶναι δυνατὸν νὰ θεωρηθῇ μοιχὸς ἐκεῖνος ποὺ ἐκοίταξε μόνον; Αὐτὴν τὴν νοοτροπίαν λοιπὸν ἤθελε νὰ καταπολεμήσῃ καὶ ὥρισε τιμωρίαν καὶ διὰ τοὺς δύο, καὶ διὰ τοὺς παραβάτας καὶ διὰ ὅσους ἐξωθοῦν τοὺς ἄλλους εἰς παράβασιν.

Εἰδότες τοίνυν τὴν ἀπειλήν, μήτε αὐτοὶ παραβαίνωμεν, μήτε τοὺς βουλομένους ταῦτα φυλάττειν ἐκλύωμεν.

«Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ», φησί, «μέγας κληθήσεται». Οὐ γὰρ ἑαυτοῖς δεῖ χρησίμους εἶναι μόνον, ἀλλὰ καὶ ἑτέροις. Καὶ γὰρ οὐκ ἴσος ὁ μισθὸς τῷ ἑαυτὸν κατορθοῦντι καὶ τῷ μεθ' ἑαυτοῦ καὶ ἕτερον προστιθέντι. Ὥσπερ γὰρ τὸ διδάσκειν ἄνευ τοῦ ποιεῖν κρίνει τὸν διδάσκοντα «Ὁ γὰρ διδάσκων», φησίν, «ἕτερον, σεαυτὸν οὐ διδάσκεις;»· οὕτω τὸ ποιεῖν μέν, ἑτέροις δὲ μὴ ὑφηγεῖσθαι, ἐλαττοῖ τὸν μισθόν. Δεῖ τοίνυν ἐν ἑκατέροις ἄκρον εἶναι, καὶ πρότερον ἑαυτὸν κατορθώσαντα, οὕτω καὶ ἐπὶ τὴν τῶν ἄλλων ἐκβῆναι ἐπιμέλειαν. Διὰ γὰρ τοῦτο καὶ αὐτὸς τὴν ποίησιν πρὸ τῆς διδασκαλίας ἔθηκε, δεικνὺς ὅτι οὕτω μάλιστά τις διδάξαι δυνήσεται, ἑτέρως δὲ οὐδαμῶς. Ἀκούσεται γάρ· «Ἰατρέ, θεράπευσον σεαυτόν». Ὁ γὰρ ἑαυτὸν διδάξαι μὴ δυνηθεὶς καὶ ἑτέρους ἐπιχειρῶν διορθοῦν, πολλὺς ἕξει τοὺς κωμῳδοῦντας αὐτόν· μᾶλλον δὲ οὐδὲ διδάξαι ὁ τοιοῦτος δυνήσεται, τῶν πραγμάτων ἀντιφθεγγομένων αὐτῷ. Ἂν δὲ ἑκατέρωθεν ἀπηρτισμένος ᾖ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. «Λέγω γὰρ ὑμῖν· Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἐνταῦθα δικαιοσύνην τὴν πᾶσαν ἀρετὴν λέγει, ὥσπερ καὶ περὶ τοῦ Ἰὼβ διαλεγόμενος ἔλεγε· «Καὶ ἦν ἄνθρωπος ἄμεμπτος, δίκαιος». Κατὰ τοῦτο καὶ ὁ Παῦλος τὸ σημαινότερον δίκαιον ἐκεῖνον ἐκάλεσεν, ᾧ μηδὲ νόμον κεῖσθαι ἔλεγε· «Δικαίῳ γὰρ νόμος οὐ κεῖται», φησί. Καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο τὸ ὄνομα ἐπὶ τῆς ἀρετῆς τῆς καθόλου κείμενον

1. Ρωμ. 2,21
2. Λουκᾶ 4,23
3. Ἰὼβ 1,1
4. Α' Τιμ. 1,9

Ἀφοῦ γνωρίζομεν λοιπὸν τί μᾶς περιμένει, ἂς φροντίζωμεν οὔτε οἱ ἴδιοι νὰ εἴμεθα παραβάται οὔτε νὰ παρασύρωμεν ἐκείνους ποὺ θέλουν νὰ τηροῦν τὰς ἐντολάς.

Καὶ προσθέτει· «Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ τὰς ἐντολάς, μέγας κληθήσεται». Δὲν πρέπει δηλαδὴ νὰ ὠφελοῦμεν μόνον τοὺς ἑαυτούς μας, ἀλλὰ καὶ τοὺς ἄλλους. Διότι δὲν εἶναι ἴση ἡ ἀμοιβὴ δι' ἐκεῖνον ποὺ συμμορφώνεται ἁπλῶς καὶ δι' ἐκεῖνον πού, ἐκτὸς ἀπὸ τὸν ἑαυτόν του, προσθέτει καὶ ἄλλον εἰς τοὺς τηρητὰς τῶν ἐντολῶν. Ὅπως δηλαδὴ βλάπτει τὸν διδάσκοντα ἡ διδασκαλία του ἂν δὲν συμφωνοῦν τὰ ἔργα του μὲ αὐτὴν («Ὁ γὰρ διδάσκων ἕτερον», λέγει, «σεαυτὸν οὐ διδάσκεις;»[1], ἔτσι ἐλαττώνει καὶ τὴν ἀμοιβὴν ἡ ἁπλῆ συμμόρφωσις πρὸς τὰς ἐντολάς, ἂν δὲν διδάσκωμεν καὶ ἄλλους. Πρέπει λοιπὸν νὰ ἐπιδοθῇ κανεὶς εἰς τὰ δύο καί, ἀφοῦ βελτιώσῃ πρῶτα τὸν ἑαυτόν του, νὰ φροντίσῃ κατόπιν καὶ διὰ τοὺς ἄλλους. Διὰ τοῦτο καὶ ὁ Κύριος θεωρεῖ ἀνωτέραν τὴν συμμόρφωσιν πρὸς τὰς ἐντολὰς ἀπὸ τὴν διδασκαλίαν τῶν ἐντολῶν καὶ δείχνει ὅτι μὲ αὐτὸν τὸν τρόπον πρὸ πάντων θὰ ἠμπορέσῃ νὰ διδάξῃ κανείς, ἐνῷ ἀλλοιῶς δὲν θὰ ἠμπορέσῃ. Διότι θὰ τοῦ εἰποῦν· «Ἰατρέ, θεράπευσον σεαυτόν»[2]. Διότι ὑπάρχουν πολλοὶ ποὺ θὰ γελοιοποιήσουν ἐκεῖνον ποὺ δὲν ἠμπόρεσε νὰ διδάξῃ τὸν ἑαυτόν του καὶ προσπαθεῖ νὰ διδάσκῃ τοὺς ἄλλους. Μᾶλλον ὅμως αὐτὸς ὁ ἄνθρωπος δὲν θὰ ἠμπορέσῃ οὔτε κἂν νὰ διδάξῃ, διότι θὰ τὸν ἀντικρούουν αἱ πράξεις του. Ἐνῷ ἂν εἶναι ἄμεμπτος καὶ εἰς τὰ δύο, θὰ θεωρηθῇ ἐκλεκτὸς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. «Λέγω γὰρ ὑμῖν. Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Εἰς τὸ σημεῖον αὐτὸ ὀνομάζει δικαιοσύνην τὴν ἀρετὴν γενικῶς, ὅπως ἐννοοῦσε καὶ ὅταν ὡμιλοῦσε περὶ τοῦ Ἰώβ· «Καὶ ἦν ἄνθρωπος ἄμεμπτος, δίκαιος»[3]. Μὲ τὴν αὐτὴν σημασίαν ὠνόμασε καὶ ὁ Παῦλος δίκαιον ἐκεῖνον, διὰ τὸν ὁποῖον ἔλεγεν ὅτι δὲν χρειάζεται οὔτε ὁ νόμος. Λέγει· «Δικαίῳ γὰρ νόμος οὐ κεῖται»[4]. Καὶ ἠμπορεῖ νὰ εὕρῃ κανεὶς αὐτὴν τὴν λέξιν καὶ σὲ πολλὰ ἄλλα σημεῖα μὲ τὴν ἔννοιαν τῆς ἀρετῆς. Σὲ παρακαλῶ νὰ

εὕροι τις ἄν. Σὺ δέ μοι σκόπει τῆς χάριτος τὴν ἐπίδοσιν, ὅπου τοὺς μαθητὰς τοὺς νεήλυδας τῶν ἐν τῇ Παλαιᾷ διδασκάλων κρείττους εἶναι βούλεται. «Γραμματέων» γὰρ ἐνταῦθα καὶ Φαρισαίων οὐχ ἁπλῶς εἶπε τῶν παρανόμων, ἀλλὰ τῶν κατορθούντων· οὐ γὰρ ἄν, εἰ μὴ κατώρθουν, ἔφησεν ἔχειν δικαιοσύνην, οὐδὲ ἂν τὴν οὐκ οὖσαν παρέβαλε τῇ οὔσῃ. Ὅρα δὲ καὶ ἐνταῦθα πῶς συνίστησι τὴν Παλαιάν, σύσγκρισιν ποιούμενος ταύτης πρὸς ἐκείνην· ὅπερ δείκνυσιν ὁμόφυλον αὐτὴν οὖσαν καὶ συγγενῆ· τὸ γὰρ πλέον καὶ ἔλαττον τοῦ αὐτοῦ γένους ἐστίν. Οὐ τοίνυν διαβάλλει τὴν Παλαιάν, ἀλλ' ἐπιταθῆναι αὐτὴν βούλεται. Εἰ δὲ ἦν πονηρά, οὐκ ἂν τὸ πλέον ἐζήτησεν, οὐδ' ἂν αὐτὴν διώρθωσεν, ἀλλ' ἐξέβαλεν ἄν. Καὶ πῶς, φησίν, εἰ τοιαύτη ἐστίν, εἰς τὴν βασιλείαν οὐκ εἰσάγει; Νῦν οὐκ εἰσάγει τοὺς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πολιτευομένους, ἅτε δὴ πλείονος, ἀπολελαυκότας δυνάμεως καὶ μείζονα ὀφείλοντας ἀγωνίζεσθαι· ἐπεὶ τούς γε αὐτῆς τροφίμους εἰσάγει ἅπαντας. «Καὶ γὰρ Πολλοὶ ἀπὸ ἀνατολῶν· καὶ δυσμῶν ἥξουσι», φησί, «καὶ ἀνακλιθήσονται εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ». Καὶ ὁ Λάζαρος δὲ τῶν μεγάλων ἀπολαύων ἐπάθλων, ἐν τοῖς ἐκείνου κόλποις φαίνεται ἐνδιαιτώμενος. Καὶ πάντες ὅσοι μεθ' ὑπερβολῆς ἔλαμψαν ἐν τῇ Παλαιᾷ, διὰ ταύτης ἔλαμψαν ἅπαντες. Καὶ ὁ Χριστὸς δέ, εἰ πονηρά τις ἦν καὶ ἀλλοτρία, οὐκ ἂν αὐτὴν ἐπλήρωσεν ἐλθὼν ἅπασαν. Εἰ γὰρ ὑπὲρ τοῦ τοὺς Ἰουδαίους ἐπισπάσασθαι τοῦτο ἐποίει μόνον καὶ οὐχ ὥστε δεῖξαι συγγενῆ ταύτην οὖσαν τῇ Καινῇ καὶ συμβαίνουσαν· τίνος ἕνεκεν οὐχὶ καὶ τὰ τῶν Ἑλλήνων ἐπλήρου νόμιμά τε καὶ ἔθη, ἵνα Ἕλληνας ἐπισπάσηται;

---

1. Τὴν ἀλήθειαν αὐτὴν βεβαιοῖ ἡ ἐμπειρία καὶ ἐπιβεβαιοῖ ἡ ἐπιστήμη (ἡ Λογικὴ εἶναι ἡ ἁρμοδιωτέρα διὰ τὴν προκειμένην περίπτωσιν) ἀπὸ τοῦ Ἀριστοτέλους τοὐλάχιστον μέχρι καὶ σήμερον. Σύγκρισις π.χ. τῶν ἐννοιῶν, βιβλίον καὶ οἰκία, εἶναι ἀδύνατος. Ἠμποροῦμεν ὅμως νὰ συγκρίνωμεν π.χ. τὸν ὄγκον τοῦ βιβλίου καὶ τὸν ὄγκον τῆς οἰκίας, τοὺς λόγους τοῦ Ἰωάννου πρὸς τοὺς λόγους τοῦ Βασιλείου κλπ.

2. Ματθ. 8,11

προσέξης τὴν δύναμιν ποὺ ἔχει ἡ χάρις τοῦ Θεοῦ, ἀφοῦ ἀπαιτεῖ νὰ εἶναι οἱ νεοσύλλεκτοι μαθηταὶ ἀνώτεροι ἀπὸ τοὺς προφήτας τῆς Παλαιᾶς Διαθήκης. Διότι διὰ τῶν λέξεων «Γραμματέων καὶ Φαρισαίων» δὲν ἐννοεῖ ἐδῶ τοὺς ἁμαρτωλούς, ἀλλὰ ἐκείνους ποὺ ἐκτελοῦν τὰς ἐντολάς. Διότι, ἂν δὲν τὰς ἐκτελοῦσαν, δὲν θὰ ἔλεγεν ὅτι εἶναι ἐνάρετοι οὔτε θὰ ἐσύγκρινεν ἐκείνην ποὺ ὑπάρχει πρὸς τὴν ἀνύπαρκτην. Καὶ πρόσεξε πῶς συσχετίζει ἐδῶ καὶ πῶς συγκρίνει τὴν Παλαιὰν μὲ τὴν Καινὴν Διαθήκην. Τοῦτο ἀποδεικνύει τὴν κοινὴν καταγωγὴν καὶ τὴν συγγένειάν των. Διότι συγκρίνομεν ὄντα, τὰ ὁποῖα ἀνήκουν εἰς τὸ αὐτὸ εἶδος [1]. Δὲν κατηγορεῖ λοιπὸν τὴν Παλαιάν, ἀλλὰ θέλει νὰ τῆς δώσῃ μεγαλύτερον κῦρος. Ἂν ἦτο ἄχρηστη ἢ ἐπιζημία, δὲν θὰ ἐπεδίωκε νὰ τὴν συμπληρώσῃ καὶ νὰ τὴν βελτιώσῃ, ἀλλὰ θὰ τὴν ἐκαταφρονοῦσεν. Ἀλλὰ ἐρωτᾶται· Ἀφοῦ δὲν εἶναι ἄχρηστη, διατί δὲν εἰσάγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Τώρα δὲν εἰσάγει ἐμᾶς ποὺ ἤλθαμεν εἰς τὸν κόσμον μετὰ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου, διότι μᾶς ἐχάρισε περισσοτέραν δύναμιν καὶ ὀφείλομεν ἐπομένως νὰ ἀγωνιζώμεθα περισσότερον. Εἰσάγει ὅμως ὅλους ἐκείνους ποὺ ἀνετράφησαν μὲ τὰ διδάγματά της. Διὰ τοῦτο λέγει· «Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ»[2]. Καὶ ὁ Λάζαρος, ποὺ ἠξιώθη μεγάλης ἀμοιβῆς, εἶναι φανερὸν ὅτι ἀναπαύεται εἰς τὰς ἀγκάλας τοῦ Ἀβραάμ[3]. Καὶ ὅλοι, ὅσοι ἀνεδείχθησαν ἐξαίρετοι κατὰ τὴν ἐποχὴν τῆς Παλαιᾶς Διαθήκης, ἀνεδείχθησαν ὅλοι μὲ γνώμονα καὶ διδάσκαλον αὐτήν. Ἂν ἦτο ἄχρηστη καὶ ἐντελῶς διαφορετικὴ ἀπὸ τὴν Καινήν, δὲν θὰ τὴν ἐσυμπλήρωνεν ὁ Χριστὸς ὅταν ἦλθε. Διότι, ἐὰν τὸ ἔκαμνεν αὐτὸ μὲ ἀποκλειστικὸν σκοπὸν νὰ προσελκύσῃ τοὺς Ἰουδαίους, καὶ ὄχι νὰ διδάξῃ ὅτι εἶναι συγγενὴς καὶ συμβαδίζει μὲ τὴν Καινὴν Διαθήκην, πῶς δὲν ἐσυμπλήρωσε καὶ τὰς θρησκευτικὰς καὶ κοινωνικὰς ἀντιλήψεις τῶν Ἑλλήνων, ὥστε νὰ προσελκύσῃ καὶ τοὺς Ἕλληνας;

---

3. Λουκᾶ κεφ. 16

5. Ὥστε πανταχόθεν δῆλον, ὅτι οὐ διὰ τὸ πονηρὰ εἶναι οὐκ εἰσάγει, ἀλλὰ διὰ τὸ μειζόνων ἐντολῶν εἶναι καιρόν. Εἰ δὲ ἀτελεστέρα ἐστὶ τῆς Καινῆς, οὐδὲ τοῦτο δείκνυσιν αὐτὴν πονηράν· ἐπεὶ κατὰ τοῦτο καὶ ἡ Καινὴ τὸ αὐτὸ τοῦτο πείσεται. Καὶ γὰρ ἡ ταύτης γνῶσις πρὸς τὴν μέλλουσαν συγκρινομένη, μερική τίς ἐστι καὶ ἀτελὴς καὶ καταργεῖται ἐκείνης ἐλθούσης· «Ὅταν γὰρ ἔλθῃ», φησί, «τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται»· ὅπερ ἔπαθεν ἡ Παλαιὰ παρὰ τῆς Καινῆς. Ἀλλ᾽οὐ διὰ τοῦτο αὐτὴν διαβαλοῦμεν, καίτοι καὶ αὕτη ὑπεξίσταται, ὅταν τῆς βασιλείας ἐπιτύχωμεν· «Τότε γὰρ τὸ ἐκ μέρους καταργηθήσεται», φησίν· ἀλλ᾽ ὅμως μεγάλην αὐτὴν εἶναί φαμεν. Ἐπεὶ οὖν καὶ μείζονα τὰ ἔπαθλα καὶ πλείων ἡ παρὰ τοῦ Πνεύματος δύναμις, εἰκότως καὶ μείζονα ἀπαιτεῖ τὰ χαρίσματα. Οὐκέτι γὰρ γῆ ῥέουσα γάλα καὶ μέλι, οὐδὲ γῆρας λιπαρόν, οὐδὲ πολυπαιδία, οὐδὲ σῖτος καὶ οἶνος, καὶ ποίμνια καὶ βουκόλια· ἀλλ᾽ οὐρανός, καὶ τὰ ἐν οὐρανοῖς ἀγαθά, καὶ υἱοθεσία, καὶ ἀδελφότης ἡ πρὸς τὸν Μονογενῆ, καὶ κοινωνία κληρονομίας, καὶ τὸ συνδοξασθῆναι καὶ συμβασιλεῦσαι, καὶ τὰ μυρία ἔπαθλα ἐκεῖνα. Ὅτι δὲ καὶ πλείονος βοηθείας ἀπελαύσαμεν, ἄκουσον τοῦ Παύλου λέγοντος· «Οὐδὲν ἄρα κατάκριμα νῦν τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου».

Ἀπειλήσας τοίνυν τοῖς παραβαίνουσι καὶ μεγάλα ἔπαθλα θεὶς τοῖς κατορθοῦσι καὶ δείξας ὅτι δικαίως πλέον ἡμᾶς ἀπαιτεῖ τῶν προτέρων μέτρων, ἄρχεται τῆς νομοθεσίας λοιπόν, οὐχ ἁπλῶς, ἀλλὰ κατὰ σύγκρισιν τῶν παλαιῶν νομίμων· δύο ταῦτα δεῖξαι βουλόμενος, ὅτι τε οὐ μαχόμενος τοῖς προτέροις,

---

1. Α' Κορ. 13,10
2. Ρωμ. 8, 1 - 2

5. Ὥστε ὅλα ἀποδεικνύουν ὅτι ἡ Π. Διαθήκη δὲν εἰσάγει εἰς τὸν παράδεισον ὄχι διότι εἶναι ἄχρηστη καὶ ἐπιζημία, ἀλλὰ διότι εἶναι καιρὸς διὰ νὰ ἐκτελοῦμεν ἠθικωτέρας ἐντολάς. Τὸ ὅτι εἶναι ἀληθεστέρα τῆς Καινῆς, δὲν σημαίνει ὅτι εἶναι ἐπιζημία. Διότι καὶ ἡ Καινὴ θὰ ἔχῃ τὴν ἰδίαν τύχην εἰς τὴν ἑξῆς περίπτωσιν. Ἡ διδασκαλία της, ἂν συγκριθῇ μὲ τὴν μέλλουσαν, εἶναι ἐλλιπὴς καὶ ἀτελὴς καὶ θὰ καταργηθῇ μόλις τεθῇ εἰς ἐφαρμογὴν ἐκείνη. «Ὅταν γὰρ ἔλθῃ τὸ τέλειον», λέγει, «τότε τὸ ἐκ μέρους καταργηθήσεται»[1]· Αὐτὸ ἔπαθεν ἡ Παλαιὰ ἀπὸ τὴν Καινήν. Ἀλλὰ ἂν καὶ θὰ τεθῇ καὶ αὐτὴ εἰς δευτέραν μοῖραν μόλις φθάσωμεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, δὲν θὰ τὴν καταφρονήσωμεν. «Τότε γὰρ τὸ ἐκ μέρους καταργηθήσεται», λέγει. Παρὰ ταῦτα ἐξακολουθοῦμεν νὰ λέγωμεν ὅτι εἶναι σπουδαία. Ἐπειδὴ λοιπὸν εἶναι σπουδαιοτέρα ἡ ἀμοιβὴ καὶ ἡ δύναμις τοῦ ἁγίου Πνεύματος μεγαλυτέρα, εἶναι λογικὸν νὰ ἀπαιτῇ καὶ ἀνωτέρας ἀρετάς. Διότι δὲν θὰ ἀμειφθοῦμεν πλέον μὲ γάλα καὶ μέλι, οὔτε μὲ εὐτυχισμένα γηρατειά, οὔτε μὲ πολυτεκνίαν, οὔτε μὲ σιτάρι καὶ κρασὶ καὶ μὲ κοπάδια προβάτων καὶ βοδιῶν, ἀλλὰ μὲ τὸν οὐρανὸν καὶ τὰ ἀγαθὰ τοῦ οὐρανοῦ καὶ μὲ τὴν ἰδιότητα τῶν υἱῶν τοῦ Θεοῦ καὶ τῶν ἀδελφῶν τοῦ Μονογενοῦς καὶ μὲ συμμετοχὴν εἰς τὰ ἀγαθὰ καὶ εἰς τὴν δόξαν καὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ καὶ μὲ ἀπείρους ἄλλας ἀμοιβάς. Μᾶς βεβαιώνει δὲ ὁ Παῦλος ὅτι ὁ Θεὸς μᾶς βοηθεῖ περισσότερον. Ἄκουσε τί λέγει· «Οὐδὲν ἄρα κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[2].

Ἀφοῦ λοιπὸν ὥρισε τὴν τιμωρίαν τῶν παραβατῶν τῶν νέων ἐντολῶν καὶ καθώρισε μεγάλας ἀμοιβὰς διὰ τοὺς τηρητάς των καὶ ἔδειξεν ὅτι δικαίως ζητεῖ ἀπὸ ἐμᾶς περισσότερα ἀπὸ ὅσα ἡ Παλαιὰ Διαθήκη, ἀρχίζει ἐν συνεχείᾳ νὰ διατυπώνῃ τὰς ἐντολὰς ὄχι ἀπολύτως, ἀλλὰ συγκριτικῶς πρὸς τὰς παλαιάς, διότι θέλει νὰ ἀποδείξῃ δύο πράγματα, καὶ ὅτι δὲν καταπολεμεῖ τὴν Παλαιὰν Διαθήκην, ἀλλὰ ἡ Καινὴ συμφωνεῖ

ἀλλὰ καὶ σφόδρα συμφωνῶν ταῦτα νομοθετεῖ καὶ ὅτι εἰκότως καὶ σφόδρα εὐκαίρως τὰ δεύτερα ἐκείνοις προστίθησιν. Ὅπερ ἵνα καὶ σαφέστερον γένηται, αὐτῶν ἐπακούσωμεν τῶν τοῦ νομοθέτου ῥημάτων. Τί οὖν αὐτός φησιν; «Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις». Καίτοι ὁ καὶ ἐκεῖνα δούς, αὐτός ἐστιν· ἀλλὰ τέως ἀπροσώπως αὐτὰ τίθησιν. Εἴτε γὰρ εἶπεν, ὅτι Ἠκούσατε ὅτι εἶπον τοῖς ἀρχαίοις, δυσπαράδεκτος ὁ λόγος ἐγίνετο, καὶ πᾶσιν ἂν προσέστη τοῖς ἀκούουσιν· εἴτε αὖ πάλιν εἰπών, ὅτι Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις παρὰ τοῦ Πατρός μου, ἐπήγαγεν, Ἐγὼ δὲ λέγω, μείζων ἂν ἔδοξεν εἶναι ὁ αὐθαδιασμός. Διὸ δὴ ἁπλῶς αὐτὸ τέθεικεν, ἓν μόνον ἀπὸ αὐτοῦ κατασκευάζων, τὸ δεῖξαι ὅτι εἰς καιρὸν ἦλθε τὸν προσήκοντα ταῦτα λέγων. Τῷ γὰρ εἰπεῖν, «Ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις», ἐνέφηνε πολὺν τὸν χρόνον, ἐξ οὗ τὴν ἐντολὴν ταύτην ἔλαβον. Τοῦτο δὲ ἐποίησεν, ἵνα ἐντρέψῃ τὸν ἀκροατὴν τὸν ἀναδυόμενον πρὸς τὰ ὑψηλότερα ἐκβῆναι τῶν ἐπιταγμάτων· ὡσανεὶ διδάσκαλος παιδίῳ ῥᾳθυμοῦντι λέγοι· Οὐκ οἶσθα πόσον ἀνήλωσας χρόνον συλλαβὰς μελετῶν; Τοῦτο δὲ καὶ αὐτὸς αἰνιττόμενος τῷ τῶν ἀρχαίων ὀνόματι, ἐκκαλεῖται λοιπὸν αὐτοὺς πρὸς τὰ μείζονα τῶν διδαγμάτων, ὡσανεὶ ἔλεγεν· Ἀρκοῦντα ἔχετε χρόνον ταῦτα μελετῶντες καὶ δεῖ λοιπὸν πρὸς τὰ ὑψηλότερα τούτων ἐπείγεσθαι.

Εὖ δὲ καὶ τὸ μὴ συγχεῖν τὴν τάξιν τῶν ἐντολῶν, ἀλλ' ἀπὸ τῆς προτέρας ἄρξασθαι πρώτης, ἀφ' ἧς ὁ νόμος ἤρξατο· καὶ γὰρ καὶ τοῦτο δεικνύντος ἐστὶ τὴν συμφωνίαν. «Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει». Εἶδες ἐξουσίαν ἀπηρτισμένην; εἶδες σχῆμα νομοθέτῃ πρέπον; Τίς γὰρ προφητῶν οὕτω ποτὲ ἐφθέγξατο; τίς δικαίων; τίς πατριαρχῶν; Οὐδείς· ἀλλά, «Τάδε λέγει Κύριος». Ἀλλ' οὐχ

1. Ἐξ. 20,15

πολὺ πρὸς αὐτήν, καὶ ὅτι ὀρθῶς καὶ εἰς πολὺ κατάλληλον χρόνον προσθέτει τὰ νέα εἰς τὰ παλαιά. Ἀλλὰ ἂς ἀκούσωμεν τὰ ἴδια τὰ λόγια τοῦ νομοθέτου, διὰ νὰ ἐννοήσωμεν σαφέστερα τὰ παραπάνω. Τί λέγει λοιπόν; «Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις»[1]. Ἂν καὶ εἶσαι ὁ ἴδιος ποὺ ἔδωσε καὶ τὰς ἐντολὰς ἐκείνας. Ἀλλὰ μέχρι τοῦ σημείου αὐτοῦ χρησιμοποιεῖ ἀπρόσωπον ἔκφρασιν. Διότι, ἂν ἔλεγεν· Ἠκούσατε ὅτι εἶπα εἰς τοὺς ἀρχαίους, δὲν θὰ ἦτο εὐπρόσδεκτος ὁ λόγος του καὶ θὰ ἐπροκαλοῦσεν ἀντίδρασιν τῶν ἀκροατῶν· Ἂν πάλιν, ἀφοῦ ἔλεγε τὴν φράσιν· Ἠκούσατε τί εἶπεν ὁ Πατήρ μου εἰς τοὺς παλαιούς, ἐπρόσθετεν· 'Ἐνῷ ἐγὼ σᾶς λέγω', θὰ ἐθεωρεῖτο μεγαλυτέρα αὐθάδεια. Διὰ τοῦτο ἡ ἔκφρασίς του ἔχει κάποιαν γενικότητα, διότι μὲ αὐτὴν ἐπιδιώκει τοῦτο μόνον, νὰ δείξῃ ὅτι ἦλθεν εἰς τὸν κατάλληλον καιρὸν νὰ διδάξῃ τὰς νέας ἐντολάς. Διότι μὲ τὴν φράσιν· «Ὅτι ἐρρέθη τοῖς ἀρχαίοις» ἔκαμε φανερὸν ὅτι ἐπέρασε πολὺς καιρὸς ἀπὸ τότε ποὺ τοὺς ἐδόθη αὐτὴ ἡ ἐντολή. Καὶ ἐνήργησεν ἔτσι, διὰ νὰ φιλοτιμήσῃ τὸν διδακτικὸν ἀκροατὴν νὰ στραφῇ πρὸς ὑψηλοτέρους στόχους. Ὅπως θὰ ἔλεγεν ὁ διδάσκαλος εἰς ἀμελῆ μαθητήν του· Δὲν σκέπτεσαι πόσον χρόνον ἐξώδευσες, διὰ νὰ μάθῃς νὰ συλλαβίζῃς; Αὐτὸ περίπου ὑπονοεῖ καὶ αὐτὸς μὲ τὴν λέξιν «εἰς τοὺς ἀρχαίους», καὶ τοὺς παροτρύνει νὰ συμμορφωθοῦν πρὸς τὰς ὑψηλοτέρας ἐντολάς, ὡσὰν νὰ τοὺς ἔλεγεν· Εἶναι ἀρκετὸς ὁ χρόνος ποὺ μελετᾶτε αὐτὰ καὶ πρέπει νὰ φροντίσετε εἰς τὸ μέλλον διὰ κάτι σπουδαιότερον.

Καλὸν εἶναι νὰ μὴ ἀλλάζωμεν τὴν σειρὰν τῶν ἐντολῶν, ἀλλὰ νὰ ἀρχίσωμεν ἀπὸ τὴν πρώτην, ἀπὸ τὴν ὁποίαν ἀρχίζει καὶ ἡ νομοθεσία τοῦ Κυρίου. Διότι καὶ αὐτὸ ἀποδεικνύει ὅτι δὲν ὑπάρχει διαφωνία. «Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει». Εἶδες τὴν ἀπόλυτον ἐξουσίαν του; Εἶδες τρόπον ἐκφράσεως ἄξιον νομοθέτου; Ποῖος ἀπὸ τοὺς προφήτας ὡμίλησεν ἔτσι; Ποῖος ἀπὸ τοὺς ἐναρέτους ἀνθρώπους; Ποῖος ἀπὸ τοὺς πατριάρχας; Κανείς· Ἐκεῖνοι ἔλεγαν· «Τάδε λέγει Κύριος». Ἀλλὰ ὁ υἱὸς δὲν ὁμιλεῖ

ὁ Υἱὸς οὕτως. Ἐκεῖνοι γὰρ τὰ τοῦ Δεσπότου διήγγελον, οὗτος δὲ τὰ τοῦ Πατρός. Ὅταν δὲ εἴπω τὰ τοῦ Πατρός, τὰ αὐτοῦ λέγω· «Τὰ γὰρ ἐμά» φησί, «σά ἐστι, καὶ τὰ σά, ἐμά». Καὶ οἱ μὲν τοῖς ὁμοδούλοις, ὁ, δὲ τοῖς αὐτοῦ δούλοις ἐνομοθέτει.

Ἐρωτήσωμεν τοίνυν τοὺς τὸν νόμον ἐκβάλλοντας· Τὸ μὴ ὀργίζεσθαι τοῦ μὴ φονεύειν ἐναντίον, ἢ μᾶλλον ἐκείνου τελείωσις τοῦτο καὶ κατασκευή; Εὔδηλον ὅτι τοῦτο ἐκείνου πλήρωσις, καὶ μεῖζον τούτου ἕνεκεν. Ὁ γὰρ πρὸς ὀργὴν οὐκ ἐκφερόμενος, πολλῷ μᾶλλον φόνου ἀφέξεται· καὶ ὁ θυμὸν χαλινῶν, πολλῷ μᾶλλον τὰς χεῖρας καθέξει παρ' ἑαυτῷ. Ῥίζα γὰρ τοῦ φόνου, θυμός. Ὁ τοίνυν τὴν ῥίζαν ἐκκόπτων, πολλῷ μᾶλλον ἀναιρήσει τοὺς κλάδους· μᾶλλον δὲ οὐδὲ φῦναι τὴν ὀρχὴν ἐάσει.

6. Οὐκοῦν οὐκ ἐπ' ἀναιρέσει τοῦ νόμου, ἀλλ' ἐπὶ πλείονι ταῦτα ἐνομοθέτει φυλακῇ. Τί γὰρ βουλόμενος ὁ νόμος ταῦτα ἐπέταξεν; Οὐχ ἵνα μηδεὶς φονεύῃ τὸν πλησίον; Οὐκοῦν τοῦ μαχομένου τῷ νόμῳ, τὸ κελεύειν φονεύειν ἦν· τὸ γὰρ φονεύειν τοῦ μὴ φονεύειν ἐναντίον· εἰ δὲ μηδὲ ὀργίζεσθαι ἐπιτρέπει, ὅπερ ὁ νόμος ἐβούλετο, τοῦτο μᾶλλον ἵστησιν. Οὐ γὰρ ὁμοίως ἀφέξεται φόνου ὁ μελετῶν μὴ φονεύειν τῷ καὶ τὴν ὀργὴν ἀνῃρηκότι· πορρωτέρω γὰρ οὗτος ἕστηκε τοῦ τολμήματος.

Ἵνα δὲ καὶ ἑτέρως αὐτοὺς ἕλωμεν, εἰς μέσον ἃ λέγουσιν ἀγάγωμεν ἅπαντα. Τίνα οὖν ἐστιν ἅ φασι; Λέγουσιν, ὅτι ὁ τὸν κόσμον ποιήσας Θεός, ὁ τὸν ἥλιον ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, ὁ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρός τίς ἐστιν. Οἱ δὲ ἐπιεικέστεροι δῆθεν αὐτῶν τοῦτο μὲν παραιτοῦνται,

1. Ἰω. 17,10

ἔτσι. Διότι ἐκεῖνοι ἀνεκοίνωναν τὰς ἐντολὰς τοῦ Κυρίου, αὐτὸς τὰς ἐντολὰς τοῦ Πατρός. Καὶ ὅταν λέγω τοῦ Πατρός, ἐννοῶ τὰς ἰδικάς του. Διότι λέγει· «Τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά»[1]. Ἐκεῖνοι ἀνεκοίνωναν εἰς τοὺς συνανθρώπους των, αὐτὸς ἐνομοθετοῦσε διὰ τοὺς δούλους του.

Ἂς ἐρωτήσωμεν λοιπὸν ἐκείνους ποὺ καταφρονοῦν τὸν Μωσαϊκὸν νόμον. Ἡ ἐντολὴ νὰ μὴ ὀργιζώμεθα εἶναι ἀντίθετη τῆς ἐντολῆς νὰ μὴ φονεύωμεν ἢ εἶναι τελειοποίησις καὶ συμπλήρωσίς της; Εἶναι ὁλοφάνερον ὅτι τὸ δεύτερον εἶναι συμπλήρωσις τοῦ πρώτου καὶ διὰ τοῦτο σπουδαιότερον. Διότι, ὅποιος δὲν κυριεύεται ἀπὸ ὀργήν, πολὺ περισσότερον δὲν πρόκειται νὰ φονεύσῃ. Ἐκεῖνος ποὺ χαλιναγωγεῖ τὴν ὀργήν του, θὰ συγκρατήσῃ πολὺ περισσότερον τὰ χέρια του. Διότι ρίζα τοῦ φόνου εἶναι ἡ ὀργή. Ἐκεῖνος λοιπὸν ποὺ βγάζει τὴν ρίζαν, θὰ καταστρέψῃ ὁπωσδήποτε καὶ τὰ κλαδιά. Ἢ μᾶλλον δὲν θὰ τὰ ἀφήσῃ οὔτε κἂν νὰ ξεφυτρώσουν.

6. Δὲν ἐνομοθετοῦσεν ἑπομένως διὰ νὰ καταργήσῃ τὸν Μωσαϊκὸν νόμον, ἀλλὰ διὰ νὰ τὸν κατοχυρώσῃ περισσότερον. Τί ἐπεδίωκε λοιπὸν ὁ Μωσαϊκὸς νόμος μὲ αὐτὴν τὴν ἐντολήν; Δὲν ἐπεδίωκε νὰ μὴ φονεύσῃ κανεὶς τὸν συνάνθρωπόν του; Ἑπομένως ὁ ἐχθρὸς τοῦ νόμου θὰ ἔδιδεν ἐντολὴν νὰ φονεύωμεν. Διότι ἡ ἐντολὴ νὰ φονεύωμεν εἶναι ἀντίθετη τῆς ἐντολῆς νὰ μὴ φονεύωμεν. Ἀλλὰ ἀφοῦ δὲν ἐπιτρέπει οὔτε νὰ ὀργιζώμεθα, πρᾶγμα ποὺ ἐπεδίωκεν ὁ νόμος, ἐνισχύει τὸν νόμον. Διότι δὲν θὰ ἀποφύγῃ τόσον νὰ φονεύσῃ ἐκεῖνος ποὺ κρίνει ὅτι δὲν πρέπει νὰ φονεύσῃ, ὅσον ἐκεῖνος ποὺ θεωρεῖ ἁμάρτημα ἀκόμη καὶ τὸ νὰ ὀργισθῇ. Διότι αὐτὸς ἀπέχει περισσότερον ἀπὸ τὴν τρομερὰν αὐτὴν ἐνέργειαν.

Ἀλλὰ ἂς ἐξετάσωμεν ὅλα ὅσα λέγουν ἐκεῖνοι ποὺ ἰσχυρίζονται ὅτι ὁ Χριστὸς καταργεῖ τὸν νόμον, διὰ νὰ τοὺς πείσωμεν καὶ μὲ ἄλλα ἐπιχειρήματα. Τί λέγουν λοιπόν; Λέγουν ὅτι ὁ Θεὸς ποὺ ἐδημιούργησε τὸν κόσμον, ποὺ στέλλει εἰς τὴν γῆν τὸν ἥλιον καὶ διὰ τοὺς κακοὺς καὶ διὰ τοὺς καλούς, ποὺ βρέχει καὶ διὰ τοὺς δικαίους καὶ διὰ τοὺς ἀδίκους, εἶναι

δίκαιον δὲ αὐτὸν εἶναι λέγοντες ἀποστεροῦσι τοῦ εἶναι ἀγαθόν· ἕτερον δέ τινα, τὸν οὐκ ὄντα, οὔτε ποιήσαντά τι τῶν ὄντων, Πατέρα διδόασι τῷ Χριστῷ. Καὶ τὸν μὲν οὐκ ἀγαθὸν ἐν τοῖς αὐτοῦ μένειν, καὶ τὰ αὐτοῦ διατηρεῖν φασι· τὸν δὲ ἀγαθὸν τῶν ἀλλοτρίων ἐφίεσθαι, καὶ ὧν οὐκ ἐγένετο δημιουργός, τούτων ἐξαίφνης βούλεσθαι γενέσθαι σωτῆρα. Εἶδες τοῦ διαβόλου τὰ τέκνα, πῶς ἀπὸ τῆς πηγῆς τοῦ πατρὸς φθέγγονται, ἀλλοτριοῦντες τοῦ Θεοῦ τὴν δημιουργίαν, τοῦ Ἰωάννου βοῶντος, ὅτι «Εἰς τὰ ἴδια ἦλθε»· καί, «Ὁ κόσμος δι' αὐτοῦ ἐγένετο»; Εἶτα τὸν νόμον ἐξετάζοντες τὸν ἐν τῇ Παλαιᾷ, τὸν κελεύοντα ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκβάλλειν, ἐπεμβαίνουσιν εὐθέως λέγοντες· Καὶ πῶς ἂν δύναιτο ἀγαθὸς εἶναι ὁ ταῦτα λέγων;

Τί οὖν πρὸς ταῦτά φαμεν; Ὅτι μέγιστον εἶδος φιλανθρωπίας ἐστίν. Οὐ γὰρ ἵνα τοὺς ἀλλήλων ἐκκόπτωμεν ὀφθαλμούς, τὸν νόμον ἔθηκε τοῦτον· ἀλλ' ἵνα φόβῳ τοῦ μὴ παθεῖν ὑφ' ἑτέρων, ἀπεχόμεθα τοῦ δρᾶσαί τι τοιοῦτον ἑτέρους. Ὥσπερ οὖν τοῖς Νινευΐταις ἠπείλησε καταστροφήν, οὐχ ἵνα αὐτοὺς ἀνέλῃ (εἰ γὰρ τοῦτο ἐβούλετο, σιγᾶν ἐχρῆν), ἀλλ' ἵνα τῷ φόβῳ βελτίους ποιήσας, παύσῃ τὴν ὀργήν· οὕτω καὶ τοῖς προχείρως ἐπιπηδῶσι τοῖς ἑτέρων ὀφθαλμοῖς τιμωρίαν ἔθηκεν, ἵνα κἂν ἀπὸ προαιρέσεως ἀγαθῆς μὴ βούλωνται ἀπέχεσθαι τῆς ὠμότητος, ἀπὸ τοῦ φόβου κωλυθῶσι λυμαίνεσθαι ταῖς τῶν πλησίον ὄψεσιν. Εἰ δὲ ἐκεῖνο ὠμότητος, καὶ τὸ κατέχεσθαι τὸν ἀνδροφό-

1. Ματθ. 5,45
2. Ἰω. 1,11

ναι κακός[1]. Μερικοὶ πάλιν ἀπὸ αὐτοὺς προσποιοῦνται τὸν μετριοπαθέστερον καὶ δὲν ὑποστηρίζουν ὅ,τι οἱ ἄλλοι, ἀλλὰ λέγουν ὅτι εἶναι δίκαιος, χωρὶς νὰ εἶναι καὶ ἀγαθός. Καὶ θεωροῦν Πατέρα τοῦ Χριστοῦ κάποιον ἄλλον, ποὺ δὲν εἶναι αἰώνιος καὶ δὲν εἶναι δημιουργὸς τοῦ κόσμου. Καὶ προσθέτουν οἱ πρῶτοι ὅτι αὐτὸς ὁ κακὸς παραμένει μακριὰ ἀπὸ τὸν κόσμον καὶ φροντίζει ἁπλῶς νὰ τὸν διατηρῇ. Οἱ δὲ ἄλλοι λέγουν ὅτι ὁ ἀγαθὸς Θεός των ἐπιθυμεῖ νὰ σφετερισθῇ τὰ ξένα, αὐτὰ ποὺ δὲν ἐδημιούργησεν ὁ ἴδιος, καὶ παρουσιάζεται ξαφνικὰ ὡς σωτήρας των. Εἶδες τὰ τέκνα τοῦ διαβόλου, πῶς τὰ ἐμπνέει ὁ πατέρας των, ὁ διάβολος, νὰ ὁμιλοῦν καὶ νὰ ἀρνοῦνται ὅτι ὁ Θεὸς ἐδημιούργησε τὸν κόσμον, ἂν καὶ ὁ Ἰωάννης διακηρύσσει ὅτι «Εἰς τὰ ἴδια ἦλθε» καί· «Ὁ κόσμος δι' αὐτοῦ ἐγένετο»[2]; Ἔπειτα ἐξετάζουν τὴν ἐντολὴν τῆς Παλαιᾶς Διαθήκης, ποὺ λέγει ὅτι πρέπει νὰ ἐκδικούμεθα μὲ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος, ἀναλαμβάνουν ρόλον ἐπικριτοῦ καὶ λέγουν· Πῶς εἶναι δυνατὸν νὰ εἶναι ἀγαθὸς ἐκεῖνος ποὺ ἔδωσεν αὐτὴν τὴν ἐντολήν;

Τί θὰ ἀπαντήσωμεν λοιπὸν εἰς αὐτά; Ὅτι ἔχομεν ἕνα περίφημον τρόπον ἐκδηλώσεως τῆς φιλανθρωπίας τοῦ Θεοῦ• Διότι δὲν ἔδωσεν αὐτὴν τὴν ἐντολὴν διὰ νὰ τιμωροῦμεν μὲ ἀφαίρεσιν τῶν ὀφθαλμῶν, ἀλλὰ διὰ νὰ ἀποφεύγωμεν νὰ κακοποιήσωμεν συνάνθρωπόν μας ἀπὸ φόβον μήπως μᾶς κακοποιήσουν ἄλλοι. Ὅπως λοιπὸν ἠπείλησεν ὅτι θὰ καταστρέψῃ τοὺς Νινευίτας ὄχι διὰ νὰ τοὺς καταστρέψῃ πράγματι (διότι, ἂν ἤθελε νὰ τοὺς καταστρέψῃ, δὲν ἐχρειάζετο νὰ τοὺς ἀπειλήσῃ), ἀλλὰ διὰ νὰ τοὺς φρονηματίσῃ μὲ τὸν φόβον καὶ νὰ ἀποφύγῃ νὰ ἐκδηλώσῃ τὴν ὀργήν του, ἔτσι ὥρισε καὶ τιμωρίαν διὰ ἐκείνους ποὺ προσπαθοῦν κάθε στιγμὴν νὰ βλάψουν τοὺς ἄλλους, ὥστε, ἂν δὲν τοὺς ὑπαγορεύῃ ἡ ἀγαθή των συνείδησις νὰ ἀποφεύγουν τὰς ἀπανθρώπους ἐνεργείας, νὰ τοὺς συγκρατήσῃ τοὐλάχιστον ὁ φόβος καὶ νὰ μὴ ἀφαιρέσουν ἀπὸ τοὺς ἄλλους τὴν ὅρασίν των. Ἂν εἶναι δεῖγμα ἀπανθρωπιᾶς ἡ ἐντολὴ αὐτή, εἶναι καὶ ἡ ἐντολὴ νὰ ἀποφεύγωμεν τὸν φόνον

νον, καὶ τὸ κωλύεσθαι τὸν μοιχόν. Ἀλλ' ἀνοήτων ταῦτα τὰ ῥήματα, καὶ τὴν ἐσχάτην μαινομένων μανίαν. Ἐγὼ γὰρ τοσούτου δέω ταῦτα ὠμότητος εἶναι λέγειν, ὡς τοὐναντία τούτοις φάναι εἶναι παράνομα κατὰ ἀνθρώπινον λογισμόν. Σὺ μὲν γὰρ λέγεις, ὅτι ἐπειδὴ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐκβάλλειν ἐκέλευσε, διὰ τοῦτο ὠμός· ἐγὼ δὲ λέγω, ὅτι εἰ μὴ τοῦτο ἐκέλευσε, τότε ἂν ἔδοξε παρὰ τοῖς πολλοῖς τοῦτο εἶναι ὃ φὴς σύ. Θῶμεν γὰρ τῷ λόγῳ λελύσθαι τὸν νόμον ἅπαντα, καὶ μηδένα τὴν ἐκ τούτου δεδοικέναι τιμωρίαν, ἀλλ' ἐξεῖναι τοῖς πονηροῖς ἅπασι μετὰ ἀδείας ἁπάσης αὐτῶν κεχρῆσθαι τῷ τρόπῳ, καὶ τοῖς μοιχοῖς, καὶ τοῖς ἀνδροφόνοις, καὶ τοῖς κλέπταις, καὶ τοῖς ἐπιόρκοις, καὶ τοῖς πατραλοίαις· ἆρα οὐκ ἂν πάντα ἄνω καὶ κάτω γέγονε, καὶ μυρίων μιασμάτων καὶ φόνων πόλεις, καὶ ἀγοραί, καὶ οἰκίαι, καὶ γῆ, καὶ θάλαττα, καὶ πᾶσα ἐνεπλήσθη ἡ οἰκουμένη; Παντὶ που δῆλον. Εἰ γὰρ νόμων ὄντων καὶ φόβου καὶ ἀπειλῆς, μόλις αἱ πονηραὶ ἐπέχονται γνῶμαι· εἰ καὶ αὕτη ἀνῄρητο ἡ ἀσφάλεια, τί τὸ κωλῦον τὴν κακίαν αἱρεῖσθαι; πόση δὲ οὐκ ἂν εἰσεκώμασεν εἰς τὸν ἀνθρώπινον βίον ἡ λύμη; Οὐδὲ γὰρ τοῦτο ὠμότητος μόνον, τὸ συγχωρεῖν τοῖς κακοῖς ἃ βούλονται πράττειν· ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου, τὸ τὸν ἠδικηκότα μὲν οὐδέν, κακῶς δὲ πάσχοντα εἰκῇ καὶ μάτην, περιορᾶν ἀπρονόητον. Εἰπὲ γάρ μοι, εἴ τις ἀνθρώπους μοχθηροὺς πανταχόθεν συναγαγὼν καὶ ξίφεσιν ὁπλίσας, ἐκέλευσε κατὰ τὴν πόλιν περιέναι πᾶσαν καὶ τοὺς ἀπαντῶντας κατασφάττειν ἅπαντας, ἆρα ἂν ἦν τι τούτου θηριωδέστερον; Τί δέ; εἴ τις ἕτερος τοὺς

καὶ νὰ ἀπέχωμεν ἀπὸ τὴν μοιχείαν. Ἀλλὰ αὐτὰ εἶναι ἰσχυρισμοὶ ἀνοήτων καὶ ἀνθρώπων ποὺ ἔχουν κυριευθῆ ἀπὸ βαρείας μορφῆς παραφροσύνην. Ἐγὼ πάντως διστάζω τόσον νὰ χαρακτηρίσω αὐτὰ ὡς δεῖγμα ἀπανθρωπιᾶς, ὥστε ὑποστηρίζω ὅτι τὰ ἀντίθετά των εἶναι ἀνήθικα σύμφωνα μὲ τὴν ἀνθρωπίνην λογικήν. Ἐσὺ λοιπὸν ἰσχυρίζεσαι ὅτι εἶναι ἀπάνθρωπος, ἐπειδὴ ἔδωσεν ἐντολὴν νὰ ἐκδικούμεθα μὲ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ. Ἐγὼ ἀντιθέτως ὑποστηρίζω ὅτι, ἐὰν δὲν ἔδιδεν αὐτὴν τὴν ἐντολήν, οὔτε θὰ ἐπίστευαν οἱ πολλοὶ ὅτι εἶναι αὐτὸ ποὺ ἰσχυρίζεσαι ἐσύ. Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι κατηργήθη κάθε νόμος καὶ δὲν φοβᾶται κανεὶς τὴν τιμωρίαν ποὺ καθορίζει, ἀλλὰ ἔχουν τὸ δικαίωμα ὅλοι οἱ ἀπάνθρωποι, οἱ μοιχοί, οἱ φονιάδες, οἱ κλέπται, οἱ ἐπίορκοι, οἱ πατροκτόνοι, νὰ ἐνεργοῦν χωρὶς κανένα φόβον, ὅπως ὑπαγορεύει ὁ χαρκτήρας των· Ἆρά γε δὲν θὰ γίνουν τὰ πάντα ἄνω κάτω καὶ δὲν θὰ πλημμυρίσουν αἱ πόλεις καὶ αἱ ἀγοραὶ καὶ τὰ σπίτια καὶ ἡ ξηρὰ καὶ ἡ θάλασσα καὶ ὅλη ἡ οἰκουμένη ἀπὸ ἐγκληματίες καὶ φονιάδες; Ὅλοι βεβαίως τὸ κατανοοῦν. Διότι τί θὰ μᾶς ἠμπόδιζε νὰ ἀκολουθήσωμεν τὸν κακὸν δρόμον, ἂν ἐξηφανίζοντο αὐτὰ τὰ προληπτικὰ μέτρα, ἀφοῦ τώρα, ποὺ ὑπάρχουν νόμοι καὶ φόβος καὶ ἀπειλή, συγκρατοῦνται μὲ δυσκολίαν αἱ κακαὶ διαθέσεις; Πόση διαφθορὰ δὲν θὰ εἰσήρχετο εἰς τὴν ζωὴν τῶν ἀνθρώπων; Ἂν ἐπιτρέπωμεν λοιπὸν εἰς τοὺς κακοὺς νὰ κάμνουν ὅ,τι θέλουν, αὐτὸ δὲν εἶναι μόνον ἀπάνθρωπον, ἀλλὰ εἶναι καὶ κάτι ἄλλο σοβαρώτερον ἀπὸ αὐτό, εἶναι ἀπερισκεψία νὰ βλέπωμεν μὲ ἀδιαφορίαν νὰ κακοποιῆται χωρὶς λόγον καὶ ἄδικα ἐκεῖνος ποὺ δὲν διέπραξε κανένα ἀδίκημα. Σὲ παρακαλῶ ἑπομένως νὰ μοῦ εἰπῇς, ὑπάρχει ἆρά γε ἀπανθρωπότερον ἀπὸ τὴν συγκέντρωσιν, ἂν ἦτο δυνατή, ὅλων τῶν μοχθηρῶν ἀνθρώπων ἀπὸ ὅλα τὰ σημεῖα τῆς γῆς, τὸν ἐξοπλισμόν των μὲ ξίφη καὶ τὴν διαταγὴν πρὸς αὐτοὺς νὰ γυρίζουν μέσα εἰς ὅλην τὴν πόλιν καὶ νὰ κατακρεουργοῦν ὅσους συναντήσουν; Ἀντιθέτως, θὰ ὑπῆρχεν ἆρά γε τίποτε περισσότερον φιλάν-

μὲν ὑπ' ἐκείνου καθοπλισθέντας ἔδησε καὶ καθεῖρξε μετὰ σφοδρότητος πάσης, τοὺς δὲ ἀποσφάττεσθαι μέλλοντας τῶν ἀνόμων ἐκείνων ἐξήρπασε χειρῶν· ἆρα ἂν ἦν τι τούτου φιλανθρωπότερον;

Ταῦτα τοίνυν καὶ ἐπὶ τὸν νόμον μετάθες τὰ ὑποδείγματα. Ὁ μὲν γὰρ κελεύων ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐξορύττειν, ὥσπερ τινὰ δεσμὸν ἰσχυρὸν τὸν φόβον ταῖς τῶν πονηρῶν ἐνέβαλε ψυχαῖς, κἀκείνῳ προσέοικε τῷ τοὺς ξιφήρεις ἐκείνους καθειργνύντι· ὁ δὲ μηδεμίαν τιμωρίαν αὐτοῖς τιθείς, μονονουχὶ ὁπλίζει τῇ ἀδείᾳ, κἀκεῖνον μιμεῖται τὸν ἐγχειρίσαντα αὐτοῖς τὰ ξίφη, καὶ κατὰ τῆς πόλεως ἀφέντα πάσης.

7. Ὁρᾷς πῶς οὐ μόνον ὠμότητος, ἀλλὰ καὶ πολλῆς φιλανθρωπίας ἐστὶ τὰ ἐπιτάγματα; Εἰ δὲ βαρὺν διὰ ταῦτα καλεῖς τὸν νομοθέτην καὶ φορτικόν, ποῖον ἐπιπονώτερον, εἰπέ μοι, καὶ βαρύτερον; τὸ μὴ φονεύειν, ἢ τὸ μηδὲ ὀργίζεσθαι; τίς σφοδρότερος, ὁ τοῦ φόνου δίκας ἀπαιτῶν, ἢ ὁ καὶ τῆς ὀργῆς; ὁ τὸν μοιχὸν μετὰ τὴν πρᾶξιν ὑποβάλλων τῇ τιμωρίᾳ, ἢ ὁ καὶ τῆς ἐπιθυμίας αὐτῆς κελεύων δίκας διδόναι καὶ δίκας ἀθανάτους; Ὁρᾶτε ὅτι εἰς τοὐναντίον αὐτοῖς ὁ λόγος περιετράπη; καὶ ὁ μὲν τῆς Παλαιᾶς Θεός, ὅν φασιν ὠμὸν εἶναι, εὑρεθήσεται ἥμερος καὶ πρᾶος· ὁ δὲ τῆς Καινῆς, ὃν ἀγαθὸν ὁμολογοῦσι, φορτικὸς καὶ βαρὺς κατὰ τὴν ἐκείνων ἄνοιαν. Ἡμεῖς γὰρ ἕνα καὶ τὸν αὐτόν φαμεν ἑκατέρων τῶν Διαθηκῶν νομοθέτην, πρὸς τὸ δέον πάντα οἰκονομήσαντα καὶ τῇ τῶν καιρῶν διαφορᾷ τὴν διαφορὰν ἑκατέρας τῆς νομοθεσίας ἁρμόσαντα. Οὐκοῦν οὔτε ἐκεῖνα ὠμὰ τὰ ἐπιτάγματα, οὔτε ταῦτα ἐπαχθῆ καὶ φορτικά, ἀλλὰ μιᾶς καὶ τῆς αὐτῆς κηδεμονίας ἅπαντα. Ὅτι γὰρ καὶ τὴν Παλαιὰν αὐτὸς ἔδωκεν, ἄκουσον τί φησιν ὁ Προφήτης· μᾶλλον

θρωπον ἀπὸ τὸ νὰ συλλάβῃ κάποιος ἄλλος ὅλους ἐκείνους τοὺς ἐξωπλισμένους, νὰ τοὺς κλείσῃ εἰς τὰς φυλακὰς καὶ εἰς τὴν ἀπομόνωσιν καὶ νὰ ἁρπάξῃ ἀπὸ τὰ χέρια τῶν ἐγκληματιῶν ἐκείνων ὅσους ἐπρόκειτο νὰ σφαγοῦν;

Σκέψου λοιπὸν τὴν ἀντιστοιχίαν αὐτῶν τῶν παραδειγμάτων πρὸς τὸν νόμον. Αὐτὸς δηλαδὴ μὲ τὴν ἐντολὴν νὰ ἀφαιροῦμεν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἐφύτευσεν εἰς τὰς ψυχὰς τῶν κακῶν τρομερὸν φόβον, ποὺ ἐδῶ ἀντιστοιχεῖ πρὸς τὴν φυλάκισιν, ὁ ἴδιος δὲ ἀντιστοιχεῖ πρὸς ἐκεῖνον ποὺ ἐφυλάκισε τοὺς κακούς. Ἐκεῖνος ἀντιθέτως, ποὺ δὲν ὁρίζει καμμίαν τιμωρίαν διὰ τοὺς κακούς, σχεδὸν τοὺς ἐξοπλίζει μὲ ἀσυδοσίαν καὶ ὁμοιάζει μὲ ἐκεῖνον ποὺ τοὺς ἔδωσε τὰ ὅπλα καὶ τοὺς ἐξαπέλυσεν ἐναντίον ὁλοκλήρου τῆς πόλεως.

7. Βλέπεις ὅτι αἱ ἐντολαὶ ὄχι μόνον ἀπάνθρωποι δὲν εἶναι, ἀλλὰ εἶναι ἀντιθέτως πολὺ φιλάνθρωποι; Καὶ ἂν θεωρῇς ἐξ αἰτίας αὐτῶν αὐστηρὸν καὶ ἀπαιτητικὸν τὸν νομοθέτην, ποῖον εἶναι, σὲ παρακαλῶ, δυσκολώτερον καὶ αὐστηρότερον; Νὰ μὴ φονεύωμεν ἢ οὔτε κἂν νὰ ὀργιζώμεθα; Ποῖος εἶναι ἀπαιτητικώτερος; Ἐκεῖνος ποὺ ἐπιβάλλει τιμωρίαν διὰ τὸν φόνον ἢ ἐκεῖνος ποὺ ἐπιβάλλει διὰ τὴν ὀργήν; Ἐκεῖνος ποὺ τιμωρεῖ τὸν μοιχὸν μετὰ τὴν ἁμαρτίαν ἢ ἐκεῖνος ποὺ ἐπιβάλλει τιμωρίαν καὶ διὰ τὴν ἐπιθυμίαν μόνον καὶ μάλιστα αἰωνίαν τιμωρίαν; Βλέπετε ὅτι ὁ χαρακτηρισμός των κατέληξεν εἰς τὸ ἀντίθετον; Καὶ ὅτι ὁ Θεὸς τῆς Παλαιᾶς Διαθήκης, ποὺ λέγουν ὅτι εἶναι αὐστηρός, θὰ ἀποδειχθῇ ἐπιεικὴς καὶ ἤπιος; Ἐνῷ ὁ Θεὸς τῆς Καινῆς, τὸν ὁποῖον θεωροῦν ὅλοι ἀγαθόν, θὰ ἀποδειχθῇ, μὲ βάσιν τὴν ἀνοησίαν των, αὐστηρὸς καὶ ἀπαιτητικός; Διότι ἐμεῖς εἴμεθα βέβαιοι ὅτι ὁ νομοθέτης καὶ τῶν δύο Διαθηκῶν εἶναι ἕνας καὶ ὁ αὐτός, ὅτι ἐρρύθμησε τὰ πάντα ὅπως ἔπρεπε καὶ ἐτακτοποίησε τὴν διαφορὰν τῶν δύο Διαθηκῶν ἀναλόγως μὲ τὴν διαφορὰν τῶν περιστάσεων. Ἑπομένως οὔτε ἐκεῖναι οἱ ἐντολαὶ εἶναι ἀπάνθρωποι, οὔτε αὐταὶ αὐστηραὶ καὶ ἀπαιτητικαί, ἀλλὰ ὅλαι ὀφείλονται εἰς μίαν καὶ τὴν αὐτὴν μέριμναν. Διότι ἄκουσε τί λέγει ὁ προφήτης ἢ μᾶλλον τί (πρέπει νὰ λέ-

δὲ τί (χρὴ λέγειν) ἐκεῖνος καὶ οὗτος· «Διαθήσομαι ὑμῖν διαθήκην οὐ κατὰ τὴν Διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν». Εἰ δὲ οὐ δέχεται ταῦτα ὁ τὰ Μανιχαίων νοσῶν, ἀκουέτω τοῦ Παύλου λέγοντος τὸ αὐτὸ τοῦτο πάλιν· «Ἀβραὰμ γὰρ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Αὗται δέ εἰσι δύο διαθῆκαι». Ὥσπερ οὖν ἐκεῖ διάφοροι μὲν αἱ γυναῖκες, εἷς δὲ ὁ ἀνήρ· οὕτω καὶ ἐνταῦθα δύο μὲν αἱ διαθῆκαι, εἷς δὲ ὁ νομοθέτης. Καὶ ἵνα μάθῃς ὅτι μιᾶς καὶ τῆς αὐτῆς ἡμερότητος ἦν, ἐκεῖ μέν φησιν, «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ»· ἐνταῦθα δέ, «Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην». Ὥσπερ γὰρ ἐκεῖ τῷ φόβῳ τοῦ πάθους σωφρονίζει τὸν ἀδικοῦντα, οὕτω καὶ ἐνταῦθα. Καὶ πῶς, φησίν, ὁ κελεύων αὐτῷ καὶ τὴν ἄλλην παρέχειν; Καὶ τί τοῦτο; Οὐ γὰρ τὸν φόβον ἐκλύων τοῦτο ἐπέταξεν, ἀλλὰ αὐτῷ κελεύων παρέχειν τοῦ παντὸς ἐμφορεῖσθαι· οὐδὲ εἶπεν, ὅτι Ἀτιμώρητος ἐκεῖνος μένει, ἀλλά, Σὺ μὴ κολάσῃς· ὁμοῦ καὶ τὸν πλήττοντα μειζόνως φοβῶν ἐπιμένοντα καὶ τὸν πληττόμενον παραμυθούμενος.

Ἀλλὰ ταῦτα μέν, ὡς ἂν τις εἴποι, ἐν παρόδῳ περὶ πασῶν τῶν ἐντολῶν ἡμῖν εἴρηται. Ἀναγκαῖον δὲ ἐπὶ τὸ προκείμενον ἐλθεῖν καὶ τῆς ἀκολουθίας ἔχεσθαι τῶν ἔμπροσθεν εἰρημένων. «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει», φησίν. Οὐ γὰρ πάντῃ τὸ πρᾶγμα ἀνεῖλε· πρῶτον μέν, ὅτι οὐκ ἔστιν ἄνθρωπον ὄντα παθῶν ἀπηλλάχθαι· ἀλλὰ κρατεῖν μὲν δυνατόν, ἐκτὸς δὲ αὐτῶν παντελῶς εἶναι ἀμήχανον· ἔπειτα, ὅτι καὶ χρήσιμον τουτὶ τὸ πάθος, ἂν μετὰ τοῦ προσήκοντος εἰδῶ-

---

1. Ὁ Θεός, ὁ ὁποῖος ἀπεκάλυψε τὸν Μωσαϊκὸν νόμον καὶ ὁ Θεός, ὁ ὁποῖος ἀπεκάλυψε τὴν Καινὴν Διαθήκην.

2. Ἱερ. 33, 31 - 32

3. Αἵρεσις τῆς ὁποίας ἱδρυτὴς εἶναι ὁ Μάνης ἢ Μανιχαῖος, ὁ ὁποῖος ἐδέχετο μόνον τὴν Καινὴν Διαθήκην καὶ ἀπέρριπτε τὴν Παλαιάν.

4. Ὁ Ἀβραάμ, κατὰ τὴν Παλαιὰν Διαθήκην, εἶχε δύο υἱούς. Ἕνα, τὸν Ἰσμαήλ, ἀπὸ τὴν δούλην Ἄγαρ, καὶ ἕνα, τὸν Ἰσαάκ, ἀπὸ τὴν ἐλευθέραν Σάρραν.

γουν) καὶ ἐκεῖνος καὶ αὐτὸς ὁ Θεὸς [1], διὰ νὰ πεισθῇς ὅτι ὁ ἴδιος ἔδωσε καὶ τὴν Παλαιάν· «Διαθήσομαι ὑμῖν διαθήκην οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν»[2]. Καὶ ἂν δὲν πιστεύῃ εἰς αὐτὰ ἐκεῖνος ποὺ ὑποφέρει ἀπὸ τὴν ἀσθένειαν τοῦ Μανιχαϊσμοῦ [3], ἂς ἀκούσῃ τὸν Παῦλον ποὺ ἐπαναλαμβάνει τὸ ἴδιον ἀκριβῶς· «Ἀβραὰμ γὰρ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης [4] καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Αὗται δέ εἰσι δύο διαθῆκαι»[5]. Ὅπως λοιπὸν ἐκεῖ ἦσαν δύο αἱ μητέρες καὶ ἕνας ὁ πατέρας, ἔτσι καὶ ἐδῶ εἶναι δύο αἱ νομοθεσίαι, ἀλλὰ ὁ νομοθέτης ἕνας. Καὶ διὰ νὰ κατανοήσῃς ὅτι ἦτο ἐξ ἴσου ἥμερος, λέγει εἰς τὴν Παλαιάν· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ», καὶ εἰς τὴν Καινήν· «Ἐάν τις σὲ ραπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»· Ὅπως δηλαδὴ ἐπιδιώκει ἐκεῖ νὰ σωφρονίσῃ τὸν ἁμαρτωλὸν μὲ τὸν φόβον διὰ τὴν τιμωρίαν, ἔτσι καὶ ἐδῶ. Πῶς γίνεται ὅμως, λέγει, αὐτό, ἀφοῦ τοῦ δίδει ἐντολὴν νὰ στρέψῃ καὶ τὸ ἄλλο μάγουλον; Τί σημασίαν ἔχει αὐτό; Δὲν ἔδωσεν αὐτὴν τὴν ἐντολὴν διὰ νὰ ἐξαφανίσῃ τὸν φόβον, ἀλλά, μὲ τὴν ἐντολὴν νὰ στρέφῃ καὶ τὸ ἄλλο μάγουλον, τὸν γεμίζει μὲ φόβον. Δὲν εἶπε· Μένει ἀτιμώρητος, ἀλλά· Μὴ τὸν τιμωρήσῃς ἐσύ. Ἔτσι φοβερίζει περισσότερον ἐκεῖνον ποὺ ἐπιμένει νὰ ἀδικῇ καὶ ἐνθαρρύνει συγχρόνως τὸν ἀδικούμενον.

Ἀλλὰ θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ὅτι, αὐτὰ ποὺ εἴπαμεν εἰς γενικὰ γραμμάς, ἰσχύουν δι' ὅλας τὰς ἐντολάς. Εἶναι λοιπὸν ἀνάγκη νὰ ἐπανέλθωμεν εἰς τὸ θέμα μας καὶ νὰ συνεχίσωμεν ὅσα εἴπαμεν προηγουμένως. «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει», λέγει. Ἑπομένως, δὲν ἀποκλείει ἐντελῶς νὰ ὀργισθοῦμεν. Πρῶτον μέν, διότι δὲν εἶναι δυνατόν, ἀφοῦ εἴμεθα ἄνθρωποι, νὰ μὴ ἔχωμεν πάθη. Εἶναι ὅμως δυνατὸν νὰ τὰ χαλιναγωγοῦμεν, ἂν καὶ εἶναι ἀδύνατον νὰ ἀπαλλαχθοῦμεν ἐντελῶς ἀπὸ αὐτά. Δεύτερον διότι τὸ πάθος αὐτὸ εἶναι κάποτε χρήσιμον, ἂν γνωρίζωμεν νὰ τὸ ἐκδηλώνω-

---

5. Γαλ. 4,22 - 24

μεν αὐτῷ κεχρῆσθαι καιροῦ. Σκόπει γοῦν ἡλίκα εἰργάσατο ἀγαθὰ ἡ τοῦ Παύλου ὀργή, ἡ κατὰ Κορινθίων τότε γενομένη. Καὶ γὰρ καὶ ἐκείνους αὕτη μεγάλης λύμης ἀπήλλαξε· καὶ τὸ Γαλατῶν δὲ ἔθνος ταύτῃ πάλιν ἐκπεπτωκὸς ἀνεκτήσατο καὶ ἑτέρους δὲ πλείους τούτων.

Τίς οὖν ὁ προσήκων τῆς ὀργῆς καιρός; Ὅταν μὴ ἑαυτοῖς ἀμύνωμεν, ἀλλ' ἑτέρους σκιρτῶντας ἀνέχωμεν καὶ ῥᾳθυμοῦντας ἐπιστρέφωμεν. Τίς δὲ ὁ μὴ προσήκων; Ὅταν ἑαυτοὺς ἐκδικοῦντες τοῦτο ποιῶμεν. Ὅπερ οὖν καὶ ὁ Παῦλος κωλύων ἔλεγε· «Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ». Ὅταν περὶ χρημάτων μαχώμεθα. Καὶ γὰρ καὶ τοῦτο ἀνεῖλεν εἰπών· «Διατί οὐ μᾶλλον ἀδικεῖσθε; διατί οὐ μᾶλλον ἀποστερεῖσθε»; Ὅπερ γὰρ αὕτη περιττή, οὕτως ἐκείνη ἀναγκαία καὶ λυσιτελής. Ἀλλ' οἱ πολλοὶ τοὐναντίον ποιοῦσιν, ἐκθηριούμενοι μέν, ἡνίκα ἂν ἀδικῶνται, ἐκλυόμενοι δὲ καὶ μαλακιζόμενοι, ἡνίκα ἂν ἕτερον ἐπηρεαζόμενον βλέπωσιν· ἅπερ ἀμφότερα ἀπεναντίας ἐστὶ τοῖς νόμοις τοῖς εὐαγγελικοῖς. Οὐ τοίνυν τὸ ὀργίζεσθαι παράνομον, ἀλλὰ τὸ ἀκαίρως τοῦτο ποιεῖν. Διὰ τοῦτο καὶ ὁ Προφήτης ἔλεγεν· «Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε».

«Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ Ρακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ». Συνέδριον ἐνταῦθα τὸ δικαστήριον τῶν Ἑβραίων φησί· τέθεικε δὲ αὐτὸ νῦν, ἵνα μὴ πανταχοῦ δόξῃ ξενίζειν καὶ καινοτομεῖν. Τὸ δὲ «Ῥακὰ» τοῦτο οὐ μεγάλης ἐστὶν ὕβρεως ῥῆμα, ἀλλὰ μᾶλλον καταφρονήσεως καὶ ὀλιγωρίας τινὸς τοῦ λέγοντος. Καθάπερ γὰρ ἡμεῖς ἢ οἰκέταις ἢ τισι τῶν καταδεεστέρων ἐπιτάττοντες λέγομεν· Ἄπελθε σύ, εἰπὲ τῷ δεῖνι σύ· οὕτω καὶ οἱ τῇ Σύρων κεχρημένοι γλώττῃ Ῥακὰ λέγουσιν, ἀντὶ τοῦ Σύ, τοῦ-

---

1. Ρωμ. 12,19
2. Α' Κορ. 6,7
3. Ψαλμ. 4,5

μεν εἰς τὴν κατάλληλον στιγμήν. Σκέψου π.χ. πόσον ὠφέλησεν ἡ ὀργὴ τοῦ Παύλου, ποὺ ἐξεδηλώθη τότε ἐναντίον τῶν Κορινθίων. Διότι τοὺς ἐγλύτωσεν ἀπὸ μεγάλην συμφοράν. Καὶ τοὺς Γαλάτας, οἱ ὁποῖοι εἶχαν ἐπιστρέψει πάλιν ἐν μέρει εἰς τὴν παλαιὰν κατάστασιν, τοὺς ἐπανέφερε μὲ τὴν ὀργήν του εἰς τὸν ὀρθόν δρόμον, καὶ ἄλλους περισσοτέρους ἀπὸ αὐτούς.

Ποία εἶναι ὅμως ἡ κατάλληλη στιγμὴ νὰ ὀργιζώμεθα; Ὅταν δὲν ὑπερασπίζωμεν τοὺς ἑαυτούς μας, ἀλλὰ συγκρατοῦμεν ἄλλους ποὺ ἔφυγαν ἀπὸ τὸν ὀρθὸν δρόμον καὶ δραστηριοποιοῦμεν ὅσους ἔγιναν ἀδιάφοροι. Καὶ ποία εἶναι ἡ ἀκατάλληλη; Ὅταν ὀργιζώμεθα διὰ νὰ ἐκδικηθοῦμεν διὰ κάτι ποὺ μᾶς ἔκαμαν. Αὐτὸ ἀκτιβῶς ἀπηγόρευε καὶ ὁ Παῦλος ὅταν ἔλεγε· «Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ»[1]. Ὅταν φιλονεικοῦμεν διὰ χρήματα. Καὶ αὐτὸ βεβαίως τὸ ἀπηγόρευσε μὲ τὴν συμβουλήν· «Διατί οὐ μᾶλλον ἀδικεῖσθε; Διατί οὐ μᾶλλον ἀποστερεῖσθε;»[2]. Ὅπως λοιπὸν πρέπει νὰ ἐκλείψῃ ἡ δευτέρα αὐτή, ἔτσι εἶναι ἀναγκαία καὶ ὠφέλιμη ἡ πρώτη. Ἀλλὰ οἱ περισσότεροι κάμνουν τὸ ἀντίθετον καὶ γίνονται θηρία ὅταν τοὺς ἀδικοῦν, ἐνῷ ἀντιθέτως παραμένουν ἀδιάφοροι καὶ ἥσυχοι ὅταν βλέπουν νὰ ἐνοχλῆται ἄλλος. Εἶναι δὲ καὶ τὰ δύο αὐτὰ ἀντίθετα πρὸς τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου. Δὲν ἀποτελεῖ λοιπὸν ἁμάρτημα ἡ ὀργή, ἀλλὰ ἡ παράκαιρη ὀργή. Διὰ τοῦτο ἔλεγε καὶ ὁ προφήτης· «Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε».

«Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ρακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ»[3]. Ὡς συνέδριον ἐδῶ ἐννοεῖ τὸ δικαστήριον τῶν Ἑβραίων. Καὶ τὸ ἀναφέρει ἐδῶ, διὰ νὰ μὴ δίδῃ τὴν ἐντύπωσιν ὅτι λέγει συνεχῶς παράξενα πράγματα καὶ ὅτι εἶναι νεωτεριστής. Ἡ δὲ λέξις ρακὰ δὲν εἶναι σπουδαία ὕβρις, ἀλλὰ φανερώνει μᾶλλον κάποιαν περιφρόνησιν καὶ ἔλλειψιν ἐκτιμήσεως ἐκ μέρους ἐκείνου ποὺ τὴν λέγει. Ὅπως δηλαδὴ λέγομεν ἐμεῖς εἰς τοὺς ὑπηρέτας μας ἢ εἰς κάποιους κατωτέρους ὅταν τοὺς διατάσσωμεν· Πήγαινε ἐσύ, νὰ εἰπῇς ἐσὺ εἰς τὸν τάδε, ἔτσι καὶ ἐκεῖνοι ποὺ ὁμιλοῦν τὴν συριακὴν γλῶσσαν λέγουν ρακὰ καὶ τὸ

το τιθέντες. Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς καὶ τὰ μικρότατα ἀνασπᾷ, καθηκόντως ἡμᾶς κεχρῆσθαι ἀλλήλοις κελεύων καὶ μετὰ τῆς προσηκούσης τιμῆς καὶ ἵνα διὰ τούτων καὶ τὰ μείζονα ἀναιρῆται.

«Ὃς δ' ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Πολλοῖς τοῦτο βαρὺ καὶ φορτικὸν ἔδοξεν εἶναι τὸ ἐπίταγμα, εἴγε ῥήματος ψιλοῦ τοσαύτην μέλλομεν διδόναι δίκην· καί τινες αὐτὸ καὶ ὑπερβολικῶς μᾶλλον εἰρῆσθαί φασιν. Ἀλλὰ δέδοικα μὴ λόγοις ἑαυτοὺς ἐνταῦθα ἀπαιτήσαντες, τοῖς ἔργοις ἐκεῖ τὴν ἐσχάτην ὑπομείνωμεν τιμωρίαν.

8. Διατί γάρ, εἰπέ μοι, φορτικὸν εἶναι δοκεῖ τὸ ἐπίταγμα; Οὐκ οἶσθα, ὅτι αἱ πλείους τῶν τιμωριῶν καὶ τῶν ἁμαρτημάτων ἀπὸ ῥημάτων ἔχουσι τὴν ἀρχήν; Καὶ γὰρ βλασφημίαι διὰ ῥημάτων, καὶ ἀρνήσεις διὰ ῥημάτων, καὶ λοιδορίαι, καὶ ὕβρεις, καὶ ἐπιορκίαι, καὶ τὸ ψευδομαρτυρεῖν [καὶ ἀναιρεῖν]. Μὴ τοίνυν ὅτι ῥῆμά ἐστι ψιλὸν ἴδῃς· ἀλλ' εἰ μὴ πολὺν ἔχει τὸν κίνδυνον, τοῦτο ἐξέταζε. Ἢ ἀγνοεῖς, ὅτι ἐν τῷ τῆς ἔχθρας καιρῷ, τῆς ὀργῆς ἐκκαιομένης καὶ τῆς ψυχῆς ἐμπιπραμένης καὶ τὸ μικρότατον μέγα φαίνεται καὶ τὸ μὴ λίαν ὑβριστικὸν φορτικὸν εἶναι δοκεῖ; Καὶ πολλάκις τὰ μικρὰ ταῦτα καὶ φόνον ἔτεκε καὶ πόλεις ὁλοκλήρους ἀνέτρεψεν. Ὥσπερ γάρ, φιλίας οὔσης καὶ τὰ ἐπαχθῆ κοῦφα· οὕτως ἔχθρας ὑποκειμένης, καὶ τὰ μικρὰ ἀφόρητα φαίνεται· κἂν ἁπλῶς λεχθῇ, μετὰ πονηρᾶς ὑπονοίας εἰρῆσθαι νομίζεται. Καὶ καθάπερ ἐπὶ πυρός, ἂν μὲν μικρὸς σπινθὴρ ᾖ κἂν μυρία παρακέηται ξύλα, οὐ ῥᾳδίως αὐτῶν ἐπιλαμβάνεται· ἂν δὲ σφοδρὰ καὶ ὑψηλὴ γένηται ἡ φλόξ, οὐ ξύλων μόνον, ἀλλὰ καὶ λίθων καὶ πάσης εὐκόλως τῆς ἐμπεσούσης ὕλης ἀντέχεται, καὶ δι' ὧν εἴωθε σβέννυσθαι, διὰ τούτων ἀνάπτεται μειζόνως·

χρησιμοποιοῦν ὅπως ἐμεῖς τὴν λέξιν 'Εσύ. 'Αλλὰ ὁ φιλάνθρωπος Θεὸς θέλει νὰ ἐξαφανίσῃ κάθε τι ἔστω καὶ ἀσήμαντον· δι' αὐτὸ μᾶς συμβουλεύει νὰ συμπεριφερώμεθα ὅπως πρέπει μεταξύ μας καὶ μὲ τὴν ἀπαιτουμένην ἐκτίμησιν, μὲ σκοπὸν νὰ ξεριζώσῃ κατ' αὐτὸν τὸν τρόπον καὶ τὰ σοβαρώτερα.

«Ὃς δ' ἂν εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Αὐτὴ ἡ ἐντολὴ ἐθεωρήθη ὅτι εἶναι αὐστηρὰ καὶ ἀκατόρθωτη, ἀφοῦ πρόκειται νὰ τιμωρηθοῦμεν τόσον διὰ μίαν λέξιν ἀσήμαντον. Μερικοὶ μάλιστα λέγουν ὅτι τὴν ἐντολὴν αὐτὴν τὴν εἶπε μὲ κάποιαν ὑπερβολήν. Φοβοῦμαι ὅμως μήπως μᾶς ἐξαπατήσουν εἰς τὴν παροῦσαν ζωὴν τὰ λόγια καὶ μᾶς ἐπιβληθῇ εἰς τὴν μέλλουσαν ἡ αὐστηροτέρα τιμωρία διὰ τὰ ἔργα μας.

8. Σὲ παρακαλῶ νὰ μοῦ εἰπῇς, διατί νομίζεις ὅτι εἶναι αὐστηροτάτη ἡ ἐντολή; Δὲν γνωρίζεις ὅτι αἱ περισσότεραι τιμωρίαι καὶ ἁμαρτίαι ἀρχίζουν μὲ τὰ λόγια; Βλασφημοῦμεν π.χ. μὲ τὰ λόγια, ἀπαρνούμεθα μὲ τὰ λόγια, κατηγοροῦμεν, ὑβρίζομεν, ἐπιορκοῦμεν, ψευδομαρτυροῦμεν. Μὴ τὰ θεωρήσῃς λοιπὸν ἀσήμαντα, ἐπειδὴ εἶναι λόγοια, ἀλλὰ νὰ ἐξετάσῃς ἂν δὲν εἶναι πολὺ ἐπικίνδυνα. Ἢ ἀγνοεῖς ὅτι, ἐπειδὴ ἀνάβει ἡ ὀργὴ καὶ πυρπολεῖται ἡ ψυχὴ ὅταν μισοῦμεν, μᾶς φαίνεται σημαντικὸν καὶ τὸ πλέον ἀσήμαντον καὶ θεωροῦμεν ἀνυπόφορον καὶ τὴν ἐλαχίστην προσβολήν; Καὶ ὅτι αὐτὰ τὰ ἀσήμαντα ἐγέννησαν πολλὲς φορὲς φόνον καὶ ἀνέτρεψαν ὁλοκλήρους πόλεις. Ὅπως δηλαδὴ ὅταν ὑπάρχῃ ἀγάπη μᾶς φαίνονται εὐχάριστα καὶ τὰ δυσάρεστα ἔτσι καὶ ὅταν ὑπάρχῃ μῖσος θεωροῦνται καὶ τὰ ἀσήμαντα ἀνυπόφορα. Καὶ ἂν τὰ εἰπῇ κανεὶς ἀπὸ ἐπιπολαιότητα, θεωρεῖται ὅτι τὰ εἶπε μὲ πονηρίαν. Καὶ ὅπως συμβαίνει μὲ τὴν φωτιάν, ἂν ὑπάρχῃ μικρὴ σπίθα, δὲν θὰ πειράξῃ εὔκολα τὰ ξύλα, ἔστω καὶ ἂν ὑπάρχουν ἄφθονα κοντά της. Ἂν γίνῃ ὅμως μεγάλη καὶ ὑψηλὴ ἡ φλόγα, μάχεται ἀποτελεσματικὰ ὄχι μόνον μὲ τὰ ξύλα, ἀλλὰ καὶ μὲ τὶς πέτρες καὶ μὲ κάθε ὑλικὸν ποὺ θὰ συναντήσῃ, καὶ ἀνάβει πολὺ περισσότερον ἀκόμη καὶ μὲ τὰ ὑλικά, μὲ τὰ ὁποῖα συνήθως

(τινὲς γάρ φασιν, ὅτι τὸ τηνικαῦτα οὐχὶ ξύλα μόνον καὶ στυππεῖον καὶ τὰ ἄλλα τὰ καυστικά, ἀλλὰ καὶ ὕδωρ ἐξακοντιζόμενον μᾶλλον τῆς αὐτῆς ἀναῤῥιπίζει τὴν δύναμιν)· οὕτω δὴ καὶ ἐπὶ τῆς ὀργῆς· ὅπερ ἂν φθέγξηταί τις, τροφὴ γέγονεν εὐθέως τῇ πονηρᾷ ταύτῃ πυρᾷ. Ἅπερ ἅπαντα προαναστέλλων ὁ Χριστός, τὸν μὲν ὀργιζόμενον εἰκῇ κατεδίκασε τῇ κρίσει (διὰ τοῦτο καὶ εἴρηκεν, «Ὁ ὀργιζόμενος ἔνοχος ἔσται τῇ κρίσει», τὸν δὲ λέγοντα, Ῥακά, τῷ συνεδρίῳ. Ἀλλ' οὔπω ταῦτα μεγάλα· ἐνταῦθα γὰρ αἱ τιμωρίαι. Διὰ τοῦτο τῷ μωρὸν ὀνομάζοντι τὸ τῆς γεέννης προσέθηκε πῦρ, νῦν πρῶτον γεέννης ὄνομα εἰπών. Πρότερον γὰρ περὶ βασιλείας πολλὰ διαλεχθείς, τότε ταύτης ἐμνήσθη δεικνὺς ὅτι ἐκείνη μὲν τῆς αὐτοῦ φιλανθρωπίας καὶ γνώμης ἐστίν, αὕτη δὲ τῆς ἡμετέρας ῥᾳθυμίας. Καὶ ὅρα πῶς κατὰ μικρὸν πρόεισιν ἐν ταῖς τιμωρίαις, μονονουχὶ ἀπολογούμενός σοι, καὶ δεικνὺς ὅτι αὐτὸς μὲν οὐδὲν βούλεται τοιοῦτον ἀπειλεῖν, ἡμεῖς δὲ αὐτὸν εἰς τὰς τοιαύτας ἕλκομεν ἀποφάσεις. Σκόπει γάρ· Εἶπον, φησί· Μὴ ὀργισθῇς μάτην, ἐπεὶ ἔνοχος εἶ τῇ κρίσει. Κατεφρόνησας τοῦ προτέρου. Ὅρα τί ἔτεκεν ἡ ὀργή· εἰς ὕβριν σε εὐθέως ἐξήγαγε· Ῥακὰ γὰρ ἐκάλεσας τὸν ἀδελφόν. Πάλιν ἔθηκα ἑτέραν τιμωρίαν, τὸ συνέδριον. Ἂν καὶ ταύτην παριδὼν ἐπὶ τὸ χαλεπώτερον προέλθῃς, οὐκέτι σε τοῖς συμμέτροις τούτοις τιμωροῦμαι, ἀλλὰ τῇ τῆς γεέννης ἀθανάτῳ κολάσει, ἵνα μὴ λοιπὸν καὶ πρὸς φόνον ἀποπηδήσῃς. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδὲ ὕβρεως ἀφορητότερον καὶ ὃ μάλιστα δύναται δάκνειν

---

1. Κρίσις ἦτο τοπικὸν ἑπταμελὲς δικαστήριον τῶν Ἑβραίων, τὸ ὁποῖον εἶχε δικαιοδοσίαν ἐπὶ μικρῶν ἐγκλημάτων.

2. «Ἔνοχος ἔσται τῷ συνεδρίῳ», λέγει τὸ Εὐαγγέλιον. Ἦτο δὲ τὸ συνέδριον τὸ ἀνώτατον δικαστήριον ἐν Ἰερουσαλήμ, ἐνώπιον τοῦ ὁποίου ὡδηγήθη καὶ ὁ Χριστός.

3. Γέεννα. Εἶναι λέξις ἑβραϊκὴ Gehenna (gê - hinnam) = ἡ κοιλὰς τοῦ Ἐννόμ, εἰς τὴν ὁποίαν παλαιότατα ἐθυσίαζον οἱ Ἑβραῖοι τὰ τέκνα των ἰς τὸν Μολόχ, ἀργότερον δὲ ἐνεταφιάζοντο ἐκεῖ τὰ πτώματα τῶν μεγαλυτέρεων κακούργων.

σβήνει· (μερικοὶ μάλιστα λέγουν ὅτι εἰς αὐτὴν τὴν περίπτωσιν ὄχι μόνον τὰ ξύλα καὶ τὸ στουπὶ καὶ τὰ ἄλλα εὔφλεκτα ὑλικά, ἀλλὰ ἀκόμη καὶ τὸ νερό, ποὺ ρίπτομεν ἐπάνω της, ἐνισχύουν περισσότερον τὴν δύναμίν της). Ἔτσι συμβαίνει λοιπὸν καὶ μὲ τὴν ὀργήν. Ὅ,τι εἰπῇ κανείς, γίνεται ἀμέσως τροφὴ διὰ τὴν τρομερὴν αὐτὴν φλόγα. Ἐπειδὴ ἤθελεν ὁ Χριστὸς νὰ προλάβῃ ὅλα αὐτά, καθορίζει ὅτι, ἐκεῖνος ποὺ ὀργίζεται ἁπλῶς, θὰ τιμωρηθῇ δὲ κάποιαν μικρὰν τιμωρίαν (διὰ τοῦτο εἶπεν· «Ὁ ὀργιζόμενος ἔνοχος ἔσται τῇ κρίσει» [1]), ἐνῷ ἐκεῖνος ποὺ θὰ εἰπῇ ρακά, θὰ τιμωρηθῇ μὲ μεγαλυτέραν τιμωρίαν [2]. Ἀλλὰ αὐτὰ δὲν εἶναι φοβερά. Διότι ἡ τιμωρία θὰ ἐπιβληθῇ εἰς τὸν κόσμον τοῦτον. Διὰ τοῦτο καθώρισεν ὡς ποινὴν δι' ἐκεῖνον, ποὺ θὰ ὑβρίσῃ μὲ τὴν λέξιν βλᾶκα, τὴν γέενναν τοῦ πυρός. Τὴν λέξιν γέεννα [3] χρησιμοποιεῖ ἐδῶ διὰ πρώτην φοράν. Ἀφοῦ δηλαδὴ εἶπε πρῶτα πολλὰ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἀνέφερε τὴν γέενναν εἰς τὸ σημεῖον τοῦτο, διὰ νὰ ἐννοήσωμεν ὅτι ἐκείνη μὲν ὀφείλεται εἰς τὴν φιλανθρωπίαν καὶ τὴν ἀγαθὴν βούλησίν του, αὐτὴ δὲ εἰς τὴν ἰδικήν μας ἀδιαφορίαν. Καὶ πρόσεξε πῶς προχωρεῖ προοδευτικῶς ἀπὸ τὴν μιὰν εἰς τὴν ἄλλην τιμωρίαν καὶ σχεδὸν σοῦ ἀπολογεῖται καὶ σὲ διαβεβαιώνει ὅτι ἐκεῖνος δὲν ἔχει καμμίαν διάθεσιν νὰ μᾶς ἀπειλήσῃ μὲ τοῦ εἴδους αὐτοῦ τὰς ἀπειλάς, ἀλλὰ ἐμεῖς τὸν ἀναγκάζομεν νὰ πάρῃ αὐτὰς τὰς ἀποφάσεις. Πρόσεξε λοιπόν. Σοῦ εἶπα, λέγει· Μὴ ὀργίζεσαι χωρὶς λόγον, διότι θὰ τιμωρηθῇς μὲ κάποιαν μικρὴν ποινήν. Δὲν ἔδωσες σημασίαν εἰς αὐτό. Κοίταξε τί ἐγέννησεν ἡ ὀργή. Σὲ παρέσυρεν ἀμέσως εἰς ὕβρεις. Διότι ἀπεκάλεσες τὸν ἀδελφόν σου ρακά. Καὶ καθώρισα πάλιν ἄλλην, μεγαλυτέραν τιμωρίαν τὴν ἐπιβαλλομένην ἀπὸ τὸ συνέδριον. Ἂν ἀδιαφορήσῃς καὶ δι' αὐτὴν καὶ προχωρήσῃς εἰς χειροτέρας ὕβρεις, δὲν σὲ τιμωρῶ πλέον μὲ τὰς ἐπιεικεῖς αὐτὰς τιμωρίας, ἀλλὰ μὲ τὴν αἰωνίαν τιμωρίαν τῆς κολάσεως, διὰ νὰ μὴ φθάσῃς σιγὰ - σιγὰ εἰς τὸν φόνον. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει τίποτε περισσότερον ἀνυπόφορον ἀπὸ τὰς ὕβρεις, τίποτε ποὺ νὰ ἠμπορῇ νὰ πληγώσῃ περισσότερον τὴν ψυχὴν

ἀνθρώπου ψυχήν. Ὅταν δὲ καὶ αὐτὸ τὸ ῥῆμα τῆς ὕβρεως πληκτικώτερον ᾖ, διπλῆ γίνεται ἡ πυρά. Μὴ τοίνυν τὸ τυχὸν νομίσῃς εἶναι τὸ καλέσαι μωρόν. Ὅταν γὰρ ᾧ τῶν ἀλόγων διεστήκαμεν, καὶ ᾧ μάλιστά ἐσμεν ἄνθρωποι, τῷ νῷ καὶ τῇ συνέσει, τοῦτο ἀφέλῃ τὸν ἀδελφόν, πάσης αὐτὸν ἀπεστέρησας τῆς εὐγενείας. Μὴ δὴ τοῖς ῥήμασιν ἁπλῶς προσέχωμεν, ἀλλ' ἐπὶ τῶν πραγμάτων αὐτῶν γενόμενοι καὶ τοῦ πάθους, λογισώμεθα ὅσην ἐργάζεται τὸ ῥῆμα τοῦτο πληγὴν, καὶ εἰς ὅσον πρόεισι κακόν. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐ τοὺς μοιχοὺς μόνον καὶ τοὺς μαλακούς, ἀλλὰ καὶ τοὺς λοιδόρους τῆς βασιλείας ἐξέβαλε· καὶ μάλα εἰκότως. Ὁ γὰρ ὑβριστὴς τὸ τῆς ἀγάπης καλὸν λυμαίνεται, καὶ μυρίοις τὸν πλησίον περιβάλλει δεινοῖς, καὶ διηνεκεῖς ἀπεχθείας ἐργάζεται, καὶ τὰ τοῦ Χριστοῦ διασπᾷ μέλη, καὶ τὴν τῷ Θεῷ ποθεινὴν εἰρήνην καθ' ἑκάστην ἀπελαύνει τὴν ἡμέραν, πολλὴν τῷ διαβόλῳ διὰ τῶν ὕβρεων διδοὺς τὴν εὐρυχωρίαν, καὶ ἰσχυρότερον ἐκεῖνον ποιῶν. Διὰ τοῦτο καὶ ὁ Χριστός, τὰ νεῦρα τῆς ἐκείνου δυνάμεως ἐκκόπτων, τοῦτον τὸν νόμον εἰσήγαγε. Καὶ γὰρ πολὺς αὐτῷ τῆς ἀγάπης ὁ λόγος. Ἡ γὰρ τῶν ἀγαθῶν μήτηρ ἁπάντων, καὶ τὸ τῶν μαθητῶν γνώρισμα, καὶ ἡ πάντα συνέχουσα τὰ καθ' ἡμᾶς, αὕτη μάλιστα πάντων ἐστίν. Εἰκότως οὖν τὰς ῥίζας τῆς λυμαινομένης αὐτὴν ἀπεχθείας καὶ τὰς πηγὰς μετὰ πολλῆς ἀναιρεῖ τῆς σφοδρότητος. Μὴ τοίνυν ὑπερβολῆς τινος εἶναι νόμιζε τὰ λεγόμενα, ἀλλ' ἐννοήσας τὰ ἐξ αὐτῶν κατορθούμενα, θαύμασον τῶν νόμων τούτων τὴν ἡμερότητα. Οὐδὲν γὰρ τῷ Θεῷ περισπούδαστον, ὡς τὸ ἡνῶσθαι καὶ συνδεδέσθαι ἡμᾶς ἀλλήλοις. Διὰ τοῦτο καὶ δι' ἑαυτοῦ καὶ διὰ τῶν μαθητῶν αὐτοῦ, καὶ τῶν ἐν τῇ Καινῇ καὶ τῶν ἐν τῇ Παλαιᾷ, πολὺν ὑπὲρ τῆς ἐντολῆς ταύτης ποιεῖται τὸν λόγον, καὶ σφοδρός ἐστιν ἔκδικος καὶ τιμωρὸς τῶν τοῦ πράγματος καταφρονούντων. Καὶ γὰρ οὐδὲν οὕτω τὴν πονηρίαν εἰσάγει πᾶσαν καὶ ῥι-

1. Α' Κορ. 6,10

τοῦ ἀνθρώπου. Καὶ ὅταν εἶναι βαρυτέρα ἡ ὕβρις, διπλασιάζεται ἡ τιμωρία. Μὴ νομίσῃς λοιπὸν ὅτι εἶναι μηδαμινὸν νὰ ἀποκαλέσῃς κάποιον ἀνόητον. Διότι, ὅταν ἀρνηθῇς εἰς τὸν ἀδελφόν σου ἐκεῖνο ποὺ μᾶς διακρίνει ἀπὸ τὰ ζῶα καὶ ἐκεῖνο ποὺ εἶναι ἡ σπουδαιοτέρα ἀνθρωπίνη ἰδιότητά μας, τὸν νοῦν καὶ τὴν φρόνησιν, τοῦ ἀφαιρεῖς ἐντελῶς τὴν ὑψηλήν του καταγωγήν. Ἂς μὴ ὁμιλοῦμεν λοιπὸν μὲ ἐπιπολαιότητα, ἀλλά, ὅταν ἔλθωμεν εἰς δύσκολον θέσιν καὶ ὀργισθοῦμεν, ἃς ἀναλογισθοῦμεν πόσον πόνον προξενεῖ ἡ λέξις αὐτὴ καὶ εἰς πόσον μεγάλον κακὸν ὁδηγεῖ. Διὰ τοῦτο ὁ Παῦλος ἀπέκλεισεν ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν ὄχι μόνον τοὺς μοιχοὺς καὶ τοὺς κιναίδους, ἀλλὰ καὶ τοὺς ὑβριστάς[1]· Καὶ πολὺ σωστά. Διότι ὁ ὑβριστὴς ἐξαφανίζει τὰ ἀγαθὰ ἀποτελέσματα τῆς ἀγάπης, ἐμπλέκει τὸν πλησίον εἰς ἄπειρα δεινά, δημιουργεῖ ἀτελείωτα μίση, προξενεῖ ρήγματα μεταξὺ τῶν μελῶν τῆς Ἐκκλησίας, ἀπομακρύνει καθημερινῶς τὴν ποθητὴν εἰς τὸν Κύριον εἰρήνην· διότι δίδει διὰ τῶν ὕβρεων πολλὴν εὐχέρειαν κινήσεως εἰς τὸν διάβολον καὶ αὐξάνει τὴν δύναμίν του. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔδωσεν αὐτὴν τὴν ἐντολήν, μὲ σκοπὸν νὰ παραλύσῃ τὴν δύναμίν του. Δι' αὐτὸ ὁμιλεῖ πολὺ περὶ τῆς ἀγάπης. Διότι αὐτὴ εἶναι πρὸ πάντων ἡ μητέρα ὅλων τῶν ἀγαθῶν, εἶναι τὸ ἰδιαίτερον χαρακτηριστικὸν τῶν μαθητῶν, συγκρατεῖ καὶ ἐνισχύει ὅλην μας τὴν ζωήν. Ὀρθῶς λοιπὸν ἐξαφανίζει μὲ μεγάλην ἀποφασιστικότητα τὰς πηγὰς καὶ τὰς ρίζας τοῦ μίσους, τὸ ὁποῖον ἐξαλείφει τὴν ἀγάπην. Μὴ νομίζῃς λοιπὸν ὅτι ὁμιλεῖ μὲ ὑπερβολικὴν αὐστηρότητα, ἀλλὰ κατανόησε τί ἐπιτυγχάνεται μὲ αὐτὰ καὶ θαύμασε τὴν ἡμερότητα αὐτῶν τῶν νόμων. Διότι τίποτε δὲν ἐνδιαφέρει τόσον τὸν Θεόν, ὅσον ἡ ὕπαρξις ὁμονοίας καὶ συμπονοίας εἰς τὰς μεταξύ μας σχέσεις. Διὰ τοῦτο ὁμιλεῖ συχνὰ καὶ ὁ ἴδιος καὶ διὰ τῶν μαθητῶν του, τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, περὶ τῆς ἐντολῆς αὐτῆς καὶ εἶναι αὐστηρὸς διώκτης καὶ τιμωρὸς ἐκείνων ποὺ τὴν περιφρονοῦν. Διότι δὲν ὑπάρχει τίποτε ποὺ νὰ ἀναπτύσσῃ καὶ νὰ σταθεροποιῇ τὴν κακίαν τόσον ὅσον ἡ ἔλλειψις τῆς ἀγά-

ζοῖ, ὡς ἡ τῆς ἀγάπης ἀναίρεσις. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν». Οὕτως ὁ Κάϊν ἀδελφοκτόνος ἐγένετο, οὕτως ὁ Ἡσαῦ, οὕτως οἱ τοῦ Ἰωσὴφ ἀδελφοί· οὕτω τὰ μυρία εἰσεκώμασε κακά, ταύτης διασπωμένης. Διὰ δὴ τοῦτο καὶ αὐτὸς τὰ λυμαινόμενα ταύτην μετὰ πολλῆς πάντοθεν ἀναιρεῖ τῆς ἀκριβείας.

9. Καὶ οὐδὲ μέχρι τῶν εἰρημένων ἵσταται μόνον, ἀλλὰ καὶ ἕτερα τῶν εἰρημένων ἐπάγει πλείονα, δι' ὧν δείκνυσιν ὅσον αὐτῆς ποιεῖται λόγον. Ἀπειλήσας γὰρ διὰ τοῦ συνεδρίου καὶ τῆς κρίσεως καὶ τῆς γεέννης, ἐπήγαγε πάλιν ἕτερα συνῳδὰ τοῖς προτέροις, οὕτω λέγων· «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου». Ὢ τῆς ἀγαθότητος! ὢ τῆς φιλανθρωπίας τῆς ὑπερβαλλούσης! Τῆς εἰς αὐτὸν καταφρονεῖ τιμῆς ὑπὲρ τῆς εἰς τὸν πλησίον ἀγάπης· δεικνὺς ὅτι οὐδὲ τὰ πρότερα, ἅπερ ἠπείλησεν, ἐξ ἀπεχθείας τινός, οὐδὲ ἐπιθυμίᾳ κολάσεως ἠπείλησεν, ἀλλ' ἐκ φιλοστοργίας πολλῆς. Τίς γὰρ ἂν γένοιτο τούτων ἡμερώτερον τῶν ῥημάτων; Ἐγκοπτέσθω, φησίν, ἡ ἐμὴ λατρεία, ἵνα ἡ σὴ ἀγάπη μένῃ· ἐπεὶ καὶ τοῦτο θυσία, ἡ πρὸς τὸν ἀδελφὸν καταλλαγή. Διὰ γὰρ τοῦτο οὐκ εἶπε, Μετὰ τὸ προσενεγκεῖν, ἢ Πρὶν ἢ προσενεγκεῖν· ἀλλ' αὐτοῦ τοῦ δώρου κειμένου, καὶ τῆς θυσίας ἀρχὴν ἐχούσης, πέμπει διαλλαγησόμενον τῷ ἀδελφῷ· καὶ οὔτε συνελόντα τὰ προκείμενα, οὔτε πρὶν ἢ προθεῖναι, ἀλλ' ἐν τῷ μέσῳ κειμένης κελεύει τρέχειν ἐκεῖσε.

Τίνος ἕνεκεν οὕτω κελεύει τοῦτο ποιεῖν καὶ διατί; Δύο ταῦτα, ὡς ἐμοί δοκεῖ, διὰ τούτων αἰνιττόμενος καὶ κατασκευά-

πης. Διὰ τοῦτο ἔλεγεν, ἐκτὸς ἀπὸ τὰ παραπάνω· «Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν». Αὐτὸ εἶναι ἡ αἰτία ποὺ ἔγιναν ἀδελφοκτόνοι ὁ Κάιν, ὁ Ἡσαῦ, οἱ ἀδελφοὶ τοῦ Ἰωσήφ. Αὐτό, ἡ ἐξαφάνισίς της, εἶναι ἡ αἰτία ποὺ ἐξεφύτρωσαν τὰ ἄπειρα κακά. Διὰ τοῦτο λοιπὸν θέλει νὰ ἐξαφανίσῃ ὁ Κύριος μὲ πολλὴν σχολαστικότητα ὅσα τὴν καταστρέφουν.

9. Καὶ δὲν ἀρκεῖται μόνον εἰς ὅσα εἴπαμεν, ἀλλὰ τὰ συμπληρώνει καὶ μὲ ἄλλα λεπτομερέστερα ἀπὸ ὅσα εἶπε παραπάνω, μὲ τὰ ὁποῖα δείχνει πόσην σημασίαν δίδει εἰς τὴν ἀγάπην. Ἀφοῦ ἠπείλησε δηλαδὴ μὲ μικράν, μὲ μεγαλυτέραν καὶ μὲ αἰωνίαν τιμωρίαν, ἐπρόσθεσε καὶ ἄλλα ἀπολύτως σύμφωνα μὲ τὰ προηγούμενα καὶ εἶπε τὰ ἑξῆς· «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ἀπελθὼν πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου». Ὢ πόση εἶναι ἡ καλωσύνη του! Πόσον μεγάλη εἶναι ἡ φιλανθρωπία του! Δὲν λογαριάζει τὴν τιμὴν ποὺ τοῦ προσφέρεται, ἐμπρὸς εἰς τὴν ἀγάπην διὰ τὸν πλησίον μας. Ἔτσι μᾶς διδάσκει ὅτι δὲν διετύπωσεν ἀπὸ μῖσος ἢ ἀπὸ ἐπιθυμίαν νὰ μᾶς τιμωρήσῃ, ὅσας ἀπειλὰς διετύπωσε παραπάνω, ἀλλὰ ἀπὸ πολλὴν στοργήν. Τί ἠμπορεῖ νὰ εἶναι εὐγενέστερον ἀπὸ αὐτὰ τὰ λόγια; Ἂς διακοπῇ, λέγει, ἡ λατρεία μου, διὰ νὰ μείνῃ ἀκλόνητη ἡ ἀγάπη σου. Διότι καὶ ἡ συμφυλίωσις πρὸς τὸν ἀδελφὸν εἶναι καὶ αὐτὴ ἰσοδύναμη μὲ προσφορὰν θυσίας εἰς τὸν Θεόν. Διὰ τοῦτο ἀκριβῶς δὲν εἶπε· Μετὰ τὴν προσφορὰν θυσίας ἢ πρὶν ἀπὸ τὴν προσφορὰν θυσίας, ἀλλὰ μᾶς στέλλει νὰ συμφυλιωθοῦμεν μὲ τὸν ἀδελφόν μας ὅταν πλέον τὸ δῶρον εὑρίσκεται ἐμπρὸς εἰς τὸ θυσιαστήριον καὶ ἔχῃ ἀρχίσει ἡ θυσία. Καὶ δίδει ἐντολὴν νὰ τρέξωμεν ὄχι μετὰ τὴν περισυλλογὴν τοῦ δώρου μας, οὔτε πρὶν νὰ τὸ προσκομίσωμεν ἐκεῖ, ἀλλὰ ὅταν ἔχῃ ἀρχίσει ἡ θυσία.

Ἀλλὰ ποία εἶναι ἡ αἰτία καὶ ποῖος ὁ σκοπὸς ποὺ δίδει αὐτὴν τὴν ἐντολήν; Ἔχω τὴν γνώμην ὅτι μὲ αὐτὴν ὑπονοεῖ

ζων· ἓν μέν, ὅπερ ἔφην, δεῖξαι θέλων, ὅτι πολλοῦ τιμᾶται τὴν ἀγάπην, καὶ ταύτην μεγίστην ἡγεῖται εἶναι τὴν θυσίαν, καὶ ταύτης ἄνευ οὐδὲ ἐκείνην προσδέχεται· ἕτερον δέ, ἀνάγκην ἐπιτιθεὶς ἀπαραίτητον τῆς καταλλαγῆς. Ὁ γὰρ κελευσθεὶς μὴ πρότερον προσενεγκεῖν, ἕως ἂν καταλλαγῇ, κἂν μὴ διὰ τὴν πρὸς τὸν πλησίον ἀγάπην, διὰ γοῦν τὸ μὴ κεῖσθαι ἀτέλεστον, ἐπειχθήσεται δραμεῖν πρὸς τὸν λελυπημένον καὶ καταλῦσαι τὴν ἔχθραν. Διὰ τοῦτο καὶ ἐμφαντικώτατα ἅπαντα εἴρηκε, φοβῶν αὐτὸν καὶ διεγείρων. Εἰπὼν γάρ, «Ἄφες τὸ δῶρόν σου», οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν, «Ἔμπροσθεν τοῦ θυσιαστηρίου» (καὶ ἀπὸ τοῦ τόπου πάλιν εἰς φρίκην αὐτὸν ἐμβάλλων), «καὶ ἄπελθε». Καὶ οὐχ ἁπλῶς εἶπεν, «Ἄπελθε», ἀλλὰ προσέθηκε, «Πρῶτον, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου»· διὰ πάντων τούτων δηλῶν, ὅτι οὐ δέχεται τοὺς ἀπεχθῶς πρὸς ἀλλήλους ἔχοντας αὕτη ἡ τράπεζα. Ἀκουέτωσαν οἱ μεμυημένοι, ὅσοι μετὰ ἔχθρας προσέρχονται· ἀκουέτωσαν καὶ οἱ ἀμύητοι· καὶ γὰρ καὶ πρὸς τούτους ἔχει τι κοινὸν ὁ λόγος. Προσάγουσι γὰρ καὶ αὐτοὶ δῶρον καὶ θυσίαν, εὐχὴν λέγω καὶ ἐλεημοσύνην. Ὅτι γὰρ καὶ τοῦτο θυσία, ἄκουσον τί φησιν ὁ Προφήτης· «Θυσία αἰνέσεως δοξάσει με»· καὶ πάλιν, «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως»· Καί, «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή». Ὥστε κἂν εὐχήν, μετὰ τοιαύτης γνώμης προσάγῃς, βέλτιον ἀφεῖναι τὴν εὐχήν, καὶ ἐπὶ τὴν καταλλαγὴν ἐλθεῖν τοῦ ἀδελφοῦ, καὶ τότε τὴν εὐχὴν προσφέρειν. Διὰ γὰρ τοῦτο πάντα ἐγένετο· διὰ τοῦτο καὶ ὁ Θεὸς ἄνθρωπος γέγονε καὶ πάντα ἐκεῖνα ἐπραγματεύσατο, ἵνα ἡμᾶς συναγάγῃ.

Ἐνταῦθα μὲν οὖν τὸν ἠδικηκότα πέμπει πρὸς τὸν ἠδικημένον· ἐν δὲ τῇ εὐχῇ τὸν ἠδικημένον ἄγει πρὸς τὸν ἠδικηκότα

---

1. Ψαλμ. 49,23
2. Ψαλμ. 49,14
3. Ψαλμ. 140,2
4. Ἐννοεῖ τὴν προσευχὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν Κυριακὴν προσευχήν, τὸ γνωστὸν «Πάτερ ἡμῶν». Βλ. Ματθ. 6, 9 - 13.

καὶ ἐπιδιώκει δύο πράγματα· Πρῶτον μὲν διότι, ὅπως εἶπα καὶ παραπάνω, θέλει νὰ δείξῃ πόσην σημασίαν δίδει εἰς τὴν ἀγάπην καὶ ὅτι θεωρεῖ αὐτὴν ἀνωτέραν ἀπὸ κάθε ἄλλην θυσίαν καὶ ὅτι δὲν δέχεται τὴν θυσίαν, ἂν δὲν ὑπάρχῃ ἀγάπη. Καὶ δεύτερον, διὰ νὰ καταστήσῃ τὴν συμφυλίωσιν ἀπαράβατον ὅρον διὰ τὴν θυσίαν. Διότι, ἐκεῖνον ποὺ ἔλαβε τὴν ἐντολὴν νὰ μὴ προσφέρῃ θυσίαν προτοῦ νὰ συμφιλιωθῇ, ἂν δὲν τὸν ἀναγκάσῃ ἡ ἀγάπη του πρὸς τὸν πλησίον του νὰ τρέξῃ καὶ νὰ συμφιλιωθῇ μὲ ἐκεῖνον ποὺ ἐστενοχώρησε καὶ νὰ σβήσῃ τὸ μῖσος, θὰ τὸν ἀναγκάσῃ τὸ καθῆκον του νὰ ὁλοκληρώσῃ τὴν θυσίαν. Διὰ τοῦτο ὡμίλησε μὲ πολλὴν ἔμφασιν, ἐπειδὴ ἤθελε νὰ τὸν κάμῃ νὰ αἰσθανθῇ φόβον καὶ νὰ τοῦ δημιουργήσῃ κίνητρα. Ἀφοῦ εἶπε δηλαδή· «Ἄφες τὸ δῶρόν σου», δὲν ἠρκέσθη εἰς αὐτό, ἀλλὰ ἐπρόσθεσεν· «Ἔμπροσθεν τοῦ θυσιαστηρίου» (καὶ τοῦ προξενεῖ ρῖγος καὶ μὲ τὸν τόπον ἀκόμη) «καὶ ἄπελθε». Καὶ δὲν εἶπεν ἁπλῶς «Ἄπελθε», ἀλλὰ ἐπρόσθεσε· «Πρῶτον, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου», διὰ νὰ δείξῃ μὲ ὅλα αὐτά, ὅτι τὸ τραπέζι αὐτὸ δὲν δέχεται ὅσους μισοῦνται μεταξύ των. Ἂς τὸ ἀκούσουν ὅσοι μυημένοι ἔρχονται εἰς τὰς ἱεροτελεστίας μὲ μῖσος εἰς τὴν ψυχήν των. Ἂς τὸ ἀκούσουν οἱ ἀμύητοι. Διότι τὰ λόγια αὐτὰ ἀπευθύνονται καὶ εἰς αὐτούς. Διότι καὶ αὐτοὶ προσφέρουν δῶρον καὶ θυσίαν, δηλαδὴ προσευχὴν καὶ ἐλεημοσύνην. Διότι καὶ αὐτὰ εἶναι θυσία, ὅπως ἀποδεικνύεται ἀπὸ τὰ λόγια τοῦ Προφήτου· «Θυσία αἰνέσεως δοξάσει με»[1]· Καὶ ἀλλοῦ· «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως»[2]· Καί· «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή»[3]. Ἂν προσεύχεσαι ἑπομένως μὲ τέτοιαν ψυχικὴν διάθεσιν, εἶναι προτιμότερον νὰ διακόψῃς τὴν προσευχήν, νὰ τρέξῃς νὰ συμφιλιωθῇς μὲ τὸν ἀδελφόν σου καὶ κατόπιν νὰ προσευχηθῇς. Διότι ὅλα ἔγιναν δι' αὐτὸν τὸν σκοπόν. Δι' αὐτὸ ἔγινεν ὁ Θεὸς ἄνθρωπος καὶ ἐδίδαξεν ὅλην τὴν διδασκαλίαν του, διὰ νὰ σπείρῃ τὴν ἀγάπην μεταξύ μας.

Ἐδῶ λοιπὸν στέλλει ἐκεῖνον ποὺ ἠδίκησε πρὸς τὸν ἀδικημένον. Εἰς τὸ ὑπόδειγμα τῆς προσευχῆς [4], ποὺ ἔδωσε, στέλλει ἀντιθέτως τὸν ἀδικημένον πρὸς τὸν ἀδικήσαντα καὶ τοὺς συμ-

καὶ καταλλάσσει. Ἐκεῖ μὲν γάρ φησιν· Ἄφετε τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν· ἐνταῦθα δέ· Ἐὰν ἔχῃ τι κατά σοῦ, ἄπελθε πρὸς αὐτόν. Μᾶλλον δὲ κἀνταῦθα μοι δοκεῖ τὸν ἠδικημένον ἀποστέλλειν· διόπερ οὐδὲ εἶπεν, Κατάλλαξον σεαυτὸν τῷ ἀδελφῷ σου, ἀλλά, «Καταλλάγηθι»· καὶ δοκεῖ μὲν ὑπὲρ τοῦ λελυπηκότος εἶναι τὸ λεγόμενον, τὸ δὲ πᾶν ὑπὲρ τοῦ λελυπημένου ἐστίν. Ἂν γὰρ ἐκείνῳ καταλλαγῇς, φησί, διὰ τῆς εἰς ἐκεῖνον ἀγάπης καὶ ἐμὲ ἕξεις ἵλεων καὶ μετὰ πολλῆς δυνήσῃ τῆς παῤῥησίας τὴν θυσίαν προσαγαγεῖν. Εἰ δὲ φλεγμαίνεις ἔτι, ἐννόησον ὅτι κἀγὼ ἡδέως τὰ ἐμά καταφρονεῖσθαι κελεύω, ἵνα ὑμεῖς φίλοι γένησθε· καὶ ταῦτά σοι γενέσθω παραμυθία τῆς ὀργῆς. Καὶ οὐκ εἶπεν, Ὅταν τὰ μεγάλα ἠδικημένος ᾖς, τότε καταλλάγηθι· ἀλλά, Κἂν τὸ τυχὸν ἔχῃ τι κατὰ σοῦ. Καὶ οὐ προσέθηκεν, Εἴτε δικαίως, εἴτε ἀδίκως· ἀλλ' ἁπλῶς, Ἐὰν ἔχῃ τι κατὰ σοῦ. Κἂν γὰρ δικαίως, οὐδὲ οὕτως ἐπιτείνειν δεῖ τὴν ἔχθραν· ἐπεὶ καὶ ὁ Χριστὸς δικαίως ἡμῖν ὠργίζετο, ἀλλ' ὅμως ἑαυτὸν ὑπὲρ ἡμῶν ἐξέδωκεν εἰς σφαγήν, μὴ λογισάμενος ἐκεῖνα τὰ παραπτώματα.

10. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἑτέρῳ τρόπῳ πρὸς τὰς καταλλαγὰς ἐπείγων ἡμᾶς, ἔλεγεν· «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». Ὥσπερ γὰρ ἐντεῦθεν ἀπὸ τῆς θυσίας ὁ Χριστός, οὕτως ἀπὸ τῆς ἡμέρας ἐκεῖ συνωθεῖ πρὸς τὸ αὐτὸ τοῦτο ὁ Παῦλος. Καὶ γὰρ δέδοικε τὴν νύχτα, μή ποτε μόνον ἀπολαβοῦσα τὸν πεπληγότα, μεῖζον τὸ ἕλκος ἐργάσηται. Ἐν ἡμέρᾳ μὲν γὰρ πολλοὶ οἱ περισπῶντες καὶ ἀνθέλκοντες· ἐν νυκτὶ δέ, ἐπειδὰν μόνος γένηται, καὶ καθ' ἑαυτὸν ἀναλογίζηται, ὀγκοῦται τὰ κύματα, καὶ μείζων ἡ ζάλη γίνεται. Διὰ τοῦτο οὖν

1. Ματθ. 6,14
2. Ἐφ. 4,26

φιλιώνει. Διότι ἐκεῖ λέγει· Συγχωρίσατε εἰς τοὺς συνανθρώπους σας τὰς ἀδικίας ποὺ σᾶς ἔκαμαν[1]· Ἐνῷ ἐδῶ λέγῃ· Ἐὰν ἔχῃ κάποιο παράπονον ἐναντίον σου, τρέξε πρὸς αὐτόν. Νομίζω ὅμως ὅτι καὶ ἐδῶ στέλλει τὸν ἀδικημένον. Διὰ τοῦτο δὲν εἶπε· Συμφιλίωσε τὸν ἑαυτόν σου μὲ τὸν συνάνθρωπόν σου, ἀλλά· «Καταλλάγηθι»· Συμφιλιώσου. Καὶ φαίνεται ἐκ πρώτης ὄψεως ὅτι ἡ συμβουλὴ αὐτὴ ὠφελεῖ ἐκεῖνον ποὺ ἠδίκησε, εἰς τὴν πραγματικότητα ὅμως ὠφελεῖ ἀπολύτως τὸν ἀδικημένον· Διότι λέγει· Ἂν συμφιλιωθῇς μὲ ἐκεῖνον, καὶ τὴν ἰδικήν μου εὐσπλαχνίαν θὰ κερδίσῃς διὰ τῆς συμφιλιώσεως αὐτῆς καὶ θὰ ἠμπορέσῃς νὰ προσφέρῃς μὲ πολὺ θάρρος τὴν θυσίαν σου. Ἂν ἐξακολουθῇς ὅμως νὰ εἶσαι ἀκόμη ὠργισμένος, σκέψου ὅτι ἐγὼ σοῦ δίδω εὐχαρίστως ἐντολὴν νὰ ἀδιαφορήσῃς διὰ τὴν λατρείαν σου πρὸς ἐμέ, διὰ νὰ συμφιλιωθῆτε ἐσεῖς. Αὐτὰ ἂς μαλακώσουν τὴν ὀργήν σου. Καὶ δὲν εἶπε· Ὅταν ἔχῃς ἀδικηθῆ πολύ, τότε συμφιλιώσου, ἀλλά· Καὶ ἂν ἔχῃ κάτι, ἔστω καὶ τὸ παραμικρόν, ἐναντίον σου. Καὶ δὲν ἔκαμε διάκρισιν ἂν ἔχῃς δίκαιον ἢ ἄδικον, ἀλλὰ ὡμίλησε γενικῶς. Ἂν ἔχῃ κάτι ἐναντίον σου. Διότι δὲν πρέπει νὰ ἐξακολουθήσῃς νὰ μισῇς, ἔστω καὶ ἂν ἔχῃς δίκαιον. Διότι καὶ ὁ Χριστὸς εἶχε δίκαια παράπονα ἐναντίον μας, ἀλλὰ παρεδόθη καὶ ἐσταυρώθη οἰκειοθελῶς, διὰ νὰ μᾶς σώσῃ, καὶ δὲν ἔλαβεν ὑπ' ὄψιν του τὰ ἀδικήματά μας.

10. Διὰ τοῦτο ἔλεγε καὶ ὁ Παῦλος, μὲ σκοπὸν νὰ μᾶς ὁδηγήσῃ μὲ ἄλλον τρόπον εἰς τὴν συμφιλίωσιν· «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». Ὅπως δηλαδὴ ἐδῶ μᾶς παροτρύνει μὲ ὅλην του τὴν δύναμιν ὁ Χριστὸς στηριζόμενος εἰς τὴν προσφορὰν θυσίας, ἔτσι καὶ ὁ Παῦλος ἐπιδιώκει ἐδῶ τὸ ἴδιον ἀκριβῶς μὲ χρονικὸν ὅριον τὴν ἡμέραν. Διότι φοβᾶται μήπως ἡ νύκτα παρασύρῃ τὸν ἀδικημένον καὶ κάμῃ μεγαλυτέραν τὴν πληγήν του[2]. Διότι τὴν ἡμέραν τὸν ἀπασχολοῦν πολλοὶ καὶ στρέφουν τὴν προσοχήν του πρὸς διάφορα ζητήματα. Τὴν νύκτα ὅμως, ὅταν εἶναι μόνος του καὶ ἀπορροφᾶται ἀπὸ τὰς σκέψεις του, θεριεύουν τὰ κύματα καὶ μεγαλώνει ἡ σύγχυσις τῆς ψυχῆς του. Διὰ τοῦτο ἀκριβῶς θέλει νὰ προλά-

προκαταλαμβάνων ὁ Παῦλος, καταλλαγέντα βούλεται παραδοῦναι τῇ νυκτί, ἵνα μηδεμίαν ἀπὸ τῆς ἐρημίαις ἀφορμὴν ἔχῃ λοιπὸν ὁ διάβολος εἰς τὸ τὴν κάμινον ἀνάψαι τῆς ὀργῆς, καὶ ποιῆσαι σφοδροτέραν. Οὕτω καὶ ὁ Χριστὸς οὐκ ἀφίησιν οὐδὲ μικρὸν ὑπερτίθεσθαι, ἵνα μὴ τῆς θυσίας πληρωθείσης, ῥᾳθυμότερος ὁ τοιοῦτος γένηται, ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενος. Οἶδε γὰρ τὸ πάθος πολλῆς δεόμενον τῆς ταχυτῆτος· καὶ καθάπερ σοφὸς ἰατρὸς οὐ μόνον τὰ προφυλακτικὰ τῶν νοσημάτων τίθησιν, ἀλλὰ καὶ τὰ διορθωτικά· οὕτω καὶ αὐτὸς ποιεῖ. Τὸ μὲν γὰρ κωλύειν καλεῖν μωρόν, προφυλακτικόν ἐστι τῆς ἔχθρας· τὸ δέ κελεύειν καταλλαγῆναι, τῶν μετὰ τὴν ἔχθραν γινομένων νοσημάτων ἀναιρετικόν. Καὶ ὅρα πῶς ἑκάτερον μετὰ σφοδρότητος κεῖται. Ἐκεῖ μὲν γὰρ γέενναν ἠπείλησεν, ἐνταῦθα δὲ τὸ δῶρον οὐ δέχεται πρὸ τῆς καταλλαγῆς, πολλὴν ἐπιδεικνύμενος τὴν ὀργήν, καὶ διὰ πάντων τούτων καὶ τὴν ῥίζαν καὶ τὸν καρπὸν ἀναιρῶν. Καὶ πρῶτον μέν φησι, Μὴ ὀργίζου· μετὰ δὲ ταῦτα, Μὴ λοιδόρει. Καὶ γὰρ ἀμφότερα ταῦτα δι' ἀλλήλων αὔξεται· ἀπὸ τῆς ἔχθρας ἡ λοιδορία, ἀπὸ τῆς λοιδορίας ἡ ἔχθρα. Διὰ δὴ τοῦτο νῦν μὲν τὴν ῥίζαν, νῦν δὲ τὸν καρπὸν ἰᾶται· κωλύων μὲν καὶ φῦναι τὴν ἀρχὴν τὸ κακόν, ἂν δ' ἄρα βλαστήσῃ καὶ καρπὸν ἐνέγκῃ τὸν πονηρότατον, πάντοθεν αὐτὸν κατακαίων μειζόνως. Διά τοι τοῦτο καὶ κρίσιν εἰπών, καὶ συνέδριον, καὶ γέενναν, καὶ περὶ τῆς αὐτοῦ θυσίας διαλεχθείς, καὶ ἕτερα προστίθησι πάλιν οὕτω λέγων· «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ». Ἵνα γὰρ μὴ λέγῃς· Τί οὖν, ἂν ἀδικῶμαι; τί οὖν, ἂν ἁρπάζωμαι, καὶ εἰς δικαστήριον ἕλκωμαι; καὶ ταύτην ἀνεῖλε τὴν ἀφορμὴν καὶ τὴν πρόφασιν· κελεύει γὰρ μηδὲ οὕτως ἐχθραίνειν. Εἶτα, ἐπειδὴ τοῦτο μέγα ἦν τὸ ἐπίτα-

βῃ ὁ Παῦλος καὶ νὰ τὸν παραδώσῃ εἰς τὴν νύκτα συμφιλιωμένον, διὰ νὰ μὴ ἠμπορῇ πλέον ὁ διάβολος νὰ ἐκμεταλλευθῇ τὴν μοναξιάν του καὶ νὰ ἀνάψῃ τὸ καμίνι τῆς ὀργῆς καὶ νὰ τὴν κάμῃ ἀσυγκράτητην. Διὰ τοῦτο καὶ ὁ Χριστὸς δὲν τὸν ἀφήνει νὰ ἀναβάλῃ καθόλου, διὰ νὰ μὴ παραμελήσῃ περισσότερον αὐτὸ τὸ καθῆκον του μετὰ τὴν τέλεσιν τῆς θυσίας καὶ τὸ ἀναβάλλῃ ἀπὸ τῆς μιᾶς ἡμέρας εἰς τὴν ἄλλην. Διότι γνωρίζει ὅτι πρέπει νὰ σβήσῃ γρήγορα αὐτὸ τὸ πάθος. Καὶ ἐνεργεῖ καὶ αὐτὸς ὅπως ὁ καλὰ κατηρτισμένος ἰατρός, ποὺ δὲν χρησιμοποιεῖ μόνον τὰ προληπτικὰ φάρμακα, ἀλλὰ καὶ τὰ θεραπευτικά. Ἡ ἐντολὴ δηλαδὴ νὰ μὴ ἀποκαλοῦμεν κανένα ἀνόητον, εἶναι προληπτικὸν φάρμακον τοῦ μίσους, ἐνῷ ἡ ἐντολὴ νὰ συμφιλιωθοῦμεν εἶναι φάρμακον ποὺ θεραπεύει τὰς συνεπείας τῆς νόσου ποὺ λέγεται μῖσος. Καὶ πρόσεξε πόσον ἔντονα ἐκφράζει τὸ κάθε σκέλος. Ἐκεῖ δηλαδὴ ἠπείλησε μὲ αἰωνίαν τιμωρίαν, ἐνῷ ἐδῶ δὲν δέχεται τὸ δῶρον πρὶν ἀπὸ τὴν συμφιλίωσιν. Μὲ αὐτὸν τὸν τρόπον μᾶς κάμνει γνωστὸν ὅτι ἡ ὀργὴ εἶναι κάτι τὸ πολὺ σοβαρὸν καὶ φροντίζει νὰ ἐξαφανίσῃ καὶ τὰς ρίζας καὶ τὸν καρπόν της. Εἰς τὴν ἀρχὴν συμβουλεύει· Μὴ ὀργίζεσαι· Ἔπειτα λέγει· Μὴ ὑβρίζῃς. Διότι αὐτὰ τὰ δύο ἀλληλοενισχύονται. Τὸ μῖσος αὐξάνει τὰς ὕβρεις, αἱ ὕβρεις τὸ μῖσος. Διὰ τοῦτο πρασπαθεῖ νὰ θεραπεύσῃ ἀφ ἑνὸς μὲν τὴν ρίζαν, ἀφ' ἑτέρου δὲ τὸν καρπὸν καὶ θέλει νὰ ἐμποδίσῃ κατ' ἀρχὴν νὰ φυτρώσῃ τὸ κακὸν καί, ἂν φυτρώσῃ καὶ βγάλῃ τὸν ὀλέθριον καρπόν του, θέλει μέ κάθε τρόπον νὰ τὸν καύσῃ. Διὰ τοῦτο ἀσφαλῶς, ἀφοῦ ὡμίλησε περὶ μικρᾶς καὶ μεγάλης καὶ αἰωνίας τιμωρίας καθώρισεν ἀκριβέστερα τὴν προϋπόθεσιν τῆς προσφορᾶς θυσίας, ἐπρόσθεσε καὶ ἄλλα μὲ τὰ ἑξῆς λόγια· «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ». Διὰ νὰ μὴ ἐρωτᾷς· Τί θὰ κάμω λοιπὸν ἂν μὲ ἀδικοῦν. Τί θὰ κάμω ἂν μοῦ ἁρπάζουν τὰ ὑπάρχοντά μου καὶ ἂν μὲ καταγγέλουν εἰς τὸ δικαστήριον; ἐξουδετέρωσε καὶ αὐτὴν τὴν δικαολογίαν καὶ τὴν πρόφασιν. Διότι δίδει ἐντολὴν νὰ μὴ μισοῦμεν οὔτε τότε. Ἔπειτα, ἐπειδὴ αὐτὴ ἡ ἐντολὴ ἦτο πολὺ

γμα, ἀπὸ τῶν παρόντων ποιεῖται τὴν συμβουλήν, ἃ τοὺς παχυτέρους μᾶλλον τῶν μελλόντων κατέχειν εἴωθε. Τί γὰρ λέγεις; φησίν· ὅτι δυνατώτερός ἐστι καὶ ἀδικεῖ; Οὐκοῦν μᾶλλόν σε ἀδικήσει, ἐὰν μὴ καταλύσῃς, ἀλλὰ ἀναγκασθῇς εἰς δικαστήριον ἐλθεῖν. Τότε μὲν γὰρ χρημάτων ἀποστάς, τὸ σῶμα ἕξεις ἐλεύθερον· ὑπὸ δὲ τῇ ψήφῳ γενόμενος τοῦ δικαστοῦ καὶ δεσμευθήσῃ καὶ τὴν ἐσχάτην δώσεις δίκην. Ἂν δὲ φύγῃς τὴν ἐκεῖ μάχην, δύο καρπώσῃ καλά· καὶ τὸ μηδὲν παθεῖν ἀηδές καὶ τὸ σὸν γενέσθαι τὸ κατόρθωμα λοιπόν, καὶ μηκέτι τῆς ἐκείνου βίας. Εἰ δὲ οὐ βούλει πεισθῆναι τοῖς λεγομένοις, οὐκ ἐκεῖνον ἀδικεῖς τοσοῦτον, ὅσον σαυτόν. Ὅρα δὲ καὶ ἐνταῦθα πῶς αὐτὸν ἐπείγει· εἰπὼν γάρ, «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου», ἐπήγαγε, «Ταχύ»· καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ καὶ ταύτης τῆς ταχυτῆτος ἑτέραν ἐζήτησεν ἐπίτασιν, εἰπών· «Ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ»· διὰ τούτων ὠθῶν αὐτὸν καὶ κατεπείγων μετὰ πολλῆς σφοδρότητος. Οὐδὲν γὰρ οὕτω τὸν βίον ἀνατρέπει τὸν ἡμέτερον, ὡς τὸ μέλλειν καὶ ἀναβάλλεσθαι ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ. Πολλάκις γοῦν τοῦτο καὶ ἐκπεσεῖν ἡμᾶς τοῦ παντὸς ἐποίησεν. Ὥσπερ οὖν καὶ ὁ Παῦλός φησι· Πρὶν ἢ τὸν ἥλιον δῦναι, λῦσον τὴν ἔχθραν· καὶ ἐν τοῖς ἔμπροσθεν αὐτός· Πρὶν ἢ τὴν προσφορὰν ἀπαρτισθῆναι, καταλλάγηθι· οὕτω καὶ ἐνταῦθά φησι· «Ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ»· πρὶν ἐπὶ τὰς θύρας ἐλθεῖν τοῦ δικαστηρίου, πρὶν ἢ τῷ βήματι παραστῆναι καὶ γενέσθαι λοιπὸν ὑπὸ τῇ τοῦ δικάζοντος ἐξουσίᾳ. Πρὸ μὲν γὰρ τῆς εἰσόδου, σὺ κύριος εἶ τοῦ παντός· ἐὰν δὲ ἐπιβῇς ἐκείνων τῶν προθύρων, οὐδὲ σφόδρα σπουδάζων δυνήσῃ τὰ καθ' ἑαυτόν ὡς βούλει διαθεῖναι, ὑπὸ τὴν ἑτέρου γενόμενος ἀνάγκην.

Τί δέ ἐστιν, εὐνοεῖν; Ἢ τοῦτό φησιν, ὅτι Καταδέχου

1. Ἐφ. 4,26

σημαντική, παροτρύνει στηριζόμενος εἰς τὴν καθημερινὴν ζωήν, ἡ ὁποία ἐπηρεάζει συνήθως περισσότερον ἀπὸ τὴν μέλλουσαν τοὺς ἀνοητοτέρους. Τί λέγεις λοιπόν; μᾶς ἐρωτᾷ. Ὅτι ἔχει περισσοτέραν δύναμιν καὶ σὲ ἀδικεῖ; Λοιπόν, θὰ σὲ ἀδικήσῃ περισσότερον ἂν δὲν διαλύσῃς τὸ μῖσος καὶ ἀναγκασθῇς νὰ τρέχῃς εἰς τὸ δικαστήριον. Διότι τότε, ἀφοῦ πληρώσῃς χρήματα, θὰ διατηρήσῃς ἐλεύθερον τὸ σῶμα σου. Θὰ ἐξαρτᾶσαι ὅμως ἀπὸ τὴν ἀπόφασιν τοῦ δικαστοῦ, θὰ δεσμεύσῃς τὴν ψυχήν σου καὶ θὰ τιμωρηθῇς μὲ αἰωνίαν τιμωρίαν. Ἂν ἀποφύγῃς ὅμως τὸν δικαστικὸν ἀγῶνα, θὰ ἀπολαύσῃς δύο ἀγαθά· Πρῶτον δὲν θὰ πάθῃς τίποτε τὸ δυσάρεστον καὶ δεύτερον θὰ εἶναι ἰδικόν σου τὸ κατόρθωμα καὶ ὄχι τῆς ἀνάγκης, ποὺ θὰ σοῦ ἐπιβάλῃ ὁ ἀντίδικός σου. Καὶ ἂν δὲν θελήσῃς νὰ ὑπακούσῃς εἰς τὰ λόγια αὐτά, δὲν θὰ βλάψῃς βεβαίως ἐκεῖνον τόσον, ὅσον τὸν ἑαυτόν σου. Καὶ πρόσεξε πόσον τὸν πιέζει. Διότι, ἀφοῦ τοῦ εἶπεν· «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου», ἐπρόσθεσε· «Ταχύ». Καὶ δὲν ἔμεινεν ἱκανοποιημένος οὔτε μὲ αὐτό, ἀλλὰ ἐζήτησε νὰ ἐπιτύχῃ καὶ ἄλλην συντόμευσιν τῆς προθεσμίας καὶ εἶπε· «Ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ». Μὲ τὰ λόγια αὐτὰ τὸν παροτρύνει καὶ τοῦ ζητεῖ νὰ βιασθῇ πάρα πολύ. Διότι τίποτε δὲν ἐπηρεάζει δυσμενῶς τὴν ζωήν μας τόσον, ὅσον ἡ βραδύτης καὶ ἡ ἀναβολὴ ἐκτελέσεως τῶν καλῶν πράξεων. Αὐτὰ μᾶς ἔκαμαν πολλὲς φορὲς νὰ χάσωμεν τὰ πάντα. Ὅπως λοιπὸν λέγει καὶ ὁ Παῦλος· Ἐξηφάνισε τὸ μῖσος, προτοῦ νὰ δύσῃ ὁ ἥλιος[1]. Καὶ παραπάνω ὁ Χριστός· Συμφιλιώσου, προτοῦ νὰ τελειώσῃ ἡ θυσία· ἔτσι καὶ ἐδῶ λέγει· «Ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ». Προτοῦ νὰ φθάσῃς εἰς τὴν πόρταν τοῦ δικαστηρίου, προτοῦ νὰ σταθῇς ἐμπρὸς ἀπὸ τὴν ἕδραν τοῦ δικαστοῦ καὶ νὰ εὑρεθῇς πλέον κάτω ἀπὸ τὴν ἐξουσίαν τοῦ δικαστοῦ. Διότι ὅλη ἡ ἐξουσία ἀνήκει εἰς ἐσένα, προτοῦ νὰ εἰσέλθῃς εἰς τὸ δικαστήριον. Μόλις διαβῇς ὅμως τὴν ἐξώθυραν, δὲν θὰ κατορθώσῃς, ὅσον καὶ ἂν προσπαθήσῃς, νὰ ρυθμίσῃς ὅπως θέλεις τὰς ὑποθέσεις σου, διότι θὰ εὑρίσκεσαι ὑπὸ τὴν ἐξουσίαν ἄλλου.

Ἀλλὰ τί σημαίνει τὸ ρῆμα εὐνοῶ; Σημαίνει τὸ ἑξῆς· Προ-

μᾶλλον ἀδικεῖσθαι· ἢ Οὕτω δίκασον τῇ δίκῃ, ὡσανεὶ τὴν ἐκείνου τάξιν ἔχων· ἵνα μὴ τῇ φιλαυτίᾳ τὸ δίκαιον διαφθείρῃς, ἀλλ' ὡς περὶ οἰκείου τοῦ ἀλλοτρίου βουλευόμενος πράγματος, ἵνα ταύτην ἐξενέγκῃς τὴν ψῆφον. Εἰ δὲ μέγα τοῦτο, μὴ θαυμάσῃς. Διὰ γὰρ τοῦτο πάντας ἐκείνους ἔθηκε τοὺς μακαρισμούς, ἵνα προλεάνας καὶ προπαρασκευάσας τοῦ ἀκροατοῦ τὴν ψυχήν, ἐπιτηδειοτέραν ἐργάσηται πρὸς τὴν ὑποδοχὴν τῆς νομοθεσίας ταύτης ἁπάσης.

11. Τινὲς μὲν οὖν τὸν διάβολον αὐτὸν αἰνίττεσθαί φασι τῇ τοῦ ἀντιδίκου προσηγορίᾳ καὶ κελεύειν μηδὲν ἔχειν τῶν ἐκείνου· τοῦτο γὰρ εἶναι τὸ εὐνοεῖν αὐτῷ· ὡς οὐκ ἐνὸν διαλύσασθαι μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν, τῆς ἀπαραιτήτου λοιπὸν ἡμᾶς ἐκδεχομένης κολάσεως. Ἐμοὶ δὲ περὶ τῶν ἐνταῦθα δοκεῖ λέγειν δικαστῶν, καὶ τῆς ἐπὶ τὸ δικαστήριον ὁδοῦ, καὶ τοῦ δεσμωτηρίου τούτου. Ἐπειδὴ γὰρ ἀπὸ τῶν ὑψηλοτέρων ἐνέτρεψε καὶ τῶν μελλόντων, καὶ ἀπὸ τῶν ἐν τῷ παρόντι βίῳ φοβεῖ. Ὅπερ οὖν καὶ ὁ Παῦλος ἐργάζεται, ἀπό τε τῶν μελλόντων, ἀπό τε τῶν παρόντων ἐνάγων τὸν ἀκροατήν. Οἷον ὡς ὅταν ἀπάγων κακίας, τὸν ἄρχοντα ὁπλιζόμενον δεικνύῃ τῷ πονηρευομένῳ, οὕτω λέγων· «Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστι»[1]. Καὶ πάλιν ὑποτάσσεσθαι κελεύων αὐτῷ, οὐ τὸν τοῦ Θεοῦ φόβον τίθησι μόνον, ἀλλὰ καὶ τὴν ἀπειλὴν τὴν ἐκείνου καὶ τὴν κηδεμονίαν· «Ἀνάγκη γὰρ ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ καὶ διὰ τὴν συνείδησιν»[2]. Τοὺς γὰρ ἀλογωτέρους, ὅπερ ἔφθην εἰπών, ταῦτα μᾶλλον εἴωθε διορθοῦν, τὰ φαινόμενα καὶ παρὰ πόδας. Διὸ καὶ ὁ Χριστὸς οὐ γεέννης μόνον ἐμνημόνευσεν, ἀλ-

1. Ρωμ. 13,4
2. Ρωμ. 13,5

τίμησε νὰ ἀδικῆσαι. Ἢ τοῦτο· Πάρε ἐσὺ τὴν ἀπόφασιν, τὴν ὁποίαν θὰ ἔπαιρνες ἂν ἤσουν δικαστής, διὰ νὰ μὴ παραβιάσῃς μὲ τὴν μεροληψίαν σου διὰ τὸν ἑαυτόν σου τὸ δίκαιον, ἀλλὰ νὰ κρίνῃς τὰς ἀπόψεις τοῦ ἀντιπάλου σου ὡσὰν νὰ ἦσαν ἰδικαί σου, ὥστε νὰ ἐκδώσῃς αὐτὴν τὴν ἀπόφασιν. Καὶ μὴ χάσῃς τὴν ψυχραιμίαν σου, ἐπειδὴ σοῦ ζητεῖται κάτι τὸ πρωτοφανές. Διότι αὐτὸς εἶναι ὁ λόγος ποὺ εἶπεν ὅλους ἐκείνους τοὺς μακαρισμούς, νὰ προλειάνῃ καὶ νὰ προετοιμάσῃ τὴν ψυχὴν τῶν ἀκροατῶν, ὥστε νὰ τὴν κάμῃ ἱκανωτέραν νὰ ἀσπασθῇ ὅλας ἀνεξαιρέτως τὰς ἐντολὰς ἐκείνας.

11. Μερικοὶ λέγουν ὅτι, μὲ τὴν λέξιν ἀντίδικος, ἐννοεῖ τὸν διάβολον καὶ μᾶς δίδει ἐντολὴν νὰ μὴ ἔχωμεν καμμίαν ἀπὸ τὰς ἰδιότητάς του. Διότι αὐτὸ σημαίνει ἡ ἐντολὴ νὰ λαμβάνωμεν καλὴν στάσιν ἀπέναντί του. Διότι δὲν μᾶς εἶναι δυνατὸν νὰ διαλύσωμεν τὰς σχέσεις μας μετὰ τὴν ἀναχώρησίν μας ἀπὸ τὸν κόσμον αὐτὸν καὶ μᾶς περιμένει πλέον ἡ ἀναπόφευκτη τιμωρία. Ἐγὼ ὅμως ἔχω τὴν γνώμην ὅτι ἐννοεῖ τοὺς δικαστὰς αὐτοῦ τοῦ κόσμου καὶ τὴν προσφυγήν μας εἰς τὸ δικαστήριον καὶ τὰς φυλακὰς αὐτοῦ τοῦ κόσμου. Ἀφοῦ μᾶς ἔκαμε δηλαδὴ νὰ σκεφθοῦμεν τὰ ὑψηλότερα καὶ τὰ μέλλοντα, μᾶς φοβερίζει καὶ μὲ τὰ ἐγκόσμια. Αὐτὸ ἀκριβῶς κάμνει καὶ ὁ Παῦλος· καὶ συμβουλεύει τοὺς ἀκροατάς του μὲ ἐπιχειρήματα καὶ ἀπὸ τὴν μέλλουσαν καὶ ἀπὸ τὴν παροῦσαν ζωήν. Ὅπως π.χ. ὅταν προσπαθῇ νὰ τὸν ἀποτρέψῃ ἀπὸ κακοργήματα καὶ ὑπενθυμίζῃ εἰς τὸν ἐπίβουλον ὅτι ὁ ἄρχων εἶναι ὡπλισμένος. Λέγει· «Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστι»[1]. Καὶ ὅταν πάλιν τὸν συμβουλεύῃ νὰ πειθαρχῇ εἰς τὰς διαταγὰς τοῦ ἄρχοντος, δὲν τοῦ ὑπενθυμίζει μόνον τὸν φόβον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὴν δύναμιν καὶ τοὺς φρουρούς του· «Ἀνάγκη γὰρ ὑποτάσσεσθαι οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν»[2]. Διότι, ὅπως εἶπα καὶ παραπάνω, τοὺς ἀνοητοτέρους τοὺς φρονηματίζουν συνήθως περισσότερον αὐτά, δηλαδὴ ὅσα βλέπουν καὶ ὅσα συμβαίνουν ἐνώπιόν των. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἀνέφερεν ὄχι μόνον τὴν

λὰ καὶ δικαστηρίου καὶ ἀπαγωγῆς καὶ δεσμωτηρίου καὶ τῆς ἐκεῖ ταλαιπωρίας ἁπάσης, διὰ πάντων τούτων τὰς ῥίζας ἀναιρῶν τοῦ φόνου. Ὁ γὰρ μήτε λοιδορούμενος, μήτε δικαζόμενος, μήτε ἔχθραν ἐκείνων, πῶς φονεύσει ποτέ; Ὥστε κἀντεῦθεν δῆλον, ὅτι ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ ἡμέτερον κεῖται συμφέρον. Ὁ γὰρ τῷ ἀντιδίκῳ εὐνοῶν, πολλῷ μεῖζον ἑαυτὸν ὠφελήσει, δικαστηρίων καὶ δεσμωτηρίων καὶ τῆς ἐκεῖ ταλαιπωρίας ἑαυτὸν ἀπαλλάττων. Πεισώμεθα τοίνυν τοῖς λεγομένοις, καὶ μὴ ἀντιτείνωμεν, μηδὲ ἀντιφιλονεικῶμεν· μάλιστα μὲν γὰρ καὶ πρὸ τῶν ἐπάθλων ἐν ἑαυτοῖς ἔχει τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν τὰ ἐπιτάγματα ταῦτα. Εἰ δὲ τοῖς πολλοῖς ἐπαχθῆ εἶναι δοκεῖ, καὶ πολὺν παρέχειν τὸν πόνον, ἐννόησον ὅτι διὰ τὸν Χριστὸν ταῦτα ποιεῖς καὶ τὸ λυπηρὸν ἔσται ἡδύ. Ἐὰν γὰρ τὸν λογισμὸν τοῦτον ἔχωμεν διαπαντός, οὐδενὸς πειρασόμεθα φορτικοῦ, ἀλλὰ πολλὴν πάντοθεν καρπωσόμεθα τὴν ἡδονήν. Ὁ γὰρ πόνος οὐκέτι πόνος φανεῖται, ἀλλ' ὅσῳπερ ἂν ἐπιτείνηται, τοσούτῳ γλυκύτερος καὶ ἡδίων γίνεται.

Ὅταν τοίνυν ἐπιμένῃ ἡ συνήθειά σε τῶν κακῶν γοητεύουσα καὶ ἡ τῶν χρημάτων ἐπιθυμία, ἀντιστράτευσον αὐτῇ τὸν λογισμὸν ἐκεῖνον τὸν λέγοντα, ὅτι πολὺν ληψόμεθα τὸν μισθόν, τῆς προσκαίρου καταφρονήσαντες ἡδονῆς· καὶ εἰπὲ πρὸς τὴν ψυχήν· Πάνυ ἀθυμεῖς, ὅτι σε ἡδονῆς ἀποστερῶ; ἀλλ' εὐφραίνου, ὅτι σοι τὸν οὐρανὸν προξενῶ. Οὐ δι' ἄνθρωπον ποιεῖς, ἀλλὰ διὰ τὸν Θεόν. Ἀνάσχου τοίνυν μικρὸν καὶ ὄψει τὸ κέρδος ἡλίκον· καρτέρησον κατὰ τὸν παρόντα βίον, καὶ λήψῃ παῤῥησίαν ἄφατον. Ἂν γὰρ τοιαῦτα αὐτῇ διαλεγώμεθα καὶ μὴ μόνον τὸ φορτικὸν ἐννοῶμεν τῆς ἀρετῆς, ἀλλὰ καὶ τὸν ἐξ αὐτῆς

αἰωνίαν κόλασιν, ἀλλὰ καὶ τὸ δικαστήριον καὶ τὴν προσαγωγὴν εἰς αὐτὸ καὶ τὴν φυλάκισιν καὶ ὅλας τὰς ταλαιπωρίας ποὺ τὴν συνοδεύουν, διότι ἤθελε μὲ ὅλα αὐτὰ νὰ ἐξαφανίσῃ τὰς ρίζας τοῦ φόνου. Διότι πῶς εἶναι δυνατὸν νὰ φονεύσῃ ποτὲ ἐκεῖνος ποὺ δὲν ὑβρίζεται οὔτε ὁδηγεῖται εἰς τὸ δικαστήριον οὔτε διατηρεῖ τὸ μῖσος; Ὥστε ἀποδεικνύεται καὶ ἀπὸ αὐτὰ ὅτι τὸ συμφέρον τῶν συνανθρώπων μας εἶναι καὶ ἰδικόν μας συμφέρον. Ὅποιος ἑπομένως ἐνεργεῖ μὲ συγκατάβασιν διὰ τὸν ἀντίδικόν του, θὰ ὠφελήσῃ πολὺ περισσότερον τὸν ἑαυτόν του, διότι τὸν ἀπαλλάσσει ἀπὸ δικαστήρια καὶ ἀπὸ φυλακίσεις καὶ ἀπὸ τὰς ταλαιπωρίας ποὺ τὰ συνοδεύουν. Ἂς ὑπακούωμεν λοιπὸν εἰς τὰς ἐντολὰς καὶ ἂς μὴ ἀντιδροῦμεν, οὔτε νὰ ἀλληλομισούμεθα, ἀφοῦ μάλιστα αὐταὶ αἱ ἐντολαί, ἐκτὸς ἀπὸ τὰς ἄλλας ἀμοιβάς, συνοδεύονται αὐτομάτως ἀπὸ ψυχικὴν ἀπόλαυσιν καὶ ὠφέλειαν. Ἂν θεωροῦνται ὅμως ἀπὸ τοὺς πολλοὺς δυσβάστακτοι καὶ πολὺ κοπιαστικαί, λάβε ὑπ' ὄψιν σου ὅτι τὰς ἐκτελεῖς πρὸς χάριν τοῦ Χριστοῦ, καὶ θὰ μεταβληθῇ ἀμέσως τὸ δυσάρεστον εἰς εὐχάριστον. Καὶ ἂν ἔχωμεν αὐτὸ πάντοτε εἰς τὸν νοῦν μας, δὲν θὰ δοκιμάσωμεν ποτὲ καμμίαν στενοχωρίαν, ἀλλὰ θὰ ἀπολαύσωμεν ἀπὸ τὸ κάθε τι πολλὴν ἀγαλλίασιν. Διότι ὁ πόνος δὲν θὰ μᾶς φαίνεται πλέον πόνος, ἀλλά, ὅσον θὰ γίνεται ἐντονώτερος, τόσον θὰ εἶναι γλυκύτερος καὶ περισσότερον εὐχάριστος.

Ὅταν λοιπὸν ἐπιμένουν αἱ κακαὶ ἕξεις καὶ ἡ φιλαργυρία νὰ σὲ ἔχουν δοῦλον των, ἐπιστρέτευσε ἐναντίον των αὐτὴν τὴν σκέψιν, τὴν ὑπόσχεσιν ὅτι θὰ ἀμειφθοῦμεν μὲ μεγάλην ἀμοιβὴν ἂν περιφρονήσωμεν τὰς ἀπολαύσεις τοῦ κόσμου τούτου. Καὶ νὰ εἰπῇς εἰς τὴν ψυχήν σου. Στενοχωρεῖσαι πολύ, διότι σοῦ στερῶ τὰς ἀπολαύσεις; Νὰ χαίρῃς, διότι σὲ ἑτοιμάζω νὰ χαρῇς τὰ ἀγαθὰ τοῦ οὐρανοῦ. Δὲν ὑποφέρεις πρὸς χάριν ἀνθρώπων, ἀλλὰ πρὸς χάριν τοῦ Θεοῦ. Κάμε λοιπὸν ὀλίγην ὑπομονὴν καὶ θὰ ἰδῇς πόσα θὰ κερδίσῃς. Δεῖξε ἀντοχὴν εἰς τὴν παροῦσαν ζωὴν καὶ θὰ ἀμειφθῇς μὲ ἄπειρην ἐλευθερίαν. Διότι, ἂν τῆς αναπτύσσωμεν αὐτὰ τὰ ἐπιχειρήματα καὶ δὲν ἔχωμεν εἰς τὸν νοῦν

λογιζώμεθα στέφανον, ταχέως αὐτὴν κακίας ἀποστήσομεν ἁπάσης. Εἰ γὰρ ὁ διάβολος, δεικνὺς τὸ μὲν ἡδὺ πρόσκαιρον, τὸ δὲ ὀδυνηρὸν διηνεκές, ὅμως ἰσχύει καὶ περιγίνεται, ὅταν ἀντιστρόφως παρ' ἡμῖν ταῦτα γένηται, τὸ μὲν ἐπίπονον, πρόσκαιρον, τὸ δὲ ἡδὺ καὶ χρήσιμον, ἀθάνατον, τίς ἡμῖν ἔσται λόγος μὴ μετιοῦσιν ἀρετὴν μετὰ τοσαύτην παραμυθίαν; Ἀρκεῖ γὰρ ἡμῖν ἀντὶ πάντων ἡ τῶν πόνων ὑπόθεσις, καὶ τὸ πεπεῖσθαι σαφῶς ὅτι διὰ τὸν Θεὸν ὑπομένομεν ταῦτα πάντα. Εἰ γὰρ τὸν βασιλέα ἔχων τις ὀφειλέτην, ἀρκοῦσαν εἰς πάντα νομίζει τὸν βίον ἀσφάλειαν ἔχειν· ἐννόησον ἡλίκος ἔσται ὁ τὸν φιλάνθρωπον καὶ ἀεὶ ζῶντα Θεὸν καὶ μικρῶν καὶ μεγάλων κατορθωμάτων χρεώστην ἑαυτῷ καταστήσας.

Μὴ τοίνυν προβάλλου μοι πόνους καὶ ἱδρῶτας· οὐδὲ γὰρ τῇ τῶν μελλόντων ἐλπίδι μόνον, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ κούφην τὴν ἀρετὴν ἐποίησεν ὁ Θεός, συνεφαπτόμενος ἡμῖν πανταχοῦ καὶ συναντιλαμβανόμενος. Κἂν βουληθῇς μόνον ὀλίγην εἰσενεγκεῖν προθυμίαν, τὰ ἄλλα πάντα ἕπεται. Διὰ γὰρ τοῦτο βούλεται καὶ σὲ μικρὰ πονεῖν, ἵνα καὶ σὴ ἡ νίκη γένηται. Καὶ καθάπερ βασιλεὺς βούλεται μὲν τὸν ἑαυτοῦ παῖδα παρεῖναι ἐπὶ τῆς παρατάξεως καὶ φαίνεσθαι, ὥστε αὐτῷ λογισθῆναι τὸ τρόπαιον, τὸ δὲ πᾶν αὐτὸς ἀνύει, οὕτω καὶ ὁ Θεὸς ἐν τῷ πολέμῳ τῷ κατὰ τοῦ διαβόλου ποιεῖ. Ἓν γὰρ ἀπαιτεῖ παρὰ σοῦ μόνον, ὥστε ἔχθραν πρὸς ἐκεῖνον ἐπιδείξασθαι γνησίαν· κἂν ταῦτα αὐτῷ παράσχῃς, αὐτὸς πάντα ἀνύει τὸν πόλεμον. Κἂν ὀργὴ φλέγῃ, κἂν χρημάτων ἐπιθυμία, κἂν ὁτιοῦν ἕτερον πάθος τυραννικόν, παραγίνεται ταχέως, ἂν ἴδῃ σε μόνον πρὸς αὐτὸν ἀποδυόμενον καὶ παρεσκευασμένον, καὶ ῥᾴδια πάντα ποιεῖ καὶ ἀνώτερον ἵστησι τῆς φλογός, καθάπερ τοὺς παῖδας τότε ἐκείνους

μας μόνον τοὺς κόπους ποὺ ἀπαιτεῖ ἡ ἐνάρετη ζωή, ἀλλὰ συλλογιζώμεθα καὶ τὴν ἀμοιβὴν ποὺ θὰ μᾶς προσφέρῃ, θὰ τὴν ἀπομακρύνωμεν ἀμέσως ἀπὸ κάθε κακίαν. Ἀφοῦ ὁ διάβολος, ποὺ μᾶς προσφέρει τὴν πρόσκαιρον ἡδονὴν καὶ τὸν αἰώνιον πόνον, κατορθώνει νὰ μᾶς καταδυναστεύῃ καὶ νὰ μᾶς κυβερνᾷ, ποίαν δικαιολογίαν θὰ ἔχωμεν νὰ μὴ ἀσκοῦμεν τὴν ἀρετὴν μετὰ ἀπὸ τόσην ἐνθάρρυνσιν, ὅταν δηλαδὴ μᾶς συμβαίνῃ τὸ ἀντίθετον καὶ εἴμεθα βέβαιοι ὅτι προσωρινὸν θὰ εἶναι τὸ δυσάρεστον καὶ αἰώνιον τὸ εὐχάριστον καὶ ὠφέλιμον; Διότι εἶναι ἀρκετὸν νὰ προτιμήσωμεν τὴν ἐπίπονον ζωὴν καὶ νὰ ἔχωμεν ἀκλόνητον τὴν πεποίθησιν ὅτι ὑποφέρομεν πρὸς χάριν τοῦ Θεοῦ. Ἀφοῦ ἐκεῖνος, ποὺ εἶναι δανειστὴς τοῦ βασιλέως, πιστεύει ὅτι εἶναι ἐξησφαλισμένος εἰς ὅλην του τὴν ζωήν, σκέψου πόσην ἀσφάλειαν θὰ αἰσθάνεται ἐκεῖνος ποὺ ἔχει δανείσει εἰς τὸν φιλάνθρωπον καὶ ἀθάνατον Θεὸν μικρὰ καὶ μεγάλα ἀγαθὰ ἔργα.

Μὴ ἐπιστρατεύῃς λοιπόν, σὲ παρακαλῶ, ὡς δικαιολογίαν τοὺς κόπους καὶ τοὺς ἱδρῶτας σου. Διότι ὁ Θεὸς ἔκαμεν εὔκολην τὴν ἄσκησιν τῆς ἀρετῆς ὄχι μόνον ἐπειδὴ μᾶς ἔδωσεν ἐλπίδας διὰ τὴν μέλλουσαν ζωήν, ἀλλὰ καὶ μὲ ἄλλον τρόπον, μὲ τὴν συνεχῆ συμπαράστασιν καὶ βοήθειάν του. Ἂν θελήσῃς ἑπομένως νὰ συνεισφέρῃς καὶ σὺ μόνον ὀλίγην προθυμίαν, ὅλα τὰ ἄλλα θὰ ἀκολουθήσουν. Ἐπιθυμεῖ νὰ καταβάλῃς καὶ σὺ ὀλίγον κόπον, διὰ τὸν ἑξῆς λόγον. Διὰ νὰ εἶναι ἰδική σου ἡ νίκη. Καὶ ὅπως θέλει ὁ βασιλεὺς νὰ παρευρίσκεται ὁ υἱός του εἰς τοὺς πολέμους καὶ νὰ τὸν βλέπουν ὅλοι, νὰ θεωρηθῇ ἰδική του ἡ νίκη, ἐκτελεῖ ὅμως ὁ ἴδιος τὰ πάντα, ἔτσι ἐνεργεῖ καὶ ὁ Θεὸς εἰς τὸν ἀγῶνα κατὰ τοῦ διαβόλου. Ἀπὸ ἐσένα δηλαδὴ ἀπαιτεῖ τοῦτο μόνον, νὰ δείξῃς ὅτι μισεῖς εἰλικρινῶς τὸν διάβολον. Καὶ ἂν ἐσὺ τοῦ προσφέρῃς αὐτό, διεξάγει ἐκεῖνος ὅλον τὸν πόλεμον. Ἂν καίῃ τὴν ψυχήν σου ἡ ὀργή ἢ ἡ φιλαργυρία ἢ ὁποιονδήποτε ἄλλο ἰσχυρὸν πάθος, τρέχει ἀμέσως κοντά σου, ἂν σὲ ἰδῇ νὰ γυμνάζεσαι καὶ νὰ εἶσαι ἕτοιμος νὰ ἀγωνισθῇς μόνος σου κατὰ τοῦ διαβόλου, καὶ καθιστᾷ τὰ πάντα εὔκολα καὶ σὲ κάμνει δυνατώτερον ἀπὸ τὴν φωτιάν, ὅπως ἀκρι-

ἐπὶ τῆς Βαβυλωνίας καμίνου· καὶ γὰρ ἐκεῖνοι πλέον οὐδὲν τῆς γνώμης εἰσήνεγκαν. Ἵν' οὖν καὶ ἡμεῖς πᾶσαν κάμινον ἡδονῆς ἀτάκτου καταλύσαντες ἐνταῦθα, τὴν ἐκεῖ διαφύγωμεν γέενναν, ταῦτα καθ' ἑκάστην ἡμέραν καὶ βουλευώμεθα καὶ μεριμνῶμεν καὶ πράττωμεν, τῇ τε περὶ τὰ ἀγαθὰ προθέσει καὶ ταῖς πυκναῖς εὐχαῖς τοῦ Θεοῦ τὴν εὔνοιαν ἐπισπώμενοι. Οὕτω γὰρ καὶ τὰ δοκοῦντα ἀφόρητα εἶναι νῦν, ῥᾷστα ἔσται καὶ κοῦφα καὶ ἐπέραστα. Ἕως μὲν γὰρ ἂν ἐν τοῖς πάθεσιν ὦμεν, τραχεῖαν καὶ δύσκολον καὶ ἀνάντη τὴν ἀρετὴν εἶναι νομίζομεν, τὴν δὲ κακίαν ποθεινὴν καὶ ἡδίστην· ἂν δὲ μικρὸν ἀποστῶμεν τούτων, τότε κἀκείνη φανεῖται βδελυρὰ καὶ δυσειδής, καὶ αὕτη ῥᾳδία καὶ εὔκολος καὶ ποθεινή. Καὶ ταῦτα ἐκ τῶν κατωρθωκότων ἔστι σαφῶς μαθεῖν. Ἄκουσον γοῦν πῶς ὁ Παῦλος ἐκεῖνα μὲν καὶ μετὰ τὴν ἀπαλλαγὴν αἰσχύνεται λέγων· «Τίνα γὰρ καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;»· ταύτην δὲ καὶ μετὰ τὸν πόνον κούφην εἶναί φησι, τὸ ἐπίπονον τῆς θλίψεως παραυτίκα καὶ ἐλαφρὸν καλῶν, καὶ χαίρων ἐν τοῖς παθήμασι, καὶ ἀγαλλόμενος ἐν ταῖς θλίψεσι, καὶ μέγα φρονῶν ἐπὶ τοῖς στίγμασι τοῖς διὰ Χριστόν.

Ἵν' οὖν καὶ ἡμεῖς ἐν ταύτῃ καταστῶμεν τῇ ἕξει, τοῖς εἰρημένοις καθ' ἑκάστην ἡμέραν ἑαυτοὺς ῥυθμίζοντες καὶ τῶν ὄπισθεν ἐπιλανθανόμενοι, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, διώκωμεν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ρωμ. 6,21
2. Β' Κορ. 4,17
3. Κολ. 1,24
4. Ρωμ. 5,3
5. Γαλ. 6,17

βῶς ἔκαμε τὰ γνωστὰ ἐκεῖνα παιδιὰ ἐπάνω εἰς τὸ καμίνι τῆς Βαβυλῶνος. Διότι καὶ ἐκεῖνοι δὲν ἐπρόσφεραν τίποτε ἄλλο, ἐκτὸς ἀπὸ τὴν πίστιν των. Διὰ νὰ σβήσωμεν λοιπὸν καὶ ἐμεῖς εἰς τὴν ἐγκόσμιον ζωὴν τὴν φλόγα κάθε ἀνηθίκου ἡδονῆς καὶ νὰ ἀποφύγωμεν τὴν αἰωνίαν κόλασιν, ἂς κυριαρχοῦν καθημερινῶς εἰς τὴν ψυχήν μας καὶ εἰς τὴν σκέψιν μας καὶ εἰς τὰς ἐνεργείας μας αὐταὶ αἱ ἐντολαί, καὶ ἂς κερδίζωμεν μὲ τὰς ἀγαθὰς προθέσεις μας καὶ μὲ τὰς συχνὰς προσευχάς μας τὴν ἀγάπην τοῦ Θεοῦ. Διότι κατ' αὐτὸν τὸν τρόπον θὰ μεταβληθοῦν εἰς εὐκολώτατα καὶ ἀνακουφιστικὰ καὶ ἀξιαγάπητα ὅσα μᾶς φαίνονται τώρα ὅτι εἶναι ἀνυπόφορα. Διότι, ὅσον καιρὸν μᾶς κυβερνοῦν τὰ πάθη, νομίζομεν ὅτι ὁ δρόμος τῆς κακίας εἶναι ἑλκυστικὸς καὶ πολὺ εὐχάριστος. Ἂν ἀποτινάξωμεν ὅμως ἔστω καὶ ὀλίγον τὸν ζυγόν των, ἀμέσως ὁ δρόμος τῆς κακίας θὰ μᾶς φανῇ ἐλεεινὸς καὶ ἀποκρουστικὸς καὶ ὁ δρόμος τῆς ἀρετῆς εὐχάριστος καὶ εὔκολος καὶ ἀξιαγάπητος. Αὐτὰ ἠμπορεῖς νὰ τὰ διαπιστώσῃς μετὰ βεβαιότητος, ἂν ἐξετάσῃς ἐκείνους ποὺ ἠγωνίσθησαν καὶ ἐνίκησαν. Ἄκουσε λοιπὸν πόσον ἐντρέπεται νὰ ὁμιλῇ διὰ τὸν δρόμον τῆς κακίας καὶ μετὰ τὴν ἀπομάκρυνσιν ἀπὸ αὐτόν· «Τίνα γὰρ καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;»[1]. Διὰ τὸν δρόμον ὅμως τῆς ἀρετῆς λέγει ὅτι ἀνακουφιζόμεθα ἀμέσως μετὰ ἀπὸ τὴν κούρασιν, καὶ θεωρεῖ συγχρόνως ὡς ἀνακούφισιν τὰς ταλαιπωρίας τῆς δύσκολης ζωῆς[2], καὶ ἀντιμετωπίζει μὲ χαρὰν τὰς συμφορὰς[3] καὶ αἰσθάνεται ἀγαλλίασιν καὶ διὰ τὰς θλίψεις[4], καὶ ὑπερηφανεύεται διὰ τὰ σημάδια τῶν πληγῶν ποὺ τοῦ ἔκαμαν διὰ τὴν πίστιν του εἰς τὸν Χριστόν[5].

Ἂς ἐπιδιώκωμεν λοιπὸν καὶ ἐμεῖς νὰ μᾶς ἀπονεμηθῇ τὸ βραβεῖον τῆς προσκλήσεώς μας εἰς τοὺς οὐρανούς, διὰ νὰ αἰσθανθῶμεν ὅ,τι καὶ ὁ Παῦλος, ἂς συμμορφωνώμεθα καθημερινῶς πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου, ἂς λησμονοῦμεν τὰ περασμένα καὶ ἂς εἶναι ἐστραμμένη ἡ προσοχὴ καὶ ἡ προσπάθειά μας πρὸς τὸ μέλλον. Εὔχομαι νὰ τὸ ἐπιτύχωμεν ὅλοι ἐμεῖς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου ἡ δόξα καὶ ἡ δύναμις εἶναι αἰωνία. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΖ΄.

Ματθ. 5, 27 - 37

«Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ μοιχεύσεις. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέπων γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ».

1. Ἀπαρτίσας τοίνυν τὴν προτέραν ἐντολήν, καὶ εἰς ἄκρον φιλοσοφίας αὐτὴν ἐκτείνας, ὁδῷ καὶ τάξει προβαίνων λοιπὸν πρόεισιν ἐπὶ τὴν δευτέραν, κἀνταῦθα τῷ νόμῳ πειθόμενος. Καὶ μὴν οὐ δευτέρα αὕτη, φησίν, ἀλλὰ τρίτη. Οὐ γὰρ προτέρα ἐστιν, «Οὐ φονεύσεις», ἀλλά, «Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι». Διὸ καὶ ζητῆσαι ἄξιον, τίνος ἕνεκεν οὐκ ἐκεῖθεν ἤρξατο. Τίνος οὖν ἕνεκεν; Ὅτι ἀρχόμενον ἐκεῖθεν, ἔδει καὶ αὐτὴν αὐξῆσαι, καὶ ἑαυτὸν συνεισαγαγεῖν. Οὔπω δὲ καιρὸς ἦν περὶ ἑαυτοῦ διδάσκειν τι τοιοῦτον. Ἄλλως δὲ καὶ τὸν ἠθικὸν τέως ἐγύμναζε λόγον, ἐντεῦθεν βουλόμενος πρῶτον καὶ ἐκ τῶν θαυμάτων πεῖσαι τοὺς ἀκούοντας, ὅτι Υἱὸς ἦν τοῦ Θεοῦ. Τὸ μὲν οὖν εὐθέως, πρὶν ἤ τι φθέγξασθαι καὶ ποιῆσαι, λέγειν· Ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Ἐγὼ Κύριος ὁ Θεός σου, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν ἄλλος· ἐγὼ δὲ λέγω ὑμῖν, καὶ ἐμὲ προσκυνεῖν, ὡς ἐκεῖνον· ἐποίει πάντας ὡς μαινομένῳ προσέχειν αὐτῷ. Εἰ γὰρ καὶ μετὰ τὴν διδασκαλίαν καὶ τὰ τοσαῦτα σημεῖα, οὐδέπω φανερῶς αὐτοῦ τοῦτο λέγοντος, δαιμονῶντα ἐκάλουν· εἰ πρὸ τούτων ἁπάντων ἐπεχείρησέ τι τοιοῦτον εἰπεῖν, τί οὐκ ἂν εἶπον; τί οὐκ ἂν ἐνενόησαν; Τῷ δὲ ἐν καιρῷ τῷ προσήκοντι τὴν περὶ τούτων

---

1. Δευτ. 6,4.
2. Ἰω. 8,5 - 10,20

ΟΜΙΛΙΑ ΙΖ'
Ματθ. 5, 27 - 37

«Ἠκούσατε ὅτι ἔχει λεχθῇ εἰς τοὺς ἀρχαίους· Μὴ μοιχεύσῃς. Ἐγὼ ὅμως σᾶς λέγω, ὅτι κάθε ἄνθρωπος ποὺ βλέπει μίαν γυναῖκα καὶ τὴν ἐπιθυμεῖ, ἤδη διέπραξε μὲ αὐτὴν μοιχείαν μέσα εἰς τὴν καρδίαν του».

1. Ἀφοῦ συνεπλήρωσε τὴν ἀνάπτυξιν τῆς προηγουμένης ἐντολῆς καὶ ἀφοῦ τὴν ἐπεξέτεινεν εἰς τὸ ἄκρον τῆς φιλοσοφίας βαδίζων μὲ σειρὰν καὶ τάξιν προχωρεῖ εἰς τὴν δευτέραν συμφωνῶν καὶ ἐδῶ μὲ τὸν νόμον. Δὲν εἶναι ὅμως δευτέρα, λέγει, ἀλλὰ τρίτη. Διότι δὲν προηγεῖται τὸ «οὐ φονεύσεις»[1], ἀλλὰ τό, «Ὁ Κύριος ὁ Θεός σου εἶναι ἕνας Κύριος». Δι' αὐτὸ καὶ ἀξίζει νὰ ἀναζητήσωμεν διὰ ποῖον λόγον δὲν ἤρχισεν ἀπὸ ἐκεῖ. Διὰ ποῖον λόγον λοιπόν; Διότι ἂν ἤρχιζεν ἀπὸ ἐκεῖ, ἔπρεπε καὶ ἐκείνην νὰ τὴν αὐξήσῃ καὶ νὰ συνεισαγάγῃ καὶ τὸν ἑαυτόν του. Καὶ δὲν ἦτο καιρὸς ἀκόμη νὰ διδάξῃ διὰ τὸν ἑαυτόν του κάτι τέτοιο. Διαφορετικὰ δὲ ἀσκοῦσεν ἕως τότε καὶ τὸν ἠθικὸν λόγον, ἀπὸ ἐδῶ θέλων πρῶτον νὰ πείσῃ τοὺς ἀκροατάς του καὶ ἀπὸ τὰ θαύματα ὅτι ἦτο Υἱὸς τοῦ Θεοῦ. Τὸ ν' ἀρχίσῃ λοιπὸν ἀμέσως προτοῦ εἰπῇ καὶ κάμῃ κάτι νὰ λέγῃ· Ἠκούσατε ὅτι ἔχει λεχθῇ εἰς τοὺς ἀρχαίους· Ἐγὼ εἶμαι ὁ Κύριος ὁ Θεός σου καὶ δὲν εἶναι ἄλλος ἐκτὸς ἀπὸ ἐμένα. Ἐγὼ ὅμως σᾶς λέγω νὰ λατρεύετε καὶ ἐμένα, ὅπως ἐκεῖνον', θὰ ἔκαμε νὰ τὸν προσέχουν ὅλοι ὡς μαινόμενον. Ὅταν καὶ μετὰ τὴν διδασκαλίαν καὶ τὰ τόσα θαύματα, χωρὶς νὰ τὸ λέγῃ ἀκόμα τοῦτο φανερά, τὸν ἐκαλοῦσαν δαιμονισμένον [2], ἂν πρὶν ἀπὸ ὅλα αὐτὰ ἐπιχειροῦσε νὰ εἰπῇ κάτι τέτοιο, τί δὲν θὰ τοῦ ἔλεγον καὶ τί δὲν θὰ ἐσκέπτοντο; Τὸ νὰ φυλάξῃ ὅμως τὴν διδασκαλίαν αὐτὴν διὰ τὸν κατάλληλον

τηρῆσαι διδασκαλίαν, εὐπαράδεκτον ἐποίει τοῖς πολλοῖς γενέσθαι τὸ δόγμα.

Διόπερ νῦν μὲν αὐτὸ παρέδραμεν, ἀπὸ δὲ τῶν σημείων αὐτὸ πανταχοῦ κατασκευάσας καὶ τῆς ἀρίστης διδασκαλίας, ὕστερον αὐτὸ καὶ διὰ ῥημάτων ἐξεκάλυψε. Νῦν μέντοι τῇ τῶν σημείων ἐπιδείξει καὶ αὐτῷ τῆς διδασκαλίας τῷ τρόπῳ, κατὰ μικρὸν καὶ ἠρέμα αὐτὸ παρανοίγνυσι. Τὸ γὰρ μετ' ἐξουσίας τὰ τοιαῦτα νομοθετεῖν καὶ διορθοῦν, τὸν προσέχοντα καὶ νοῦν ἔχοντα ἀνῆγε κατὰ μικρὸν εἰς τὸν τοῦ δόγματος λόγον. Ἐξεπλήττοντο γὰρ αὐτόν, φησίν, ὅτι οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν ἐδίδασκεν. Ἀρξάμενος γὰρ ἀπὸ τῶν γενικωτάτων ἐν ἡμῖν παθῶν, θυμοῦ λέγω καὶ ἐπιθυμίας (ταῦτα γάρ ἐστι μάλιστα τὰ τυραννοῦντα ἐν ἡμῖν, καὶ τῶν ἄλλων ὄντα φυσικώτερα), μετὰ πολλῆς τῆς αὐθεντίας καὶ ὅσης νομοθέτῃ προσῆκον ἦν, διώρθωσέ τε αὐτὰ καὶ μετὰ πάσης ἐκόσμησε τῆς ἀκριβείας.

Οὐδὲ γὰρ εἶπεν, ὅτι ὁ μοιχὸς κολάζεται μόνον, ἀλλ' ὅπερ ἐποίησεν ἐπὶ τοῦ φονεύοντος, τοῦτο καὶ ἐνταῦθα ποιεῖ καὶ τὴν ἀκόλαστον ὄψιν κολάζων, ἵνα μάθῃς τὸ πλέον τῶν γραμματέων ποῦ τίθεται. Διόπερ φησίν· «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν»· τουτέστιν, ὁ ποιούμενος ἔργον τὰ λαμπρὰ σώματα περιεργάζεσθαι καὶ τὰς εὐμόρφους ὄψεις θηρᾶν καὶ ἑστιᾶν τῇ θέᾳ τὴν ψυχὴν καὶ προσηλοῦν τὰ ὄμματα τοῖς καλοῖς προσώποις. Οὐ γὰρ τὸ σῶμα ἦλθεν ἀπαλλάξαι τῶν πονηρῶν πράξεων μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν πρὸ ἐκείνου. Ἐπειδὴ γὰρ ἐν τῇ καρδίᾳ τὴν τοῦ Πνεύματος δεχόμεθα χάριν, αὐτὴν ἐκκαθαίρει πρώτην.

Καὶ πῶς δυνατὸν ἐπιθυμίας, φησίν, ἀπηλλάχθαι;

Μάλιστα μέν, εἰ βουληθείημεν, δυνατὸν καὶ ταύτην νεκρωθῆναι καὶ ἀνενέργητον μένειν. Ἄλλως δὲ ἐνταῦθα οὐχ ἁπλῶς τὴν ἐπιθυμίαν ἀναιρεῖ, ἀλλὰ τὴν ἐκ τῆς ὄψεως ἐγγινομένην ἐπιθυμίαν. Ὁ γὰρ σπουδάζων ὁρᾶν τὰς εὐμόρφους ὄψεις, αὐτὸς

---

1. Ματθ. 7,29· Μαρκ. 1,22

καιρόν, ἔκαμε νὰ γίνῃ εὐπαράδεκτος διὰ τοὺς πολλοὺς ἡ διδασκαλία.

Διὰ τοῦτο τώρα τὸ παρατρέχει αὐτὸ καὶ ἀφοῦ τὸ προετοίμασεν εἰς ὅλας τὰς περιπτώσεις μὲ τὰ θαύματα καὶ μὲ τὴν ἀρίστην διδασκαλίαν, ὕστερα τὸ ἐφανέρωσε καὶ μὲ τοὺς λόγους. Τώρα ὅμως μὲ τὴν ἐπίδειξιν τῶν θαυμάτων καὶ μὲ τὸν τρόπον τῆς διδασκαλίας, λίγο λίγο καὶ ἤρεμα τὸ προοδοποιεῖ αὐτό. Τὸ ὅτι μὲ ἐξουσίαν τὰ ἐνομοθετοῦσε καὶ τὰ ἐρρύθμιζεν αὐτά ἀνέβαζε λίγο λίγο εἰς τὸν λόγον τῆς διδασκαλίας ὅποιον τὸν ἐπρόσεχε καὶ εἶχε νοῦν. Τὸν ἐθαύμαζαν, λέγει, διότι δὲν ἐδίδασκεν, ὅπως οἱ γραμματεῖς των [1]. Ἐκεῖνος ἤρχισεν ἀπὸ τὰ γενικώτατα μέσα μας πάθη, τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν (αὐτὰ εἶναι ποὺ ἔχουν τὴν μεγαλυτέραν μέσα μας ἐξουσίαν καὶ εἶναι περισσότερον ἀπὸ τὰ ἄλλα δεμένα μὲ τὴν φύσιν μας) μὲ πολλὴν αὐθεντικότητα καὶ ὅσην ἁρμόζει εἰς νομοθέτην, τὰ διώρθωνε καὶ τὰ ἐρρύθμιζε μὲ κάθε αὐστηρότητα.

Δὲν εἶπεν ὅτι τιμωρεῖται μόνον ὁ μοιχὸς ἀλλὰ κάνει ὅ,τι ἔκανε καὶ εἰς τὴν περίπτωσιν τοῦ φονέως· τιμωρεῖ καὶ τὸ ἔνοχον κοίταγμα, διὰ νὰ μάθῃς ποῦ εὑρίσκεται ἡ πλειονότης τῶν γραμματέων. Δι' αὐτὸ λέγει· «Ὅποιος κοιτάξῃ γυναῖκα διὰ λόγους ἐπιθυμίας, ἤδη ἔχει μοιχεύσει μαζί της»· ἐννοεῖ δηλαδή ὅποιον κάνει ἔργον του νὰ περιεργάζεται τὰ ἀκμαῖα σώματα καὶ κυνηγᾷ ὅ,τι ὡραῖον εἰς τὴν ὄψιν καὶ τρέφει μὲ τὰ θεάματα αὐτὰ τὴν ψυχήν του καὶ καρφώνει τὰ βλέμματά του εἰς τὰ ὡραῖα πρόσωπα. Διότι δὲν ἦλθε διὰ νὰ ἀπαλλάξῃ μόνον τὸ σῶμα ἀπὸ τὰς νοσηρὰς πράξεις, ἀλλὰ πρὶν ἀπὸ αὐτὸ καὶ τὴν ψυχήν. Ἐπειδὴ δηλ. δεχόμεθα εἰς τὴν καρδιά μας τὴν χάριν τοῦ Πνεύματος, τὴν καρδιά μας καθαρίζει πρώτην.

Καὶ πῶς εἶναι δυνατόν, λέγει, νὰ ἀπαλλαγῇς ἀπὸ τὴν ἐπιθυμίαν;

Εἶναι δυνατόν, καὶ πολὺ μάλιστα, ἂν θελήσωμεν, νὰ νεκρωθῇ καὶ αὐτὴ καὶ νὰ μείνῃ ἀδρανής. Ἐξ ἄλλου ἐδῶ δὲν ἀναιρεῖ γενικὰ τὴν ἐπιθυμίαν, ἀλλὰ τὴν ἐπιθυμίαν ποὺ προκαλεῖται ἀπὸ τὸ κοίταγμα. Αὐτὸς ποὺ ἐνδιαφέρεται νὰ παρατηρῇ

μάλιστα τὴν κάμινον ἀνάπτει τοῦ πάθους καὶ τὴν ψυχὴν αἰχμάλωτον ποιεῖ καὶ ταχέως καὶ ἐπὶ τὴν πρᾶξιν ἔρχεται. Διὰ δὴ τοῦτο οὐκ εἶπεν, "Ὃς ἂν ἐπιθυμήσῃ πρὸς τὸ μοιχεῦσαι', ἀλλ', «Ὃς ἂν ἴδῃ πρὸς τὸ ἐπιθυμῆσαι».

Καὶ ἐπὶ μὲν τῆς ὀργῆς διορισμόν τινα τέθεικεν, εἰπὼν τό, 'εἰκῇ καὶ μάτην'· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καθάπαξ τὴν ἐπιθυμίαν ἀνεῖλε· καίτοιγε ἀμφότερα ἔμφυτα καὶ χρησίμως ἡμῖν ἀμφότερα ἔγκειται, καὶ ὀργὴ καὶ ἐπιθυμία· ἡ μέν, ἵνα τοὺς πονηροὺς κολάζωμεν καὶ τοὺς ἀκοσμοῦντας διορθῶμεν, ἡ δέ, ἵνα παιδοποιῶμεν καὶ τὸ γένος ἡμῖν συγκρατῆται ταῖς τοιαύταις διαδοχαῖς.

2. Τίνος οὖν ἕνεκεν οὐκ ἔθηκε διορισμὸν καὶ ἐνταῦθα; Μέγιστον μὲν οὖν, ἐὰν προσέχῃς, ὄψει καὶ ἐνταῦθα διορισμὸν ἐγκείμενον. Οὐ γὰρ ἁπλῶς εἶπεν, "Ὃς ἂν ἐπιθυμήσῃ', ἐπεὶ ἔστι καὶ ἐν ὄρεσι καθήμενον ἐπιθυμεῖν· ἀλλ' «Ὃς ἂν ἐμβλέψῃ πρὸς τὸ ἐπιθυμῆσαι»· τουτέστιν, ὁ ἑαυτῷ τὴν ἐπιθυμίαν συλλέγων, ὁ μηδενὸς ἀναγκάζοντος τὸ θηρίον ἐπεισάγων ἠρεμοῦντι τῷ λογισμῷ. Τοῦτο γὰρ οὐκέτι τῆς φύσεως γίνεται, ἀλλὰ τῆς ῥᾳθυμίας. Τοῦτο καὶ ἡ Παλαιὰ διορθοῦται ἄνωθεν λέγουσα· «Μὴ καταμάνθανε κάλλος ἀλλότριον». Εἶτα, ἵνα μή τις λέγῃ· Τί οὖν, ἐὰν καταμάθω καὶ μὴ ἁλῶ; κολάζει τὴν ὄψιν, ἵνα μὴ τῇ ἀδείᾳ ταύτῃ θαῤῥῶν, καταπέσῃς ποτὲ εἰς τὸ ἁμαρτάνειν.

Τί οὖν, ἐὰν ἴδω, φησί, καὶ ἐπιθυμήσω μέν, μηδὲν δὲ πράξω πονηρόν;

Καὶ οὕτω μετὰ τῶν μοιχῶν ἕστηκας. Ἀπεφήνατο γὰρ ὁ νομοθέτης καὶ οὐδὲν δεῖ περιεργάζεσθαι πλέον. Ἅπαξ μὲν γὰρ καὶ δὶς καὶ τρὶς οὕτως ἰδών, ἴσως δυνήσῃ κρατεῖν· ἂν δὲ συνεχῶς τοῦτο ποιῇς καὶ ἀνάπτῃς τὴν κάμινον, ἁλώσῃ πάντως· οὐ γὰρ ἔξω τῆς ἀνθρωπίνης ἕστηκας φύσεως. Ὥσπερ οὖν ἡμεῖς,

---

1. Σοφ. Σειράχ 9,8

τὰ ὡραῖα πρόσωπα, αὐτὸς πρὸ πάντων ἀνάβει τὸ καμίνι τοῦ πάθους καὶ αἰχμαλωτίζει τὴν ψυχὴν καὶ προχωρεῖ ἀμέσως εἰς τὴν πρᾶξιν. Διὰ τοῦτο ἀκριβῶς δὲν εἶπεν, Ὅποιος ἐπιθυμήσῃ νὰ μοιχεύσῃ, ἀλλά, «Ὅποιος κοιτάξῃ μὲ σκοπὸν νὰ ἐπιθυμήσῃ».

Καὶ εἰς τὴν περίπτωσιν τῆς ὀργῆς ἔθεσε κάποιον περιορισμὸν μὲ τὰς λέξεις 'ἄδικα καὶ χωρὶς λόγον'. Δὲν κάνει ὅμως τὸ ἴδιο καὶ ἐδῶ, ἀλλὰ ξερριζώνει τὴν ἐπιθυμίαν ἅπαξ διὰ παντός. Μολονότι καὶ τὰ δύο εἶναι ἔμφυτα καὶ χρήσιμα καὶ τὰ δύο, καὶ ἡ ὀργὴ καὶ ἡ ἐπιθυμία, ἡ ὀργὴ διὰ νὰ τιμωροῦμεν τοὺς κακοὺς καὶ νὰ σωφρονίζωμεν τοὺς ἀτάκτους καὶ ἡ ἐπιθυμία διὰ νὰ κάνωμεν παιδιὰ καὶ μὲ τὰς διαδοχὰς τοῦ εἴδους αὐτοῦ νὰ διατηρῆται τὸ γένος μας.

2. Διὰ ποῖον λόγον λοιπὸν δὲν ἔθεσε περιορισμὸν καὶ ἐδῶ; Μέγιστον περιορισμὸν θὰ ἴδῃς νὰ ὑπάρχῃ καὶ ἐδῶ ἂν προσέχῃς. Διότι δὲν εἶπε γενικά, 'Ὅποιος ἐπιθυμήσῃ' (ἠμπορεῖ νὰ ἐπιθυμήσῃ κανεὶς καθισμένος καὶ εἰς τὸ ὄρος), ἀλλὰ «Ὅποιος κοιτάξῃ μὲ διάθεσιν νὰ ἐπιθυμήσῃ». Θέλει νὰ μᾶς εἰπῇ, Ὅποιος μαζεύει μέσα του τὴν ἐπιθυμίαν, ὅποιος, χωρὶς νὰ τὸν ἀναγκάζῃ κανεὶς καὶ ἐνῷ ὁ λογισμός του εἶναι ἥσυχος, εἰσάγει μέσα του τὸ θηρίον. Τοῦτο δὲν προέρχεται ἀπὸ τὴν φύσιν· εἶναι ἀποτέλεσμα ραθυμίας. Αὐτὸ θέλει νὰ διορθώσῃ καὶ ἡ Παλαιὰ ὅταν λέγῃ μὲ θείαν ἐπιταγήν· «Μὴ μελετᾷς τὴν ξένην ὀμορφιάν» [1]. Καὶ ἔπειτα διὰ νὰ μὴ λέγῃ κάποιος· Καὶ ἂν λοιπὸν τὴν μελετήσω ἀλλὰ δὲν αἰχμαλωτισθῶ; Τιμωρεῖ τὸ κοίταγμα, διὰ νὰ μὴ ἐμπιστευθῇς τὴν ἐλευθερίαν αὐτὴν καὶ πέσῃς κάποτε εἰς τὴν ἁμαρτίαν.

Καὶ ἂν κοιτάξω, συνεχίζει, καὶ ἐπιθυμήσω, ἀλλὰ δὲν πράξω τίποτε πονηρόν;

Καὶ ἔτσι συγκαταλέγεσαι μὲ τοὺς μοιχούς. Ὥρισεν ὁ νομοθέτης καὶ δὲν χρειάζεται νὰ ἐξετάζῃς περισσότερον. Ἂν κοιτάξῃς μίαν ἢ δύο ἢ τρεῖς φορὲς ἔτσι, θὰ κρατηθῇς ἴσως. Ἂν ὅμως τὸ πράττῃς τοῦτο κατὰ συνέχειαν καὶ ἀνάβῃς τὸ καμίνι, θὰ αἰχμαλωτισθῇς ὁπωσδήποτε. Δὲν εἶσαι βέβαια ἄσχετος μὲ τὴν ἀνθρώπινην φύσιν. Ὅπως ἐμεῖς ἂν ἰδοῦμεν ἕνα παιδὶ νὰ

ἐὰν ἴδωμεν παιδίον μάχαιραν κατέχον, κἂν μὴ πληγὲν ἴδωμεν, μαστιγοῦμεν καὶ ἀπαγορεύομεν αὐτῷ μηδέποτε αὐτὴν κατασχεῖν, οὕτω καὶ ὁ Θεὸς τὴν ἀκόλαστον ὄψιν καὶ πρὸ τῆς πράξεως ἀναιρεῖ, μήποτε καὶ εἰς πρᾶξιν ἐμπέσῃ. Ὁ γὰρ τὴν φλόγα ἀνάψας ἅπαξ, καὶ ἀπούσης τῆς ὀφθείσης γυναικός, πλάττει παρ' ἑαυτῷ διηνεκῶς εἴδωλα πραγμάτων αἰσχρῶν καὶ ἀπ' αὐτῶν πολλάκις καὶ ἐπὶ τὸ ἔργον πρόεισι. Διὰ τοῦτο καὶ τὴν διὰ τῆς καρδίας συμπλοκὴν ὁ Χριστὸς ἀναιρεῖ.

Τί τοίνυν εἴποιεν ἂν οἱ τὰς συνοίκους ἔχοντες παρθένους; Ἀπὸ γὰρ τῆς τοῦ νόμου θέσεως μυρίων ἂν εἶεν μοιχειῶν ὑπεύθυνοι, καθ' ἑκάστην ἡμέραν μετὰ ἐπιθυμίας ὁρῶντες αὐτάς. Διὰ τοῦτο καὶ ὁ μακάριος Ἰὼβ τοῦτον ἐξ ἀρχῆς ἐτίθει τὸν νόμον, ἀποτειχίζων ἑαυτῷ πανταχοῦ τὴν τοιαύτην θεωρίαν. Καὶ γὰρ μείζων ὁ ἀγὼν μετὰ τὸ ἰδεῖν, καὶ μὴ ἀπολαῦσαι τῆς ἐρωμένης· καὶ οὐ τοσαύτην ἀπὸ τῆς ὄψεως καρπούμεθα τὴν ἡδονήν, ὅσην ἀπὸ τοῦ τὴν ἐπιθυμίαν αὐξῆσαι ταύτην ὑπομένομεν τὴν λύμην, ἰσχυρὸν ποιοῦντες τὸν ἀνταγωνιστὴν καὶ πλείονα διδόντες τὴν εὐρυχωρίαν τῷ διαβόλῳ, καὶ οὐκέτι ἰσχύοντες αὐτὸν ἀποκρούσασθαι, ὅταν εἰς τὰ ἐνδότατα εἰσαγάγωμεν καὶ ἀναπετάσωμεν αὐτῷ τὴν διάνοιαν. Διὰ τοῦτό φησι· Ἡ μοιχεύσῃς τοῖς ὀφθαλμοῖς καὶ οὐ μοιχεύσεις τῇ διανοίᾳ.

Ἔστι γὰρ καὶ ἄλλως ἰδεῖν, ὡς οἱ σώφρονες βλέπουσι. Διὰ τοῦτο οὐχ ἁπλῶς τὴν ὄψιν ἀνεῖλεν ἀλλὰ τὴν μετὰ ἐπιθυμίας ὄψιν. Εἰ δὲ μὴ τοῦτο ἐβούλετο, εἶπεν ἄν, "Ὁ βλέπων γυναῖκα ἁπλῶς"· νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλ', «Ὁ βλέπων πρὸς τὸ ἐπιθυμῆσαι», ὁ βλέπων ὥστε τέρψαι τὴν ὄψιν. Οὐδὲ γὰρ εἰς τοῦτό σοι τοὺς ὀφθαλμοὺς ἐποίησεν ὁ Θεός, ἵνα διὰ τούτων μοιχείαν εἰσαγάγῃς, ἀλλ' ἵνα, αὐτοῦ τὰ κτίσματα βλέπων, θαυμάζῃς τὸν Δημιουργόν.

Ὥσπερ οὖν ἔστιν εἰκῇ ὀργίζεσθαι, οὕτως ἔστιν εἰκῇ ὁρᾶν, ὅταν πρὸς ἐπιθυμίαν τοῦτο ποιῇς. Εἰ γὰρ βούλει ὁρᾶν καὶ

1. Ἰω. 31,9

κρατῇ μαχαίρι, ἀκόμη καὶ ἂν ἰδοῦμεν ὅτι δὲν ἔχει πληγωθῆ, τὸ χτυποῦμεν καὶ ἀπαγορεύομεν νὰ τὸ κρατῇ εἰς τὰ χέρια του, ἔτσι καὶ ὁ Θεὸς ἀπαγορεύει τὸ ἔνοχον κοίταγμα καὶ πρὶν ἀπὸ τὴν πρᾶξιν, μήπως κάποτε καταλήξῃ εἰς τὴν πρᾶξιν. Ἐπειδὴ αὐτὸς ποὺ ἤναψε μίαν φορὰν τὴν φλόγα ἀκόμη καὶ ὅταν ἀπουσιάζῃ ἡ γυναῖκα ποὺ εἶδε, πλάθει συνεχῶς μὲ τὴν φαντασίαν του εἴδωλα αἰσχρῶν πραγμάτων καὶ ἔπειτα ἀπὸ αὐτὰ προχωρεῖ συχνὰ καὶ εἰς τὸ ἔργον. Διὰ τοῦτο ὁ Χριστὸς ἀποκλείει καὶ τὴν περίπτωσιν μὲ τὴν καρδίαν.

Τί νὰ εἰποῦν αὐτοὶ ποὺ ἔχουν παρθένους συγκατοίκους μαζί των; Ἀπὸ τότε ποὺ ἐτέθη ὁ νόμος θὰ ἦσαν ὑπεύθυνοι διὰ μυρίας μοιχείας, καθὼς τὰς ἀντικρύζουν καθημερινῶς μὲ ἐπιθυμίαν. Διὰ τοῦτο καὶ ὁ μακάριος Ἰὼβ ἔθεσεν ἀπὸ τὴν ἀρχὴν τὸν νόμον αὐτόν, ἀποτειχίζων ὁλόγυρα ἀπὸ τὸν ἑαυτόν του τὴν θέαν αὐτήν [1]. Ἐπακολουθεῖ μεγαλύτερος ἀγών, ὅταν ἰδῇς καὶ δὲν ἀπολαύσῃς αὐτὴν ποὺ ἐπιθυμεῖς. Καὶ δὲν ἀπολαμβάνομεν τόσην ἡδονὴν ἀπὸ τὸ κοίταγμα, ὅσον ὑπομένομεν τὸ κακὸν αὐτὸ ἀπὸ τὴν αὔξησιν τῆς ἐπιθυμίας ἐνισχύοντες τὸν ἀντίπαλόν μας καὶ δίδοντες περισσότερον ἔδαφος εἰς τὸν διάβολον, χωρὶς νὰ ἔχωμεν πιὰ τὴν δύναμιν νὰ τὸν ἀποκρούσωμεν, ὅταν τὸν ἐγκαταστήσωμεν εἰς τὰ μύχιά μας καὶ τοῦ ἁπλώσωμεν τὴν διάνοιάν μας. Διὰ τοῦτο λέγει 'Μὴ μοιχεύσῃς μὲ τὰ μάτια σου καὶ δὲ θὰ μοιχεύσῃς μὲ τὴν διάνοιάν σου'.

Ὑπάρχει καὶ ἄλλος τρόπος νὰ κοιτάξῃς· ὅπως βλέπουν οἱ φρόνιμοι. Διὰ τοῦτο δὲν ἀπέκλεισε τὸ κοίταγμα γενικὰ ἀλλὰ τὸ κοίταγμα μὲ ἐπιθυμίαν. Ἂν δὲν ἤθελε τοῦτο, θὰ ἔλεγεν· 'Αὐτὸς ποὺ βλέπει, γενικά, γυναῖκα'. Τώρα ὅμως δὲν εἶπε τοῦτο, ἀλλὰ «Ὅποιος κοιτάζει γυναῖκα μὲ διάθεσιν νὰ τὴν ἐπιθυμήσῃ», ὅποιος κοιτάζει μὲ σκοπὸν νὰ εὐχαριστήσῃ τὴν ὅρασίν του. Δὲν σοῦ ἔδωσε βέβαια διὰ τοῦτο ὁ Θεὸς τὰ μάτια, διὰ νὰ κάμῃς τὴν μοιχείαν, ἀλλὰ νὰ βλέπῃς τὰ πλάσματά του καὶ νὰ θαυμάζῃς τὸν Δημιουργόν.

Ὅπως λοιπὸν εἶναι δυνατὸν νὰ θυμώνῃς ἀπερίσκεπτα, ἔτσι εἶναι δυνατὸν καὶ νὰ βλέπῃς ἀπερίσκεπτα, ὅταν τὸ κάνῃς

τέρπεσθαι, ὅρα τὴν σαυτοῦ γυναῖκα καὶ ταύτης ἔρα διηνεκῶς· οὐδεὶς κωλύει νόμος. Εἰ δὲ τὰ ἀλλότρια μέλλεις περιεργάζεσθαι κάλλη, κἀκείνην ἀδικεῖς, ἀλλαχοῦ μετεωρίζων τοὺς ὀφθαλμούς, καὶ ταύτην ἣν εἶδες, ἁπτόμενος αὐτῆς παρανόμως. Εἰ γὰρ καὶ μὴ ἧψω τῇ χειρί, ἀλλ' ἐψηλάφησας τοῖς ὀφθαλμοῖς· διὰ τοῦτο καὶ τοῦτο μοιχεία νενόμισται, καὶ πρὸ τῆς κολάσεως ἐκείνης κόλασιν οὐ τὴν τυχοῦσαν ἐπάγει. Καὶ γὰρ θορύβου καὶ ταραχῆς πάντα τὰ ἔνδον πληροῦται, καὶ πολλὴ μὲν ἡ ζάλη, χαλεπωτάτη δὲ ἡ ὀδύνη, καὶ τῶν αἰχμαλώτων καὶ δεδεμένων οὐδὲν ἄμεινον ὁ ταῦτα παθὼν διακείσεται. Καὶ ἡ μὲν τὸ βέλος ἀφεῖσα πολλάκις ἀπέπτη· ἡ δὲ πληγὴ καὶ οὕτω μένει. Μᾶλλον δὲ οὐκ ἐκείνη τὸ βέλος ἀφῆκεν, ἀλλὰ σὺ καιρίαν ἔδωκας ἑαυτῷ τὴν πληγήν, ἀκολάστως ἰδών.

Καὶ ταῦτα λέγω, τὰς σωφρονούσας ἀπαλλάττων τῆς κατηγορίας. Ὡς εἴγε τις καλλωπίζοιτο καὶ καλοίη πρὸς ἑαυτὴν τοὺς τῶν ἀπαντώντων ὀφθαλμούς, κἂν μὴ πλήξῃ τὸν ἐντυγχάνοντα, δίκην δίδωσι τὴν ἐσχάτην. Τὸ γὰρ φάρμακον ἐκέρασε καὶ τὸ κώνειον κατεσκεύασεν, εἰ καὶ μὴ τὴν κύλικα προσήγαγε· μᾶλλον δὲ καὶ τὴν κύλικα προσήγαγεν, εἰ καὶ μηδεὶς ὁ πίνων εὑρέθη.

Τί οὖν οὐχὶ καὶ πρὸς αὐτὰς διαλέγεται; φησίν. Ὅτι κοινοὺς τοὺς νόμους πανταχοῦ τίθησι, κἂν πρὸς τοὺς ἄνδρας ἀποτείνεσθαι δοκῇ μόνους· τῇ γὰρ κεφαλῇ διαλεγόμενος, κοινὴν καὶ πρὸς τὸ σῶμα ἅπαν ποιεῖται τὴν παραίνεσιν. Γυναῖκα γὰρ καὶ ἄνδρα ἓν οἶδε ζῶον, καὶ οὐδαμοῦ διαιρεῖ τὸ γένος.

3. Εἰ δὲ καὶ ἰδίως ἀκοῦσαι βούλει τῆς κατ' αὐτῶν ἐπιπλήξεως, ἄκουσον τοῦ Ἠσαΐου[1] λέγοντος πολλὰ πρὸς αὐτὰς ἀποτεινομένου καὶ κωμῳδοῦντος αὐτῶν τὸ σχῆμα, τὸ βλέμμα, τὴν βάδισιν, τοὺς συρομένους χιτῶνας, τοὺς παίζοντας πόδας, τοὺς διακλωμένους τραχήλους. Ἄκουσον μετ' ἐκείνου καὶ τοῦ μακαρίου Παύλου πολλοὺς αὐταῖς τιθέντος νόμους καὶ ὑπὲρ τριχῶν

---

1. Ἡσ. 3,16

με σκοπὸν τὴν ἐπιθυμίαν. Ἂν θέλῃς νὰ κοιτάζῃς καὶ νὰ εὐχαριστῆσαι, νὰ κοιτάζῃς τὴν γυναῖκα σου καὶ νὰ τὴν ἐπιθυμῇς συνέχεια· κανένας νόμος δὲν σὲ ἐμποδίζει. Ἂν ὅμως πρόκειται νὰ ἀσχοληῆσαι μὲ τὰ ξένα κάλλη ἀδικεῖς καὶ ἐκείνην μὲ τὸ νὰ στρέψῃς ἀλλοῦ τὰ μάτια σου καὶ τὴν ἄλλην ἐπειδὴ τὴν ἀγγίζεις παράνομα. Καὶ δὲν τὴν ἤγγισες μὲ τὸ χέρι, τὴν ἐψηλάφησες ὅμως μὲ τὰ μάτια. Δι' αὐτὸ θεωρεῖται καὶ τοῦτο μοιχεία καὶ πρὶν ἀπὸ τὴν τιμωρίαν ποὺ περιμένομεν μᾶς ἐπιβάλλει ἄλλην τιμωρίαν ὄχι ὅποιαν ὅποιαν. Ὅλο τὸ ἐσωτερικὸν μας γεμίζει ἀπὸ θόρυβον καὶ ταραχήν, εἶναι πολλὴ ἡ ζάλη, ἀνυπόφορη ἡ ὀδύνη καὶ δὲν εἶναι εἰς καλυτέραν μοῖραν ἀπὸ τοὺς αἰχμαλώτους καὶ τοὺς δεσμώτας ὅποιος τὰ παθαίνει αὐτά. Ρίχνει αὐτὴ τὸ βέλος συχνὰ καὶ φεύγει· καὶ ἔτσι ὅμως μένει ἡ πληγή. Ἢ μᾶλλον δὲν ἔρριψεν αὐτὴ τὸ βέλος της, ἀλλὰ σὺ ἔδωσες καίριον κτύπημα εἰς τὸν ἑαυτόν σου μὲ τὸ ἔνοχον βλέμμα σου.

Ὅταν τὰ λέγω αὐτὰ ἀπαλλάσσω τὰς φρονίμους ἀπὸ τὴν κατηγορίαν. Διότι ἂν κάποια καλλωπίζεται καὶ προσελκύῃ ἐπάνω της τὰ βλέμματα τῶν περαστικῶν καὶ ἂν δὲν πληγώσῃ τὸν διαβάτη, τιμωρεῖται μὲ τὴν ἐσχάτην ποινήν. Ἔχει ἀναμείξει τὸ φάρμακον καὶ ἔφτιαξε τὸ δηλητήριον καὶ ἂς μὴ ἔχῃ προσφέρει τὸ ποτήρι. Ἢ μᾶλλον καὶ τὸ ποτήρι προσέφερε καὶ ἂς μὴ εὑρέθη κανεὶς νὰ πιῇ.

Διατί λοιπὸν δὲν ἀπευθύνει καὶ εἰς αὐτὰς τὸν λόγον; ἐρωτᾷ. Οἱ νόμοι παντοῦ μπαίνουν κοινοὶ καὶ ἂς νομίζῃς πὼς ἀποτείνεται μόνον πρὸς τοὺς ἄνδρας. Ἐπειδὴ ὅταν ὁμιλῇ εἰς τὴν κεφαλήν, δίδει τὴν συμβουλὴν κοινὴν καὶ δι' ὅλον τὸ σῶμα. Τὴν γυναῖκα καὶ τὸν ἄνδρα τοὺς ἀναγνωρίζει ὡς μίαν ζωντανὴν ὕπαρξιν καὶ πουθενὰ δὲν χωρίζει τὸ γένος.

3. Ἂν θέλῃς νὰ ἀκούσῃς καὶ τὴν ἰδιαιτέραν ἐναντίον των κατηγορίαν, ἄκουσε τὸν Ἠσαΐαν ποὺ λέγει πολλὰ ἀποτεινόμενος εἰς αὐτὰς καὶ διακωμωδεῖ τὸ ντύσιμον, τὸ βλέμμα, τὸ βάδισμα, τὰ συρόμενα φορέματα, τὰ πόδια ποὺ παίζουν, τοὺς λαιμοὺς ποὺ κλίνουν ἀπὸ ἐδῶ καὶ ἀπ' ἐκεῖ[1]. Μαζὶ μὲ αὐτὸν ἄκουσε καὶ τὸν μακάριον Παῦλον ποὺ θέτει πολλοὺς νόμους εἰς αὐ-

πλοκῆς καὶ ὑπὲρ σπατάλης καὶ ὑπὲρ τῶν ἄλλων τῶν τοιούτων σφοδρῶς ἐπιτιμῶντος τῷ γένει τούτῳ. Καὶ ὁ Χριστὸς δὲ διὰ τῶν ἑξῆς αἰνιγματωδῶς αὐτὸ τοῦτο ἐνέφηνεν· ὅταν γὰρ λέγῃ, "Ἔξελε καὶ ἔκκοψον τὸν σκανδαλίζοντα, τὴν πρὸς ἐκείνας ὀργὴν ἐνδεικνύμενός φησι. Διὰ τοῦτο καὶ ἐπήγαγεν· «Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ». Ἵνα γὰρ μὴ λέγῃς· Τί οὖν, ἐὰν συγγενὴς ᾖ; τί οὖν, ἐὰν ἄλλως μοι προσήκῃ; διὰ τοῦτο ταῦτα προσέταξεν, οὐ περὶ μελῶν διαλεγόμενος, ἄπαγε· οὐδαμοῦ γὰρ τῆς σαρκὸς τὰ ἐγκλήματα εἶναί φησιν, ἀλλὰ πανταχοῦ τῆς γνώμης τῆς πονηρᾶς ἡ κατηγορία. Οὐ γὰρ ὁ ὀφθαλμός ἐστιν ὁ ὁρῶν, ἀλλ' ὁ νοῦς καὶ ὁ λογισμός. Πολλάκις γοῦν ἀλλαχοῦ τετραμμένων ἡμῶν ὁ ὀφθαλμὸς τοὺς παρόντας οὐ βλέπει· ὥστε οὐκ ἔστιν αὐτοῦ τῆς ἐνεργείας τὸ πᾶν. Εἰ γὰρ περὶ μελῶν ἔλεγεν, οὐκ ἂν περὶ ἑνὸς εἶπεν ὀφθαλμοῦ, οὐδ' ἂν τοῦ δεξιοῦ μόνον, ἀλλὰ περὶ ἀμφοτέρων. Ὁ γὰρ ὑπὸ τοῦ δεξιοῦ σκανδαλιζόμενος, εὔδηλον ὅτι καὶ ὑπὸ τοῦ ἀριστεροῦ τὸ αὐτὸ τοῦτο πείσεται.

Τίνος οὖν ἕνεκεν τὸν δεξιὸν ἔθηκε καὶ τὴν χεῖρα προσέθηκεν;

Ἵνα μάθῃς ὅτι οὐ περὶ μελῶν ὁ λόγος, ἀλλὰ περὶ τῶν οἰκείως πρὸς ἡμᾶς ἐχόντων. Ἂν γάρ τινα οὕτω φιλῇς, φησίν, ὡς ἐν χώρᾳ δεξιοῦ ὀφθαλμοῦ, ἢ οὕτω χρήσιμον εἶναι νομίσῃς, ὡς ἐν τάξει ἔχειν χειρός, καὶ βλάπτῃ σου τὴν ψυχήν, καὶ τούτους ἀπότεμε. Καὶ ὅρα τὴν ἔμφασιν. Οὐ γὰρ εἶπεν, Ἀπόστηθι· ἀλλὰ τὸν πολὺν χωρισμὸν ἐμφαίνων, «Ἔξελε», φησί, «καὶ βάλε ἀπὸ σοῦ». Εἶτα ἐπειδὴ ἀποτόμως ἐκέλευσε, δείκνυσι καὶ τὸ κέρδος ἑκατέρωθεν, ἀπό τε τῶν ἀγαθῶν, ἀπό τε τῶν κακῶν ἐπιμένων τῇ μεταφορᾷ· «Συμφέρει γάρ σοι», φησίν, «ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς

1. Α' Τιμ. 2,9

τὰ καὶ κατηγορεῖ τὸ γένος τοῦτο σφοδρὰ διὰ τὸ πλέξιμον τῶν μαλλιῶν των καὶ διὰ τὴν σπατάλην των καὶ διὰ ἄλλα παρόμοια[1]. Μὲ τὰ παρακάτω καὶ ὁ Χριστὸς αὐτὸ τὸ ἴδιο ὑπεδήλωσεν ὑπαινικτικά. Ὅταν λέγῃ βγάλε καὶ ξερρίζωσε τὸ μάτι ποὺ σὲ σκανδαλίζει, τὸ λέγει δείχνοντας τὴν ὀργήν του πρὸς ἐκείνας. Δι' αὐτὸ καὶ προσέθεσεν. «Ἂν σὲ σκανδαλίζῃ τὸ δεξιόν σου μάτι, νὰ τὸ βγάλῃς καὶ νὰ τὸ πετάξῃς μακριά σου». Διὰ νὰ μὴ λέγῃς· Καὶ ἂν εἶναι συγγενής μου; Ἢ ἔχει κάποιαν ἄλλην σχέσιν μαζί μου; δι' αὐτὸ τὰ ὥρισεν αὐτά, δὲν ὡμιλοῦσε διὰ μέλη τοῦ σώματος, πρὸς Θεοῦ! Πουθενὰ δὲν λέγει ὅτι τὰ ἐγκλήματα εἶναι τῆς σαρκός· παντοῦ ἡ κατηγορία του στρέφεται κατὰ τῆς πονηρᾶς γνώμης. Δὲν εἶναι βέβαια τὸ μάτι ποὺ βλέπει, ἀλλὰ ὁ νοῦς καὶ ὁ λογισμός. Συχνὰ ἐπειδὴ ἡ προσοχή μας εἶναι ἐστραμμένη ἀλλοῦ, τὰ μάτια μας δὲν βλέπουν τοὺς παρόντας. Ὥστε δὲν εἶναι τοῦτο ἀποτέλεσμα τῆς ἐνεργείας των. Ἂν ἀνεφέρετο εἰς μέλη τοῦ σώματος, δὲ θὰ περιωρίζετο εἰς τὸ ἕνα μάτι μόνον, οὔτε εἰς τὸ δεξιὸν μόνον· θὰ ὡμιλοῦσε καὶ διὰ τὰ δύο. Ἐπειδὴ ὅποιος σκανδαλίζεται ἀπὸ τὸ δεξιὸν εἶναι ὁλοφάνερον ὅτι τὸ ἴδιο ἀκριβῶς θὰ πάθῃ καὶ ἀπὸ τὸ ἀριστερόν.

Διὰ ποῖον λόγον λοιπὸν ἐχρησιμοποίησε τὸ δεξιὸν μάτι καὶ ἐπρόσθεσε καὶ τὸ δεξιὸν χέρι;

Διὰ νὰ μάθῃς ὅτι δὲν γίνεται λόγος διὰ μέλη τοῦ σώματος, ἀλλὰ δι' ἐκείνους ποὺ ἔχουν σχέσιν μαζί μας. Ἂν ἀγαπᾷς κάποιον, λέγει, τόσον πολύ, ὥστε νὰ τὸν θέτῃς εἰς μοῖραν τοῦ δεξιοῦ ὀφθαλμοῦ ἢ νομίσῃς διὰ κάποιον πὼς εἶναι τόσον χρήσιμος, ὥστε νὰ τὸν βάζῃς εἰς τὴν τάξιν τοῦ χεριοῦ καὶ αὐτοὶ βλάπτουν τὴν ψυχήν σου, ἀπέκοψέ τους καὶ αὐτούς. Πρόσεξε τὴν ἔκφρασιν. Δὲν εἶπεν, Ἀπομακρύνσου, ἀλλὰ ὑπογραμμίζων τὸν ἔντονον χωρισμὸν λέγει· «Βγάλε καὶ πέταξέ το μακρυά». Καὶ ἔπειτα, δικαιολογῶν τὴν ἀπότομον διαταγὴν δείχνει καὶ τὸ κέρδος ποὺ προέρχεται καὶ ἀπὸ τὰ δύο, ἀπὸ τὰ ἀγαθὰ καὶ τὰ κακά, ἐπιμένων εἰς τὴν μεταφοράν του. «Σοῦ συμφέρει», λέγει, «νὰ χαθῇ ἕνα ἀπὸ τὰ μέλη σου καὶ νὰ μὴ ριφθῇ εἰς τὴν γέενναν ὁλόκληρον τὸ σῶμα σου». Ὅταν οὔτε τὸν ἑαυτόν του δὲν ἠμπο-

γέενναν». Ὅταν μήτε ἑαυτὸν διασώζῃ, καὶ σὲ προσαπολλύῃ, ποία φιλανθρωπία ἀμφοτέρους καταποντίζεσθαι, ἐξὸν χωρισθέντων κἂν ἕνα σωθῆναι;

Τί οὖν ὁ Παῦλος εἵλετο, φησίν, ἀνάθεμα γενέσθαι;[1]

Οὐχ ὥστε μηδὲν κερδᾶναι, ἀλλ' ὥστε ἑτέρους σωθῆναι. Ἐνταῦθα δὲ ἀμφοτέρων ἡ βλάβη γίνεται· διόπερ οὐκ εἶπεν, «Ἔξελε», μόνον, ἀλλὰ καί, «Βάλε ἀπὸ σοῦ», ὥστε μηκέτι λαμβάνειν, ἐὰν τοιοῦτος μένῃ. Οὕτω γὰρ κἀκεῖνον μείζονος ἀπαλλάξεις ἐγκλήματος, καὶ σαυτὸν ἀπωλείας ἐλευθερώσεις. Ἵνα δὲ καὶ σαφέστερον ἴδῃς τοῦ νόμου τὸ κέρδος, εἰ δοκεῖ, καὶ ἐπὶ σώματος καθ' ὑπόθεσιν ἐξετάσωμεν τὸ εἰρημένον.

Εἰ γὰρ αἵρεσις προὔκειτο, καὶ ἀνάγκῃ ἦν ἢ τὸν ὀφθαλμὸν ἔχοντα ἐμβληθῆναι εἰς ὄρυγμα καὶ ἀπολέσθαι, ἢ ἐξελόντα τὸ λοιπὸν σῶσαι σῶμα, ἆρα οὐκ ἂν τὸ δεύτερον ἐδέξω; Παντί που δῆλόν ἐστιν. Οὐ γὰρ μισοῦντος ἦν τοῦτο τὸν ὀφθαλμόν, ἀλλὰ τὸ λοιπὸν φιλοῦντος σῶμα. Τοῦτο δὴ καὶ ἐπ' ἀνδρῶν λογίζου καὶ γυναικῶν. Εἰ γὰρ ὁ βλάπτων σε τῇ φιλίᾳ ἀνίατος μένοι, καὶ σὲ λύμης ἀπαλλάξει πάσης ἐκκοπτόμενος οὕτω, καὶ αὐτὸς τῶν μειζόνων ἀπαλλαγήσεται ἐγκλημάτων, οὐκέτι μετὰ τῶν αὐτοῦ κακῶν καὶ τῆς σῆς ἀπωλείας τὸν λόγον ὑπέχων.

Εἶδες ὅσης ἡμερότητος ὁ νόμος γέμει καὶ κηδεμονίας; καὶ ἡ δοκοῦσα παρὰ τοῖς πολλοῖς ἀποτομία εἶναι, πόσην ἐνδείκνυται φιλανθρωπίαν; Ἀκουέτωσαν τούτων οἱ πρὸς τὰ θέατρα σπεύδοντες, καὶ μοιχοὺς ἑαυτοὺς καθ' ἑκάστην ποιοῦντες τὴν ἡμέραν. Εἰ γὰρ τὸν οἰκειωθέντα ἐπὶ βλάβῃ ἐκκόπτειν ὁ νόμος κελεύει, τίνα ἂν ἔχοιεν ἀπολογίαν οἱ τοὺς οὐδέπω γενομένους γνωρίμους διὰ τῆς ἐκεῖ διατριβῆς καθ' ἑκάστην ἐπισπώμενοι τὴν ἡμέραν, καὶ μυρίας κατασκευάζοντες ἑαυτοῖς ἀπωλείας ἀφορμάς; Οὐ γὰρ μόνον ἀκολάστως ἰδεῖν οὐ συγχωρεῖ λοιπόν· ἀλλ' ἐπειδὴ τὴν ἐκ τοῦ πράγματος ἔδειξε βλάβην, καὶ ἐπιτείνει τὸν νόμον προϊών, ἐκκόπτειν κελεύων καὶ ἀποτέμνειν καὶ πόῤῥω που

---

1. Ρωμ. 9,3

ρῆ νὰ διασώσῃ καὶ ἐπὶ πλέον καταστρέφῃ καὶ ἐσένα, τί λογῆς φιλανθρωπία θὰ ἦτο νὰ καταποντισθῆτε καὶ οἱ δύο, ἐνῷ εἶναι δυνατὸν νὰ χωρισθῆτε καὶ νὰ σωθῇ ὁ ἕνας τουλάχιστον;

Διατί ὁ Παῦλος ἐπροτίμησε, λέγει, νὰ γίνῃ ἀνάθεμα [1];

Ὄχι βέβαια διὰ νὰ μὴ κερδίσῃ τίποτε ἀλλὰ διὰ νὰ σωθοῦν οἱ ἄλλοι. Ἐδῶ ἡ βλάβη ἀποβαίνει κοινὴ καὶ διὰ τοὺς δύο. Δι' αὐτὸ δὲν εἶπε μόνον «Βγάλε», ἀλλὰ καὶ «πέταξέ τον μακρυά σου», ὥστε νὰ μὴ τὸν πάρῃς πιὰ ἂν μένῃ ὁ ἴδιος. Ἔτσι καὶ ἐκεῖνον θὰ τὸν ἐξασφαλίσῃς ἀπὸ μεγαλύτερον ἔγκλημα καὶ τὸν ἑαυτόν σου θὰ προφυλάξῃς ἀπὸ τὴν ἀπώλειαν. Διὰ νὰ ἰδῇς τώρα καὶ πιὸ καθαρὰ τὸ κέρδος ἀπὸ τὸν νόμον, ἂν θέλῃς ἂς ἐξετάσωμεν ὅ,τι λέγομεν καὶ ἐπὶ τοῦ σώματος.

Ἂν μᾶς ἐδίδετο ἡ ἐκλογὴ καὶ ἦτο ἀνάγκη ἢ ἔχοντες τὸ μάτι μας νὰ ριφθοῦμεν μέσα εἰς ἕνα χανδάκι καὶ νὰ χαθοῦμεν ἢ νὰ τὸ βγάλωμεν καὶ νὰ σώσωμεν τὸ ὑπόλοιπον σῶμά μας, δὲν θὰ δεχόσουν ἄραγε τὸ δεύτερον; Εἶναι ὁλοφάνερόν εἰς τὸν καθένα. Τοῦτο δὲν εἶναι πρᾶξις ἑνὸς ποὺ μισεῖ τὸ μάτι, ἀλλὰ ἑνὸς ποὺ ἀγαπᾷ τὸ ὑπόλοιπον σῶμα. Τοῦτο λοιπὸν στοχάσου καὶ ἐπὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν. Ἂν αὐτὸς ποὺ σὲ βλάπτει μὲ τὴν φιλίαν του παραμένῃ ἀθεράπευτος, ὅταν ἀποκοπῇ, καὶ ἐσένα θὰ σὲ ἀπαλλάξῃ ἀπὸ τὴν ζημίαν καὶ ὁ ἴδιος θὰ ἀπαλλαγῇ ἀπὸ μεγαλύτερα ἐγκλήματα καὶ δὲν θὰ τὸν βαρύνῃ ἐκτὸς ἀπὸ τὰ ἰδικά του ἀνομήματα καὶ ἡ εὐθύνη τῆς ἰδικῆς σου ἀπωλείας.

Εἶδες πόσον ἥμερος καὶ στοργικὸς εἶναι ὁ νόμος; Καὶ ἡ ἀποτομία ποὺ νομίζουν οἱ πολλοί, πόσην φιλανθρωπίαν παρουσιάζει; Ἂς τὰ ἀκούουν αὐτὰ ὅσοι τρέχουν εἰς τὰ θέατρα καὶ κάνουν τὸν ἑαυτό των μοιχὸν καθημερινά. Ἂν ὁ νόμος ὁρίζῃ νὰ ἀποκόπτωμεν αὐτὸν ποὺ ἔγινεν οἰκεῖος μας διὰ νὰ μᾶς βλάψῃ, τί ἀπολογία θὰ προβάλλουν ὅσοι προσπαθοῦν μὲ καθημερινὴν παραμονήν των ἐκεῖ νὰ σύρουν κοντά των ἀνθρώπους ποὺ δὲν εἶναι καθόλου γνωστοί των, καὶ δημιουργοῦν ἀμετρήτους ἀφορμὰς ἀπωλείας διὰ τὸν ἑαυτόν των; Ὄχι μόνον δὲν συγχωρεῖ λοιπὸν τὸ ἔνοχον κοίταγμα, ἀλλὰ ἐπειδὴ παρουσίασε τὴν βλάβην τοῦ πράγματος, σκληρύνει, προχωρῶν, τὸν

βάλλειν. Καὶ ταῦτα ὁ μυρίους περὶ ἀγάπης κινήσας λόγους νομοθετεῖ, ἵνα ἑκατέρωθεν αὐτοῦ μάθῃς τὴν πρόνοιαν, καὶ πῶς πανταχόθεν τό σοι συμφέρον ζητεῖ. «᾿Εῤῥέθη δέ· «῞Ος ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ βιβλίον ἀποστασίου. ᾿Εγὼ δὲ λέγω ὑμῖν, ὅτι ῞Ος ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὃς ἂν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται».

4. Οὐ πρότερον ἐπὶ τὰ ἔμπροσθεν πρόεισιν, ἕως τὰ πρότερα ἐκκαθάρῃ καλῶς. ᾿Ιδοὺ γὰρ καὶ ἕτερον δείκνυσιν ἡμῖν μοιχείας εἶδος. Τί δὲ τοῦτό ἐστι; Νόμος ἦν κείμενος παλαιός, τὸν μισοῦντα τὴν γυναῖκα τὴν ἑαυτοῦ ἐξ οἱασδήποτε αἰτίας, μὴ κωλύεσθαι ἐκβάλλειν, καὶ ἑτέραν ἀντ᾿ ἐκείνης εἰσάγειν. Οὐ μὴν τοῦτο ἁπλῶς ποιεῖν ὁ νόμος ἐκέλευσεν, ἀλλὰ δόντα βιβλίον ἀποστασίου τῇ γυναικί, ὥστε μὴ εἶναι κυρίαν πάλιν ἐπ᾿ αὐτὸν ἐπανελθεῖν, ἵνα κἂν τὸ σχῆμα μένῃ τοῦ γάμου. Εἰ γὰρ μὴ τοῦτο ἐπέταξεν, ἀλλ᾿ ἐξῆν ἐκβάλλειν τε αὐτὴν καὶ ἑτέραν λαμβάνειν, εἶτα τὴν προτέραν ἐπανάγειν, πολλὴ ἡ σύγχυσις ἔμελλεν εἶναι, συνεχῶς τὰς ἀλλήλων λαμβανόντων ἁπάντων, καὶ μοιχεία τὸ πρᾶγμα λοιπὸν ἦν σαφής. Διόπερ οὐ μικρὰν ἐπενόησε παραμυθίαν τὸ βιβλίον τοῦ ἀποστασίου. ᾿Εγένετο δὲ ταῦτα δι᾿ ἑτέραν πολλῷ μείζονα κακίαν. Εἰ γὰρ ἠνάγκασε καὶ μισουμένην κατέχειν ἔνδον, ἔσφαξεν ἂν ὁ μισῶν· τοιοῦτον γὰρ τῶν ᾿Ιουδαίων τὸ ἔθνος. Οἱ γὰρ παίδων μὴ φειδόμενοι, καὶ προφήτας ἀναιροῦντες, καὶ ὡς ὕδωρ αἷμα ἐκχέοντες, πολλῷ μᾶλλον γυναικῶν οὐκ ἂν ἐφείσαντο. Διὰ τοῦτο τὸ ἔλαττον συνεχώρησε, τὸ μεῖζον ἐκκόπτων. ᾿Επεὶ ὅτι οὐ προηγούμενος οὗτος ὁ νόμος ἦν, ἄκουσον αὐτοῦ λέγοντος· «Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ταῦτα ἔγραψεν», ἵνα μὴ ἔνδον σφάττητε, ἀλλ᾿ ἔξω ἐκβάλλητε. ᾿Επειδὴ δὲ αὐτὸς τὴν ὀργὴν πᾶσαν ἀνεῖλεν, οὐχὶ τὸν φόνον μόνον, ἀλλὰ καὶ τὸ ἁπλῶς θυμοῦσθαι κωλύσας, μετ᾿ εὐκολίας καὶ τοῦ-

1. Δευτ. 24,1
2. Ματθ. 5,31 - 32
3. Ματθ. 19,8

νόμον, διατάσσων νὰ ἀποκόπτωμεν τὸ μάτι καὶ νὰ τὸ πετοῦμεν κάπου μακρυά. Τὰ νομοθετεῖ αὐτὰ ἐκεῖνος ποὺ διετύπωσε τόσους καὶ τόσους λόγους περὶ ἀγάπης, διὰ νὰ μάθης καὶ ἀπὸ τὸ ἕνα καὶ ἀπὸ τὸ ἄλλο τὴν πρόνοιάν του καὶ πῶς ἀπὸ παντοῦ ἀναζητεῖ ὅ,τι συμφέρει εἰς ἐσένα. «Ἔχει εἰπωθῆ· Ὅποιος τυχὸν διώξῃ τὴν γυναῖκα του, ἂς τῆς δώσῃ ἔγγραφον χωρισμοῦ [1]. Ἐγὼ ὅμως σᾶς λέγω, Ὅποιος διώξῃ τὴν γυναῖκα, ἐκτὸς ἀπὸ λόγους πορνείας, τὴν ὠθεῖ εἰς τὴν μοιχείαν καὶ ὅποιος νυμφευθῇ γυναῖκα ποὺ τὴν ἔχουν διώξει, κάνει μοιχείαν» [2].

4. Δὲν προχωρεῖ εἰς τὰ ἑπόμενα, ἂν δὲν διασαφηνίσῃ καλὰ τὰ προηγούμενα. Μᾶς δείχνει τώρα καὶ ἄλλο εἶδος μοιχείας. Ποῖο εἶναι τοῦτο; Ὑπῆρχε παλαιὸς νόμος κατὰ τὸν ὁποῖον αὐτὸς ποὺ δι' ὁποιονδήποτε λόγον ἐμισοῦσε τὴν γυναῖκα του δὲν ἐμποδίζετο νὰ τὴν διώξῃ καὶ νὰ πάρῃ ἄλλην. Δὲν ὥριζεν ὅμως ὁ νόμος τοῦτο μόνον, ἀλλὰ ἔλεγε νὰ τῆς δώσῃ καὶ ἔγγραφον χωρισμοῦ, ὥστε νὰ μὴ ἔχῃ δικαίωμα νὰ γυρίσῃ πάλιν κοντά του, καὶ νὰ διασωθῇ τοὐλάχιστον ὁ τύπος τοῦ γάμου. Ἂν δὲν τὸ ὥριζε τοῦτο, ἀλλὰ εἶχε τὸ δικαίωμα ὁ ἄνδρας αὐτὴν νὰ διώχνῃ καὶ νὰ παίρνῃ ἄλλην, θὰ ἐπρόκειτο νὰ ἐπακολουθήσῃ πολλὴ σύγχυσις καὶ συνεχῶς θὰ ἔπαιρναν ὅλοι τὰς γυναῖκας τῶν ἄλλων καὶ ἡ κατάστασις αὐτὴ θὰ ἦτο καθαρὰ μοιχεία. Διὰ τοῦτο δὲν ἦτο μικρὰ ἐπινόησις τὸ φάρμακον μὲ τὸ ἔγγραφον τοῦ χωρισμοῦ. Αὐτὰ ἔγιναν δι' ἄλλην πολὺ μεγαλυτέραν κακίαν. Ἂν ὑπεχρέωνε κάποιον νὰ κρατῇ εἰς τὸ σπίτι γυναῖκα ποὺ τὴν ἐμισοῦσεν, αὐτὸς ὁ κάποιος θὰ τὴν ἔσφαζε. Τέτοιο ἦτο τὸ γένος τῶν Ἑβραίων. Αὐτοὶ ποὺ δὲν ἐλυποῦντο τὰ παιδιά των καὶ ἐφόνευαν τοὺς προφήτας καὶ ποὺ ἔχυναν τὸ αἷμα σὰν νερό, πολὺ περισσότερον δὲν θὰ ἐλογάριαζαν τὰς γυναῖκας. Διὰ τοῦτο παρεχώρησε τὸ μικρότερον, θέλων νὰ ἀποτρέψῃ τὸ μεγαλύτερον. Ὅτι ὁ νόμος αὐτὸς δὲν ἦτο παλαιότερος, ἄκουσε τί λέγει· «Ὁ Μωϋσῆς τὰ ἔγραψεν αὐτὰ ἔχων ὑπ' ὄψιν τὴν σκληροκαρδίαν σας» [3]· νὰ μὴ τὰς σφάζετε μέσα εἰς τὸ σπίτι, ἀλλὰ νὰ τὰς βγάζετε ἔξω. Καὶ ὅταν αὐτὸς ἀπομάκρυνεν ὅλην τὴν ὀργήν, ἐμποδίζων ὄχι μόνον τὸν φόνον ἀλλὰ καὶ τὸν θυμὸν γενικά, μὲ εὐ-

τον εἰσάγει τὸν νόμον. Διὰ τοῦτο καὶ τῶν προτέρων ἀεὶ ῥημάτων ἀναμιμνήσκει, ἵνα δείξῃ ὅτι οὐκ ἐναντία ἐκείνοις, ἀλλὰ συμβαίνοντα λέγει· ἐπιτείνων αὐτά, οὐκ ἀνατρέπων· καὶ διορθούμενος, οὐ λύων.

Ὅρα δὲ αὐτὸν πανταχοῦ τῷ ἀνδρὶ διαλεγόμενον. «Ὁ γὰρ ἀπολύων», φησί, «τὴν γυναῖκα αὐτοῦ, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ γαμῶν ἀπολελυμένην, μοιχᾶται». Ὁ μὲν γάρ, κἂν ἑτέραν μὴ λάβῃ, τούτῳ αὐτῷ κατέστησεν ἑαυτὸν ἐγκλήματος ὑπεύθυνον, μοιχαλίδα ποιήσας ἐκείνην· ὁ δέ, τῷ τὴν ἀλλοτρίαν λαβεῖν, μοιχὸς γέγονε πάλιν. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ἐξέβαλεν ἐκεῖνος· καὶ γὰρ ἐκβληθεῖσα μένει τοῦ ἐκβάλλοντος οὖσα γυνή. Εἶτα, ἵνα μὴ τὸ ὅλον ἐπὶ τὸν ἐκβάλλοντα ῥίψας, αὐθαδεστέραν ἐργάσηται τὴν γυναῖκα, καὶ τὰς τοῦ δεχομένου μετὰ ταῦτα ἀπέκλεισεν αὐτῇ θύρας, τῷ μὲν εἰπεῖν, «Ὃς ἂν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται», τὴν γυναῖκα καὶ ἄκουσαν σωφρονίζων, καὶ τὴν πρὸς πάντας ἀποτειχίζων εἴσοδον αὐτῇ, καὶ οὐκ ἐπιτρέπων ἀφορμὰς παρέχειν μικροψυχίας. Ἡ γὰρ μαθοῦσα ὅτι πᾶσα ἀνάγκη, ἢ τὸν ἐξ ἀρχῆς κληρωθέντα ἔχειν, ἢ τῆς οἰκίας ἐκπεσοῦσαν ἐκείνης, μηδεμίαν ἑτέραν ἔχειν καταφυγήν, καὶ ἄκουσα ἠναγκάζετο στέργειν τὸν σύνοικον. Εἰ δὲ μηδὲν αὐτῇ περὶ τούτων διαλέγεται, μὴ θαυμάσῃς· ἀσθενέστερον γὰρ ἡ γυνή. Διὰ τοῦτο αὐτὴν ἀφείς, ἐν τῇ κατὰ τῶν ἀνδρῶν ἀπειλῇ τὴν αὐτῆς διορθοῦται ῥᾳθυμίαν. Ὥσπερ ἂν εἴ τις παῖδα ἄσωτον ἔχων, ἐκεῖνον ἀφείς, τοῖς ποιοῦσιν αὐτὸν τοιοῦτον ἐπιπλήττοι, κἀκείνοις ἀπαγορεύοι μὴ συγγίνεσθαι, μηδὲ πλησιάζειν αὐτῷ. Εἰ δὲ φορτικὸν τοῦτο, ἀναμνήσθητί μοι τῶν ἔμπροσθεν εἰρημένων, ἐφ' οἷς ἐμακάρισε τοὺς ἀκούοντας, καὶ ὄψει πολὺ δυνατὸν καὶ εὔκολον ὄν. Ὁ γὰρ πρᾶος καὶ εἰρηνοποιὸς καὶ πτωχὸς τῷ πνεύ-

κολίαν πλέον εἰσάγει καὶ τὸν νόμον αὐτόν. Δι' αὐτὸ ὑπενθυμίζει πάντοτε καὶ τοὺς παλαιοτέρους λόγους του, διὰ νὰ δείξῃ ὅτι δὲν λέγει ἀντίθετα, ἀλλὰ σύμφωνα μὲ αὐτά. Τὰ ἐτόνιζε, δὲν τὰ ἀπέτρεπε· τὰ διώρθωνε, δὲν τὰ διέγραφε.

Πρόσεξε πῶς ὁμιλεῖ πάντοτε διὰ τὸν ἄνδρα. «Αὐτὸς ποὺ διώχνει τὴ γυναῖκα του», λέγει, «τὴν κάνει νὰ μοιχεύεται, καὶ ὅποιος παίρνει αὐτὴν ποὺ τὴν ἔχουν διώξει, γίνεται μοιχός». Ὁ ἕνας, ἀκόμη καὶ ἂν δὲ πάρῃ ἄλλην, μὲ αὐτὴν τὴν πρᾶξιν του ἔκαμε τὸν ἑαυτόν του ὑπεύθυνον ἐγκλήματος, κάμνων ἐκείνην μοιχαλίδα. Ὁ ἄλλος πάλιν μὲ τὸ νὰ λάβῃ τὴν ἄλλην, γίνεται μοιχός. Μὴ μοῦ εἰπῇς ὅτι ἐκεῖνος τὴν ἔδιωξε. Καθόσον καὶ ὅταν διώχνεται, παραμένει γυναῖκα ἐκείνου ποὺ τὴν ἔδιωξεν. Ἔπειτα, διὰ νὰ μὴ ρίψῃ ὅλην τὴν εὐθύνην εἰς τὸν ἄνδρα ποὺ τὴν ἔδιωξε καὶ κάνει αὐθαδεστέραν τὴν γυναῖκα, κλείει δι' αὐτὴν καὶ τὴν θύραν ἐκείνου ποὺ ἔχει διάθεσιν νὰ τὴν δεχθῇ· εἰς τὸν ἕνα λέγει· «Ὅποιος νυμφευθῇ κάποιαν ποὺ ἔχουν διώξει, γίνεται μοιχὸς» καὶ σωφρονίζει ἔτσι τὴ γυναῖκα καὶ χωρὶς αὐτὴ νὰ θέλῃ καὶ μὲ τὸ νὰ τῆς κλείνῃ τὴν εἴσοδον πρὸς ὅλους καὶ μὲ τὸ νὰ μὴ τῆς ἐπιτρέπῃ νὰ παρέχῃ ἀφορμὰς μικροψυχίας. Διότι ὅταν αὐτὴ καταλάβαινεν ὅτι ἔπρεπε κατ' ἀπόλυτον ἀνάγκην ἢ νὰ ἔχῃ ὅποιον τῆς ἔτυχεν ἀπὸ τὴν ἀρχὴν ἢ ὅταν ἐξεδιώκετο ἀπὸ τὸ σπίτι ἐκεῖνο, νὰ μὴ εὕρῃ πουθενὰ ἀλλοῦ καταφύγιον, θὰ ἠναγκάζετο καὶ χωρὶς νὰ θέλῃ νὰ ὑποφέρῃ τὸν σύνοικον. Ἂν ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τῆς ἀπευθύνῃ, μὴ θαυμάζῃς. Εἶναι ἡ γυναῖκα ἀσθενεστέρα ὕπαρξις. Διὰ τοῦτο τὴν ἀφήνει καὶ τὴν διορθώνει μὲ τὴν ἀπειλὴν κατὰ τοῦ ἀνδρός. Καθώς, ἂν ἔχῃ κάποιος ἕνα ἄσωτο παιδί, τὸ ἀφήνει καὶ ἐπιπλήττει αὐτοὺς ποὺ τὸ κάνουν τέτοιο καὶ ἀπαγορεύει εἰς αὐτοὺς νὰ τὸ συναναστρέφωνται καὶ νὰ τὸ πλησιάζουν. Ἂν εἶναι τοῦτο βαρύ, θυμήσου ὅσα εἴπαμεν προηγουμένως, διὰ τὰ ὁποῖα ἐμακάρισεν ὅσους τὸν ἤκουαν, καὶ θὰ ἴδῃς ὅτι εἶναι πολὺ δυνατὸν καὶ εὔκολον. Ὁ πρᾶος καὶ ὁ εἰρηνοποιὸς καὶ ὁ ταπεινὸς εἰς τὸ πνεῦμα καὶ ὁ ἐλεήμων πῶς θὰ

ματι καὶ ἐλεήμων πῶς ἐκβαλεῖ τὴν γυναῖκα; ὁ ἑτέρους καταλλάττων, πῶς αὐτὸς διαστασιάσει πρὸς τὴν ἑαυτοῦ;

Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ κοῦφον ἐποίησε τὸν νόμον. Καὶ γὰρ καὶ τούτῳ καταλιμπάνει τρόπον ἕνα ἀφέσεως, εἰπών, «Παρεκτὸς λόγου πορνείας»· ἐπεὶ πάλιν εἰς τὸ αὐτὸ περιίστατο. Εἰ γὰρ ἐκέλευσε καὶ πολλοῖς συγγινομένην κατέχειν ἔνδον, πάλιν εἰς μοιχείαν τὸ πρᾶγμα κατέστρεφεν. Ὁρᾷς πῶς συμβαίνοντα ταῦτα τοῖς ἔμπροσθεν; Ὁ γὰρ μὴ βλέπων ἑτέραν γυναῖκα ἀκολάστοις ὀφθαλμοῖς, οὐ πορνεύσει· μὴ πορνεύων δέ, οὐ παρέξει τῷ ἀνδρὶ ἀφορμὴν ἐκβαλεῖν τὴν ἑαυτοῦ γυναῖκα. Διὰ δὴ τοῦτο λοιπὸν μετὰ ἀδείας ἐπισφίγγει, καὶ τὸν φόβον ἐπιτειχίζει, μέγαν ἐπισείων τῷ ἀνδρὶ τὸν κίνδυνον, εἴγε ἐκβάλοι· τῆς γὰρ μοιχείας τῆς ἐκείνης ὑπεύθυνον ἑαυτὸν ποιεῖ. Ἵνα γὰρ μὴ ἀκούσας, «Ἔξελε τὸν ὀφθαλμόν», νομίσῃς καὶ περὶ γυναικὸς ταῦτα λέγεσθαι, εὐκαίρως ἐπήγαγε τὴν ἐπιδιόρθωσιν ταύτην, ἑνὶ τρόπῳ μόνῳ συγχωρῶν ἐκβάλλειν αὐτήν, ἑτέρῳ δὲ οὐδενί.

«Πάλιν ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐκ ἐπιορκήσεις· ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως».

Τίνος ἕνεκεν οὐκ εὐθέως ἦλθεν ἐπὶ τὴν κλοπήν, ἀλλ' ἐπὶ τὴν ψευδομαρτυρίαν, ὑπερβὰς ἐκείνην τὴν ἐντολήν;

Ὅτι ὁ μὲν κλέπτων, ἔστιν ὅτε καὶ ὀμνύει· ὁ δὲ μήτε ὀμνύναι, μήτε ψεύδεσθαι εἰδώς, πολλῷ μᾶλλον οὐχ αἱρήσεται κλέπτειν. Ὥστε διὰ ταύτης κἀκείνην ἀνέτρεψε τὴν ἁμαρτίαν· τὸ γὰρ ψεῦδος ἀπὸ τοῦ κλέπτειν. Τί δέ ἐστιν, «Ἀποδώσεις τῷ Κυρίῳ τοὺς ὅρκους σου»; Τουτέστιν, Ἀληθεύσεις ὀμνύς. «Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως».

5. Εἶτα περαιτέρω αὐτοὺς ἀπάγων τοῦ κατὰ Θεοῦ ὀμνύναι, φησί· «Μήτε κατὰ τοῦ οὐρανοῦ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε κατὰ

διώξῃ τὴν γυναῖκα του; Αὐτὸς ποὺ συμφιλιώνει τοὺς ἄλλους πῶς θὰ ἔλθῃ εἰς διάστασιν μὲ τὴν ἰδικήν του γυναῖκα;

Καὶ ὄχι ἔτσι μόνον, ἀλλὰ καὶ μὲ ἄλλον τρόπον κάνει τὸν νόμον ἐλαφρότερον. Παραχωρεῖ καὶ εἰς τὸν ἄνδρα μίαν δυνατότητα νὰ συγχωρηθῇ λέγων, τὸ «Ἐκτὸς ἀπὸ λόγους πορνείας». Ἐπειδὴ καὶ πάλιν κατέληξεν εἰς τὸ ἴδιο. Ἂν δηλαδὴ ἐπρόσταζε νὰ τὴν κρατῇ εἰς τὸ σπίτι ἀκόμη καὶ ἂν συνευρίσκετο μὲ πολλούς, πάλιν τὸ πρᾶγμα θὰ κατέληγεν εἰς μοιχείαν. Βλέπεις πῶς αὐτὰ συμφωνοῦν μὲ τὰ πρῶτα; Ὅποιος δὲν βλέπει γυναῖκα μὲ ἀκόλαστα μάτια, δὲν θὰ πορνεύσῃ. Καὶ ἂν δὲν πορνεύσῃ, δὲν θὰ δώσῃ ἀφορμὴν εἰς τὸν ἄνδρα νὰ διώξῃ τὴν σύζυγόν του. Διὰ τοῦτο λοιπὸν τὸν περιορίζει μὲ κάποιαν ἐλευθερίαν καὶ τοῦ ὀρθώνει ὡς τεῖχος τὸν φόβον, ἐπισείων εἰς τὸν ἄνδρα μεγάλον τὸν κίνδυνον, ἂν τὴν διώξῃ. Τὸν καθιστᾷ ὑπεύθυνον διὰ τὴν μοιχείαν ἐκείνην. Διὰ νὰ μὴν ἀκούσῃς «Βγάλε τὸ μάτι» καὶ νομίσῃς ὅτι αὐτὰ λέγονται καὶ διὰ τὴν γυναῖκα, ἔκαμε κατάλληλα τὴν διόρθωσιν αὐτήν, συγχωρῶν τὴν ἐκδίωξίν της μὲ ἕνα μόνον τρόπον καὶ μὲ κανόνα ἄλλον.

«Πάλιν ἠκούσατε ὅτι ἔχει λεχθῆ εἰς τοὺς ἀρχαίους. Δὲν θὰ ἐπιορκήσῃς. Θὰ ἀποδώσῃς τοὺς ὅρκους σου εἰς τὸν Κύριον. Ἐγὼ ὅμως σᾶς λέγω νὰ μὴ ὁρκισθῆτε καθόλου».

Διὰ ποῖον λόγον δὲν ἐπέρασε κατ' εὐθεῖαν εἰς τὴν ἡδονήν, ἀλλὰ ἦλθεν εἰς τὴν ψευδομαρτυρίαν, παρακάμπτων ἐκείνην τὴν ἐντολήν;

Διότι ὁ μὲν κλέπτης κάποτε συμβαίνει καὶ νὰ ὁρκίζεται, ἐνῷ αὐτὸς ποὺ δὲν γνωρίζει οὔτε νὰ ὁρκίζεται οὔτε νὰ ψεύδεται, πολὺ περισσότερον δὲν θὰ προτιμήσῃ νὰ κλέψῃ. Ὥστε μὲ αὐτὴν ἐξουδετέρωσε καὶ ἐκείνην τὴν ἁμαρτίαν· ἡ ψευτιὰ προέρχεται ἀπὸ τὴν κλεψιά. Καὶ τί σημαίνει τό· «Θὰ ἀποδώσῃς τοὺς ὅρκους σου εἰς τὸν Κύριον»; Θέλει νὰ εἰπῇ· Θὰ ὁρκισθῇς ἀληθινά. «Ἐγὼ ὅμως σᾶς λέγω νὰ μὴ ὁρκισθῆτε καθόλου».

5. Ἔπειτα ἀπομακρύνων αὐτοὺς ἀκόμη περισσότερον ἀπὸ τὸν ὅρκον κατὰ τοῦ Θεοῦ, λέγει. «Μήτε εἰς τὸ ὄνομα τοῦ οὐρανοῦ, ἐπειδὴ εἶναι θρόνος τοῦ Θεοῦ, μήτε εἰς τὸ ὄνομα τῆς

Ἱερουσαλήμ, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως»· ἀπὸ τῶν προφητικῶν ἔτι φθεγγόμενος, καὶ δεικνὺς ἑαυτὸν οὐκ ἐναντιούμενον τοῖς παλαιοῖς· καὶ γὰρ ἔθος εἶχον κατὰ τούτων ὀμνύναι καὶ δείκνυσι πρὸς τῷ τέλει τοῦ Εὐαγγελίου τοῦτο τὸ ἔθος.

Σὺ δέ μοι θέα πόθεν ἐπαίρει τὰ στοιχεῖα· οὐκ ἀπὸ τῆς οἰκείας φύσεως, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ πρὸς αὐτὰ σχέσεως τῆς κατὰ συγκατάβασιν εἰρημένης. Ἐπειδὴ γὰρ πολλὴ ἡ τῆς εἰδωλολατρίας τυραννὶς ἦν, ἵνα μὴ δόξῃ τὰ στοιχεῖα δι' ἑαυτὰ εἶναι τίμια, ταύτην τέθεικε τὴν αἰτίαν ἣν εἰρήκαμεν, ἣ πάλιν εἰς τὴν τοῦ Θεοῦ δόξαν διέβαινεν. Οὐδὲ γὰρ εἶπεν· Ἐπειδὴ καλὸς καὶ μέγας ὁ οὐρανός· οὐδέ, Ἐπειδὴ χρησίμη ἡ γῆ· ἀλλ', Ἐπειδὴ τοῦ Θεοῦ ὁ μέν ἐστι θρόνος, ἡ δέ, ὑποπόδιον, πανταχόθεν αὐτοὺς ἐπὶ τὸν Δεσπότην συνωθῶν.

«Μήτε κατὰ τῆς κεφαλῆς σου», φησίν, «ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ποιῆσαι, ἢ μέλαιναν».

Πάλιν ἐνταῦθα οὐ θαυμάζων τὸν ἄνθρωπον, ἀπήγαγε τοῦ κατὰ τῆς κεφαλῆς ὀμνύναι· καὶ γὰρ ἂν καὶ αὐτὸς προσεκυνήθη· ἀλλὰ τὴν δόξαν ἐπὶ τὸν Θεὸν ἀνάγων, καὶ δεικνὺς ὅτι οὐδὲ σαυτοῦ εἶ κύριος, οὐκοῦν οὐδὲ τῶν κατὰ τῆς κεφαλῆς ὅρκων. Εἰ γὰρ τὸ παιδίον οὐκ ἄν τις δοίη τὸ ἑαυτοῦ ἑτέρῳ, πολλῷ μᾶλλον ὁ Θεὸς τὸ ἔργον τὸ ἑαυτοῦ οὐ προήσεταί σοι. Εἰ γὰρ καὶ σὴ ἡ κεφαλή, ἀλλ' ἑτέρου τὸ κτῆμα· καὶ τοσοῦτον ἀφέστηκας τοῦ κύριος εἶναι, ὅτι οὐδὲ τὸ πάντων ἔσχατον ἐργάσασθαι ἐν αὐτῇ δυνήσῃ. Οὐ γὰρ εἶπεν, Οὐ δύνασαι ἐξενεγκεῖν τρίχα· ἀλλ', Οὐδὲ ἀλλάξαι αὐτῆς τὴν ποιότητα. Τί οὖν, ἂν ἀπαιτῇ τις ὅρκον, φησί, καὶ ἀνάγκην ἐπάγῃ; Ὁ τοῦ Θεοῦ φόβος τῆς ἀνάγκης ἔστω δυνατώτερος. Ἐπεὶ εἰ μέλλοις τοιαύτας προβάλλεσθαι προφάσεις, οὐδὲν φυλάξεις τῶν ἐπιταχθέντων. Καὶ γὰρ καὶ ἐπὶ τῆς γυναικὸς ἐρεῖς· Τί οὖν, ἐὰν μάχιμος ᾖ καὶ δαπανηρά; Καὶ ἐπὶ

γῆς, ἐπειδὴ εἶναι τὸ ὑποπόδιον τῶν ποδιῶν του, μήτε εἰς τὸ ὄνομα τῆς Ἰερουσαλήμ, ἐπειδὴ εἶναι ἡ πόλις τοῦ μεγάλου Βασιλέως». Ὁ λόγος του ξεκινᾷ ἀπὸ τοὺς προφήτας καὶ παρουσιάζει τὸν ἑαυτόν του ὄχι ἀντίθετον μὲ τοὺς παλαιοὺς—εἶχαν βέβαια συνήθειαν νὰ ὁρκίζωνται εἰς τὸ ὄνομα αὐτῶν—καὶ παρουσιάζει τὴν συνήθειαν αὐτὴν διὰ τὸν σκοπὸν τοῦ Εὐαγγελίου.

Σὺ πρόσεξε πῶς τονίζει τὴν ἀξίαν τῶν στοιχείων ὄχι ἀπὸ τὴν ἰδιαιτέραν φύσιν τοῦ καθενός, ἀλλὰ ἀπὸ τὴν σχέσιν των πρὸς τὸν Θεόν, σχέσιν ποὺ λέγεται μὲ συγκατάβασιν. Ἐπειδὴ ἦτο πολλὴ ἡ τυραννία τῆς εἰδωλολατρίας, διὰ νὰ μὴ νομισθῇ ὅτι τὰ στοιχεῖα ἦσαν πολύτιμα ἀπὸ τὸν ἑαυτόν των, ἔκαμε τὴν αἰτιολογίαν ποὺ εἴπαμεν, ποὺ μετέβαινε πάλιν πρὸς δόξαν τοῦ Θεοῦ. Διότι δὲν εἶπεν, ἐπειδὴ εἶναι ὡραῖος καὶ μεγάλος ὁ οὐρανός, οὔτε, ἐπειδὴ ἡ γῆ εἶναι χρήσιμη, ἀλλά, ἐπειδὴ ὁ πρῶτος εἶναι θρόνος τοῦ Θεοῦ καὶ ἡ ἄλλη ὑποπόδιον. Ἀπὸ παντοῦ τὰ ἀνέφερεν ὅλα εἰς τὸν Κύριον.

«Μήτε νὰ ὁρκισθῇς εἰς τὴν κεφαλήν σου», λέγει, «ἐπειδὴ δὲν ἠμπορεῖς νὰ κάνῃς μίαν τρίχαν λευκὴν ἢ μαύρην».

Καὶ ἐδῶ δὲν ἀπομακρύνει τὸν ὅρκον ἀπὸ τὴν κεφαλήν, ἐπειδὴ θαυμάζει τὸν ἄνθρωπον· τότε θὰ ἐλατρεύετο καὶ ὁ ἄνθρωπος. Ἀναφέρει τὴν δόξαν εἰς τὸν Θεὸν καὶ δείχνει ὅτι οὔτε τοῦ ἑαυτοῦ σου δὲν εἶσαι κύριος καὶ ἑπομένως οὔτε τῶν ὅρκων κατὰ τῆς κεφαλῆς σου. Διότι ἂν κάποιος δὲν δίδῃ τὸ παιδί του εἰς ἄλλον, πολὺ περισσότερον ὁ Θεὸς δὲν ἐγκαταλείπει τὸ ἔργον του. Ἂν εἶναι ἰδική σου ἡ κεφαλή, ἡ κτῆσις της ἀνήκει εἰς ἄλλον. Καὶ ἀπέχεις τόσον πολὺ ἀπὸ τὸ νὰ εἶσαι κύριός της, ἀφοῦ οὔτε τὸ τελευταῖον ἀπὸ ὅλα δὲν ἠμπορεῖς νὰ τῆς κάνῃς. Διότι δὲν εἶπε· Δὲν ἠμπορεῖς ν' ἀφαιρέσῃς μίαν τρίχαν, ἀλλὰ οὔτε ν' ἀλλάξῃς τὸ χρῶμα της. Καὶ ὅταν λοιπὸν ἀπαιτῇ κάποιος ὅρκον, μᾶς λέγει, καὶ χρησιμοποιεῖ καὶ κάποιον ἐξαναγκασμόν; Ἀπὸ τὸν ἐξαναγκασμὸν αὐτὸν ἂς εἶναι ἰσχυρότερος ὁ φόβος τοῦ Θεοῦ. Ἂν εἶναι νὰ προβάλλῃς τέτοιου εἴδους προφάσεις, δὲν θὰ φυλάξῃς καμμίαν ἐντολήν. Εἰς τὴν περίπτωσιν τῆς γυναίκας θὰ εἰπῇς· Διατί νὰ μὴ τὴν διώξω ὅταν εἶναι φιλόνεικη καὶ

τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ· Τί οὖν, ἐὰν φιλῶ αὐτόν, καὶ διακαίωμαι; Καὶ ἐπὶ τῆς ὄψεως τῆς ἀκολάστου· Τί οὖν, ἐὰν μὴ δύνωμαι μὴ ὁρᾶν; Καὶ ἐπὶ τῆς πρὸς τὸν ἀδελφὸν ὀργῆς· Τί οὖν, ἐὰν προπετὴς ὦ καὶ μὴ δύνωμαι γλώττης κρατεῖν; καὶ πάντα ἁπλῶς οὕτω καταπατήσεις τὰ εἰρημένα. Καίτοιγε ἐπὶ τῶν νόμων τῶν ἀνθρωπίνων οὐδαμοῦ τοῦτο τολμᾷς προβαλέσθαι, οὐδὲ εἰπεῖν· Τί οὖν, ἐὰν τὸ καὶ τό; ἀλλὰ καὶ ἑκὼν καὶ ἄκων καταδέχῃ τὰ γεγραμμένα. Ἄλλως δέ, οὐδὲ ἀνάγκην ὑποστήσῃ ποτέ. Ὁ γὰρ τῶν ἔμπροσθεν μακαρισμῶν ἀκούσας, καὶ τοιοῦτον ἑαυτὸν παρασκευάσας, οἷον ἐπέταξεν ὁ Χριστός, οὐδεμίαν παρ' οὐδενὸς ὑποστήσεται τοιαύτην ἀνάγκην, αἰδέσιμος ὢν παρὰ πᾶσι καὶ σεμνός.

«Ἔστω δὲ ὑμῖν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι».

Τί οὖν ἐστι τὸ περισσὸν τοῦ ναὶ καὶ τοῦ οὔ; Ὁ ὅρκος, οὐ τὸ ἐπιορκεῖν. Ἐκεῖνο γὰρ καὶ ὡμολογημένον ἐστί, καὶ οὐδεὶς δεῖται μαθεῖν, ὅτι ἐκ τοῦ πονηροῦ ἐστι, καὶ οὐ περιττόν, ἀλλ' ἐναντίον· τὸ δὲ περιττόν, τὸ πλέον καὶ ἐκ περιουσίας προσκείμενον, ὅπερ ἐστὶν ὁ ὅρκος.

Τί οὖν, φησίν, ἐκ τοῦ πονηροῦ ἦν; καὶ εἰ ἐκ τοῦ πονηροῦ ἦν, πῶς νόμος ἦν;

Τὸ αὐτὸ δὴ τοῦτο καὶ περὶ τῆς γυναικὸς ἐρεῖς· πῶς μοιχεία νῦν νενόμισται τὸ πρότερον ἐπιτετραμμένον;

Τί οὖν πρὸς ταῦτα ἔστιν εἰπεῖν;

Ὅτι τῆς ἀσθενείας τῶν δεχομένων τοὺς νόμους ἦν τὰ λεγόμενα τότε· ἐπεὶ καὶ τὸ κνίσσῃ θεραπεύεσθαι σφόδρα ἀνάξιον Θεοῦ, ὥσπερ καὶ τὸ ψελλίζειν ἀνάξιον φιλοσόφου. Μοιχεία τοίνυν ἐνομίσθη νῦν τὸ τοιοῦτον, καὶ ἐκ τοῦ πονηροῦ τὸ ὀμνύναι, ὅτε ἐπέδωκε τὰ τῆς ἀρετῆς. Εἰ δὲ διαβόλου ταῦτα ἐξ ἀρχῆς ἦσαν νόμοι, οὐκ ἂν τοσοῦτον κατώρθωσαν. Καὶ γὰρ εἰ μὴ ἐκεῖνα πρῶτον προέδραμεν, οὐκ ἂν οὕτως εὐκόλως ἐδέχθη τὰ νῦν. Μὴ

πολυδάπανη; Διὰ τὸ δεξὶ μάτι· Τί πειράζει ἂν τὸ ἀγαπῶ παρ' ὅλον τὸν σκανδαλισμόν; Καὶ διὰ τὸ ἔνοχον κοίταγμα· Καὶ ἂν δὲν ἠμπορῶ νὰ μὴ κοιτάζω; Διὰ τὴν ὀργὴν πρὸς τὸν ἀδελφὸν πάλιν· Τί νὰ κάνω, ἂν εἶμαι θυμώδης καὶ δὲν ἠμπορῶ νὰ κρατήσω τὴν γλῶσσα μου; Ἔτσι εὔκολα θὰ παραβῇς ὅλας τὰς ἐντολάς. Ἀλλὰ διὰ τοὺς νόμους τῶν ἀνθρώπων δὲν τολμᾷς νὰ τὸ ἰσχυρισθῇς τοῦτο οὔτε καὶ νὰ εἰπῇς· Ἀφοῦ εἶναι ἔτσι καὶ ὄχι ἀλλιῶς θέλων καὶ μὴ θέλων ἀποδέχεσαι τὰ γραμμένα. Μὲ ἄλλο φρόνημα δὲν θὰ δεχθῇς κανένα ἐξαναγκασμόν. Ὅποιος ἤκουσε τοὺς προηγουμένους μακαρισμοὺς καὶ ἔκαμε τὸν ἑαυτόν του ὅπως ὥρισεν ὁ Χριστός, κανένα καὶ ἀπὸ κανένα δὲ θὰ δεχθῇ τέτοιον ἐξαναγκασμόν, ἀλλ' ὅλοι θὰ τὸν σέβωνται καὶ θὰ τὸν ἐκτιμοῦν.

«Ἂς εἶναι τὸ ναί σας ναὶ καὶ τὸ ὄχι σας ὄχι· τὸ παραπάνω ἀπὸ αὐτὰ προέρχεται ἀπὸ τὸν πονηρόν».

Τί εἶναι τὸ παραπάνω ἀπὸ τὸ ναὶ καὶ τὸ ὄχι; Εἶναι ὁ ὅρκος ὄχι ἡ ἐπιορκία. Τὸ δεύτερον καὶ τὸ ὁμολογοῦν ὅλοι καὶ κανεὶς δὲν ἔχει ἀνάγκην νὰ τὸ μάθῃ ὅτι προέρχεται ἀπὸ τὸν πονηρόν· καὶ δὲν εἶναι ἁπλῶς παραπάνω ἀλλὰ ἀντίθετον. Ἐνῷ τὸ παραπάνω, αὐτὸ ποὺ περισσεύει καὶ πλεονάζει, εἶναι ὁ ὅρκος.

Διατί, λέγει, ἦτο ἀπὸ τὸν πονηρόν; Καὶ ἂν ἦτο ἀπὸ τὸν πονηρόν, πῶς ἦτο νόμος;

Τὸ ἴδιο θὰ εἰπῇς καὶ διὰ τὴν γυναῖκα. Πῶς λοιπὸν κατήντησε νὰ θεωρῆται μοιχεία αὐτὸ ποὺ προηγουμένως ἐπετρέπετο;

Τί ἠμποροῦμεν λοιπὸν νὰ παρατηρήσωμεν εἰς αὐτά;

Ὅτι αἱ ἐντολαὶ τοῦ καιροῦ ἐκείνου ἀνταπεκρίνοντο εἰς τὴν ἀσθένειαν ἐκείνων ποὺ ἐδέχοντο τοὺς νόμους. Διότι τὸ νὰ δέχεσαι λατρείαν ἀπὸ κνίσσαν θυσιῶν εἶναι πολὺ ἀνάξιον τοῦ Θεοῦ, καθὼς καὶ τὸ ψεύδισμα εἶναι ἀνάξιον φιλοσόφου. Ἐθεωρήθη λοιπὸν αὐτὸ μοιχεία τώρα, καὶ ὅτι ὁ ὅρκος προέρχεται ἀπὸ τὸν πονηρόν, ὅταν προώδευσεν ἡ ἀρετή. Ἂν ὅμως αὐτὰ ἦσαν ἐξ ἀρχῆς νόμοι τοῦ διαβόλου, δὲν θὰ εἶχαν τόσην ἐπιτυχίαν. Διότι ἂν δὲν προηγοῦντο ἐκεῖνα, δὲν θὰ ἐγίνοντο δεκτὰ

τοίνυν αὐτῶν ἀπαίτει τὴν ἀρετὴν νῦν, ὅτε παρῆλθεν αὐτῶν ἡ χρεία· ἀλλὰ τότε, ὅτε ὁ καιρὸς αὐτὰ ἐκάλει· μᾶλλον δέ, εἰ βούλει, καὶ νῦν. Καὶ γὰρ καὶ νῦν ἡ ἀρετὴ αὐτῶν δείκνυται, καὶ δι᾽ αὐτὸ τοῦτο μάλιστα, δι᾽ ὃ παρ᾽ ἡμῶν διαβάλλεται. Τὸ γὰρ τοιαῦτα αὐτὰ φαίνεσθαι νῦν, ἐγκώμιον αὐτῶν μέγιστόν ἐστιν. Εἰ γὰρ μὴ καλῶς ἡμᾶς ἔθρεψε, καὶ πρὸς τὴν τῶν μειζόνων ὑποδοχὴν ἐπιτηδείους ἐποίησεν, οὐκ ἂν ἐφάνη τοιαῦτα. Ὥσπερ οὖν ὁ μαστός, ὅταν τὸ αὐτοῦ πληρώσῃ πᾶν, καὶ πρὸς τὴν τελειοτέραν τράπεζαν τὸ παιδίον παραπέμπῃ, λοιπὸν ἄχρηστος φαίνεται, καὶ οἱ πρότερον ἀναγκαῖον αὐτὸν εἶναι νομίζοντες τῷ παιδίῳ γονεῖς, μυρίοις αὐτὸν διαβάλλουσι σκώμμασι· πολλοὶ δὲ οὐδὲ ῥήμασιν αὐτὸν μόνον διαβάλλουσιν, ἀλλὰ καὶ πικροῖς ἐπιχρίουσι φαρμάκοις, ἵν᾽ ὅταν μὴ ἰσχύσῃ τὰ ῥήματα τὴν ἄκαιρον περὶ αὐτὸν διάθεσιν ἀνελεῖν τοῦ παιδίου, τὰ πράγματα σβέσῃ τὸν πόθον.

6. Οὕτω καὶ ὁ Χριστὸς ἐκ τοῦ πονηροῦ αὐτὰ ἔφησεν εἶναι, οὐχ ἵνα δείξῃ τοῦ διαβόλου τὴν παλαιὰν οὖσαν, ἀλλ᾽ ἵνα μετὰ πολλῆς τῆς ὑπερβολῆς ἀπαγάγῃ τῆς παλαιᾶς εὐτελείας. Καὶ πρὸς μὲν αὐτοὺς ταῦτα λέγει· ἐπὶ δὲ τῶν ἀναισθήτων Ἰουδαίων καὶ ἐπιμενόντων τοῖς αὐτοῖς, καθάπερ πικρίᾳ τινὶ τῷ τῆς αἰχμαλωσίας φόβῳ τὴν πόλιν περιχρίσας, ἄβατον ἐποίησεν. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἴσχυσεν αὐτοὺς κατέχειν, ἀλλὰ πάλιν αὐτὴν ἐπεθύμουν ἰδεῖν, ὥσπερ παιδίον ἐπὶ τὴν θηλὴν κατατρέχοντες, τέλεον αὐτὴν ἀπέκρυψε, καθελών τε αὐτὴν καὶ τοὺς πλείονας πόῤῥω ταύτης ἀπαγαγών· καθάπερ ἐπὶ τῶν βοῶν πολλοὶ τὰς δαμάλεις ἀποκλείοντες, τῷ χρόνῳ πείθουσιν ἀποστῆναι τῆς παλαιᾶς τοῦ γάλακτος συνηθείας. Εἰ δὲ τοῦ διαβόλου ἦν ἡ Παλαιά, οὐκ ἂν τῆς εἰδωλολατρίας ἀπήγαγεν, ἀλλὰ τοὐναντίον ἐνῆγεν ἂν εἰς αὐτὴν καὶ ἐνέβαλλε· τοῦτο γὰρ ὁ διάβολος ἤθελε. Νῦν δὲ τοὐναν-

τόσον εὔκολα τὰ τωρινά. Μὴ ζητᾷς λοιπὸν τώρα τὴν ἀρετὴν ἐκείνων, καθ' ἣν στιγμὴν ἔχει περάσει ἡ ἀνάγκη των. Νὰ τὴν ζητᾷς τότε, ὅταν αὐτὰ τὰ ἐκαλοῦσεν ἡ ἐποχὴ ἢ μᾶλλον καὶ τώρα, ἂν θέλῃς. Διότι ἡ ἀρετὴ τοῦ νόμου ἐκείνου φαίνεται καὶ τώρα καὶ μάλιστα ἀκριβῶς δι' αὐτό, διὰ τὸ ὁποῖον ἐμεῖς τὸν διαβάλλομεν. Τὸ ὅτι τὰ βλέπομεν αὐτὰ ἔτσι, εἶναι τὸ μεγαλύτερον ἐγκώμιόν των. Ἂν δὲν μᾶς ἔχουν θρέψῃ ὀρθὰ καὶ δὲν μᾶς ἔχουν κάμει ἐπιτηδείους νὰ δεχθῶμεν τὰ σπουδαιότερα, δὲν θὰ παρουσιάζοντο ἔτσι. Ὅπως ὁ μαστός, ὅταν ἐκπληρώσῃ ὅλην τὴν ἀποστολήν του καὶ παραπέμψῃ τὸ παιδὶ εἰς τελειοτέραν τράπεζαν, ὁμοιάζει πλέον ὡς ἄχρηστος, καὶ οἱ γονεῖς ποὺ τὸν ἐνόμιζαν προηγουμένως ἀπαραίτητον διὰ τὸ παιδί, τὸν κατηγοροῦν μὲ διάφορους κατηγορίας, καὶ πολλοὶ δὲν τὸν κατηγοροῦν μόνον μὲ λόγια, ἀλλὰ τὸν ἀλείφουν καὶ μὲ πικρὰ φάρμακα, ὥστε, ὅταν τὰ λόγια δὲν εὕρουν τὴ δύναμιν νὰ ἀπομακρύνουν τὴν ἄκαιρον τάσιν τοῦ παιδιοῦ πρὸς τὸν μαστόν, νὰ σβήσουν τὸν πόθον του τὰ πράγματα.

6. Ἔτσι καὶ ὁ Χριστὸς εἶπεν ὅτι αὐτὰ προέρχονται ἀπὸ τὸν πονηρόν, ὄχι διὰ ν' ἀποδείξῃ ὅτι ἡ Παλαιὰ Διαθήκη ἀνήκει εἰς τὸν διάβολον, ἀλλὰ διὰ νὰ μᾶς ἀπομακρύνῃ ἐξ ὁλοκλήρου ἀπὸ τὴν παλαιὰν εὐτέλειαν. Καὶ αὐτὰ μὲν λέγει εἰς αὐτούς. Διὰ τοὺς ἀναισθήτους ὅμως Ἰουδαίους ποὺ ἐπιμένουν εἰς τὰ ἴδια, ἀφοῦ ἐπάλειψε τὴν πόλιν μὲ τὸν φόβον τῆς αἰχμαλωσίας, σὰν νὰ ἦτο κάποιο δηλητήριον, τὴν ἔκαμεν ἀπάτητον. Ἐπειδὴ ὅμως οὔτε τοῦτο δὲν εἶχε τὴν δύναμιν νὰ τοὺς συγκρατήσῃ ἀλλὰ καὶ πάλιν ἐπιθυμοῦσαν νὰ τὴν ἰδοῦν, σπεύδων πρὸς αὐτὴν ὅπως τὸ παιδὶ εἰς τὴν φωνήν, τοὺς τὴν ἀπέκρυψεν ἐντελῶς. Τὴν κατεδάφισε καὶ ἀπεμάκρυνε τοὺς περισσοτέρους κατοίκους της. Ἔτσι καὶ πολλοὶ ποὺ ἀσχολοῦνται μὲ τὰ ἀγελάδια ἀποκλείουν τὰ μοσχάρια καὶ τὰ κάνουν μὲ τὸν καιρὸν νὰ ἀφήσουν τὴν παλαιὰν συνήθειαν τοῦ γάλακτος. Ἂν ὅμως ἡ Παλαιὰ Διαθήκη ἦτο τοῦ διαβόλου δὲν θὰ μᾶς ἀπεμάκρυνεν ἀπὸ τὴν εἰδωλολατρίαν, ἀλλὰ ἀντίθετα θὰ μᾶς ὡδηγοῦσε καὶ θὰ μάς ἔρριπτεν εἰς αὐτήν. Αὐτὸ ἤθελε καὶ ὁ διάβολος. Τώρα ὅμως βλέπομεν ὅτι

τίον ὁρῶμεν ὑπὸ τῆς Παλαιᾶς γινόμενον. Καὶ αὐτὸ δὲ τοῦτο, ὁ ὅρκος, τὸ παλαιὸν διὰ τοῦτο ἐνομοθετήθη, ἵνα μὴ κατὰ τῶν εἰδώλων ὀμνύωσιν. «Ὀμεῖσθε» γάρ, φησί, «τὸν Θεὸν τὸν ἀληθινόν».

Οὐ τοίνυν μικρὰ κατώρθωσεν ὁ νόμος, ἀλλὰ καὶ σφόδρα μεγάλα. Τὸ γὰρ ἐπὶ τὴν στερεὰν αὐτοὺς τροφὴν ἐλθεῖν, τῆς ἐκείνου σπουδῆς γέγονεν ἔργον.

Τί οὖν; οὐχὶ τοῦ Πονηροῦ, φησίν, ἐστὶ τὸ ὀμνύναι;

Καὶ σφόδρα μὲν οὖν τοῦ πονηροῦ· ἀλλὰ νῦν, μετὰ τὴν τοσαύτην φιλοσοφίαν, τότε δὲ οὔ. Καὶ πῶς ἂν τὸ αὐτὸ γένοιτο, φησί, νῦν μὲν καλόν, νῦν δὲ οὐ καλόν; Ἐγὼ δὲ τοὐναντίον λέγω· πῶς δὲ οὐκ ἂν γένοιτο καλὸν καὶ οὐ καλόν, τῶν πραγμάτων ἁπάντων αὐτὰ βοώντων, τῶν τεχνῶν, τῶν καρπῶν, τῶν ἄλλων ἁπάντων; Ὅρα γοῦν ἐπὶ τῆς φύσεως τῆς ἡμετέρας αὐτὸ πρῶτον συμβαῖνον. Τὸ γὰρ βαστάζεσθαι ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ καλόν, μετὰ δὲ ταῦτα ὀλέθριον· τὸ μεμασημένην τροφὴν ἐσθίειν, ἐν μὲν προοιμίοις τῆς ζωῆς ἡμῶν καλόν, μετὰ δὲ ταῦτα βδελυγμίας γέμει· τὸ γαλακτοτροφεῖσθαι καὶ πρὸς τὴν θηλὴν φεύγειν, ἐν ἀρχῇ μὲν χρήσιμον καὶ σωτήριον, μετὰ δὲ ταῦτα ὀλέθριον καὶ βλαβερόν.

Ὁρᾷς πῶς τὰ αὐτὰ πράγματα ὑπὸ τῶν καιρῶν καλά, καὶ οὐ τοιαῦτα φαίνεται πάλιν; Καὶ γὰρ τὸ ἱμάτιον φορεῖν παιδικὸν μειρακίῳ μὲν ὄντι καλόν, ἀνδρὶ δὲ γενομένῳ πάλιν αἰσχρόν. Βούλει καὶ ἐκ τῶν ἐναντίων μαθεῖν, πῶς τῷ παιδὶ τὰ τοῦ ἀνδρὸς ἀνάρμοστα πάλιν; Δὸς τῷ παιδὶ ἱμάτιον ἀνδρικόν, καὶ πολὺς ἔσται ὁ γέλως καὶ μείζων ὁ κίνδυνος, ἐν τῷ βαδίζειν οὕτω περιτρεπομένου πολλάκις. Δὸς αὐτῷ μεταχειρίζειν πράγματα πολιτικὰ καὶ ἐμπορεύεσθαι καὶ σπείρειν καὶ ἀμᾶσθαι καὶ πάλιν πολὺς ἔσται ὁ γέλως. Καὶ τί λέγω ταῦτα; Ὁ γὰρ φόνος ὁ παρὰ πᾶσιν ὡμολογημένος εὕρεμα εἶναι τοῦ πονηροῦ, οὗτος ἐπιλαβό-

1. Ἱερ. 4,2

ἡ Παλαιὰ προκαλεῖ τὸ ἀντίθετον. Καὶ αὐτὸς ὁ ἴδιος ὁ ὅρκος, δι' αὐτὸ ἐνομοθετήθη τὴν παλαιὰν ἐποχήν, διὰ νὰ μὴ ὁρκίζωνται εἰς τὸ ὄνομα τῶν εἰδώλων. «Θὰ ὁρκίζεσθε», λέγει, «εἰς τὸ ὄνομα τοῦ Θεοῦ, τοῦ ἀληθινοῦ» [1].

Δὲν ἐπέτυχε λοιπὸν μικρὰ πράγματα ὁ μωσαϊκὸς νόμος, ἀλλὰ πολὺ μεγάλα. Τὸ ὅτι ἔφθασαν εἰς τὴν στερεὰν τροφὴν εἶναι ἔργον τῆς φροντίδος του.

Λοιπόν; Δὲν εἶναι, λέγει, τὸ νὰ ὁρκιζώμεθα ἔργον τοῦ πονηροῦ;

Καὶ πάρα πολὺ μάλιστα εἶναι τοῦ πονηροῦ. Εἶναι ὅμως τώρα, ἔπειτα ἀπὸ τόσην πνευματικὴν ζωήν· τότε δὲν ἦτο. Καὶ πῶς θὰ ἠμποροῦσε, λέγει, νὰ γίνῃ εἰς μίαν στιγμὴν καλὸν καὶ τὴν ἄλλην ὄχι; Ἐγὼ ὅμως λέγω τὸ ἀντίθετον. Πῶς δὲν θὰ ἐγίνετο καλὸν ἢ ὄχι καλόν, ἀφοῦ ὅλα τὰ πράγματα αὐτὸ διαλαλοῦν, αἱ τέχναι, οἱ καρποί, ὅλα τὰ ἄλλα; Πρόσεξε ὅτι αὐτὸ συμβαίνει πρῶτα εἰς τὴν ἰδικήν μας φύσιν. Τὸ νὰ σὲ κρατῶ εἰς τὴν ἀγκάλην εἰς τὴν πρώτην ἡλικίαν εἶναι καλόν, ἔπειτα ὅμως εἶναι καταστρεπτικόν· τὸ νὰ τρώγῃς μασημένην τροφήν, εἶναι καλὸν εἰς τὰ προοίμια τῆς ζωῆς μας, ἔπειτα ὅμως μᾶς γεμίζει ἀηδίαν· ἡ γαλακτοτροφία καὶ ἡ προσφυγὴ εἰς τὸν μαστόν, κατὰ τὴν ἀρχὴν εἶναι χρήσιμον καὶ σωτήριον, ἔπειτα ὅμως γίνεται καταστρεπτικὸν καὶ βλαβερόν.

Βλέπεις ὅτι τὰ ἴδια πράγματα ἀνάλογα μὲ τὸν καιρὸν ἀποδεικνύονται καλὰ καὶ πάλιν ἀντίθετα; Ὅταν φορῇς παιδικὸν ἔνδυμα ὅσον εἶσαι παιδὶ εἶναι ὅ,τι πρέπει, εἶναι ὅμως ἄσχημον ὅταν γίνῃς ἄνδρας. Θέλεις νὰ μάθῃς καὶ μὲ τὸ ἀντίθετον παράδειγμα, πῶς πάλιν γίνονται ἀκατάλληλα διὰ τὸ παιδὶ ὅσα ἁρμόζουν εἰς τὸν ἄνδρα; Δῶσε εἰς τὸ παιδὶ ἀνδρικὸν φόρεμα καὶ θὰ ἐπακολουθήσῃ ἄφθονον γέλιο, καὶ μεγαλύτερος κίνδυνος, καθὼς περπατῶντας θὰ πέφτῃ συχνά. Ἄφησέ το νὰ ἀσχοληθῇ μὲ τὰ πράγματα τῆς πόλεως, νὰ ἐπιδοθῇ εἰς τὸ ἐμπόριον, εἰς τὴν σπορὰν καὶ τὸν θερισμὸν καὶ πάλι θὰ γελάσουν ὅλοι. Διατὶ ὅμως τὰ ἀναφέρω αὐτά; Ὁ φόνος, ποὺ ὅλοι ὁμολογοῦν ὅτι εἶναι ἐφεύρεσις τοῦ πονηροῦ, ἁρπάζων τὴν κατάλληλον εὐ-

μενος καιροῦ τοῦ προσήκοντος, τὸν ἐργασάμενον αὐτὸν Φινεὲς ἱερωσύνῃ τιμηθῆναι ἐποίησεν. Ὅτι γὰρ ὁ φόνος ἔργον ἐκείνου, ἄκουσον τί φησιν· «Ὑμεῖς τὰ ἔργα τοῦ Πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς». Ἀλλ' ἐγένετο ἀνθρωποκτόνος ὁ Φινεές, «Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην», φησίν. Ὁ δὲ Ἀβραὰμ οὐκ ἀνθρωποκτόνος μόνον, ἀλλὰ καὶ παιδοκτόνος—ὃ πολλῷ χεῖρον ἦν—γενόμενος, μειζόνως εὐδοκίμησε πάλιν. Καὶ ὁ Πέτρος δὲ διπλοῦν εἰργάσατο φόνον, ἀλλ' ὅμως πνευματικὸν τὸ γενόμενον ἦν.

Μὴ τοίνυν ἁπλῶς τὰ πράγματα ἐξετάζωμεν, ἀλλὰ καὶ καιρόν, καὶ αἰτίαν καὶ γνώμην, καὶ προσώπων διαφοράν, καὶ ὅσα ἂν αὐτοῖς ἕτερα συμβαίνῃ πάντα μετὰ ἀκριβείας ζητῶμεν· οὐδὲ γὰρ ἔστιν ἑτέρως ἐφικέσθαι τῆς ἀληθείας· καὶ σπουδάζωμεν, εἰ βουλοίμεθα βασιλείας ἐπιτυχεῖν, πλέον τι τῶν παλαιῶν ἐπιδείξασθαι ἐπιταγμάτων, ὡς οὐκ ἐνὸν ἄλλως ἐπιλαβέσθαι τῶν οὐρανίων. Ἂν γὰρ εἰς τὸ αὐτὸ μέτρον τῶν παλαιῶν φθάσωμεν, ἔξω τῶν προθύρων στησόμεθα τούτων. «Ἂν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἀλλ' ὅμως, καὶ τοσαύτης ἀπειλῆς κειμένης, εἰσί τινες, οἳ οὐ μόνον οὐχ ὑπερβαίνουσι τὴν δικαιοσύνην ἐκείνην, ἀλλὰ καὶ ὑστεροῦσιν αὐτῆς. Οὐ γὰρ μόνον ὅρκους οὐ φεύγουσιν, ἀλλὰ καὶ ἐπιορκοῦσιν· οὐ μόνον ἀκόλαστον ὄψιν οὐκ ἐκκλίνουσιν, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν πονηρὰν ἐμπίπτουσι πρᾶξιν, καὶ τὰ ἄλλα πάντα ἀναλγήτως τὰ κεκωλυμένα τολμῶσιν· ἓν μόνον ἀναμένοντες, τῆς κολάσεως τὴν ἡμέραν, καὶ πότε τὴν ἐσχάτην τῶν πεπλημμελημένων δώσουσι δίκην· ὃ τῶν ἐν πονηρίᾳ καταλυσάντων τὸν βίον ἐστὶ μόνον. Ἐκείνους γὰρ ἀπογινώσκειν χρή, καὶ μηδὲν ἕτερον ἢ

---

1. Ἀριθ. κεφ. 27
2. Ἰω. 8,41 καὶ 44
3. Ψαλ. 105,31
4. Πρ. κεφ. 5
5. Ματθ. 5,20

καιρίαν ἔκαμε τὸν Φινεὲς ποὺ τὸν διέπραξε νὰ τιμηθῇ μὲ τὴν ἱερωσύνην [1]. Ὅτι ὁ φόνος εἶναι ἔργον τοῦ διαβόλου, ἄκουσε τί λέγει· «Σεῖς θέλετε νὰ πράττετε τὰ ἔργα τοῦ πατέρα σας, ἐκεῖνος ἀπὸ τὴν ἀρχὴ ἦταν ἀνθρωποκτόνος» [2]. Ἔγινεν ἀνθρωποκτόνος καὶ ὁ Φινεὲς καὶ ὅμως μᾶς λέγει ὅτι «Τοῦ ἐλογαριάσθη ὡς πρᾶξις δικαιοσύνης» [3]. Ἀλλὰ καὶ ὁ Ἀβραὰμ μολονότι ἔγινεν ὄχι μόνον ἀνθρωποκτόνος ἀλλὰ καὶ παιδοκτόνος—πρᾶγμα πολὺ χειρότερον—ἐν τούτοις ἐπρόκοψεν ἀκόμη περισσότερον. Καὶ ὁ Πέτρος ἔπραξε διπλοῦν φόνον, ὅ,τι ἔγινεν ὅμως ἦτο πνευματικόν [4].

Ἂς μὴ ἐξετάζωμεν λοιπὸν τὰ πράγματα καθ' ἑαυτά· ἂς προσέχωμεν καὶ τὸν χρόνον καὶ τὴν αἰτίαν καὶ τὴν γνώμην καὶ τὴν διαφορὰν τῶν προσώπων καὶ ὅ,τι ἄλλο εἶναι σχετικὸν μὲ αὐτὰ ἂς τὸ ἐρευνῶμεν μὲ προσοχήν. Δὲν ἠμποροῦμεν νὰ φθάσωμεν ἀλλοιῶς εἰς τὴν ἀλήθειαν· καὶ ἂς προθυμοποιούμεθα, ἂν θέλωμεν νὰ ἐπιτύχωμεν τὴν βασιλείαν, νὰ παρουσιάζωμεν κάτι περισσότερον ἀπὸ τὰς παλαιὰς ἐντολάς, ἐπειδὴ δὲν εἶναι δυνατὸν μὲ κανένα ἄλλον τρόπον νὰ ἐπιτύχωμεν τὰ οὐράνια. Ἂν φθάσωμεν εἰς τὸ ἴδιο ἐπίπεδον μὲ τοὺς παλαιούς, θὰ σταθῶμεν ἔξω ἀπὸ νὰ πρόθυρα αὐτά. «Ἂν ἡ δικαιοσύνη σας δὲν γίνῃ περισσοτέρα ἀπὸ τῶν γραμματέων καὶ τῶν Φαρισαίων, δὲν ἠμπορεῖτε νὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» [5]. Ἐν τούτοις καὶ παρόλον ὅτι ὑπάρχει μία τέτοια ἀπειλή, εἶναι μερικοὶ ποὺ ὄχι μόνον παραβαίνουν τοὺς κανόνας τῆς δικαιοσύνης ἐκείνης ἀλλὰ καὶ ἀποδεικνύονται κατώτεροί της. Ὄχι μόνον δὲν ἀποφεύγουν τοὺς ὅρκους, ἀλλὰ γίνονται καὶ ἐπίορκοι. Ὄχι μόνον δὲν ἀποστρέφονται τὸ ἀκόλαστον θέαμα, ἀλλὰ πέφτουν καὶ εἰς αὐτὴν τὴν κακὴν πρᾶξιν. Ὅπως τολμοῦν χωρὶς συναίσθησιν καὶ ὅλα τὰ ἄλλα ἀπηγορευμένα. Καὶ περιμένουν ἕνα μόνον, τὴν ἡμέραν τῆς κολάσεως καὶ πότε θὰ ὑποστοῦν τὴν ἐσχάτην τιμωρίαν διὰ τὰ ἁμαρτήματά των. Αὐτὴ εἶναι ἡ μόνη ἀπολαβὴ ὅσων ἐτελείωσαν τὴν ζωήν των μὲ τὴν ἁμαρτίαν. Καὶ ὅσοι ἐτελείωσαν τὴν ζωήν των πρέπει νὰ εἶναι ἀπελπισμένοι καὶ νὰ μὴ περιμένουν τίποτε ἄλλο πλέον παρὰ τὴν κόλα-

τὴν κόλασιν λοιπὸν ἀναμένειν. Οἱ γὰρ ἐνταῦθα ὄντες ἔτι, καὶ ἀναμαχήσασθαι δυνήσονται καὶ νικῆσαι καὶ στεφανωθῆναι ῥᾳδίως.

7. Μὴ τοίνυν ἀναπέσῃς, ἄνθρωπε, μηδὲ τὴν καλὴν καταλύσῃς προθυμίαν· οὐδὲ γὰρ φορτικὰ τὰ ἐπιταττόμενα. Ποῖος πόνος, εἰπέ μοι, ὅρκον φεύγειν; μὴ γὰρ δαπάνη χρημάτων ἐστί; μὴ γὰρ ἱδρὼς καὶ ταλαιπωρία; Ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν γέγονεν. Εἰ δὲ τὴν συνήθειάν μοι προβάλλῃ, δι αὐτὸ μὲν οὖν τοῦτο μάλιστα εὔκολον εἶναί φημι τὸ κατόρθωμα. Ἂν γὰρ εἰς ἑτέραν σαυτὸν καταστήσῃς συνήθειαν, τὸ πᾶν κατώρθωσας. Ἐννόησον γοῦν ὅτι παρ' Ἕλλησι πολλοί, οἱ μὲν τραυλίζοντες, μελέτῃ πολλῇ χωλεύουσαν αὐτοῖς τὴν γλῶσσαν διώρθωσαν· οἱ δὲ τοὺς ὤμους ἀτάκτως ἀναφερομένους καὶ κινουμένους συνεχῶς, ξίφος ἐπιτιθέντες ἀπέστησαν. Ἐπειδὴ γὰρ ἀπὸ Γραφῶν οὐ πείθεσθε, ἀπὸ τῶν ἔξωθεν ἀναγκάζομαι ἐντρέπειν. Τοῦτο καὶ ὁ Θεὸς πρὸς Ἰουδαίους ἐποίει λέγων· «Πορεύθητε εἰς νήσους Χετιείμ, καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ γνῶτε εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν· καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί». Καὶ πρὸς τὰ ἄλογα δὲ πέμπει πολλάκις, οὕτω λέγων· «Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ πορεύθητι πρὸς τὴν μέλισσαν».

Τοῦτο τοίνυν καὶ ἐγὼ νῦν ὑμῖν ἐρῶ· ἐννοήσατε τοὺς Ἑλλήνων φιλοσόφους, καὶ τότε εἴσεσθε πόσης ἐσμὲν ἄξιοι κολάσεως οἱ τῶν νόμων τῶν θείων παρακούοντες· ὅταν ἐκεῖνοι μὲν ὑπὲρ εὐσχημοσύνης ἀνθρωπίνης μυρία ὦσι πεπονηκότες, ὑμεῖς δὲ μηδὲ ὑπὲρ τῶν οὐρανίων τὴν αὐτὴν παρέχησθε σπουδήν. Εἰ δὲ καὶ μετὰ ταῦτα λέγοις, ὅτι δεινὸν ἡ συνήθεια κλέψαι καὶ τοὺς σφόδρα σπουδάζοντας, ὁμολογῶ μὲν τοῦτο κἀγώ· πλὴν κἀκεῖνο μετὰ τούτου φημί, ὅτι ὥσπερ δεινὸν ἀπατῆσαι, οὕτω καὶ εὔκολον διορθωθῆναι. Ἂν γὰρ ἐπιστήσῃς ἐπὶ τῆς

---

1. Ἱερ. 2, 10 - 11
2. Παρμ. 6,6

σιν. Ἐπειδὴ ὅσοι εἶναι ἀκόμη ἐδῶ καὶ τὴν μάχην θὰ ἠμπορέσουν νὰ ἀναλάβουν ἐκ νέου, καὶ νὰ νικήσουν καὶ εὔκολα νὰ στεφανωθοῦν.

7. Μὴ ἀποθαρρυνθῇς λοιπόν, ἄνθρωπε, καὶ μὴ καταστρέψῃς τὴν ὠφέλιμον προθυμίαν. Ἐξ ἄλλου δὲν εἶναι βαριὰ ὅσα σοῦ ἐπιβάλλονται. Εἰπέ μου, τί κόπος εἶναι νὰ ἀποφεύγῃς τὸν ὅρκον; Ἀπαιτεῖται χρηματικὴ δαπάνη; Μήπως ἱδρῶτας καὶ ταλαιπωρία; Φθάνει νὰ θελήσῃς μόνον καὶ αὐτὸ ἦτο ὅλον. Ἂν μοῦ προβάλῃς τὴν συνήθειαν, δι' αὐτὸ ἀκριβῶς σοῦ λέγω ὅτι τὸ κατόρθωμα εἶναι εὐκολώτατον. Ἂν ὑποβάλῃς τὸν ἑαυτόν σου εἰς μίαν ἄλλην συνήθειαν, ἔχεις κατορθώσει τὸ πᾶν. Στοχάσου λοιπὸν ὅτι εἰς τοὺς Ἕλληνας πολλοί, ἄλλοι ποὺ ἐτραύλιζαν μὲ τὴν πολλὴν ἄσκησιν διώρθωσαν τὴν ἀνάπηρην γλῶσσαν των καὶ ἄλλοι ἐσταμάτησαν τοὺς ὤμους των ποὺ ὑψώνοντο ἄτακτα καὶ ἐκινοῦντο συνεχῶς κρεμῶντες ἐπάνω των ξίφος. Ἔτσι εἶναι. Ἐπειδὴ δὲν ἠμπορῶ νὰ σᾶς πείσω ἀπὸ τὴν Γραφήν, σᾶς παρακινῶ μὲ παραδείγματα ἔξω ἀπὸ αὐτήν. Τοῦτο ἔκαμε καὶ ὁ Θεὸς εἰς τοὺς Ἰουδαίους ὅταν τοὺς ἔλεγε· «Πηγαίνετε εἰς τὰ νησιὰ Χεκείμ, στείλετε εἰς τὴν Κηδὰρ καὶ μάθετε ἂν θὰ ἀλλάξουν τὰ ἔθνη τοὺς θεούς των. Αὐτοὶ τότε δὲν εἶναι θεοί» [1]. Συχνὰ παραπέμπει καὶ εἰς τὰ ἄλογα μὲ αὐτοὺς τοὺς λόγους· «Πήγαινε, ὀκνηρέ, εἰς τὸ μυρμήγκι καὶ μιμήσου τὸ φέρσιμόν του». Ἐπίσης «πήγαινε εἰς τὴν μέλισσαν» [2].

Τὸ ἴδιο λοιπὸν καὶ ἐγὼ θὰ εἰπῶ τώρα· Σκεφθῆτε τοὺς φιλοσόφους τῶν Ἑλλήνων καὶ τότε θὰ ἐννοήσετε πόσην τιμωρίαν ἀξίζομεν ἐμεῖς ποὺ παραβαίνομεν τοὺς θείους νόμους, ὅταν ἐκεῖνοι διὰ μίαν ἀνθρωπίνην κοσμιότητα καταβάλλουν μυρίους κόπους, ἐνῷ σεῖς δὲν δείχνετε τὸ ἴδιο ἐνδιαφέρον διὰ τὰ οὐράνια ἀγαθά. Ἂν ἔπειτα ἀπὸ αὐτὰ ἰσχυρισθῇς, ὅτι ἡ συνήθεια εἶναι φοβερὰ ἐπιτήδειον πρᾶγμα νὰ ἐξαπατήσῃ καὶ αὐτοὺς ποὺ προσέχουν ὑπερβολικά, τὸ ὁμολογῶ τοῦτο καὶ ἐγώ. Μαζὶ μὲ αὐτὸ ὅμως ὑποστηρίζω καὶ τοῦτο· ὅτι ὅπως εἶναι φοβερὸν νὰ ἐξαπατήσῃ, εἶναι ἄλλο τόσον εὔκολον νὰ διορθωθῇ. Ἂν μέσα εἰς τὸ σπίτι σου βάλῃς πολλοὺς νὰ σὲ φυλάγουν, τὸν ὑπηρέτην

οἰκίας πολλοὺς σαυτῷ φύλακας, οἷον τὸν οἰκέτην, τὴν γυναῖκα, τὸν φίλον, ῥᾳδίως ὑπὸ πάντων συνωθούμενός τε καὶ συνελαυνόμενος, ἀποστήσῃ τῆς πονηρᾶς συνηθείας. Κἂν δέκα ἡμέρας μόνον αὐτὸ κατορθώσῃς, οὐκέτι δεήσῃ λοιπὸν ἑτέρου χρόνου, ἀλλὰ κείσεταί σοι μετὰ ἀσφαλείας τὸ πᾶν, τῇ τῆς καλλίστης συνηθείας στεῤῥότητι πάλιν ῥιζωθέν. Ὅταν οὖν ἄρξῃ τοῦτο διορθοῦν, κἂν ἅπαξ, κἂν δεύτερον παραβῇς τὸν νόμον, κἂν τρίτον, κἂν εἰκοστόν, μὴ ἀπογνῷς· ἀλλὰ πάλιν ἀνάστηθι, καὶ ἐπιλαβοῦ τῆς αὐτῆς σπουδῆς, καὶ περιέσῃ πάντως.

Οὐδὲ γὰρ τὸ τυχόν ἐστι κακὸν ἐπιορκία. Εἰ δὲ τὸ ὀμνύναι τοῦ πονηροῦ, τὸ ἐπιορκεῖν πόσην οἴσει τὴν τιμωρίαν; Ἐπηνέσατε τὰ εἰρημένα; Ἀλλά μοι κρότων οὐ δεῖ, οὐδὲ θορύβων, οὐδὲ ἠχῆς. Ἓν βούλομαι μόνον, μεθ' ἡσυχίας καὶ ἐπιστήμης ἀκούοντας, ποιεῖν τὰ λεγόμενα. Τοῦτό μοι κρότος, τοῦτο ἐγκώμιον. Ἂν δὲ ἐπαινῇς μὲν τὰ εἰρημένα, μὴ ποιῇς δὲ ἅπερ ἐπαινεῖς, μείζων μὲν ἡ κόλασις, πλείων δὲ ἡ κατηγορία, καὶ ἡμῖν αἰσχύνη καὶ γέλως. Οὐδὲ γὰρ θέατρόν ἐστι τὰ παρόντα, οὐ τραγῳδοὺς κάθησθε θεώμενοι νῦν, ἵνα κροτῆτε μόνον. Διδασκαλεῖόν ἐστι τὰ ἐνταῦθα πνευματικόν. Διὸ καὶ τὸ σπουδαζόμενον ἕν ἐστιν, ὥστε κατορθῶσαι τὰ εἰρημένα, καὶ διὰ τῶν ἔργων ἐπιδεῖξαι τὴν ὑπακοήν. Τότε γὰρ τὸ πᾶν ἐσόμεθα ἀπειληφότες· ὡς νῦν γε καὶ ἀπηγορεύσαμεν λοιπόν. Καὶ γὰρ καὶ τοῖς ἰδίᾳ συντυγχάνουσιν οὐ διέλιπον ταῦτα, παραινῶν, καὶ ὑμῖν κοινῇ διαλεγόμενος, καὶ οὐδὲν ὅλως ὁρῶ γεγενημένον πλέον, ἀλλ' ἔτι τῶν προτέρων ὑμᾶς ἐχομένους στοιχείων· ὅπερ ἱκανὸν τῷ διδάσκοντι πολὺν ἐνθεῖναι τὸν ὄκνον.

Ὅρα γοῦν καὶ Παῦλον διὰ τοῦτο δυσανασχετοῦντα, ὅτι πολὺν χρόνον τοῖς προτέροις ἐνδιέτριβον μαθήμασιν οἱ ἀκροαταί. «Καὶ γὰρ ὀφείλοντες εἶναι», φησί, «διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκεσθαι ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ». Διὸ καὶ ἡμεῖς θρηνοῦμεν

σου π.χ., τὴν γυναῖκα σου, τὸν φίλον σου, εὔκολα, καθὼς ὅλοι θὰ σὲ παρακινοῦν καὶ θὰ σὲ καθοδηγοῦν, θὰ ἐλευθερωθῇς ἀπὸ τὴν κακὴν συνήθειαν. Καὶ ἂν τὸ ἐπιτύχῃς διὰ δέκα ἡμέρας μόνον, δὲν θὰ χρειασθῇς εἰς τὸ ἑξῆς ἄλλα χρονικὰ περιθώρια, ἀλλὰ θὰ ἔχῃς ἀσφαλισμένον εἰς τὰ χέρια σου τὸ πᾶν, ριζωμένον πάλιν μέσα σου μὲ τὴν στερεότητα τῆς ὡραιοτάτης συνηθείας. Καὶ ὅταν ἀρχίσῃς τὴν διόρθωσιν, ἂν μίαν καὶ δύο φορὰς παραβῇς τὸν νόμον καὶ τρεῖς καὶ εἴκοσιν φοράς, μὴ ἀπελπισθῇς. Σηκώσου πάλιν, ξανάρχισε μὲ τὸ ἴδιον ἐνδιαφέρον καὶ ὁπωσδήποτε θὰ νικήσῃς.

Ἡ ἐπιορκία δὲν εἶναι τυχαῖον κακόν. Ἂν ὁ ὅρκος προέρχεται ἀπὸ τὸν πονηρόν, πόσην τιμωρίαν προκαλεῖ ἡ ἐπιορκία; Ἐπιδοκιμάσατε τοὺς λόγους μου; Δὲν μοῦ χρειάζονται χειροκροτήματα, οὔτε θόρυβοι, οὔτε βοή. Ἕνα μόνο ἐπιθυμῶ· ν' ἀκοῦτε μὲ ἡσυχίαν καὶ ἐπίγνωσιν καὶ νὰ ἐκτελῆτε ὅ,τι σᾶς λέγω. Αὐτὸ εἶναι δι' ἐμὲ τὸ χειροκρότημα καὶ ὁ ἔπαινος. Ἂν ὅμως ἐπαινῇς τὰ λεγόμενα καὶ δὲν πράττῃς ὅσα ἐπαινῇς εἶναι μεγαλυτέρα ἡ τιμωρία, περισσοτέρα ἡ κατηγορία καὶ διὰ ἐμένα ἐντροπὴ καὶ περίγελως. Δὲν ἔχομεν στήσει ἐδῶ θέατρον, δὲν κάθεσθε τώρα παρακολουθοῦντες τραγωδίαν, διὰ νὰ χειροκροτῆτε μόνον. Ἐδῶ ἔχομεν διδασκαλεῖον πνευματικόν. Διὰ τοῦτο καὶ ὅ,τι μᾶς ἐνδιαφέρει εἶναι ἕνα, νὰ πραγματοποιήσωμεν ὅ,τι λέγομεν καὶ νὰ παρουσιάσωμεν τὴν ὑπακοήν μας μὲ ἔργα. Τότε θὰ ἀπολαύσωμεν τὰ πάντα, ὅπως τώρα τὰ ἔχομεν ἀπαγορεύσει. Διότι καὶ μὲ ὅσους συνηντήθημεν κατ' ἰδίαν δὲν ἔπαυσα νὰ τοὺς παρακινῶ δι' αὐτά, ὅπως καὶ εἰς ἐσᾶς ὁμιλῶ κοινὰ πρὸς ὅλους σας. Δὲν εἶδα ὅμως νὰ γίνεται τίποτε περισσότερον ἀλλὰ σᾶς βλέπω νὰ εἶσθε δεμένοι μὲ τὰς πρώτας συνηθείας σας. Τοῦτο εἶναι ἀρκετὸν διὰ τὸν διδάσκαλον νὰ τοῦ προκαλέσῃ πολὺν δισταγμόν.

Πρόσεξε καὶ τὸν Παῦλον ποὺ δυσανασχετεῖ δι' αὐτό, διὰ τὸ ὅτι οἱ ἀκροαταί του ἔμειναν πολὺν καιρὸν εἰς ὅ,τι εἶχαν προηγουμένως. Τοὺς λέγει· «Ἐνῷ εἴχατε καθῆκον νὰ εἶσθε ἀπὸ τὸ πολὺ διάστημα διδάσκαλοι, ἔχετε ἀκόμη ἀνάγκην νὰ σᾶς διδάσκουν ποῖα εἶναι τὰ βασικὰ στοιχεῖα τῶν λόγων τοῦ Θε-

καὶ ὀδυρόμεθα. Κἂν ἐπιμένοντας ἴδω, ἀπαγορεύσω λοιπὸν ὑμῖν τῶν ἱερῶν τούτων ἐπιβῆναι προθύρων, καὶ τῶν ἀθανάτων μετασχεῖν μυστηρίων, ὥσπερ τοῖς πορνεύουσι καὶ μοιχεύουσι καὶ ἐπὶ φόνοις ἐγκαλουμένοις. Καὶ γὰρ βέλτιον μετὰ δύο καὶ τριῶν τοὺς τοῦ Θεοῦ φυλαττόντων νόμους τὰς συνήθεις ἀναφέρειν εὐχάς, ἢ πλῆθος ἐπισύρεσθαι παρανομούντων καὶ τοὺς ἄλλους διαφθειρόντων. Μή μοί τις πλούσιος, μή μοί τις δυνάστης ἐνταῦθα φυσάτω, καὶ τὰς ὀφρῦς ἀνασπάτω. Πάντα μοι ταῦτα μῦθος καὶ σκιὰ καὶ ὄναρ. Οὐδεὶς γὰρ τῶν νῦν πλουτούντων ἐκεῖ μου προστήσεται, ὅταν ἐγκαλῶμαι καὶ κατηγορῶμαι, ὡς μὴ μετὰ τῆς προσηκούσης σφοδρότητος τοὺς τοῦ Θεοῦ διεκδικήσας νόμους. Τοῦτο γάρ, τοῦτο καὶ τὸν θαυμαστὸν ἐκεῖνον πρεσβύτην ἀπώλεσε, καίτοι βίον παρεχόμενον ἄληπτον· ἀλλ' ὅμως, ἐπειδὴ τοὺς τοῦ Θεοῦ νόμους πατουμένους ὑπερεῖδεν, ἐκολάζετο μετὰ τῶν παίδων, καὶ τὴν χαλεπὴν ἐδίδου τιμωρίαν. Εἰ δὲ ἔνθα τοσαύτη τῆς φύσεως ἦν ἡ τυραννίς, ὁ μὴ μετὰ τῆς προσηκούσης ἀνδρείας τοῖς ἑαυτοῦ παισὶ χρησάμενος οὕτω χαλεπὴν ἔδωκε δίκην, τίνα ἕξομεν συγγνώμην ἡμεῖς, καὶ τῆς τυραννίδος ἐκείνης ἀπηλλαγμένοι, καὶ κολακείᾳ τὸ πᾶν διαφθείροντες;

Ἵν' οὖν μὴ καὶ ἡμᾶς καὶ ὑμᾶς αὐτοὺς προσαπολέσητε, πείσθητε, παρακαλῶ, καὶ κυρίους ἐξεταστὰς καὶ λογιστὰς ἑαυτοῖς καταστήσαντες, ἀπαλλάγητε τῆς τῶν ὅρκων συνηθείας, ἵνα ὁδῷ προβαίνοντες ἐντεῦθεν, καὶ τὴν ἄλλην ἀρετὴν μετ' εὐκολίας κατορθώσητε πάσης, καὶ τῶν μελλόντων ἀπολαύσητε ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ἑβρ. 5,12

οῦ» [1]. Δι' αὐτὸ καὶ ἐγὼ θρηνῶ καὶ ὀδύρομαι. Καὶ ἂν σᾶς ἰδῶ νὰ ἐπιμένετε, θὰ σᾶς ἀπαγορεύσω εἰς τὸ ἑξῆς νὰ πατήσετε αὐτὰ τὰ ἱερὰ πρόθυρα καὶ νὰ κοινωνήσετε τὰ ἀθάνατα μυστήρια, ὅπως γίνεται μὲ ὅσους πορνεύουν καὶ μοιχεύουν καὶ κατηγοροῦνται διὰ φόνον. Διότι εἶναι προτιμότερον μὲ δύο ἢ τρεῖς μόνον ποὺ φυλάσσουν τὸν νόμον τοῦ Θεοῦ νὰ ἀναπέμπωμεν τὰς τακτικὰς εὐχάς, παρὰ νὰ προσπαθῶ νὰ σύρω μαζί μου πλῆθος ἀπὸ παρανομοῦντας ποὺ διαφθείρουν τοὺς ἄλλους. Ἂς μὴ ξεφυσᾷ ἐδῶ κάποιος πλούσιος ἢ κάποιος ἀξιωματοῦχος καὶ ἂς μὴ συστέλλῃ τὰ φρύδια του. Ὅλα αὐτὰ ἐγὼ τὰ θεωρῶ μῦθον καὶ σκιὰν καὶ ὄνειρον. Κανεὶς ἀπὸ ὅσους πλουτοῦν τώρα δὲν θὰ γίνῃ ἐκεῖ προστάτης μου, ὅταν ἐγκαλοῦμαι καὶ κατηγοροῦμαι, ἐπειδὴ δὲν διεξεδίκησα μὲ ὅσην δύναμιν ἔπρεπε τὴν ἐφαρμογὴν τῶν θείων νόμων. Τοῦτο ἀκριβῶς ἔφερεν εἰς τὴν καταστροφὴν καὶ τὸν θαυμάσιον ἐκεῖνον γέροντα, μολονότι παρουσίαζε ζωὴν ἀκατηγόρητον. Ἐπειδὴ ὅμως ἀδιαφόρησε διὰ τοὺς νόμους τοῦ Θεοῦ ποὺ τοὺς καταπατοῦσαν, διὰ τοῦτο κατεδικάσθη μὲ τὰ παιδιά του καὶ ὑπέστη τὴν βαρυτάτην τιμωρίαν. Ἂν τώρα, ὅπου τόσον τυραννικὰ κυριαρχεῖ ὁ φυσικὸς δεσμός, αὐτὸς ποὺ δὲν συμπεριεφέρθη εἰς τὰ παιδιά του μὲ τὴν αὐστηρότητα ποὺ ἔπρεπεν, ἐτιμωρήθη τόσον σκληρά, ποίαν συγγνώμην περιμένομεν ἐμεῖς, ποὺ καὶ ἀπὸ τὸν ἰσχυρότατον ἐκεῖνον δεσμὸν εἴμεθα ἀπηλλαγμένοι καὶ τὸ πᾶν καταστρέφομεν μὲ τὴν κολακείαν μας;

Διὰ νὰ μὴ καταστρέψετε λοιπὸν μαζὶ μὲ ἐμᾶς καὶ τὸν ἑαυτόν σας, πεισθῆτε, σᾶς παρακαλῶ, καὶ ἀφοῦ ὁρίσετε διὰ τὸν ἑαυτόν σας μυρίους ἐξεταστὰς καὶ ἐλεγκτάς, ἀπαλλαγῆτε ἀπὸ τὴν συνήθειαν τῶν ὅρκων. Προοδεύοντες καὶ προχωρῶντες ἀπὸ ἐδῶ νὰ κατορθώσετε νὰ πραγματοποιήσετε καὶ τὴν ἄλλην ἀρετὴν μὲ κάθε εὐκολίαν καὶ τὰ μελλοντικὰ ἀγαθὰ ν' ἀπολαύσετε. Μακάρι αὐτὰ νὰ τὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις τώρα καὶ πάντοτε καὶ εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ'.
Ματθ. 5, 38 - 48

«Ἠκούσατε ὅτι ἐῤῥέθη, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον».

1. Ὁρᾷς ὅτι οὐ περὶ ὀφθαλμοῦ τὰ πρότερα ἔλεγεν, ἡνίκα ἐνομοθέτει ὀφθαλμὸν ἐκκόπτειν τὸν σκανδαλίζοντα, ἀλλὰ περὶ τοῦ διὰ φιλίας βλέποντος ἡμᾶς, καὶ εἰς τὸ τῆς ἀπωλείας ἐμβάλλοντος βάραθρον; Ὁ γὰρ τοσαύτην ἐνταῦθα ποιούμενος τὴν ὑπερβολήν, καὶ μηδὲ ἑτέρου ἐξορύττοντος τὸν ὀφθαλμὸν ἐπιτρέπων ἐκκόψαι τὸν ἐκείνου, πῶς ἂν τὸν ἑαυτοῦ ἐκκόπτειν ἐνομοθέτησεν; Εἰ δέ τις τοῦ παλαιοῦ κατηγορεῖ νόμου, διὰ τὸ κελεύειν οὕτως ἀμύνεσθαι, σφόδρα μοι δοκεῖ σοφίας νομοθέτῃ πρεπούσης ἄπειρος εἶναι, καὶ καιρῶν δύναμιν ἀγνοεῖν, καὶ συγκαταβάσεως κέρδος. Ἂν γὰρ ἐννοήσῃ τίνες ἦσαν οἱ ταῦτα ἀκούοντες, καὶ πῶς διακείμενοι, καὶ πότε τὴν νομοθεσίαν ἐδέξαντο ταύτην, σφόδρα ἀποδέξεται τοῦ νομοθέτου τὴν σοφίαν, καὶ ὄψεται ὅτι εἷς καὶ ὁ αὐτὸς ὁ ἐκεῖνα καὶ ταῦτα νομοθετήσας ἐστί, καὶ σφόδρα χρησίμως ἑκάτερα καὶ μετὰ τοῦ προσήκοντος γράψας καιροῦ. Καὶ γὰρ εἰ παρὰ τὴν ἀρχὴν τὰ ὑψηλὰ ταῦτα καὶ ὑπέρογκα εἰσήγαγε παραγγέλματα, οὔτ' ἂν ταῦτα ἐδέξατο, οὔτε ἐκεῖνα· νυνὶ δὲ ἐν καιρῷ τῷ προσήκοντι ἑκάτερα διαθείς, τὴν οἰκουμένην δι' ἀμφοτέρων κατώρθωσεν ἅπασαν.

ΟΜΙΛΙΑ ΙΗ'
Ματθ. 5, 38 - 48

«Ἔχετε ἀκούσει ὅτι ἐλέχθη· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος. Ἐγὼ ὅμως σᾶς λέγω νὰ μὴ ἀντιστέκεσθε εἰς τὸν πονηρόν, ἀλλὰ ὅποιος σὲ κτυπήσῃ εἰς τὴν δεξιὰν σιαγόνα, νὰ τοῦ στρέψῃς καὶ τὴν ἄλλην. Καὶ εἰς ἐκεῖνον ποὺ θέλει νὰ σὲ ὁδηγήσῃ εἰς τὸ δικαστήριον καὶ νὰ πάρῃ τὸ ὑποκάμισόν σου ἄφησέ του καὶ τὸ ἐπανωφόρι σου».

1. Βλέπεις ὅτι δὲν ὡμιλοῦσε προηγουμένως περὶ ὀφθαλμοῦ, ὅταν ἐνομοθετοῦσε νὰ ἀποκόπτωμεν τὸν ὀφθαλμὸν ποὺ μᾶς σκανδαλίζει, ἀλλὰ περὶ ἐκείνου ποὺ μᾶς βλάπτει μὲ τὸ πρόσχημα τῆς φιλίας καὶ μᾶς σπρώχνει εἰς τὸ βάραθρον τῆς ἀπωλείας; Αὐτὸς ποὺ τονίζει ἐδῶ μὲ τόσην ἔμφασιν καὶ δὲν ἐπιτρέπει νὰ ἀφαιρέσῃ κάποιος τὸν ὀφθαλμὸν οὔτε ἐκείνου ποὺ τοῦ βγάζει τὸν ἰδικόν του, πῶς θὰ ἐνομοθετοῦσε νὰ βγάζῃ κανεὶς τὸ ἴδιο του τὸ μάτι; Καὶ ἂν κάποιος κατηγορῇ τὸν παλαιὸν νόμον, ποὺ ὁρίζει νὰ ἀμυνώμεθα μὲ αὐτὸν τὸν τρόπον, μοῦ φαίνεται πὼς εἶναι ὁλότελα ἄπειρος τῆς σοφίας ποὺ ἁρμόζει εἰς νομοθέτην καὶ ἀγνοεῖ τὴν δύναμιν τῶν περιστάσεων καὶ τὸ κέρδος τῆς συγκαταβάσεως. Ἂν σκεφθῇ κανεὶς ποῖοι ἦσαν ἐκεῖνοι ποὺ τὰ ἤκουαν αὐτὰ καὶ ποία ἡ κατάστασίς των καὶ πότε εἶχαν δεχθῆ αὐτὴν τὴν νομοθεσίαν, θὰ κάμῃ πλήρως ἀποδεκτὴν τὴν σοφίαν τοῦ νομοθέτου καὶ θὰ ἰδῇ ὅτι εἶναι ἕνας καὶ ὁ αὐτὸς ποὺ ἐνομοθέτησε καὶ αὐτὰ καὶ ἐκεῖνα, καὶ τὰ δύο μὲ τὴν ἰδίαν ὠφελιμότητα καὶ τὰ ἔγραψε εἰς τὴν κατάλληλον περίστασιν. Διότι ἂν ἀπὸ τὴν ἀρχὴν ἔθετεν αὐτὰ τὰ ὑψηλὰ καὶ ὑπέρογκα παραγγέλματα, δὲν θὰ ἐγίνοντο δεκτὰ οὔτε αὐτὰ οὔτε ἐκεῖνα. Τώρα ὅμως μοιράζων αὐτὰ καὶ ἐκεῖνα εἰς τὴν ἐποχὴν ποὺ ἔπρεπε, καὶ μὲ αὐτὰ καὶ μὲ ἐκεῖνα ἀνώρθωσεν ὁλόκληρον τὴν οἰκουμένην.

Ἄλλως δὲ καὶ τοῦτο ἐκέλευσεν, οὐχ ἵνα τοὺς ἀλλήλων ἐκκόπτωμεν ὀφθαλμούς, ἀλλ' ἵνα παρ' ἑαυτοῖς τὰς χεῖρας κατέχωμεν. Ἡ γὰρ ἀπειλὴ τοῦ παθεῖν τὴν ἐπὶ τὸ δρᾶσαι ὁρμὴν διεκώλυσε. Καὶ οὕτω δὴ πολλὴν ἠρέμα ὑποσπείρει τὴν φιλοσοφίαν, ὅπου γε παθόντα τοῖς ἴσοις ἀμύνεσθαι κελεύει· καίτοιγε μείζονος κολάσεως ἄξιος ἦν ὁ τῆς παρανομίας ταύτης κατάρξας, καὶ τοῦτο ὁ τοῦ δικαίου λόγος ἀπαιτεῖ. Ἀλλ' ἐπειδὴ καὶ φιλανθρωπίαν ἐβούλετο κεράσαι τῷ δικαίῳ, τὸν μείζονα πλημμελήσαντα ἐλάττονι τῆς ἀξίας καταδικάζει τιμωρίᾳ, παιδεύων καὶ ἐν τῷ πάσχειν πολλὴν ἐπιδείκνυσθαι τὴν ἐπιείκειαν.

Εἰπὼν τοίνυν τὸν παλαιὸν νόμον, καὶ ἀναγνοὺς αὐτὸν ἅπαντα, δείκνυσι πάλιν οὐ τὸν ἀδελφὸν ὄντα τὸν ταῦτα ἐργασάμενον, ἀλλὰ τὸν πονηρόν. Διὰ τοῦτο καὶ ἐπήγαγεν· «Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ». Οὐκ εἶπε, Μὴ ἀντιστῆναι τῷ ἀδελφῷ, ἀλλά, «Τῷ πονηρῷ»· δεικνὺς ὅτι ἐκείνου κινοῦντος ταῦτα τολμᾶται, καὶ ταύτῃ τὸ πολὺ τῆς ὀργῆς τῆς πρὸς τὸν πεποιηκότα χαλῶν καὶ ὑποτεμνόμενος, τῷ τὴν αἰτίαν ἐφ' ἕτερον μεταθεῖναι.

Τί οὖν; οὐ χρὴ ἡμᾶς ἀνθίστασθαι τῷ πονηρῷ; φησί.

Δεῖ μέν, οὐ τούτῳ δὲ τῷ τρόπῳ· ἀλλ' ὡς αὐτὸς ἐπέταξε, τῷ παρέχειν ἑαυτὸν πάσχειν κακῶς· οὕτω γὰρ αὐτοῦ περιέσῃ. Οὐδὲ γὰρ πυρὶ σβέννυται πῦρ, ἀλλ' ὕδατι πῦρ. Ἵνα δὲ μάθῃς ὅτι καὶ ἐν τῷ παλαιῷ νόμῳ ὁ παθὼν κρατεῖ μᾶλλον καὶ οὗτός ἐστιν ὁ στεφανούμενος, ἐξέτασον αὐτὸ τὸ γινόμενον, καὶ ὄψει πολλὴν αὐτοῦ τὴν προεδρίαν οὖσαν. Ὁ μὲν γὰρ ἄρξας χειρῶν ἀδίκων, ἀμφοτέρους αὐτὸς ἔσται ἀνῃρηκὼς τοὺς ὀφθαλμούς, καὶ τὸν τοῦ πλησίον, καὶ τὸν αὐτοῦ. Διὸ καὶ μισεῖται παρὰ πάντων δικαίως, καὶ μυρίαις βάλλεται κατηγορίαις. Ὁ δὲ ἠδικημένος καὶ μετὰ τὸ τοῖς ἴσοις ἀμύνεσθαι, οὐδὲν ἔσται δεινὸν πε-

Ἄλλο εἶναι τὸ νόημα καὶ αὐτῆς τῆς διαταγῆς του, ὄχι νὰ βγάζωμεν ὁ ἕνας τὰ μάτια τοῦ ἄλλου ἀλλὰ νὰ κρατοῦμεν τὰ χέρια μας εἰς τὴν ἐξουσίαν μας. Ὁ φόβος τοῦ νὰ πάθωμεν κάτι ἐμποδίζει τὴν ὁρμὴν νὰ προξενήσωμεν κάτι. Καὶ ἔτσι σταλάζει ἤρεμα πολλὴν φιλοσοφίαν, ὅταν ὁρίζῃ ν' ἀνταποδίδῃ τὰ ἴσα ὅποιος παθαίνει κάτι. Μολονότι ἀξίζει μεγαλυτέραν τιμωρίαν αὐτὸς ποὺ ἔκαμεν ἀρχὴν εἰς τὴν παρανομίαν καὶ τοῦτο τὸ ἀπαιτεῖ ἡ δικαιοσύνη. Ἐπειδὴ ὅμως ἤθελε νὰ συγκεράσῃ τὴν δικαιοσύνην μὲ τὴν φιλανθρωπίαν, αὐτὸν ποὺ ἔκαμε μεγαλύτερον πλημμέλημα τὸν καταδικάζει εἰς μικροτέραν ἀπὸ ὅ,τι ἔπρεπε τιμωρίαν, διδάσκων νὰ δείχνωμεν ἀκόμη καὶ ὅταν μᾶς κακοποιοῦν πολλὴν ἐπιείκειαν.

Ὅταν ἀνεφέρθη εἰς τὸν παλαιὸν νόμον καὶ τὸν ἀνέγνωσεν ὁλόκληρον, μᾶς δείχνει ὅτι δὲν εἶναι ὁ ἀδελφὸς ποὺ τὰ ἔκαμεν αὐτὰ ἀλλὰ ὁ πονηρός. Διὰ τοῦτο καὶ ἐπρόσθεσεν· «Ἐγὼ ὅμως σᾶς λέγω νὰ μὴ ἀντισταθῆτε εἰς τὸν πονηρόν». Δὲν εἶπε νὰ μὴ ἀντισταθῆτε εἰς τὸν ἀδελφόν, ἀλλὰ εἰς τὸν πονηρόν. Δείχνει ἔτσι ὅτι ἐκεῖνος σπρώχνει καὶ τολμῶνται τέτοια πράγματα καὶ ἔτσι χαλαρώνει καὶ μετριάζει τὴν ὑπερβολικὴν ὀργὴν πρὸς τὸν δράστην, μεταθέτων τὴν αἰτίαν εἰς ἄλλον.

Καὶ λοιπόν, δὲν πρέπει ὅμως ν' ἀντιστεκώμεθα εἰς τὸν πονηρόν; Ἀντιλέγει κάποιος.

Καὶ βέβαια πρέπει, ὄχι ὅμως μὲ τὸν συνηθισμένον τρόπον. Ὁ τρόπος ποὺ μᾶς ὑποδεικνύει εἶναι, νὰ παρέχωμεν τὸν ἑαυτόν μας εἰς τὴν κακοποίησιν· διότι ἔτσι θὰ τὸν νικήσῃς. Καὶ τὴν φωτιὰ δὲν τὴν σβήνουν μὲ τὴν φωτιὰ ἀλλὰ μὲ τὸ νερό. Διὰ νὰ μάθῃς ὅμως ὅτι καὶ εἰς τὸν παλαιὸν νόμον πιὸ ἰσχυρὸς εἶναι αὐτὸς ποὺ ἔπαθε καὶ αὐτὸς εἶναι ποὺ στεφανώνεται νικητής, ἐξέτασε τὸ ἴδιο τὸ συμβαῖνον καὶ θὰ ἰδῇς πόσον αὐτὸς προηγεῖται. Αὐτὸς ποὺ ἔκαμεν ἀρχὴν εἰς τὴν ἀδικίαν, ἔχει βγάλει καὶ τὰ δύο μάτια καὶ τὸ ἰδικόν του καὶ τοῦ ἀδελφοῦ του. Διὰ τοῦτο καὶ δίκαια τὸν μισοῦν ὅλοι καὶ τὸν κτυποῦν μὲ ἀπείρους κατηγορίας. Ἐνῷ αὐτὸς ποὺ ἔχει ἀδικηθῆ καὶ ἀφοῦ ἀνταποδώσῃ

ποιηκώς. Διὸ καὶ πολλοὺς ἔχει τοὺς συναλγοῦντας, ἅτε καθαρὸς ὤν, καὶ μετὰ τὸ ποιῆσαι, ταύτης τῆς πλημμελείας. Καὶ τὰ μὲν τῆς συμφορᾶς ἴσα ἀμφοτέροις· τὰ δὲ τῆς δόξης οὐκ ἴσα, οὔτε παρὰ Θεῷ, οὔτε παρὰ ἀνθρώποις. Διόπερ λοιπὸν οὐδὲ τὰ τῆς συμφορᾶς ἴσα.

Ἀρχόμενος μὲν οὖν ἔλεγεν· «Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, καὶ ὁ μωρὸν καλῶν, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός»· ἐνταῦθα δὲ καὶ πλείονα ἀπαιτεῖ φιλοσοφίαν, οὐ μόνον κελεύων ἡσυχάζειν τὸν πάσχοντα κακῶς, ἀλλὰ καὶ ἀντιφιλοτιμεῖσθαι μειζόνως, τὴν ἑτέραν παρέχοντα σιαγόνα. Τοῦτο δὲ λέγει, οὐ περὶ τῆς τοιαύτης πληγῆς νομοθετῶν μόνον, ἀλλὰ καὶ τὴν ἐν ἅπασι τοῖς ἄλλοις ἀνεξικακίαν παιδεύων ἡμᾶς.

2. Ὥσπερ γὰρ ὅταν λέγῃ, ὅτι «Ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρόν, ἔνοχος ἔσται τῇ γεέννῃ», οὐ περὶ τοῦ ῥήματος τούτου λέγει μόνον, ἀλλὰ καὶ περὶ λοιδορίας ἁπάσης· οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ἵνα ῥαπιζόμενοι φέρωμεν γενναίως, νομοθετεῖ, ἀλλ' ἵνα καὶ πᾶν ὁτιοῦν πάσχοντες μὴ θορυβώμεθα. Διὰ τοῦτο κἀκεῖ τὴν ἐσχάτην ὕβριν ἐπελέξατο, καὶ ἐνταῦθα τὴν μάλιστα δοκοῦσαν εἶναι πληγὴν ἐπονείδιστον, τὴν ἐπὶ σιαγόνος, καὶ πολλὴν ἔχουσαν τὴν ὕβριν τέθεικε. Κελεύει δὲ τοῦτο, ὑπέρ τε τοῦ πλήττοντος, ὑπέρ τε τοῦ πληττομένου τὸν λόγον ποιούμενος. Ὅ τε γὰρ ὑβρισμένος, οὐδὲν ἡγήσεται πάσχειν δεινόν, οὕτω παρεσκευασμένος φιλοσοφεῖν (οὐδὲ γὰρ τῆς ὕβρεως αἴσθησιν λήψεται, ἅτε ἀγωνιζόμενος μᾶλλον ἢ τυπτόμενος)· ὅ τε ἐπηρεάζων καταισχυνθεὶς οὐκέτι δευτέραν ἐπάξει πληγήν, κἂν θηρίου παντὸς χαλεπώτερος ᾖ, ἀλλὰ καὶ ἐπὶ τῇ προτέρᾳ σφόδρα ἑαυτοῦ καταγνώσεται. Οὐδὲν γὰρ οὕτω κατέχει τοὺς ἀδικοῦντας, ὡς τὸ φέρειν τοὺς ἀδικουμένους ἐπιεικῶς τὰ γινόμενα· οὐ κατέχει δὲ μόνον τῆς προσωτέρω ῥύμης, ἀλλὰ καὶ ἐπὶ τοῖς φθάσασι με-

τὰ ἴσα, δὲν ἔχει κάμει τίποτε φοβερόν. Διὰ τοῦτο ἔχει καὶ πολλοὺς ποὺ τὸν συμπονοῦν ἐπειδὴ εἶναι ἀθῶος ἀπὸ τὸ παράπτωμα αὐτὸ ἀκόμη καὶ ἀφοῦ τὸ ἔχει πράξει. Καὶ ἡ μὲν συμφορὰ εἶναι ἴση καὶ διὰ τοὺς δύο. Δὲν εἶναι ὅμως καὶ ἡ δόξα των ἴση, οὔτε μεταξὺ τῶν ἀνθρώπων οὔτε ἐμπρὸς εἰς τὸν Θεόν. Ἄρα δὲν εἶναι οὔτε ἡ συμφορά των ἴση.

Ἔλεγε λοιπὸν εἰς τὴν ἀρχήν· «Αὐτὸς ποὺ ὀργίζεται κατὰ τοῦ ἀδελφοῦ του χωρὶς λόγον καὶ τὸν ἀποκαλεῖ μωρόν, θὰ εἶναι ἔνοχος διὰ τὴν γέενναν τοῦ πυρός». Ἐδῶ τώρα ἀπαιτεῖ ἀκόμα μεγαλυτέραν πνευματικότητα· δὲν προστάζει μόνον νὰ ἡσυχάζῃ αὐτὸς ποὺ κακοποιεῖται, ἀλλὰ νὰ ἀντιπαραθέτῃ μεγαλυτέραν φιλοτιμίαν, στρέφων καὶ τὴν ἄλλην σιαγόνα. Δὲν τὸ λέγει νομοθετῶν δι' αὐτὰ μόνον τὰ χτυπήματα, ἀλλὰ διδάσκων τὴν ἀνεξικακίαν καὶ εἰς ὅλας τὰς ἄλλας περιπτώσεις.

2. Ὅταν μᾶς λέγῃ ὅτι «αὐτὸς ποὺ καλεῖ τὸν ἀδελφόν του μωρόν, θὰ εἶναι ἔνοχος εἰς τὴν γέενναν τοῦ πυρός», δὲν ὁμιλεῖ μόνον διὰ τὴν κατηγορίαν αὐτήν. Ἔτσι καὶ ἐδῶ δὲν νομοθετεῖ νὰ ὑποφέρωμεν μὲ γενναιότητα ὅταν μᾶς ραπίζουν, ἀλλὰ νὰ μὴ ἀναστατωνώμεθα ὁ,τιδήποτε καὶ ἂν πάσχωμεν. Διὰ τοῦτο καὶ ἐκεῖ ἐδιάλεξε τὴν χειροτέραν ὕβριν καὶ ἐδῶ προβάλλει τὸ πιὸ ἀτιμωτικὸν θεωρούμενον κτύπημα, τὸ κτύπημα εἰς τὴν σιαγόνα, ποὺ εἶναι καὶ τὸ πιὸ ὑβριστικόν. Καὶ τὸ ὁρίζει τοῦτο, ἐπειδὴ λογαριάζει καὶ αὐτὸν ποὺ κτυπᾷ καὶ αὐτὸν ποὺ κτυπᾶται. Διότι καὶ αὐτὸς ποὺ ἔχει ὑβρισθῇ, δὲν θὰ νομίσῃ ὅτι πάσχει κανένα δεινόν, προετοιμασμένος μὲ τέτοιαν πνευματικὴν διάθεσιν (δὲν θὰ ἀντιληφθῇ κἂν τὴν ὕβριν, ἐπειδὴ ἀγωνίζεται μᾶλλον παρὰ κτυπᾶται)· καὶ αὐτὸς πάλιν ποὺ κακοποιεῖ θὰ αἰσθανθῇ ἐντροπὴν καὶ δὲν θὰ καταφέρῃ δεύτερον κτύπημα, ἀκόμη καὶ ἂν εἶναι ἀγριώτερος ἀπὸ κάθε θηρίον· ἀντιθέτως θὰ καταδικάσῃ σφοδρὰ τὸν ἑαυτόν του καὶ διὰ τὸ πρῶτον. Διότι αὐτοὺς ποὺ ἀδικοῦν τίποτε δὲν τοὺς συγκρατεῖ περισσότερον, ὅσον τὸ νὰ ὑποφέρουν μὲ ὑπομονὴν οἱ ἀδικούμενοι ὅ,τι τοὺς συμβαίνει. Καὶ δὲν τοὺς συγκρατεῖ μόνον ἀπὸ τὴν παραπέρα πορείαν των ἀλλὰ τοὺς κάνει νὰ μετανοήσουν καὶ διὰ ὅσα ἔχουν

τανοῆσαι παρασκευάζει, καὶ θαυμάζοντας τὴν ἐπιείκειαν ἀναχωρεῖν, καὶ οἰκειοτέρους καθίστησι, καὶ δούλους, οὐχὶ φίλους μόνον, ἀντὶ ἐχθρῶν καὶ πολεμίων ποιεῖ· ὥσπερ οὖν τὸ ἀμύνεσθαι, τὰ ἐναντία ἅπαντα· ἀμφοτέρους τε γὰρ καταισχύνει καὶ χείρους κατασκευάζει, καὶ τὴν ὀργὴν εἰς μείζονα ἀνάγει φλόγα· καὶ πολλάκις καὶ εἰς θάνατον καταστρέφει περαιτέρω τὸ δεινὸν προβαῖνον.

Διὰ τοῦτο οὐ μόνον ῥαπιζόμενον ἐκέλευσε μὴ ὀργίζεσθαι, ἀλλὰ καὶ ἐμπιπλᾶν αὐτοῦ τὴν ἐπιθυμίαν ἐπέταξεν, ἵνα μηδὲ τὸ πρότερον δόξῃς ἄκων ὑπομεμενηκέναι. Οὕτω γὰρ καὶ ἀναίσχυντον ὄντα καιρίᾳ δυνήσῃ πλῆξαι πληγῇ μᾶλλον, ἢ εἰ τῇ χειρὶ ἔπληξας, καὶ ἀναισχυντότερον ὄντα ἐπιεικέστερον ποιήσεις.

«Τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον».

Οὐδὲ γὰρ ἐπὶ πληγῶν μόνον, ἀλλὰ καὶ ἐπὶ χρημάτων βούλεται τὴν τοιαύτην ἀνεξικακίαν παρέχεσθαι. Διὸ πάλιν τὴν αὐτὴν τίθησιν ὑπερβολήν. Ὥσπερ γὰρ ἐκεῖ κελεύει νικᾶν ἐν τῷ πάσχειν, οὕτω καὶ ἐνταῦθα τῷ ἀφαιρεῖσθαι πλείονα ὧν ὁ πλεονεκτῶν προσεδόκησε. Πλὴν οὐχ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλὰ μετὰ προσθήκης. Οὐ γὰρ εἶπε, 'Δὸς τῷ αἰτοῦντι τὸ ἱμάτιον', ἀλλά, «Τῷ θέλοντί σοι κριθῆναι»· τουτέστιν, ἐὰν εἰς δικαστήριον ἕλκῃ καὶ πράγματά σοι παρέχῃ. Καὶ ὥσπερ εἰπὼν μὴ καλεῖν μωρόν, μηδὲ ὀργίζεσθαι εἰκῇ, προϊὼν πλέον ἀπήτησεν, ἡνίκα ἐκέλευσε καὶ τὴν δεξιὰν σιαγόνα παρέχειν· οὕτω καὶ ἐνταῦθα, εἰπὼν εὐνοεῖν τῷ ἀντιδίκῳ, πάλιν ἐπιτείνει τὸ ἐπίταγμα. Οὐ γὰρ δὴ μόνον ἃ βούλεται λαβεῖν κελεύει δοῦναι, ἀλλὰ καὶ πλείονα ἐπιδείξασθαι φιλοτιμίαν.

Τί οὖν; γυμνὸς μέλλω περιιέναι; φησίν.

Οὐκ ἂν ἦμεν γυμνοί, εἰ τούτοις ἐπειθόμεθα μετὰ ἀκριβείας· ἀλλὰ καὶ πολλῷ πλείονα ἁπάντων ἂν ἦμεν περιβεβλημένοι. Πρῶτον μὲν γὰρ οὐδεὶς ἂν οὕτω διακειμένοις ἐπέθετο· δεύτερον

κάμει καὶ νὰ ἀπομακρύνωνται θαυμάζοντες τὴν ὑπομονὴν καὶ τοὺς μεταβάλλει εἰς δούλους, ὄχι μόνον φίλους, ἐκεῖ ποὺ ἦσαν ἐχθροὶ καὶ πολέμιοι. Ὅπως μὲ τὴν ἀνταπόδοσιν συμβαίνουν ὅλα τὰ ἀντίθετα· ντροπιάζει καὶ τοὺς δύο καὶ τοὺς κάνει χειροτέρους, καὶ κάνει τὸν θυμὸν μεγαλυτέραν φωτιάν. Καὶ τὸ κακὸν προχωρώντας περισσότερον καταλήγει εἰς τὸν θάνατον.

Διὰ τοῦτο ὥρισεν ὄχι μόνον νὰ μὴ ὀργίζεσαι ὅταν σὲ ραπίζῃ κανεὶς ἀλλὰ καὶ τὴν ἐπιθυμίαν του νὰ ἱκανοποιῇς, διὰ νὰ μὴ φανῇς ὅτι καὶ προηγουμένως ὑπέφερες χωρὶς νὰ θέλῃς. Ἔτσι καὶ τὸν ἀναίσχυντον θὰ ἠμπορέσῃς νὰ τὸν κτυπήσῃς μὲ ἰσχυρότερον κτύπημα παρὰ ἂν τὸν ἐκτυποῦσες μὲ τὸ χέρι, καὶ ἐνῷ εἶναι ὑπερβολικὰ ἀναίσχυντος θὰ τὸν κάνῃς ὑπερβολικὰ καλόν.

«Αὐτὸν ποὺ θέλει νὰ σοῦ κάνῃ δικαστήριον καὶ νὰ λάβῃ τὸν χιτῶνα σου ἄφησέ του καὶ τὸ ἱμάτιον».

Ἐπειδὴ δὲν θέλει νὰ δείχνωμεν εἰς τὰ κτυπήματα μόνον ἀλλὰ καὶ εἰς τὰ πράγματα τὴν ἀνεξικακίαν αὐτήν διὰ τοῦτο πάλιν χρησιμοποιεῖ τὴν ἰδίαν ὑπερβολήν, καὶ ὅπως ἐκεῖ ὁρίζει νὰ νικῶμεν μὲ τὸ νὰ ὑπομένωμεν, ἔτσι καὶ ἐδῶ μὲ τὸ νὰ στερούμεθα περισσότερα ἀπὸ ὅσα εἶχε λογαριάσει αὐτὸς ποὺ ἀπαιτεῖ ἀπὸ ἐσένα. Καὶ δὲν τὸ ἔθεσεν ἁπλᾶ, ἀλλὰ μὲ προσθήκην. Δὲν εἶπε, 'Δῶσε τὸ ἱμάτιόν σου εἰς αὐτὸν ποὺ τὸ ζητεῖ', ἀλλὰ «εἰς αὐτὸν ποὺ θέλει νὰ δικασθῇ μαζί σου», δηλ. ἂν σὲ σέρνῃ εἰς τὸ δικαστήριον καὶ σοῦ δημιουργῇ ζητήματα. Καὶ ὅπως, ἀφοῦ εἶπε νὰ μὴ ἀποκαλοῦμεν τὸν ἀδελφόν μας μωρόν καὶ νὰ μὴ ὀργιζώμεθα χωρὶς λόγον, ἐν συνεχείᾳ ἐζήτησε περισσότερα, ὁρίζων νὰ δίδωμεν καὶ τὴν δεξιὰν σιαγόνα, ἔτσι καὶ ἐδῶ, ἀφοῦ εἶπε νὰ ἀγαπῶμεν τὸν ἀντίδικόν μας, ἐπαυξάνει καὶ πάλιν τὴν ἐντολήν του. Διότι δὲν προστάζει νὰ τοῦ δώσωμεν ὅσα ζητεῖ μόνον, ἀλλὰ νὰ ἐπιδείξωμεν μεγαλυτέραν φιλοτιμίαν.

Καὶ θὰ γυρίζω λοιπὸν γυμνός; θὰ εἰπῇ κάποιος.

Δὲν θὰ ἤμεθα γυμνοί, ἂν ἐτηρούσαμεν τοὺς λόγους τούτους μὲ ἀκρίβειαν. Ἀντίθετα θὰ ἤμεθα ἐνδεδυμένοι μὲ πολὺ περισσότερα φορέματα ἀπὸ ὅλους. Πρῶτα-πρῶτα κανεὶς δὲν θὰ ἐστρέ-

δέ, εἰ καὶ ἔτυχέ τις οὕτως ἄγριος καὶ ἀνήμερος, ὡς καὶ μέχρι τοσούτου προελθεῖν, ἀλλὰ πολλῷ πλείους ἂν ἐφάνησαν οἱ τὸν οὕτω φιλοσοφοῦντα οὐχ ἱματίοις μόνον, ἀλλὰ καὶ τῇ σαρκὶ τῇ ἑαυτῶν, εἴγε οἷόν τε ἦν, περιβάλλοντες.

3. Εἰ δὲ καὶ ἐχρῆν γυμνὸν περιιέναι διὰ τοιαύτην φιλοσοφίαν, οὐδὲ οὕτως αἰσχρὸν ἦν. Ἐπεὶ καὶ ὁ Ἀδὰμ γυμνὸς ἦν ἐν τῷ παραδείσῳ καὶ οὐκ ᾐσχύνετο· καὶ ὁ Ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος καὶ πάντων Ἰουδαίων λαμπρότερος ἦν· καὶ ὁ Ἰωσὴφ δέ, ὅτε ἀπεδύσατο, τότε μάλιστα ἔλαμψεν. Οὐ γὰρ τὸ οὕτω γυμνοῦσθαι κακόν, ἀλλὰ τὸ οὕτως ἐνδύεσθαι, καθάπερ νῦν ἡμεῖς ἱματίοις πολυτελέσι, τοῦτο καὶ αἰσχρὸν καὶ καταγέλαστον. Διά τοι τοῦτο ἐκείνους μὲν ὁ Θεὸς ἐπῄνεσε, τούτοις δὲ ἐγκαλεῖ, καὶ διὰ προφητῶν καὶ δι' ἀποστόλων.

Μὴ τοίνυν ἀδύνατα εἶναι νομίζωμεν τὰ ἐπιτάγματα. Καὶ γὰρ μετὰ τοῦ συμφέροντος σφόδρα ἐστὶν εὔκολα, ἐὰν νήφωμεν· καὶ τοσοῦτον ἔχει τὸ κέρδος, ὡς μὴ μόνον ἡμᾶς, ἀλλὰ καὶ ἐκείνους τοὺς ἐπηρεάζοντας τὰ μέγιστα ὠφελεῖν. Καὶ τοῦτο μάλιστα αὐτῶν ἐστι τὸ ἐξαίρετον, ὅτι πείθοντες ἡμᾶς πάσχειν κακῶς, διὰ τῶν αὐτῶν καὶ τοὺς ποιοῦντας διδάσκουσι φιλοσοφεῖν. Ὅταν γὰρ ἐκεῖνος μὲν ἡγῆται μέγα τὸ τὰ ἑτέρων λαμβάνειν, σὺ δὲ αὐτῷ δείξῃς, ὅτι σοι κοῦφον καὶ ἃ μὴ αἰτεῖ δοῦναι, καὶ ἀντίῤῥοπον φιλοτιμίαν εἰσαγάγῃς τῆς ἐκείνου πτωχείας, καὶ φιλοσοφίαν τῆς ἐκείνου πλεονεξίας, ἐννόησον ὅσης ἀπολαύσεται διδασκαλίας, οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ τῶν ἔργων αὐτῶν παιδευόμενος καταφρονεῖν μὲν κακίας, ἐφίεσθαι δὲ ἀρετῆς. Οὐδὲ γὰρ ἑαυτοῖς χρησίμους ἡμᾶς εἶναι βούλεται ὁ Θεός, ἀλλὰ καὶ τοῖς πλησίον ἅπασιν. Ἂν μὲν οὖν δῷς, καὶ μὴ δικάσῃ, τὸ σαυ-

1. Γεν. 2,25
2. Ἡσ. 20,3

φετο ἐναντίον ἀνθρώπων μὲ τὴν διάθεσιν αὐτήν. Δεύτερον, καὶ ἂν ἐτύχαινε κανεὶς τόσον ἄγριος καὶ ἀνήμερος, ὥστε νὰ φθάσῃ ὡς αὐτὸ τὸ σημεῖον, θὰ παρουσιάζοντο πολὺ περισσότεροι, ποὺ αὐτὸν ποὺ ἔχει αὐτὴν τὴν φιλοσοφίαν ὄχι μόνον μὲ τὰ φορέματά των ἀλλὰ καὶ μὲ τὴν ἰδίαν των τὴν σάρκα θὰ τὸν ἔντυναν ἂν ἦτο δυνατόν.

3. Ἂν ὅμως ἦτο ἀνάγκη νὰ περιφέρεται κανεὶς γυμνὸς ἐξ αἰτίας τέτοιας φιλοσοφίας, καὶ ἔτσι δὲν θὰ ἦτο καθόλου ἐντροπή. Καὶ ὁ Ἀδὰμ ἦτο γυμνὸς εἰς τὸν παράδεισον καὶ δὲν ἐντρέπετο [1]. Καὶ ὁ Ἠσαΐας ἦτο γυμνὸς καὶ χωρὶς ὑποδήματα καὶ ἀπὸ τοὺς Ἰουδαίους ὅλους λαμπρότερος [2]. Ἀλλὰ καὶ ὁ Ἰωσὴφ ὅταν ἐξεντύθη, τότε ἔλαμψε περισσότερον. Δὲν εἶναι ἐντροπὴ ἡ γύμνωσις αὐτοῦ τοῦ εἴδους, ἀλλὰ αὐτοῦ τοῦ εἴδους ἡ ἔνδυσις, ἡ ἰδική μας ἔνδυσις μὲ πολυτελῆ φορέματα, αὐτὴ εἶναι καὶ ἐντροπὴ καὶ γελοιότης. Διὰ τοῦτο ὁ Θεὸς ἐνῷ ἐκείνους τοὺς ἐπήνεσε, τούτους τοὺς κατηγορεῖ καὶ μὲ τὸ στόμα τῶν προφητῶν καὶ μὲ τὸ στόμα τῶν ἀποστόλων.

Ἂς μὴ νομίζωμεν λοιπὸν ὅτι αἱ ἐντολαί του εἶναι ἀδύνατοι. Διότι ὅταν λάβωμεν ὑπ' ὄψιν τὸ συμφέρον, εἶναι πολὺ εὔκολες, ἂν ἔχωμεν τὸν νοῦν μας. Καὶ δίδουν τόσον κέρδος, ὥστε ὄχι μόνον ἡμᾶς, ἀλλὰ ὠφελοῦν ἐξαιρετικὰ καὶ αὐτοὺς ποὺ μᾶς βλάπτουν. Ἡ ἐξαιρετική τους δύναμις εἶναι αὐτὴ ἀκριβῶς, ὅτι μὲ τὸ νὰ μᾶς πείθουν νὰ δεχώμεθα τὸ κακὸν μὲ τὸ ἴδιο διδάσκουν καὶ αὐτοὺς ποὺ μᾶς τὸ προξενοῦν νὰ φιλοσοφοῦν. Ὅταν ἐκεῖνος θεωρῇ πολὺ σημαντικὸν νὰ ἀφαιρῇ τὰ πράγματα τῶν ἄλλων καὶ σὺ τοῦ δείξῃς ὅτι διὰ ἐσένα εἶναι ἀνώδυνον νὰ τοῦ δώσῃς καὶ ὅσα δὲν σοῦ ζητεῖ, καὶ φέρῃς εἰς τὴν μέσην ὡς ἀντίρροπον τὴν γενναιοδωρίαν διὰ τὴν πτωχείαν του καὶ τὴν φιλοσοφίαν διὰ τὴν πλεονεξίαν του, σκέψου τί δίδαγμα θὰ κερδίσῃ ὄχι μὲ λόγους ἀλλὰ μὲ τὰ ἴδια τὰ ἔργα θὰ διδαχθῇ νὰ καταφρονῇ τὴν κακίαν καὶ νὰ ἐπιθυμῇ τὴν ἀρετήν. Καὶ οὔτε θέλει ὁ Θεὸς νὰ εἴμεθα ὠφέλιμοι εἰς τοὺς ἑαυτούς μας ἀλλὰ καὶ εἰς ὅλους τοὺς πλησίον μας. Ἂν δώσῃς λοιπὸν καὶ ἀποφύγῃς τὸ δικαστήριον,

τοῦ συμφέρον ἐζήτησας μόνον· ἂν δὲ προσδῷς καὶ ἕτερον, κἀκεῖνον βελτίω ποιήσας ἐξέπεμψας.

Τοιοῦτόν ἐστι τὸ ἅλας, ὅπερ αὐτοὺς εἶναι βούλεται· καὶ γὰρ ἑαυτὸ συγκροτεῖ, καὶ τὰ ἄλλα διακρατεῖ σώματα, οἷς ἂν ὁμιλήσῃ· τοιοῦτόν ἐστι τὸ φῶς· καὶ γὰρ ἑαυτῷ καὶ τοῖς ἄλλοις φαίνει. Ἐπεὶ οὖν ἐν τάξει σε τούτων κατέστησε, ὠφέλησον καὶ τὸν ἐν σκότῳ καθήμενον, καὶ δίδαξον αὐτόν, ὅτι οὐδὲ τὸ πρότερον βίᾳ ἔλαβε· πεῖσον ὅτι οὐκ ἐπηρέασεν. Οὕτω γὰρ καὶ αὐτὸς αἰδεσιμώτερος ἔσῃ καὶ σεμνότερος, ἐὰν δείξῃς ὅτι ἐχαρίσω καὶ οὐχ ἡρπάγης. Ποίησον τοίνυν αὐτοῦ τὴν ἁμαρτίαν διὰ τῆς σῆς ἐπιεικείας φιλοτιμίαν σήν· Εἰ δὲ μέγα τοῦτο εἶναι νομίζεις, ἀνάμεινον, καὶ ὄψει σαφῶς, ὅτι οὐδέπω πρὸς τὸ τέλειον ἀπήντηκας. Οὐδὲ γὰρ ἐνταῦθα ἵσταταί σοι ὁ τοὺς περὶ ἀνεξικακίας τιθεὶς νόμους, ἀλλὰ καὶ περαιτέρω πρόεισιν, οὕτω λέγων· «Ἐάν τις σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο». Εἶδες ὑπερβολὴν φιλοσοφίας; Μετὰ γοῦν τὸ δοῦναι τὸν χιτῶνα καὶ τὸ ἱμάτιον, οὐδὲ εἰ γυμνῷ τῷ σώματι χρῆσθαι βούλοιτο ὁ ἐχθρὸς πρὸς ταλαιπωρίας καὶ πόνους, οὐδὲ οὕτως αὐτὸν δεῖ κωλύειν, φησί. Πάντα γὰρ βούλεται κεκτῆσθαι ἡμᾶς κοινά, καὶ τὰ σώματα καὶ τὰ χρήματα, καὶ τοῖς δεομένοις καὶ τοῖς ὑβρίζουσι· τὸ μὲν γὰρ ἀνδρείας, τὸ δὲ φιλανθρωπίας ἐστί. Διὰ τοῦτο ἔλεγεν· «Ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο»· ἀνωτέρω σε ἀνάγων πάλιν, καὶ τὴν αὐτὴν φιλοτιμίαν ἐπιδείκνυσθαι κελεύων. Εἰ γὰρ ἅπερ ἀρχόμενος ἔλεγεν, ἐλάττονα ὄντα τούτων πολλῷ, τοσούτους ἔχει μακαρισμούς, ἐννόησον οἷα λῆξις τοὺς ταῦτα κατορθοῦντας ἀναμένει, καὶ τίνες καὶ πρὸ τῶν ἐπάθλων γίνονται, ἐν ἀνθρωπίνῳ σώματι καὶ παθητῷ ἀπάθειαν ἅπασαν κατορθοῦντες. Ὅταν γὰρ μήτε ὕβρεσι καὶ πληγαῖς, μήτε χρημάτων ἀφαιρέσει δάκνωνται, μήτε

ἔχεις ἐπιδιώξει τὸ συμφέρον σου· ἂν δώσῃς ἐπὶ πλέον καὶ κάτι ἄλλο, τὸν στέλλεις καὶ ἐκεῖνον ἀφοῦ τὸν ἔχῃς κάμει καλύτερον.

Αὐτὸ εἶναι τὸ ἁλάτι ποὺ θέλει νὰ εἴμεθα· καὶ τὸν ἑαυτόν του συντηρεῖ καὶ τὰ ἄλλα πράγματα διαφυλάσσει μὲ ὅποια ἔρθῃ εἰς ἐπαφήν. Καὶ τὸ φῶς εἶναι τέτοιο· φέγγει καὶ διὰ τὸν ἑαυτόν του καὶ διὰ τὰ ἄλλα. Ἀφοῦ λοιπὸν σὲ κατέταξε ἀνάμεσα εἰς αὐτά, ὠφέλησε καὶ αὐτὸν ποὺ κάθεται μέσα εἰς τὸ σκότος καὶ δίδαξέ τον ὅτι οὔτε τὸ πρῶτον δὲν τὸ πῆρε μὲ τὴν βίαν· βεβαίωσέ τον ὅτι δὲν σὲ ἐζημίωσεν. Ἔτσι καὶ ὁ ἴδιος θὰ φανῇς περισσότερον ἄξιος τιμῆς καὶ σεβασμοῦ, ἂν δείξῃς ὅτι ἐχάρισες κάτι καὶ δὲν σοῦ τὸ ἥρπαξαν. Κάμε λοιπὸν μὲ τὴν καλωσύνην σου τὴν ἁμαρτίαν ἐκείνου ἰδικήν σου καύχησιν. Καὶ ἂν νομίζῃς ὅτι τοῦτο εἶναι μεγάλο, περίμενε. Θὰ ἰδῇς καθαρὰ ὅτι δὲν συνήντησες ἀκόμη τὸ τέλειον. Δὲν σταματᾷ εἰς αὐτὸ τὸ σημεῖον ἐκεῖνος ποὺ ἔθεσε τοὺς νόμους διὰ τὴν ἀνεξικακίαν· προχωρεῖ περισσότερον. Σοῦ λέγει «Ἂν κάποιος σὲ ἀγγαρεύσῃ διὰ ἕνα μίλι, πήγαινε μαζί του δύο». Βλέπεις ὑπερβολὴν αὐταπαρνήσεως»; Ἀφοῦ δώσῃς τὸν χιτῶνα καὶ τὸ ἱμάτιόν σου, ἂν ἤθελε ὁ ἐχθρὸς νὰ χρησιμοποιήσῃ γυμνὸν τὸ σῶμά σου διὰ νὰ σὲ ταλαιπωρήσῃ καὶ νὰ σὲ βασανίσῃ, καὶ πάλιν δὲν πρέπει νὰ τὸν ἐμποδίσῃς, σοῦ λέγει. Ὅλα, καὶ τὰ σώματα καὶ τὰ πράγματα, θέλει νὰ τὰ ἔχωμεν κοινὰ καὶ δι' ὅσους τὰ ἔχουν ἀνάγκη καὶ δι' ὅσους κάμουν χρῆσιν δυνάμεως· τὸ ἕνα μαρτυρεῖ ἀνδρείαν, τὸ ἄλλο φιλανθρωπίαν. Διὰ τοῦτο ἔλεγεν· «Ἂν κάποιος σὲ ἀγγαρεύσῃ διὰ ἕνα μίλι, πήγαινε μαζί του δύο». Ἔτσι σὲ ἀνεβάζει ὑψηλότερα καὶ σὲ προτρέπει νὰ δείχνῃς τὴν ἰδίαν γενναιοδωρίαν. Καὶ ἂν αὐτὰ ποὺ ἔλεγεν εἰς τὴν ἀρχήν, τόσον μικρότερα ἀπὸ αὐτά, ἔχουν τόσους μακαρισμούς, σκέψου ποῖον τέλος περιμένει αὐτοὺς ποὺ κατορθώνουν αὐτὰ καὶ τί λογῆς γίνονται πρὶν ἀπὸ τὸ στεφάνωμά των, κατορθώνοντες νὰ πραγματοποιήσουν ὅλην τὴν ἀπάθειαν εἰς ἀνθρώπινον παθητὸν σῶμα. Ὅταν οὔτε οἱ ἐξευτελισμοί, οὔτε τὰ κτυπήματα, οὔτε ἡ στέρησις τῶν χρημάτων δὲν τοὺς πειράζουν, οὔτε δειλιά-

ἄλλῳ μηδενὶ εἴκωσι τοιούτῳ, ἀλλὰ καὶ ἐπιδαψιλεύωνται τῷ πάθει μᾶλλον, σκόπησον οἷα αὐτοῖς κατασκευάζεται ἡ ψυχή. Διὰ δὴ τοῦτο ὅπερ ἐπὶ τῶν πληγῶν, ὅπερ ἐπὶ τῶν χρημάτων, τοῦτο καὶ ἐνταῦθα ἐκέλευσε ποιεῖν.

Τί γὰρ λέγω, φησίν, ὕβριν καὶ χρήματα; Κἂν αὐτῷ τῷ σώματί σου βούληται εἰς πόνον χρήσασθαι καὶ κάματον, καὶ τοῦτο ἀδίκως, πάλιν νίκησον καὶ ὑπέρβηθι τὴν ἄδικον ἐπιθυμίαν ἐκείνου. Τὸ γὰρ ἀγγαρεῦσαι τοῦτό ἐστι, τὸ ἀδίκως ἑλκύσαι καὶ ἄνευ λόγου τινὸς καὶ ἐπηρεάζοντα. Ἀλλ' ὅμως καὶ πρὸς τοῦτο ἔσο παρατεταγμένος, ὥστε πλέον παθεῖν, ἢ ἐκεῖνος βούλεται ποιῆσαι. «Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς». Ταῦτα ἐκείνων ἐλάττονα· ἀλλὰ μὴ θαυμάσῃς· τοῦτο γὰρ εἴωθεν ἀεὶ ποιεῖν, ἀναμιγνὺς τοῖς μεγάλοις τὰ μικρά. Εἰ δὲ ταῦτα μικρὰ πρὸς ἐκεῖνα, ἀκουέτωσαν οἱ τὰ ἑτέρων λαμβάνοντες, οἱ πόρναις τὰ ἑαυτῶν διανέμοντες, καὶ διπλῆν ἑαυτοῖς ἀνάπτοντες πυράν, καὶ διὰ τῆς προσόδου τῆς ἀδίκου, καὶ διὰ τῆς δαπάνης τῆς ὀλεθρίας. Δάνεισμα δὲ ἐνταῦθα οὐ τὸ μετὰ τῶν τόκων λέγει συμβόλαιον, ἀλλὰ τὴν χρῆσιν ἁπλῶς. Ἀλλαχοῦ δὲ αὐτὸ καὶ ἐπιτείνει, λέγων ἐκείνοις διδόναι, παρ' ὧν οὐ προσδοκῶμεν ἀπολαμβάνειν.

«Ἠκούσατε ὅτι ἐῤῥέθη· Ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου. Ἐγὼ δὲ λέγω ὑμῖν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους».

Ὅρα τὴν κορωνίδα τῶν ἀγαθῶν πῶς ἐπέθηκεν ἐσχάτην. Διὰ γὰρ τοῦτο παιδεύει, μὴ μόνον ῥαπιζόμενον φέρειν, ἀλλὰ

ζουν ἐμπρὸς εἰς κάτι παρόμοιον, ἀλλὰ τὸ πάθημα τοὺς δίνει περισσότερον πλοῦτον, κοίταξε πῶς γίνεται ἡ ψυχή των. Διὰ τοῦτο ἀκριβῶς ὅ,τι εἰς τὰ κτυπήματα καὶ εἰς τὰ χρήματα τὸ ἴδιο προστάζει νὰ κάνωμεν καὶ ἐδῶ.

Τί ἐννοῶ ἐξευτελισμὸν καὶ χρήματα; Θὰ εἰπῇ κάποιος. Ἀκόμα καὶ τὸ ἴδιο τὸ σῶμα σου ἂν θέλῃ νὰ τὸ ὑποβάλῃ εἰς κούρασιν καὶ ταλαιπωρίαν, καὶ μάλιστα ἄδικα, σὺ νίκησε πάλιν καὶ δείξου ἀνώτερος ἀπὸ τὴν ἄδικον ἐπιθυμίαν ἐκείνου. Διότι ἡ σημασία τοῦ νὰ σὲ ἀγγαρεύσῃ εἶναι αὐτή· νὰ σὲ σύρῃ ἄδικα καὶ χωρὶς κανένα λόγον καὶ νὰ σὲ κακοποιῇ. Ἀλλὰ νὰ εἶσαι ἕτοιμος καὶ διὰ τοῦτο· νὰ πάθῃς δηλαδὴ περισσότερα ἀπὸ ὅσα θέλει νὰ σοῦ κάμῃ ἐκεῖνος. Δίδε εἰς αὐτὸν ποὺ σοῦ ζητεῖ καὶ μὴ γυρίσῃς τὴν πλάτην εἰς αὐτὸν ποὺ θέλει νὰ δανειστῇ ἀπὸ σένα. Αὐτὰ εἶναι μικρότερα ἀπὸ ἐκεῖνα, ἀλλὰ μὴ ἀπορῇς· αὐτὸ συνηθίζει νὰ κάνῃ πάντα, ἀναμιγνύων τὰ μεγάλα μὲ τὰ μικρά. Καὶ ἂν αὐτὰ εἶναι μικρὰ ἐμπρὸς εἰς ἐκεῖνα, ἂς ἀκούουν ὅσοι παίρνουν τὰ πράγματα τῶν ἄλλων, ὅσοι σκορπίζουν εἰς τὰς πόρνας τὰ ἰδικά των καὶ ἀνάβουν διπλῆν φωτιὰν διὰ τὸν ἑαυτόν των μὲ τὸ ἄδικον κέρδος καὶ τὴν ὀλεθρίαν δαπάνην. Δανεισμὸν ἐδῶ δὲν ἐννοεῖ τὸ συμβόλαιον μὲ τοὺς τόκους, ἀλλὰ τὴν ἁπλῆν χρῆσιν. Ἀλλοῦ δίδει εἰς τὸ πρᾶγμα μεγαλυτέραν ἔμφασιν λέγων νὰ δίδωμεν εἰς ἐκείνους ἀπὸ τοὺς ὁποίους δὲν περιμένομεν νὰ μᾶς τὰ ἐπιστρέψουν.

«Ἠκούσατε τὸν λόγον· θὰ ἀγαπήσῃς τὸν διπλανόν σου καὶ θὰ μισήσῃς τὸν ἐχθρόν σου. Ἐγὼ ὅμως σᾶς λέγω· Ἀγαπᾶτε τοὺς ἐχθρούς σας καὶ προσεύχεσθε δι' αὐτοὺς ποὺ σᾶς ἀδικοῦν. Νὰ προσεύχεσθε δι' ὅσους σᾶς καταρῶνται καὶ νὰ εὐεργετῆτε ὅσους σᾶς μισοῦν. Ἔτσι θὰ γίνετε ὅμοιοι μὲ τὸν Πατέρα σας ποὺ εἶναι εἰς τὸν οὐρανόν. Αὐτὸς ἀνατέλλει τὸν ἥλιόν του διὰ τοὺς κακοὺς καὶ τοὺς ἀγαθοὺς καὶ στέλλει τὴν βροχήν του εἰς δικαίους καὶ ἀδίκους».

Βλέπεις πῶς ἔβαλε τελευταῖον τὸ στεφάνωμα τῶν ἀρετῶν; Διὰ τοῦτο μᾶς διδάσκει ὄχι μόνον νὰ δεχώμεθα τὰ ραπίσματα,

καὶ παρέχειν τὴν δεξιὰν σιαγόνα, μηδὲ μόνον τῷ χιτῶνι τὸ ἱμάτιον προστιθέναι, ἀλλὰ καὶ δύο συνοδεύειν μίλια τῷ ἓν ἀγγαρεύοντι, ἵνα τὸ πολλῷ πλέον τούτων μετ' εὐκολίας δέξῃ πάσης.

Καὶ τί τούτων πλέον ἐστί; φησί. Τὸ τὸν ποιοῦντα ταῦτα μηδὲ ἐχθρὸν ἔχειν· μᾶλλον δὲ καὶ τούτου ἕτερόν τι πλέον. Οὐ γὰρ εἶπε, Μὴ μισήσῃς, ἀλλά, «Ἀγάπησον»· οὐκ εἶπε, Μὴ ἀδικήσῃς, ἀλλά, «Καλῶς ποίησον».

4. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ τούτων αὐτῶν ἑτέραν ὄψεται προσθήκην πολλῷ μείζονα τούτων. Οὐδὲ γὰρ ἁπλῶς ἐκέλευσεν ἀγαπᾶν, ἀλλὰ καὶ εὔχεσθαι. Εἶδες ὅσους ἀνέβη βαθμοὺς καὶ πῶς εἰς αὐτὴν ἡμᾶς τὴν κορυφὴν ἔστησε τῆς ἀρετῆς; Σκόπει δὲ ἄνωθεν ἀριθμῶν. Πρῶτός ἐστι βαθμός, μὴ ἄρχειν ἀδικίας· δεύτερος, μετὰ τὸ ἄρξασθαι, τοῖς ἴσοις ἀμύνασθαι· τρίτος, μὴ δρᾶσαι τὸν ἐπηρεάζοντα ταῦτα ἃ ἔπαθεν, ἀλλ' ἡσυχάσαι· τέταρτος, τὸ καὶ παρασχεῖν ἑαυτὸν εἰς τὸ παθεῖν κακῶς· πέμπτος, τὸ καὶ πλέον παρασχεῖν ἢ ἐκεῖνος βούλεται ὁ ποιήσας· ἕκτος, τὸ μὴ μισῆσαι τὸν ταῦτα ἐργασάμενον· ἕβδομος, τὸ καὶ ἀγαπῆσαι· ὄγδοος, τὸ καὶ εὐεργετῆσαι· ἔνατος, τὸ καὶ τὸν Θεὸν ὑπὲρ αὐτοῦ παρακαλεῖν.

Εἶδες ὕψος φιλοσοφίας; Διά τοι τοῦτο καὶ λαμπρὸν τὸ ἔπαθλον ἔχει. Ἐπειδὴ γὰρ μέγα ἦν τὸ ἐπίταγμα καὶ νεανικῆς δεόμενον ψυχῆς καὶ πολλῆς τῆς σπουδῆς, καὶ μισθὸν αὐτῷ τίθησι τοιοῦτον, οἷον οὐδενὶ τῶν προτέρων. Οὐ γὰρ γῆς ἐνταῦθα μέμνηται, καθάπερ ἐπὶ τῶν πρᾴων· οὔτε παρακλήσεως καὶ ἐλέου, καθάπερ ἐπὶ τῶν πενθούντων καὶ ἐλεημόνων· οὔτε βασιλείας οὐρανῶν· ἀλλ' ὃ πάντων τούτων ἦν φρικωδέστερον, τὸ γενέσθαι ὁμοίους τῷ Θεῷ, ὡς ἀνθρώπους γενέσθαι εἰκός. «Ὅπως γὰρ γένησθε», φησίν, «ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς».

ἀλλὰ νὰ δίδωμεν καὶ τὴν δεξιὰν σιαγόνα. Ὄχι μόνον νὰ δίδωμεν μαζὶ μὲ τὸν χιτῶνα καὶ τὸ ἱμάτιον, ἀλλὰ καὶ νὰ ἀκολουθοῦμεν δύο μίλια ὅποιον μᾶς ἀγγαρεύει δι' ἕνα, διὰ νὰ δεχθῶμεν τὸ περισσότερον ἀπὸ αὐτὰ μὲ ὅλην τὴν εὐκολίαν.

Καὶ ποῖον εἶναι τὸ περισσότερον ἀπὸ αὐτά; θὰ ἐρωτήσῃ κάποιος. Ὅποιον σοῦ τὰ κάνει αὐτὰ νὰ μὴ τὸν θεωρῇς οὔτε ὡς ἐχθρόν σου. Καὶ κάτι ἄλλο ἀκόμη περισσότερον ἀπὸ αὐτά. Διότι δὲν εἶπε, 'Μὴ μισήσῃς', ἀλλὰ «ἀγάπησε». Δὲν εἶπε, 'Μὴ ἀδικήσῃς', ἀλλὰ «εὐεργέτησέ τον».

4. Καὶ ἂν ἐξετάσῃ κανεὶς μὲ προσοχήν, θὰ εὕρῃ καὶ εἰς αὐτὰ τὰ ἴδια μίαν προσθήκην πολὺ μεγαλυτέραν αὐτῶν. Διότι δὲν εἶπεν ἁπλῶς νὰ ἀγαπῶμεν, ἀλλὰ καὶ νὰ προσευχώμεθα. Εἶδες πόσα σκαλοπάτια ἀνέβη καὶ πῶς μᾶς ἔστησεν εἰς τὴν ἰδίαν τὴν κορυφὴν τῆς ἀρετῆς; Πρόσεξε τώρα μετρῶν πρὸς τὰ ἐπάνω. Πρῶτον σκαλί, νὰ μὴ κάμῃς ἀρχὴν εἰς τὴν ἀδικίαν. Δεύτερον μετὰ τὴν ἀρχήν, νὰ μὴ ἀνταποδώσῃς τὸ ἴσον. Τρίτον νὰ μὴ προξενήσῃς ὅ,τι ἔπαθες ἀλλὰ νὰ μείνῃς ἥσυχος. Τέταρτον, νὰ προσφέρῃς τὸν ἑαυτόν σου εἰς τὴν ἀδικίαν. Πέμπτον, νὰ προσφερθῇς διὰ πολὺ περισσότερα ἀπὸ ὅσα θέλει ὁ ἀδικητής σου. Ἕκτον, νὰ μὴ μισήσῃς αὐτὸν ποὺ σὲ ἔβλαψεν. Ἕβδομον, νὰ τὸν ἀγαπήσῃς ἐπὶ πλέον. Ὄγδοον, νὰ τὸν εὐεργετήσῃς καὶ ἀπὸ ἐπάνω· ἔνατον, νὰ παρακαλῇς ταυτόχρονα πρὸς χάριν του τὸν Θεόν.

Βλέπεις ὕψος πνευματικότητος; Διὰ τοῦτο ἔχει καὶ ἔπαθλον λαμπρόν. Ἐπειδὴ ἡ ἐντολὴ ἦτο μεγάλη καὶ ἀπαιτοῦσε γενναίαν ψυχὴν καὶ πολὺν ζῆλον, θέτει καὶ μισθὸν τέτοιον, ὅσον διὰ κανένα ἀπὸ τὰ προηγούμενα. Δὲν ἀναφέρει βέβαια ἐδῶ τὴν γῆν ὅπως ὅταν ὁμιλῇ διὰ τοὺς πράους· οὔτε τὴν παρηγορίαν καὶ τὴν εὐσπλαχνίαν, ὅπως εἰς τὴν περίπτωσιν ἐκείνων ποὺ πενθοῦν καὶ ἐκείνων ποὺ ἐλεοῦν. Οὔτε τὴν Βασιλείαν τῶν οὐρανῶν. Ἀναφέρει αὐτὸ ποὺ ἦτο τὸ φρικτότερον ἀπὸ ὅλα, νὰ γίνωμεν ὅμοιοι μὲ τὸν Θεόν, ὅπως ἠμποροῦν νὰ γίνουν οἱ ἄνθρωποι. Διὰ νὰ γίνετε, λέγει, «ὅμοιοι μὲ τὸν Πατέρα σας εἰς τὸν οὐρανόν».

Σὺ δέ μοι παρατήρει, πῶς οὐδὲ ἐνταῦθα, οὐδὲ ἐν τοῖς ἔμπροσθεν Πατέρα ἑαυτοῦ καλεῖ· ἀλλ' ἐκεῖ μὲν Θεὸν καὶ βασιλέα μέγαν, ὅτε περὶ τῶν ὅρκων διελέγετο· ἐνταῦθα δὲ Πατέρα αὐτῶν Ποιεῖ δὲ τοῦτο, τῷ προσήκοντι καιρῷ τοὺς περὶ τούτων τηρῶν λόγους. Εἶτα καὶ προσάγων τὴν ὁμοιότητα, φησίν, ὅτι «Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Καὶ γὰρ αὐτὸς οὐ μόνον οὐ μισεῖ, φησίν, ἀλλὰ καὶ εὐεργετεῖ τοὺς ὑβρίζοντας. Καίτοιγε οὐδαμοῦ τὸ γινόμενον ἴσον, οὐ μόνον διὰ τὴν τῆς εὐεργεσίας ὑπερβολήν, ἀλλὰ καὶ διὰ τὴν τῆς ἀξίας ὑπεροχήν. Σὺ μὲν γὰρ παρὰ τοῦ ὁμοδούλου καταφρονῇ, ἐκεῖνος δὲ παρὰ τοῦ δούλου καὶ μυρία εὐεργετηθέντος· καὶ σὺ μὲν ῥήματα χαρίζῃ εὐχόμενος ὑπὲρ αὐτοῦ, αὐτὸς δὲ πράγματα πολὺ μεγάλα καὶ θαυμαστά, τὸν ἥλιον ἀνάπτων καὶ τοὺς ἐτησίους ὄμβρους διδούς. 'Αλλ' ὅμως καὶ οὕτω δίδωμι ἴσον εἶναι, ὡς ἄνθρωπον ἐγχωρεῖ εἶναι. Μὴ τοίνυν μίσει τὸν ποιοῦντα κακῶς, τοιούτων ὄντα σοι πρόξενον ἀγαθῶν καὶ εἰς τοσαύτην ἄγοντά σε τιμήν· μὴ καταρῶ τῷ ἐπηρεάζοντι· ἐπεὶ τὸν μὲν πόνον ὑπέστης, τοῦ δὲ καρποῦ ἀπεστερήθης· καὶ τὴν μὲν ζημίαν οἴσεις, τὸν δὲ μισθὸν ἀπολεῖς· ὅπερ ἐσχάτης ἐστὶν ἀνοίας, τὸ χαλεπώτερον ὑπομείναντας, τὸ ἔλαττον τούτου μὴ φέρειν.

Καὶ πῶς ἔνι τοῦτο γενέσθαι; φησί.

Θεὸν ἰδὼν ἄνθρωπον γενόμενον καὶ τοσοῦτον καταβάντα καὶ τοσαῦτα παθόντα διὰ σέ, ἐρωτᾷς ἔτι καὶ ἀμφιβάλλεις, πῶς δυνατὸν τοῖς ὁμοδούλοις ἀφεῖναι τὰς ἀδικίας; Οὐκ ἀκούεις αὐτοῦ ἐν τῷ σταυρῷ λέγοντος· «Ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν»; Οὐκ ἀκούεις Παύλου λέγοντος, ὅτι «Ὁ ἀναβὰς ἄνω καὶ καθήμενος ἐν δεξιᾷ ἐντυγχάνει ὑπὲρ ἡμῶν»; Οὐχ ὁρᾷς ὅτι καὶ μετὰ τὸν σταυρὸν καὶ μετὰ τὴν ἀνάληψιν, τοῖς ἀνηρηκόσιν Ἰουδαίοις ἔπεμπε τοὺς ἀποστόλους τὰ μυρία οἴσοντας

---

1. Λουκᾶ 23,34
2. Ρωμ. 8,34

Σὺ πρόσεξε ὅτι οὔτε ἐδῶ οὔτε καὶ προηγουμένως τὸν ἀποκαλεῖ πατέρα του. Ἀλλὰ ἐκεῖ τὸν ὀνομάζει Θεὸν καὶ μεγάλον Βασιλέα, ὅταν ὡμιλοῦσε διὰ τοὺς ὅρκους. Ἐδῶ τὸν ἀποκαλεῖ πατέρα ἰδικόν των. Τοῦτο τὸ κάνει, φυλάσσων τὴν ἐξήγησιν διὰ τὴν κατάλληλον ὥραν. Παραβάλλων ἔπειτα τὴν ὁμοιότητα λέγει, ὅτι «Ἀνατέλλει τὸν ἥλιόν του διὰ πονηροὺς καὶ ἀγαθοὺς καὶ στέλλει τὴν βροχήν του εἰς δικαίους καὶ ἀδίκους». Ἐπειδὴ αὐτὸς ὄχι μόνον δὲν μισεῖ ἀλλὰ καὶ εὐεργετεῖ ὅσους προσβάλλουν. Ἂν καὶ τὸ πρᾶγμα δὲν εἶναι καθόλου ὅμοιον καὶ διὰ τὸ μέγεθος τῆς εὐεργεσίας καὶ διὰ τὴν διαφορὰν τῆς ἀξίας. Σὺ περιφρονεῖσαι ἀπὸ τὸν ὁμόδουλόν σου, ἐνῷ ἐκεῖνος ἀπὸ τὸν δοῦλον του ποὺ ἔχει ἄπειρα εὐεργετήσει. Καὶ σὺ ὅταν προσεύχεσαι διὰ κάποιον χαρίζεις λόγους, ἐνῷ ἐκεῖνος πράγματα πολὺ μεγάλα καὶ θαυμαστά, ἀνάπτει τὴν φλόγα τοῦ ἡλίου καὶ δίδει τὰς ἐτησίας βροχάς. Παρ' ὅλα αὐτά, δέχομαι ὅτι εἶσαι ἴσος του, ὅσον εἶναι δυνατὸν νὰ εἶναι ὁ ἄνθρωπος. Μὴ μισῇς λοιπὸν ὅποιον σοῦ κάνει κακόν, ἀφοῦ σοῦ προξενεῖ τόσα ἀγαθὰ καὶ σὲ φέρει εἰς τόσον μεγάλην τιμήν. Μὴ καταρᾶσαι αὐτὸν ποὺ σὲ βλάπτει, ἐπειδὴ καὶ τὴν βλάβην ὑποφέρεις καὶ τὸν καρπὸν δὲν κερδίζεις· καὶ τὴν μὲν ζημίαν δέχεσαι, τὴν ἀμοιβὴν ὅμως τὴν χάνεις. Τοῦτο εἶναι τὸ κορύφωμα τῆς ἀνοησίας· νὰ ὑπομένωμεν τὸ βαρύτερον καὶ νὰ μὴ δεχώμεθα τὸ ἐλαφρότερόν του.

Πῶς εἶναι δυνατὸν νὰ γίνῃ τοῦτο; θὰ ἐρωτήσῃ κάποιος.

Ἀφοῦ εἶδες τὸν Θεὸν νὰ γίνεται ἄνθρωπος καὶ νὰ δείχνῃ τόσην συγκατάβασιν καὶ νὰ πάσχῃ τόσα πρὸς χάριν σου, ἐρωτᾷς ἀκόμη καὶ ἀμφιβάλλεις, πῶς εἶναι δυνατὸν νὰ συγχωρήσῃς τοὺς ὁμοδούλους σου διὰ τὰς ἀδικίας ποὺ σοῦ κάμουν; Δὲν τὸν ἀκοῦς ποὺ σοῦ παραγγέλλει ἀπὸ τὸν σταυρὸν «Συγχώρησέ τους· δὲν γνωρίζουν τί πράττουν»;[1] Δὲν ἀκούεις τὸν Παῦλον ποὺ λέγει, «Αὐτὸς ποὺ ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κάθεται εἰς τὰ δεξιά, μεσιτεύει δι' ἡμᾶς»[2]; Δὲν βλέπεις ὅτι καὶ μετὰ τὸν σταυρὸν καὶ μετὰ τὴν ἀνάληψιν, ἔστελλε τοὺς ἀποστόλους εἰς τοὺς Ἰουδαίους ποὺ τὸν εἶχαν φονεύσει διὰ νὰ τοὺς φέρουν τὰ ἀμέ-

ἀγαθά, καὶ ταῦτα μυρία μέλλοντας παρ' αὐτῶν πάσχειν δεινά;

'Αλλὰ σὺ μεγάλα ἠδίκησαι; Καὶ τί τοιοῦτον πέπονθας, οἷον ὁ σὸς Δεσπότης, δεσμούμενος, μαστιζόμενος, ῥαπιζόμενος, παρὰ οἰκετῶν ἐμπτυόμενος, θάνατον ὑπομένων, καὶ θανάτου τὸν θανάτων ἁπάντων αἴσχιστον, μετὰ μυρίας εὐεργεσίας; Εἰ δὲ καὶ μεγάλα ἠδίκησαι καὶ διὰ τοῦτο μάλιστα εὐεργέτησον, ἵνα καὶ σαυτῷ λαμπρότερον ποιήσῃς τὸν στέφανον καὶ τὸν ἀδελφὸν τῆς ἐσχάτης ἀπαλλάξῃς ἀῤῥωστίας. 'Επεὶ καὶ οἱ ἰατροί, ὅταν λακτίζωνται καὶ ὑβρίζωνται παρὰ τῶν μαινομένων, τότε μάλιστα αὐτοὺς ἐλεοῦσι καὶ παρασκευάζονται πρὸς τὴν ἐκείνων διόρθωσιν, εἰδότες ὅτι τῆς ὑπερβολῆς τοῦ νοσήματος ἡ ὕβρις ἐστί.

Καὶ σὺ τοίνυν ταύτην περὶ τῶν ἐπιβουλευόντων ἔχε τὴν γνώμην καὶ οὕτω κέχρησο τοῖς ἀδικοῦσιν· ἐκεῖνοι γάρ εἰσι μάλιστα οἱ νοσοῦντες καὶ τὴν βίαν ὑπομένοντες ἅπασαν. 'Απάλλαξον τοίνυν αὐτὸν τῆς χαλεπῆς ταύτης ἐπηρείας καὶ δὸς ἀφεῖναι τὴν ὀργήν, καὶ δαίμονος ἐλευθέρωσον χαλεποῦ, τοῦ θυμοῦ. Καὶ γὰρ δαιμονῶντας ἐὰν ἴδωμεν, δακρύομεν, οὐχὶ καὶ αὐτοὶ σπουδάζομεν δαιμονᾶν. Τοῦτο καὶ νῦν ποιῶμεν ἐπὶ τῶν ὀργιζομένων· καὶ γὰρ ἐκείνοις ἐοίκασιν οἱ θυμούμενοι· μᾶλλον δὲ κἀκείνων εἰσὶν ἀθλιώτεροι, μετὰ αἰσθήσεως μαινόμενοι. Διὸ καὶ ἀσύγγνωστος αὐτῶν ἡ παραπληξία.

5. Μὴ τοίνυν ἐπέμβαινε κειμένῳ, ἀλλὰ καὶ ἐλέει. Καὶ γὰρ ἂν ὑπὸ χολῆς ἐνοχλούμενον καὶ σκοτοδινιῶντα καὶ ἐμέσαι ἐπειγόμενον τὸν πονηρὸν τοῦτον χυμὸν ἴδωμεν, χεῖρα ὀρέγομεν καὶ διαβαστάζομεν σπαραττόμενον, κἂν τὸ ἱμάτιον μολύνωμεν, οὐκ ἐπιστρεφόμεθα, ἀλλ' ἓν μόνον ζητοῦμεν, ὅπως ἐκεῖνον ἀπαλλάξωμεν τῆς χαλεπῆς ταύτης στενοχωρίας. Τοῦτο τοίνυν καὶ ἐπὶ τούτων ποιῶμεν, καὶ διαβαστάζωμεν ἐμοῦντας καὶ σπαραττομένους· μηδὲ πρότερον ἀφῶμεν, ἕως ἂν ἅπασαν ἀπόθηται τὴν

τρητα ἀγαθὰ καὶ μάλιστα ἐνῷ ἐπρόκειτο νὰ πάθουν ἀπὸ αὐτοὺς μύρια δεινά;

Μήπως ὅμως ἠδικήθης σύ; Καὶ τί ὅμοιον ἔπαθες σὺ ἀπὸ ὅσα ἔπαθεν ὁ Δεσπότης σου; Ἐκεῖνος ἐφυλακίσθη, ἐμαστιγώθη, ἐδέχθη ραπίσματα, ἐδέχθη ἐμπτυσμοὺς ἀπὸ τοὺς ὑπηρέτας, ὑπέμεινε θάνατον καὶ μάλιστα τὸν ἀτιμωτικώτερον ὅλων τῶν θανάτων, ἔπειτα ἀπὸ μυρίας εὐεργεσίας. Καὶ ἂν ἔχῃς πολὺ ἀδικηθῆ, διὰ τοῦτο εὐεργέτησε πολὺ περισσότερον καὶ διὰ νὰ καταστήσῃς λαμπρότερον τὸν στέφανόν σου καὶ διὰ ν' ἀπαλλάξῃς τὸν ἀδελφόν σου ἀπὸ τὴν ἐσχάτην ἀσθένειαν. Καὶ οἱ ἰατροί, ὅταν δέχωνται λακτίσματα καὶ ὕβρεις ἀπὸ ἀρρώστους ἐρεθισμένους, περισσότερον τοὺς λυποῦνται τότε καὶ ἐνδιαφέρονται διὰ τὴν ἀποκατάστασιν τῆς ὑγείας των ἐπειδὴ γνωρίζουν ὅτι ἡ ὕβρις προέρχεται ἀπὸ τὸν παροξυσμὸν τῆς ἀσθενείας.

Αὐτὴν τὴν γνώμην νὰ ἔχῃς λοιπὸν καὶ σὺ δι' ὅσους σὲ καταδιώκουν καὶ ἔτσι νὰ συμπεριφέρεσαι πρὸς ὅσους σὲ ἀδικοῦν. Διότι εἶναι αὐτοὶ κατὰ κυριολεξίαν ποὺ νοσοῦν καὶ αὐτοὶ ὑπομένουν ὅλην τὴν κακοποίησιν. Ἀπάλλαξέ τον λοιπὸν ἀπὸ τὴν βαρεῖαν αὐτὴν βλάβην, κάνε τον νὰ ἀφήσῃ τὴν ὀργὴν καὶ ἐλευθέρωσέ τον ἀπὸ τὸν βαρὺ δαίμονα, τὸν θυμόν. Διότι ἂν ἰδοῦμεν δαιμονισμένους, δακρύζομεν, δὲν βιαζόμεθα νὰ δαιμονισθοῦμεν καὶ ἐμεῖς. Τοῦτο ἂς κάνωμεν καὶ τώρα δι' αὐτοὺς ποὺ ὀργίζονται, ἐπειδὴ ὁμοιάζουν μὲ τοὺς δαιμονισμένους. Ἢ μᾶλλον, εἶναι πιὸ ἀξιολύπητοι ἀπὸ αὐτούς, ἐπειδὴ παραφέρονται συνειδητά. Δι' αὐτὸ καὶ ἡ παραφορά των εἶναι ἀσυγχώρητος.

5. Μὴ ποδοπατῇς λοιπὸν αὐτὸν ποὺ ἔπεσεν, ἀλλὰ νὰ τὸν ἐλεῇς. Διότι ἂν ἰδοῦμεν κάποιον ποὺ τὸν πειράζει ἡ χολή του, ποὺ ἔχει σκοτοδίνην καὶ ἑτοιμάζεται νὰ κάνῃ ἐμετόν, αὐτὸ τὸ κακὸν ὑγρόν, ἁπλώνομεν τὸ χέρι μας καὶ τὸν κρατοῦμεν μέσα εἰς τοὺς σπασμούς του ἔστω καὶ ἂν ἀκόμη λερώνωμεν τὰ ροῦχα μας, δὲν ἀπομακρυνόμεθα, ἀλλὰ ἐπιδιώκομεν ἕνα μόνον, νὰ τὸν ἐλευθερώσωμεν ἀπὸ τὴν δύσκολον θέσιν του. Τοῦτο ἂς κάνωμεν καὶ εἰς αὐτοὺς καὶ ἂς τοὺς κρατοῦμεν, ὅταν κάνουν ἐμετὸν ἢ ὅταν σπαράζουν. Ἂς μὴ τοὺς ἀφήσωμεν, ὥσπου νὰ ἀπαλλαγοῦν

πικρίαν. Καὶ τότε σοι χάριν εἴσεται μεγίστην· ἐπειδὰν παύσηται, τότε γνώσεται σαφῶς, ὅσης αὐτὸν ἀπήλλαξας ταραχῆς. Καὶ τί λέγω τὴν παρ' ἐκείνου χάριν; Ὁ γὰρ Θεὸς σε εὐθέως στεφανώσει, καὶ μυρίοις ἀμείψεται καλοῖς, ὅτι σου τὸν ἀδελφὸν νοσήματος ἠλευθέρωσας χαλεποῦ· κἀκεῖνος δὲ ὡς δεσπότην τιμήσει, διαπαντὸς αἰδούμενός σου τὴν ἐπιείκειαν. Οὐχ ὁρᾷς τὰς τικτούσας γυναῖκας, πῶς δάκνουσι τὰς παρεστώσας, καὶ οὐκ ἀλγοῦσιν ἐκεῖναι; μᾶλλον δὲ ἀλγοῦσι μέν, φέρουσι δὲ γενναίως, καὶ συναλγοῦσι ταῖς ὀδυνωμέναις καὶ διακοπτομέναις ὑπὸ τῆς ὠδῖνος. Ταύτας καὶ σὺ ζήλωσον, καὶ μὴ γίνου μαλακώτερος γυναικῶν. Ἐπειδὰν γὰρ τέκωσιν αἱ γυναῖκες αὗται (γυναικῶν γάρ εἰσι μικροψυχότεροι), τότε σε τὸν ἄνδρα εἴσονται. Εἰ δὲ βαρέα τὰ ἐπιτάγματα, ἐννόησον ὅτι διὰ τοῦτο παρεγένετο ὁ Χριστός, ἵνα ταῦτα ἐν τῇ ἡμετέρᾳ καταφυτεύσῃ διανοίᾳ, ἵνα καὶ ἐχθροῖς καὶ φίλοις χρησίμους κατασκευάσῃ. Διὰ τοῦτο καὶ ἑκατέρων τούτων ἐπιμελεῖσθαι κελεύει· τῶν μὲν ἀδελφῶν, ἡνίκα ἂν λέγῃ, «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου»· τῶν δὲ ἐχθρῶν, ἐπειδὰν νομοθετῇ φιλεῖν τε καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ οὐκ ἀπὸ τοῦ ὑποδείγματος τοῦ κατὰ τὸν Θεὸν ἐνάγει μόνον εἰς τοῦτο, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου. «Ἐὰν γὰρ ἀγαπήσητε», φησί, «τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι;»· Τοῦτο καὶ ὁ Παῦλός φησιν· «Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι». Ἂν μὲν οὖν ταῦτα ποιῇς, μετὰ τοῦ Θεοῦ ἕστηκας· ἂν δὲ ἐγκαταλιμπάνῃς αὐτά, μετὰ τῶν τελωνῶν.

Εἶδες πῶς οὐ τοσοῦτον τῶν ἐντολῶν τὸ μέσον, ὅσον τῶν προσώπων τὸ διάφορον; Μὴ τοίνυν τοῦτο λογιζώμεθα, ὅτι δυσχερὲς τὸ ἐπίταγμα, ἀλλὰ καὶ τὸ ἔπαθλον ἐννοήσωμεν καὶ λογισώμεθα τίνος ὅμοιοι γινόμεθα κατορθώσαντες καὶ τίνος ἴσοι διαμαρτάνοντες. Τῷ μὲν οὖν ἀδελφῷ κελεύει καταλλάττεσθαι καὶ μὴ πρότερον ἀφίστασθαι, ἕως ἂν τὴν ἔχθραν ἀνέ-

1. Ἑβρ. 12,4

ἀπὸ ὅλο τὸ κακόν. Καὶ τότε θὰ σοῦ ἀναγνωρίσῃ πολὺ μεγάλην εὐγνωμοσύνην, ὅταν τοῦ περάσῃ, τότε θὰ καταλάβῃ ἀπὸ πόσην ταραχὴν τὸν ἠλευθέρωσες. Καὶ διατί ἀναφέρω τὴν εὐγνωμοσύνην ἀπὸ μέρους ἐκείνου, ὅταν ὁ Θεὸς εὐθὺς θὰ σὲ στεφανώσῃ καὶ θὰ σὲ ἀνταμείψῃ μὲ μύρια ἀγαθά, ἐπειδὴ ἠλευθέρωσες τὸν ἀδελφόν σου ἀπὸ βαρὺ νόσημα; Καὶ ἐκεῖνος θὰ σὲ τιμήσῃ ὡς κύριόν του καὶ θὰ σέβεται διὰ παντὸς τὴν καλωσύνην σου. Δὲν βλέπεις τὰς γυναῖκας τὴν ὥραν τοῦ τοκετοῦ, πῶς δαγκώνουν αὐτὰς ποὺ τὰς παραστέκονται καὶ ἐκεῖναι δὲν αἰσθάνονται πόνον, ἢ μᾶλλον αἰσθάνονται, ὑποφέρουν ὅμως γενναῖα· συμπονοῦν ἐκείνας ποὺ βασανίζονται καὶ ξεσχίζονται ἀπὸ τοὺς πόνους τοῦ τοκετοῦ. Αὐτὰς ζήλεψε καὶ σὺ καὶ μὴ γίνῃς πιὸ λεπτεπίλεπτος ἀπὸ τὰς γυναῖκας. Ὅταν γεννοῦν αἱ 'γυναῖκες' αὐταὶ—διότι αὐτοὶ εἶναι πιὸ μικρόψυχοι ἀπὸ τὰς γυναῖκας—τότε θὰ ἀναγνωρίσουν ἐσένα τὸν ἄνδρα. Καὶ ἂν εἶναι αἱ ἐντολαὶ βαρεῖαι, σκέψου ὅτι διὰ τοῦτο ἦλθεν ὁ Χριστός, διὰ νὰ τὰς ἐμφυτεύσῃ μέσα εἰς τὴν ψυχήν μας καὶ νὰ μᾶς κάμῃ χρησίμους εἰς ἐχθροὺς καὶ φίλους. Διὰ τοῦτο προτρέπει νὰ φροντίζωμεν καὶ διὰ τοὺς δύο· διὰ τοὺς ἀδελφούς, ὅταν λέγῃ· «καὶ ἂν προσφέρῃς τὸ δῶρόν σου», διὰ τοὺς ἐχθρούς, ὅταν νομοθετῇ νὰ τοὺς ἀγαπῶμεν καὶ νὰ προσευχώμεθα δι' αὐτούς. Καὶ δὲν μᾶς ὁδηγεῖ εἰς τοῦτο ἀπὸ τὸ παράδειγμα τοῦ δικαίου μόνον, ἀλλὰ καὶ ἀπὸ τὸ ἀντίθετον· «Ἂν ἀγαπήσετε», λέγει, «ὅσους σᾶς ἀγαποῦν, τί μισθὸν θὰ λάβετε; Τὸ ἴδιο δὲν κάνουν καὶ οἱ τελῶνες;». Τοῦτο λέγει καὶ ὁ Παῦλος· «Δὲν ἀντεστάθητε εἰς τὴν ἁμαρτίαν μέχρις αἵματος»[1]. Ἂν λοιπὸν πράττῃς ἔτσι, στέκεσαι κοντὰ εἰς τὸν Θεόν, ἂν ἀμελῇς, πηγαίνεις μὲ τοὺς τελώνας.

Εἶδες ὅτι ἡ ἀπόστασις μεταξὺ τῶν ἐντολῶν δὲν εἶναι τόσον μεγάλη, ὅση ἡ διαφορὰ τῶν προσώπων; Ἂς μὴ λογαριάζωμεν λοιπὸν ὅτι εἶναι βαρεῖα ἡ ἐντολή· ἂς σκεφθοῦμεν καὶ τὸ ἔπαθλον καὶ ἂς στοχασθοῦμεν μὲ ποῖον γινόμεθα ὅμοιοι, ὅταν ἐπιτύχωμεν, καὶ μὲ ποῖον ἐξισωνόμεθα, ἂν ἀποτύχωμεν. Μὲ τὸν ἀδελφόν μας ὁρίζει νὰ συμφιλιωνώμεθα καὶ νὰ μὴ τὸν ἀφήνωμεν, προτοῦ διαλύσωμεν τὴν ἔχθραν μας. Ὅταν ὁμιλῇ δι' ὅ-

λωμεν· ὅταν δὲ περὶ πάντων διαλέγηται, οὐκέτι ταύτῃ ἡμᾶς ὑποβάλλει τῇ ἀνάγκῃ, ἀλλὰ τὰ παρ' ἡμῶν ἀπαιτεῖ μόνον, εὔκολον καὶ ταύτῃ ποιῶν τὸν νόμον.

'Επειδὴ γὰρ εἶπεν, ὅτι «'Εδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν»· ἵνα μὴ διὰ ταῦτα αὐτὰ ἀηδῶς πρὸς αὐτοὺς ἔχωσι, κελεύει μὴ μόνον φέρειν ταῦτα ποιοῦντας, ἀλλὰ καὶ ἀγαπᾶν. 'Ορᾷς πῶς πρόῤῥιζον τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν τὴν περὶ τὰ σώματα, τὴν περὶ τὰ χρήματα, τὴν περὶ τὴν δόξαν, τὴν περὶ τὸν παρόντα βίον ἀναιρεῖ; Τοῦτο γὰρ ἐποίησε μὲν ἐξ ἀρχῆς, πολλῷ δὲ πλέον νῦν. Ὅ τε γὰρ πτωχὸς καὶ ὁ πρᾶος καὶ ὁ πενθῶν κενοῖ τὴν ὀργήν· ὅ τε δίκαιος καὶ ἐλεήμων κενοῖ τὴν τῶν χρημάτων ἐπιθυμίαν· ὁ καθαρὸς τὴν καρδίαν ἀπήλλακται ἐπιθυμίας πονηρᾶς· ὁ δεδιωγμένος καὶ φέρων τὰς ὕβρεις καὶ κακῶς ἀκούων, πᾶσαν ἀσκεῖ λοιπὸν τῶν παρόντων πραγμάτων ὑπεροψίαν, καὶ τύφου καὶ κενοδοξίας ἐστὶ καθαρός.

Λύσας τοίνυν τῶν δεσμῶν τούτων τὸν ἀκροατὴν καὶ εἰς τοὺς ἀγῶνας ἀλείψας, πάλιν ἑτέρως ἀνασπᾷ ταῦτα τὰ πάθη, καὶ μετὰ πλείονος τῆς ἀκριβείας. 'Αρξάμενος γὰρ ἀπὸ τῆς ὀργῆς καὶ πάντοθεν ἐκκόψας τοῦ πάθους τούτου τὰ νεῦρα καὶ εἰπών. 'Ο ὀργιζόμενος τῷ ἀδελφῷ καὶ ὁ μωρὸν καλῶν καὶ ὁ ῥακά, κολαζέσθω· καὶ ὁ προσφέρων τὸ δῶρον μὴ πρότερον προσίτω τῇ τραπέζῃ, ἕως ἂν καταλύσῃ τὴν ἔχθραν· καὶ ὁ ἀντίδικον ἔχων, πρὶν ἢ τὸ δικαστήριον ἰδεῖν, φίλον ποιείτω τὸν ἐχθρόν· ἐπὶ τὴν ἐπιθυμίαν μεταβαίνει πάλιν καί φησιν· 'Ο ἐμβλέπων ἀκολάστοις ὀφθαλμοῖς, ὡς μοιχὸς τιμωρείσθω· ὁ σκανδαλιζόμενος ὑπὸ γυναικὸς ἀκολάστου ἢ ὑπὸ ἀνδρὸς ἢ ἄλλου τινὸς τῶν αὐτῷ προσηκόντων, ἅπαντας ἐκκοπτέτω τούτους· ὁ νόμῳ γάμου κατέχων γυναῖκα, μηδέποτε αὐτὴν ἐκβαλλέτω καὶ πρὸς ἑτέραν βλεπέτω. Διὰ γὰρ τούτων τῆς πονηρᾶς ἐπιθυμίας τὰς ῥίζας ἀνεῖλεν. Εἶτα ἐντεῦθεν τῶν χρημάτων τὸν ἔρωτα ἀναστέλλει, κε-

λους, δὲν μᾶς δεσμεύει πλέον μὲ τὴν ὑποχρέωσιν αὐτὴν ἀλλὰ ἀπαιτεῖ τὰ ἀπὸ μέρους μας μόνον, ἐλαφρύνων τὸν νόμον καὶ μὲ τὸν τρόπον αὐτόν.

Ἐπειδὴ εἶπε· «Κατεδίωξαν τοὺς πρὶν ἀπὸ σᾶς προφήτας», διὰ νὰ μὴ δυσαρεστηθοῦν διὰ τοῦτο μαζί των, προστάζει ὄχι μόνον νὰ δείχνουν ἀνοχὴν διὰ τὴν συμπεριφοράν των ἀλλὰ καὶ νὰ τοὺς ἀγαποῦν. Βλέπεις πῶς βγάζει τὸν θυμὸν ἀπὸ τὴν ρίζαν, τὴν ἐπιθυμίαν διὰ τὰ σώματα, τὰ πράγματα, τὴν δόξαν, τὴν παροῦσαν ζωήν; Αὐτὸ βέβαια τὸ ἔκαμεν ἀπὸ τὴν ἀρχὴν τώρα ὅμως τὸ κάνει πολὺ περισσότερον. Διότι καὶ ὁ πτωχὸς καὶ ὁ πρᾶος καὶ ὁ λυπημένος ἀδειάζει τὴν ψυχήν του ἀπὸ τὸν θυμόν. Ὁ δίκαιος καὶ ὁ ἐλεήμων ἀδειάζει τὴν ψυχήν του ἀπὸ τὴν ἐπιθυμίαν τῶν πραγμάτων. Ὅποιος ἔχει καθαρὰν καρδίαν ἐλευθερώνεται ἀπὸ τὴν κακὴν ἐπιθυμίαν. Ὅποιος καταδιώκεται, ὑπομένει τὰς ὕβρεις καὶ κατηγορεῖται, ἐπιτυγχάνει ἀκεραίαν τὴν περιφρόνησιν τῶν πραγμάτων τῆς ζωῆς αὐτῆς καὶ εἶναι καθαρὸς ἀπὸ ὑπερηφάνειαν καὶ κενοδοξίαν.

Ἀφοῦ λοιπὸν ἠλευθέρωσεν ἀπὸ τὰ δεσμὰ αὐτὰ τὸν ἀκροατήν του καὶ τὸν προπαρεσκεύασε διὰ τοὺς ἀγῶνας, ἀποσπᾷ πάλιν τὰ πάθη αὐτὰ μὲ ἄλλον τρόπον καὶ μὲ περισσοτέραν προσοχήν. Ἤρχισε λοιπὸν ἀπὸ τὴν ὀργὴν καὶ ἀφοῦ ἀπὸ παντοῦ γύρω ἔκοψε τὰ νεῦρα αὐτοῦ τοῦ πάθους εἶπεν· Ὅποιος θυμώνει μὲ τὸν ἀδελφόν του καὶ ὅποιος τὸν ἀποκαλεῖ ἀνόητον καὶ βλάκα, νὰ τιμωρῆται. Καὶ ὅποιος προσφέρει τὸ δῶρον, νὰ μὴ πλησιάζῃ εἰς τὴν τράπεζαν προτοῦ διαλύσῃ τὴν ἔχθραν του. Καὶ ὅποιος ἔχει ἀντίδικον, πρὶν ἀντικρύσῃ τὸ δικαστήριον, νὰ συμφιλιωθῇ μὲ τὸν ἐχθρόν του. Ἔπειτα ἔρχεται εἰς τὴν ἐπιθυμίαν καὶ λέγει· Ὅποιος παρατηρεῖ μὲ ἀκόλαστα μάτια, νὰ τιμωρῆται ὡς μοιχός. Ὅποιος σκανδαλίζεται ἀπὸ γυναῖκα ἀκόλαστον ἢ ἀπὸ ἄνδρα ἢ κάποιον ἀπὸ τοὺς φίλους του, ὅλους αὐτοὺς ἂς τοὺς ἀπομακρύνῃ. Ὅποιος ἔχει γυναῖκα μὲ τὸν νόμον τοῦ γάμου, ἂς μὴ τὴν διώχνῃ ποτὲ καὶ ἂς μὴ ρίχνῃ τὰ βλέμματά του εἰς ἄλλην. Μὲ αὐτὰ ἀποσπᾷ τὰς ρίζας τῆς πονηρᾶς ἐπιθυμίας. Ἔπειτα ἀπὸ αὐτὰ περιορίζει τὴν ἐπιθυμίαν διὰ τὰ πράγματα,

λεύων μήτε ὀμνύναι, μήτε ψεύδεσθαι, μήτε αὐτοῦ ἀντέχεσθαι τοῦ χιτωνίσκου, ὃν ἂν τις ἐνδεδυμένος τύχῃ· ἀλλὰ καὶ τὸ ἱμάτιον προΐεσθαι τῷ βουλομένῳ καὶ τὴν τοῦ σώματος χρῆσιν, ἐκ πολλῆς τῆς περιουσίας τὸν περὶ τὰ χρήματα ἀναιρῶν πόθον.

6. Τότε μετὰ ταῦτα πάντα καὶ τὸν ποικίλον τῶν ἐπιταγμάτων τούτων στέφανον, ἐπάγει λέγων· «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς»· ἐπ᾽ αὐτὴν ἄνω τὴν ἀκροτάτην τῆς φιλοσοφίας ἀνάγων κορυφήν. Ὥσπερ γὰρ τοῦ πρᾶον εἶναι μεῖζον τὸ ῥαπίζεσθαι, καὶ τοῦ ἐλεήμονα εἶναι τὸ καὶ τὸ ἱμάτιον προΐεσθαι μετὰ τοῦ χιτωνίσκου, καὶ τοῦ δίκαιον εἶναι τὸ καὶ ἀδικούμενον φέρειν, καὶ τοῦ εἰρηνοποιὸν εἶναι τὸ καὶ ῥαπιζόμενον καὶ ἀγγαρευόμενον ἕπεσθαι· οὕτω καὶ τοῦ διώκεσθαι τὸ διωκόμενον εὐλογεῖν. Ὁρᾷς πῶς κατὰ μικρὸν εἰς αὐτὰς ἀνάγει τοῦ οὐρανοῦ τὰς ἀψῖδας; Τίνος οὖν ἂν εἴημεν ἄξιοι, οἱ πρὸς τὸν Θεὸν κελευόμενοι τὸν ζῆλον ἔχειν καὶ τάχα μηδὲ τῶν τελωνῶν γινόμενοι ἴσοι; Εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας, τελωνῶν καὶ ἁμαρτωλῶν καὶ ἐθνικῶν· ὅταν μηδὲ τοῦτο ποιῶμεν (οὐ γὰρ ποιοῦμεν αὐτὸ βασκαίνοντες εὐδοκιμοῦσι τοῖς ἀδελφοῖς), ποίαν οὐχ ὑποστησόμεθα δίκην, ὑπερβαίνειν τοὺς γραμματεῖς κελευόμενοι καὶ τῶν ἐθνικῶν ἑστῶτες κατώτεροι; Πῶς οὖν ὀψόμεθα βασιλείαν, εἰπέ μοι; πῶς ἐπιβησόμεθα τῶν ἱερῶν προθύρων ἐκείνων, οὐδὲ τῶν τελωνῶν ἀμείνους γινόμενοι; Τοῦτο γὰρ ᾐνίξατο εἰπών· «Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν;». Ὃ καὶ μάλιστα θαυμάσαι αὐτοῦ τῆς διδασκαλίας ἔστιν, ὅτι πανταχοῦ τὰ ἔπαθλα τῶν ἀγώνων τιθεὶς μετὰ πολλῆς τῆς περιουσίας· οἷον καὶ τὸ τὸν Θεὸν ὁρᾶν καὶ βασιλείαν οὐρανῶν κληρονομεῖν καὶ τὸ υἱοὺς Θεοῦ γενέσθαι καὶ τὸ ὁμοίους Θεοῦ καὶ τὸ ἐλεεῖσθαι καὶ τὸ

προστάζων μήτε νὰ ὁρκιζώμεθα μήτε νὰ ψευδώμεθα μήτε νὰ κρατοῦμεν τὸ ἴδιο μας τὸ ὑποκάμισον, ποὺ τυχὸν φοροῦμεν. Ἀλλὰ καὶ τὸ ἱμάτιόν μας νὰ παρέχωμεν εἰς ὅποιον τὸ θέλει, ἀκόμη καὶ τὸ σῶμα μας, ἀναιρῶν ἔτσι ἐξ ὁλοκλήρου τὸν πόθον διὰ τὰ πράγματα.

6. Ἔπειτα ἀπὸ ὅλα αὐτὰ προσθέτει καὶ τὸ πλουμιστὸν στεφάνωμα ὅλων αὐτῶν τῶν προσταγμάτων λέγων· «Προσεύχεσθε δι' ὅσους θέλουν νὰ σᾶς βλάψουν». Ἔτσι μᾶς ὁδηγεῖ εἰς τὴν ὑψηλοτέραν κορυφὴν τῆς πνευματικότητος. Ὅπως ἀνώτερον ἀπὸ τὴν πραότητα εἶναι τὸ νὰ δέχεσαι ραπίσματα καὶ ἀπὸ τὸ νὰ εἶσαι ἐλεήμων τὸ νὰ ἀφήνῃς μαζὶ μὲ τὸν χιτῶνα καὶ τὸ ἱμάτιον, καὶ ἀπὸ τὸ νὰ εἶσαι δίκαιος τὸ νὰ ὑπομένῃς νὰ σὲ ἀδικοῦν, καὶ ἀπὸ τὸ νὰ εἶσαι εἰρηνοποιὸς τὸ νὰ ἀκολουθῇς καὶ ἂς σὲ ραπίζουν καὶ ἂς σὲ ἀγγαρεύουν, ἔτσι ἀνώτερον ἀπὸ τὸ νὰ καταδιώκεσαι εἶναι τὸ νὰ σὲ καταδιώκουν καὶ σὺ νὰ τοὺς εὐλογῇς. Βλέπεις πῶς ὀλίγον κατ' ὀλίγον μᾶς ἀνεβάζει εἰς τοὺς ἰδίους τοὺς θόλους τοῦ οὐρανοῦ; Ποίας τιμῆς λοιπὸν θὰ ἀξιωθοῦμεν ἐμεῖς ποὺ ἐνῷ ἔχομεν ἐντολὴν νὰ γίνωμεν ὅμοιοι μὲ τὸν Θεὸν δὲν κατορθώνομεν νὰ ἐξισωθοῦμεν μήτε μὲ τοὺς τελώνας; Διότι ἐὰν εἶναι γνώρισμα τῶν τελωνῶν καὶ τῶν ἁμαρτωλῶν καὶ τῶν ἐθνικῶν νὰ ἀγαποῦν ὅσους τοὺς ἀγαποῦν, ὅταν ἐμεῖς οὔτε τοῦτο δὲν τὸ πράττωμεν (καὶ δὲν τὸ πράττομεν, ἐπειδὴ ζηλεύομεν τὴν εὐτυχίαν τῶν ἀδελφῶν μας), ποίαν τιμωρίαν δὲν θὰ ὑποστοῦμεν, ὅταν παρὰ τὴν ἐντολὴν νὰ ὑπερβοῦμεν τοὺς γραμματεῖς παραμένωμεν κατώτεροι ἀπὸ τοὺς ἐθνικούς; Εἰπέ μου λοιπὸν πῶς θὰ ἰδοῦμεν βασιλείαν; πῶς θὰ πατήσωμεν τὰ ἱερὰ ἐκεῖνα πρόθυρα, ἀφοῦ δὲν ἐγίναμεν οὔτε ἀπὸ τοὺς τελώνας καλύτεροι; Ἀκριβῶς δι' αὐτὸ ἔκαμεν ὑπαινιγμόν, ὅταν εἶπε· «Μήπως καὶ οἱ τελῶναι δὲν κάνουν τὸ ἴδιο;». Καὶ αὐτὸ εἶναι τὸ πιὸ ἀξιοθαύμαστον σημεῖον τῆς διδασκαλίας του, ὅτι παντοῦ βάζει μὲ πολλὴν γενναιοδωρίαν τὰ ἔπαθλα τῶν ἀγώνων, ὅπως εἶναι ἡ θέα τοῦ Θεοῦ, ἡ κληρονομία τῆς βασιλείας τῶν οὐρανῶν, ἡ υἱοθεσία μας ἀπὸ τὸν Θεόν, ἡ ὁμοίωσίς μας μὲ τὸν Θεόν, τὸ ὅτι θὰ ἐλεηθοῦμεν καὶ θὰ παρηγορηθοῦμεν καὶ θὰ λάβω-

παρακαλεῖσθαι καὶ τὸν μισθὸν τὸν πολύν· εἴ που καὶ λυπηρῶν μνησθῆναι ἔδει, ὑφειμένως τοῦτο ποιεῖ· τὸ μὲν γὰρ τῆς γεέννης ὄνομα ἅπαξ ἐν τοσούτοις τέθεικε λόγοις· καὶ ἑτέροις δέ τισιν ὑπεσταλμένως, καὶ ἐντρεπτικώτερον μᾶλλον ἢ ἀπειλητικώτερον κεχρημένος τῷ λόγῳ, διορθοῦται τὸν ἀκροατὴν λέγων· «Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι;», καί, «Ἐὰν τὸ ἅλας μωρανθῇ»· καί, «Ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν».

Ἔστι δὲ ὅπου καὶ τὰ ἁμαρτήματα ἀντὶ κολάσεως τίθησι, τὸ φορτικὸν τῆς κολάσεως τῷ ἀκροατῇ διδοὺς συνιδεῖν, ὡς ὅταν λέγῃ· «Ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ»· καί, «Ὁ ἀπολύων ποιεῖ αὐτὴν μοιχευθῆναι»· καί, «Τὸ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι». Τοῖς γὰρ νοῦν ἔχουσιν ἀντὶ τοῦ τῆς κολάσεως ὀνόματος ἀρκεῖ καὶ τὸ τῆς ἁμαρτίας μέγεθος εἰς σωφρονισμόν. Διὸ δὴ καὶ ἐνταῦθα τοὺς ἐθνικοὺς καὶ τοὺς τελώνας εἰς μέσον ἄγει, τῇ ποιότητι τοῦ προσώπου τὸν μαθητὴν ἐντρέπων. Ὃ καὶ ὁ Παῦλος ἐποίει λέγων· «Μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα»· καί, «Καθάπερ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν». Καὶ δεικνὺς ὅτι οὐδὲν ὑπέρογκον ἀπαιτεῖ, ἀλλὰ μικρῷ πλέον τοῦ εἰωθότος, φησίν· «Οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν;». Ἀλλ' ὅμως οὐχ ἵστησιν ἐνταῦθα τὸν λόγον, ἀλλ' εἰς τὰ ἔπαθλα αὐτὸν καταλύει καὶ τὰς χρηστὰς ἐλπίδας, λέγων· «Γίνεσθε οὖν τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος». Καὶ πολὺ τὸ τῶν οὐρανῶν ὄνομα διασπείρει πανταχοῦ καὶ ἀπὸ τοῦ τόπου τὰ φρονήματα αὐτῶν διεγείρων. Τέως γὰρ ἀσθενέστερον καὶ παχύτερόν πως ἦσαν διακείμενοι.

Ἅπαντα οὖν ἐννοοῦντες τὰ εἰρημένα, πολλὴν καὶ πρὸς τοὺς ἐχθροὺς ἐπιδειξώμεθα τὴν ἀγάπην καὶ τὸ καταγέλαστον ἐκεῖνο ἔθος ἐκβάλωμεν, ὅπερ πολλοὶ τῶν ἀλογωτέρων ὑπομένουσιν, ἀναμένοντες τοὺς ἀπαντῶντας πρώτους προσειπεῖν, ὃ μὲν ἔχει πολὺν μακαρισμὸν μὴ ζηλοῦντες, ὃ δέ ἐστι καταγέλαστον, τοῦτο διώκοντες.

---

6. Α' Θεσ. 4, 13.5

μεν πολὺν μισθόν. Καὶ ἂν κάπου ἦτο ἀνάγκη νὰ ἀναφερθοῦν καὶ τὰ λυπηρά, τοῦτο τὸ κάνει πολὺ μαλακά. Μέσα εἰς τόσους λόγους μόνον μίαν φορὰν ἔβαλε τὸ ὄνομα τῆς γεέννης. Καὶ εἰς ἄλλους πάλιν λόγους διστακτικὰ καὶ περισσότερον μὲ προτρεπτικοὺς παρὰ μὲ ἀπειλητικοὺς λόγους, θέλει νὰ διορθώσῃ τὸν ἀκροατὴν λέγων, «Δὲν κάνουν τὸ ἴδιο καὶ οἱ τελῶναι;» καί· «Ἂν χαλάσῃ τὸ ἁλάτι», καί· «Θὰ χαρακτηρισθῇ ὡς ἐλάχιστος μέσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».

Κάπου-κάπου ἀναφέρει καὶ τὰ ἁμαρτήματα ἀντὶ τῆς τιμωρίας, ἀφήνων τὸν ἀκροατὴν νὰ συλλάβῃ τὸ βάρος τῆς τιμωρίας. Αὐτὸ κάνει ὅταν λέγῃ· «Ἔκαμε τὴν μοιχείαν μαζί της μέσα εἰς τὴν καρδίαν του»· καί, «Ὅποιος τὴν ἐγκαταλείπει γίνεται αἴτιος τῆς μοιχείας της»· καί, «Τὸ πέρα ἀπὸ αὐτὰ προέρχεται ἀπὸ τὸν πονηρόν». Διότι ὅσοι ἔχουν νοῦν φθάνει νὰ τοὺς σωφρονίσῃ καὶ μόνον τὸ μέγεθος τῆς ἁμαρτίας ἀντὶ τοῦ ὀνόματος τῆς τιμωρίας. Διὰ τοῦτο καὶ ἐδῶ ἀναφέρει τοὺς ἐθνικοὺς καὶ τοὺς τελώνας, θέλων μὲ τὴν ποιότητα τοῦ προσώπου νὰ προτρέψῃ τὸν μαθητήν. Τοῦτο ἔκαμνε καὶ ὁ Παῦλος λέγων· «Ὄχι σὰν τοὺς ἄλλους ποὺ δὲν ἔχουν ἐλπίδα»· καί, «Ὅπως τὰ ἔθνη ποὺ δὲν γνωρίζουν τὸν Θεόν» [1]. Καὶ διὰ νὰ δείχνῃ ὅτι δὲν ἀπαιτεῖ τίποτε τὸ ὑπερβολικὸν ἀλλὰ κάτι περισσότερον ἀπὸ τὸ συνηθισμένον προσθέτει· «Τὸ ἴδιο δὲν κάνουν καὶ οἱ ἐθνικοί;». Δὲν σταματᾷ ὅμως τὸν λόγον εἰς τὸ σημεῖον αὐτό, ἀλλὰ τὸν ὁλοκληρώνει μὲ τὰ ἔπαθλα καὶ τὰς ἀγαθὰς ἐλπίδας λέγων· «Γίνετε λοιπὸν τέλειοι, ὅπως ὁ Πατέρας σας ὁ οὐράνιος». Σκορπίζει ἄφθονα εἰς τοὺς λόγους του τὴν λέξιν οὐρανός, θέλων νὰ πτερώσῃ τὸ φρόνημά των καὶ μὲ τὴν ὑπόμνησιν τοῦ τόπου. Ἕως τότε ἦσαν πιὸ ἀδύνατοι κάπως καὶ πιὸ προσκολλημένοι εἰς τὰ ὑλικά.

Ἂς ἐννοήσωμεν λοιπὸν ὅλα ὅσα εἴπαμεν καὶ ἂς δείξωμεν πολλὴν ἀγάπην πρὸς τοὺς ἐχθρούς μας. Ἂς ἀποβάλωμεν τὴν γελοίαν ἐκείνην συνήθειαν, ποὺ ἀνέχονται οἱ πιὸ ἀνόητοι· περιμένουν νὰ τοὺς χαιρετήσουν πρῶτοι οἱ ἄλλοι· δὲν ζηλεύουν αὐτὸ ποὺ προξενεῖ πολὺν μακαρισμόν, ἀλλὰ ἐπιδιώκουν αὐτὸ ποὺ εἶναι τελείως γελοῖον.

Τίνος οὖν ἕνεκεν οὐ προσερεῖς αὐτὸν πρότερος; Ἐπειδὴ τοῦτο ἀναμένει, φησίν. Οὐκοῦν δι' αὐτὸ τοῦτο μάλιστα ἐπιπηδᾶν ἔδει, ἵνα σὺ λάβῃς τὸν στέφανον. Οὔ, φησίν· ἐπειδὴ τοῦτο ἐσπούδακε. Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; Ἐπειδὴ γὰρ τοῦτο ἐσπούδακε, φησί, μισθοῦ μοι γενέσθαι πρόξενος, οὐ βούλομαι ἐπιλαβέσθαι τῆς ὑποθέσεως ταύτης. Ἂν μὲν οὖν ἐκεῖνός σε προσείπῃ πρότερος, οὐδέν σοι γίνεται πλέον καὶ προσειπόντι· ἐὰν δὲ σὺ πρότερος ἐπιπηδήσῃς τῇ προσρήσει, ἐπραγματεύσω τὸν τῦφον ἐκείνου καὶ δαψιλῆ τινα ἐκ τῆς απονοίας αὐτοῦ τὸν καρπὸν ἐτρύγησας. Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, τοσαῦτα μέλλοντας καρποῦσθαι ἀπὸ ψιλῶν ῥημάτων, προδιδόναι τὸ κέρδος, καὶ καταγινώσκοντος αὐτοῦ, τοῖς αὐτοῖς περιπίπτειν; Εἰ γὰρ διὰ τοῦτο αὐτὸν αἰτιᾷ, ὅτι πρότερος ἀναμένει τὴν παρ' ἑτέρου πρόσρησιν, τίνος ἕνεκεν ζηλοῖς ὅπερ ἐγκαλεῖς καὶ ὅπερ ἔφης εἶναι πονηρόν, τοῦτο ὡς ἀγαθὸν μιμεῖσθαι ἐσπούδακας; Ὁρᾷς πῶς οὐδὲν ἀνθρώπου κακίᾳ συζῶντος ἀνοητότερον;

Διὸ παρακαλῶ, φύγωμεν τὸ πονηρὸν τοῦτο ἔθος καὶ καταγέλαστον. Καὶ γὰρ μυρίας ἀνέτρεψε φιλίας τὸ νόσημα τοῦτο καὶ πολλὰς ἔχθρας εἰργάσατο. Διὰ δὴ τοῦτο φθάνωμεν αὐτοὺς ἡμεῖς. Οἱ γὰρ ῥαπίζεσθαι καὶ ἀγγαρεύεσθαι καὶ γυμνοῦσθαι παρ' ἐχθρῶν κελευόμενοι καὶ φέρειν, ποίας ἂν εἴημεν συγγνώμης ἄξιοι, ἐν προσρήσει ψιλῇ τοσαύτην ἐπιδεικνύμενοι φιλονεικίαν; Καταφρονούμεθα γάρ, φησί, καὶ διαπτυόμεθα, ὅταν αὐτῷ χαρισώμεθα τοῦτο. Καὶ ἵνα μὴ καταφρονήσῃ ἄνθρωπος, προσκρούεις Θεῷ; καὶ ἵνα μὴ καταφρονήσῃ σου ὁ μαινόμενος ὁμόδουλος, καταφρονεῖς τοῦ Δεσπότου, τοῦ τοσαῦτά σε εὐεργετηκότος; Εἰ γὰρ ἄτοπον τὸ καταφρονεῖν σου τὸν ὁμότιμον, πολλῷ μᾶλλον τό σὲ καταφρονεῖν τοῦ σὲ πεποιηκότος Θεοῦ.

Μετὰ δὲ τούτου κἀκεῖνο σκόπει, ὅτι ὅταν σου καταφρονήσῃ, τότε σοι μείζονος μισθοῦ γίνεται πρόξενος. Διὰ γὰρ τὸν Θεὸν ταῦτα ὑπομένεις, ἐπειδὴ τῶν αὐτοῦ νόμων ἤκουσας. Τοῦτο δὲ

Διατί νὰ μὴ χαιρετήσῃς πρῶτος; Ἐπειδὴ αὐτὸ ἀκριβῶς περιμένει, ἀπαντᾷ. Ἀκριβῶς διὰ τοῦτο ἔπρεπε νὰ τρέξῃς, διὰ νὰ πάρῃς σὺ τὸν στέφανον. Ὄχι, λέγει, ἐπειδὴ αὐτὸ ἐπιζητεῖς. Τί χειρότερον ὑπάρχει ἀπὸ αὐτὴν τὴν ἀνοησίαν; Ἐπειδὴ ὁ ἄλλος θέλει νὰ γίνῃ εἰς ἐμένα πρόξενος ἀμοιβῆς, λέγει, δὲν ἐπιθυμῶ νὰ ἐπωφεληθῶ ἀπὸ τὸ πρᾶγμα αὐτό. Ἂν λοιπὸν σὲ χαιρετήσῃ πρῶτος αὐτὸς δὲν κερδίζεις τίποτε καὶ ἂν ἀντιχαιρετήσῃς. Ἐνῷ ἂν προηγηθῇς εἰς τὸν χαιρετισμόν, ἐμπορεύεσαι τὴν ὑπερηφάνειαν ἐκείνου καὶ τρυγᾷς ἄφθονον κέρδος ἀπὸ τὴν ἀνοησίαν ἐκείνου. Πῶς λοιπὸν δὲν μαρτυρεῖ ἐσχάτην ἀνοησίαν, ἐνῷ τόσα πολλὰ πρόκειται νὰ κερδίσῃς ἀπὸ κενὰ λεξείδια, νὰ ἐγκαταλείπῃς τὸ κέρδος καὶ ἐνῷ κατηγορεῖς τοὺς ἄλλους νὰ περιπίπτῃς εἰς τὸ ἴδιο σφάλμα; Ἂν κατηγορῇς κάποιον, ἐπειδὴ περιμένει νὰ τὸν χαιρετήσουν, διὰ ποῖον λόγον ζηλεύεις αὐτὸ ποὺ κατηγορεῖς; Καὶ βιάζεσαι νὰ μιμηθῇς ὡς ἀγαθόν, αὐτὸ ποὺ εἶπες ὅτι εἶναι κακόν; Βλέπεις πῶς δὲν ὑπάρχει τίποτε πιὸ ἀνόητον ἀπὸ ἄνθρωπον ποὺ ζῇ μέσα εἰς τὴν κακίαν;

Διὰ τοῦτο παρακαλῶ ἂς ἀποφύγωμεν τὴν κακὴν αὐτὴν καὶ γελοίαν συνήθειαν. Ἀμέτρητες φιλίες διέσπασεν αὐτὴ ἡ ἀσθένεια καὶ ἐπροκάλεσε πολλὰς ἐχθρότητας. Διὰ τοῦτο ἐμεῖς τοὺς προλαμβάνομεν ἐκείνους. Ἐμεῖς ποὺ ἔχομεν διαταγὴν νὰ δεχώμεθα ραπίσματα, ἀγγαρείας, γυμνώσεις ἀπὸ τοὺς ἐχθρούς μας καὶ νὰ ὑπομένωμεν ποίας συγγνώμης θὰ ἠμπορούσαμεν νὰ ἤμεθα ἄξιοι, ἂν δείχνωμεν τόσην ἐριστικότητα δι' ἕνα κούφιον χαιρετισμόν; Περιφρονούμεθα καὶ γελοιοποιούμεθα, λέγει, ὅταν τοῦ κάμωμεν αὐτὴν τὴν χάριν. Καὶ διὰ νὰ μὴ σὲ καταφρονήσῃ ὁ ἄνθρωπος, προσκρούεις εἰς τὸν Θεόν; Καὶ διὰ νὰ μὴ σὲ περιφρονήσῃ ὁ μανιακὸς ὁμόδουλός σου, περιφρονεῖς τὸν Κύριον, ποὺ τόσον πολὺ σὲ ἔχει εὐεργετήσει; Ἂν εἶναι παράλογον νὰ σὲ καταφρονῇ ὁ ὁμότιμός σου εἶναι πολὺ πιὸ παράλογον νὰ καταφρονῇς σὺ τὸν Θεὸν ποὺ σὲ ἔπλασε.

Πρόσεξε καὶ τοῦτο μαζὶ μὲ αὐτό· ὅταν σὲ περιφρονήσῃ κάποιος, τότε σοῦ προξενεῖ μεγαλυτέραν ἀμοιβήν. Τὰ ὑπομένεις αὐτὰ πρὸς χάριν τοῦ Θεοῦ, ἐπειδὴ ἐσεβάσθης τοὺς ἰδικούς του

ποίας οὐκ ἂν εἴη τιμῆς ἀντάξιον; πόσων διαδημάτων; Ἐμοὶ γένοιτο καὶ ὑβρίζεσθαι καὶ καταφρονεῖσθαι διὰ τὸν Θεὸν ἢ τιμᾶσθαι παρὰ βασιλέων ἁπάντων· οὐδὲν γάρ, οὐδὲν τῆς δόξης ταύτης ἴσον.

Ταύτην τοίνυν διώκωμεν οὕτως, ὡς αὐτὸς ἐκέλευσε, καὶ τῶν ἀνθρωπίνων μηδένα ποιούμενοι λόγον, ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν ἐπιδεικνύμενοι διὰ πάντων, οὕτω τὸν ἑαυτῶν βίον οἰκονομῶμεν. Καὶ γὰρ τῶν οὐρανῶν καὶ τῶν ἐκεῖσε στεφάνων ἐντεῦθεν ἤδη καρπωσόμεθα τὰ ἀγαθά, ὡς ἄγγελοι μετὰ ἀνθρώπων βαδίζοντες, ὡς αἱ τῶν ἀγγέλων δυνάμεις ἐν τῇ γῇ περιπολοῦντες, καὶ πάσης μὲν ἐπιθυμίας, πάσης δὲ ἐκτὸς μένοντες ταραχῆς· καὶ μετὰ τούτων δὲ πάντων καὶ τὰ ἀπόῤῥητα ἀποληψόμεθα ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νόμους. Ποίας τιμῆς ἀντάξιον δὲν θὰ ἦτο τοῦτο; Πόσων στεφάνων; Μακάρι καὶ ἐξευτελισμοὺς καὶ περιφρόνησιν νὰ ἐδεχόμουν ἐγὼ χάριν τοῦ Θεοῦ παρὰ τιμὰς ἀπὸ ὅλους τοὺς βασιλεῖς. Τίποτε δὲν εἶναι ἴσον μὲ τὴν δόξαν αὐτήν, τίποτε.

Αὐτὴν λοιπὸν ἂς ἐπιδιώξωμεν, ὅπως αὐτὸς ὥρισεν. Ἂς μὴ δίδωμεν καμμίαν σημασίαν εἰς ἀνθρώπινα πράγματα. Ἔχοντες ὀρθὴν πνευματικότητα εἰς ὅλα, ἔτσι ἂς οἰκονομήσωμεν τὴν ζωήν μας. Ἂς δοκιμάσωμεν ἀπὸ ἐδῶ τὴν χαρὰν τῶν οὐρανῶν καὶ τῶν οὐρανίων στεφάνων, βαδίζοντες ὡς ἄγγελοι ἀνάμεσα εἰς τοὺς ἀνθρώπους. Θὰ περιφερώμεθα εἰς τὴν γῆν ὅπως τάγματα ἀγγελικά, παραμένοντες ἔξω ἀπὸ κάθε ἐπιθυμίαν καὶ ἔξω ἀπὸ κάθε ταραχήν. Μαζὶ μὲ αὐτὰ θὰ ἀπολαύσωμεν καὶ τὰ ἀπόρρητα ἀγαθὰ τὰ ὁποῖα μακάρι νὰ τὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις καὶ ἡ προσκύνησις μαζὶ μὲ τὸν ἄναρχον Πατέρα καὶ τὸ ἅγιον καὶ φιλάνθρωπον Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΘ'.
Ματθ. 6, 1 - 15

«Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς».

1. Τὸ τυραννικώτερον πάντων λοιπὸν ἐξορίξει πάθος, τὴν λύσσαν καὶ τὴν μανίαν τὴν περὶ τὴν κενὴν δόξαν ἐγγινομένην τοῖς κατορθοῦσιν. Ἐξ ἀρχῆς μὲν γὰρ οὐδὲν περὶ αὐτοῦ διελέχθη· καὶ γὰρ ἦν περιττόν, πρὶν ἢ πεῖσαι ποιεῖν τι τῶν δεόντων, περὶ τοῦ πῶς δεῖ ποιεῖν αὐτὰ καὶ μετιέναι διδάσκειν. Ἐπειδὴ δὲ ἐνῆγεν εἰς φιλοσοφίαν, τότε λοιπὸν καὶ τὴν παρυφισταμένην αὐτῇ καθαίρει λύμην. Οὐδὲ γὰρ ἁπλῶς τίκτεται τοῦτο τὸ νόσημα, ἀλλ' ὅταν πολλὰ κατορθώσωμεν τῶν ἐπιταττομένων. Ἔδει τοίνυν πρότερον φυτεῦσαι τὴν ἀρετὴν καὶ τότε τὸ ἐπηρεάζον αὐτῆς τὸν καρπὸν ἀνελεῖν πάθος. Καὶ ὅρα πόθεν ἄρχεται· ἀπὸ νηστείας καὶ εὐχῆς καὶ ἐλεημοσύνης. Τούτοις γὰρ μάλιστα ἐμφιλοχωρεῖν εἴωθε τοῖς κατορθώμασιν. Ὁ γοῦν Φαρισαῖος ἐντεῦθεν ἐφυσᾶτο λέγων· «Νηστεύω δὶς τῆς ἑβδομάδος, ἀποδεκατῶ μου τὰ ὑπάρχοντα»· καὶ ἐν αὐτῇ δὲ ἐκενοδόξει τῇ εὐχῇ, πρὸς ἐπίδειξιν αὐτὴν ποιούμενος. Ἐπειδὴ γὰρ οὐδεὶς ἄλλος παρῆν, τῷ τελώνῃ ἐνεδείκνυτο λέγων· «Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ ἄνθρωποι, οὐδὲ ὡς οὗτος ὁ τελώνης».

Καὶ σκόπει πῶς ἤρξατο, ὡς περὶ θηρίου τινὸς δυσφωράτου διαλεγόμενος καὶ δεινοῦ κλέψαι τὸν μὴ σφόδρα ἐγρηγορότα. «Προσέχετε» γάρ, φησί, «τὴν ἐλεημοσύνην ὑμῶν». Οὕτω καὶ ὁ Παῦλος λέγει Φιλιππησίοις· «Βλέπετε τοὺς κύνας». Καὶ

1. Λουκᾶ 18,12
2. Λουκᾶ 18,11
3. Φιλιππ. 3,2

ΟΜΙΛΙΑ ΙΘ'
Ματθ. 6, 1 - 15

«Προσέχετε νὰ μὴ κάνετε τὴν ἐλεημοσύνην σας ἔμπροσθεν τῶν ἀνθρώπων, μὲ σκοπὸν νὰ σᾶς ἰδοῦν».

1. Ἐξορίζει τώρα τὸ τυραννικώτερον ἀπὸ ὅλα πάθος, τὴν λύσσαν καὶ τὴν μανίαν τῆς κενοδοξίας ποὺ πιάνει αὐτοὺς ποὺ ἐπιτελοῦν τὰ καθήκοντά των. Διὰ τὸ πάθος αὐτὸ δὲν εἶχε βέβαια κάνει λόγον ἀπὸ τὴν ἀρχήν· διότι ἦτο περιττὸν προτοῦ πείσῃ νὰ κάμουν κάτι ἀπὸ ὅσα ἔπρεπε, νὰ διδάσκῃ πῶς πρέπει νὰ τὰ πράττουν καὶ νὰ τὰ ἀσκοῦν. Ὅταν ὅμως ὡδηγοῦσεν εἰς τὴν φιλοσοφικὴν ζωήν, τότε πλέον ἀποκαθαίρει καὶ τὸ μόλυσμα ποὺ τὴν παρακολουθεῖ. Τὸ πάθος αὐτὸ δὲν παρουσιάζεται αὐτόματα, ἀλλὰ ὅταν ἐπιτύχωμεν πολλὰ ἀπὸ ὅσα ὁρίζει. Ἔπρεπε λοιπὸν πρῶτα νὰ φυτεύσῃ τὴν ἀρετὴν καὶ ἔπειτα νὰ ξερριζώσῃ τὴν νόσον ποὺ ἐπηρεάζει τὸν καρπόν της. Καὶ πρόσεξε ἀπὸ ποῦ ἀρχίζει· ἀπὸ τὴ νηστείαν, τὴν προσευχὴν καὶ τὴν ἐλεημοσύνην. Εἰς αὐτὰ τὰ ἐπιτεύγματά μας συνηθίζει κυρίως νὰ ὑπεισέρχεται. Ἀπὸ αὐτὰ ἐφούσκωνεν ὁ Φαρισαῖος· «Νηστεύω δύο φορὲς τὴν ἑβδομάδα καὶ δίδω ἀπὸ ὅσα ἔχω τὸ δέκατον» [1]. Καὶ εἰς αὐτὴν τὴν ἰδίαν τὴν προσευχὴν ἐστήριζε τὴν κενοδοξίαν του, καθὼς τὴν ἔκαμνε πρὸς ἐπίδειξιν. Καὶ ἐπειδὴ δὲν ἦτο παρὼν κανεὶς ἄλλος, ἔκαμε παραλληλισμὸν πρὸς τὸν τελώνην λέγων· «Δὲν εἶμαι ὅπως οἱ ἄλλοι ἄνθρωποι, οὔτε ὅπως αὐτὸς ἐδῶ ὁ τελώνης» [2].

Πρόσεξε ἀκόμη πῶς ἤρχισεν· ὁμιλεῖ σὰν νὰ πρόκειται διὰ θηρίον ποὺ δύσκολα γίνεται ἀντιληπτὸν καὶ εἶναι φοβερὸν νὰ ἐξαπατήσῃ ὅποιον δὲν βρίσκεται εἰς ἄκραν ἐγρήγορσιν. Διότι «Προσέχετε, λέγει, τὴν ἐλημοσύνην σας». Ἔτσι λέγει καὶ ὁ Παῦλος εἰς τοὺς Φιλιππησίους· «Προσέχετε τοὺς σκύλους» [3]. Τὸ

γὰρ λάθρα ἐπεισέρχεται τὸ θηρίον καὶ πάντα ἐκφυσᾷ ἀψοφητὶ καὶ ἀνεπαισθήτως ἐκφέρει τὰ ἔνδον ἅπαντα.

Ἐπεὶ οὖν πολὺν περὶ τῆς ἐλεημοσύνης ἐποιήσατο λόγον, καὶ τὸν Θεὸν εἰς μέσον ἤγαγε, «Τὸν ἀνατέλλοντα τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς», καὶ πανταχόθεν προέτρεψεν εἰς τοῦτο καὶ κομᾶν ἔπεισε τῇ δαψιλείᾳ τῆς χορηγίας, ἀναιρεῖ λοιπὸν καὶ τὰ ἐνοχλοῦντα τῇ καλῇ ταύτῃ ἐλαίᾳ πάντα. Διό φησι· «Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων». Ἐκείνη γὰρ ἡ ἔμπροσθεν εἰρημένη, τοῦ Θεοῦ ἐστιν ἐλεημοσύνη. Καὶ εἰπών, «Μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων», ἐπήγαγε, «Πρὸς τὸ θεαθῆναι αὐτοῖς». Καὶ δοκεῖ μὲν δεύτερον εἰρῆσθαι τὸ αὐτό· ἂν δέ τις ἀκριβῶς προσέχῃ, οὐκ ἔστι τὸ αὐτό, ἀλλ' ἕτερον τοῦτο καὶ ἕτερον ἐκεῖνο καὶ πολλὴν ἔχει τὴν ἀσφάλειαν καὶ ἄφατον τὴν κηδεμονίαν καὶ τὴν φειδώ. Ἔστι γὰρ καὶ ἔμπροσθεν τῶν ἀνθρώπων ποιοῦντα, μὴ πρὸς τὸ θεαθῆναι ποιεῖν· καὶ μὴ ποιοῦντα ἔμπροσθεν πάλιν, πρὸς τὸ θεαθῆναι ποιεῖν. Διόπερ οὐχ ἁπλῶς τὸ γινόμενον, ἀλλὰ τὴν γνώμην καὶ κολάζει καὶ στεφανοῖ. Εἰ γὰρ μὴ αὐτὴ ἡ ἀκείβεια προσκειμένη ἦν, πολλοὺς ἂν τοῦτο ὀκνηροτέρους ἐποίησε περὶ τὴν τῆς ἐλεημοσύνης δόσιν, διὰ τὸ μὴ πανταχοῦ πάντως δυνατὸν εἶναι λανθανόντως ποιεῖν. Διὰ τοῦτο ἀπολύων σε τῆς ἀνάγκης ταύτης, οὐ τῷ τέλει τοῦ πράγματος, ἀλλὰ τῇ προαιρέσει τοῦ ποιοῦντος καὶ τὴν ζημίαν καὶ τὸν μισθὸν ὁρίζει.

Ἵνα γὰρ μὴ λέγῃς· Τί γὰρ ἐγὼ πάθω, ἂν ἕτερος ἴδῃ; Οὐ τοῦτο ζητῶ, φησίν, ἀλλὰ τὴν διάνοιαν τὴν σὴν καὶ τὸν τρόπον τοῦ γινομένου. Τὴν γὰρ ψυχὴν διαπλάσαι βούλεται καὶ παντὸς ἀπαλλάξαι νοσήματος. Ἀπαγορεύσας τοίνυν τὸ πρὸς ἐπίδειξιν ποιεῖν καὶ τὴν ἐκ τούτου ζημίαν διδάξας, τὸ μάτην καὶ εἰκῇ τοῦτο ποιεῖν, πάλιν αὐτῶν ἐγείρει τὰ φρονήματα, τοῦ Πατρὸς

θηρίον τρυπώνει κρυφά, σκορπίζει χωρὶς θόρυβον τὰ πάντα, καὶ ὅλα ὅσα ἔχομεν εἰς τὸ σπίτι τὰ πετᾷ εἰς τὸν δρόμον.

Ἀφοῦ λοιπὸν ἔκαμε πολὺν λόγον διὰ τὴν ἐλεημοσύνην καὶ ἔφερεν εἰς τὴν μέσην καὶ τὸν Θεὸν ὅπου ἀνατέλλει τὸν ἥλιόν του διὰ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθοὺς καὶ ἀπὸ κάθε πλευρὰν μᾶς προέτρεψεν εἰς αὐτὴν καὶ μᾶς ἔπεισε νὰ ὑπερηφανευώμεθα διὰ τὴν ἀφθονίαν τῆς χορηγίας, ξερριζώνει τέλος καὶ ὅσα ζιζάνια ἐνοχλοῦν τὴν ἥμερην αὐτὴν ἐλαίαν. Διὰ τοῦτο λέγει· «Προσέχετε νὰ μὴ κάμετε τὴν ἐλεημοσύνην σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους». Ἡ ἐλεημοσύνη τοῦ Θεοῦ εἶναι ἐκείνη ποὺ ἐλέχθη προηγουμένως. Καὶ ἀφοῦ εἶπε, «νὰ μὴ τὴν πράττωμεν ἐμπρὸς εἰς τοὺς ἀνθρώπους», ἐπρόσθεσε, «μὲ σκοπὸν νὰ σᾶς ἰδοῦν». Καὶ φαίνεται ὅτι αὐτὸ ἔχει λεχθῆ διὰ δευτέραν φοράν· ἂν ὅμως κανεὶς προσέξῃ μὲ ἀκρίβειαν, δὲν εἶναι τὸ ἴδιο· εἶναι ἄλλο ἐκεῖνο καὶ ἄλλο αὐτό· καὶ πολλὴν ἀσφάλειαν παρέχει καὶ μαρτυρεῖ πολλὴν φροντίδα καὶ στοργήν. Διότι εἶναι δυνατόν, μολονότι ἐνεργεῖ κάποιος ἐμπρὸς εἰς τοὺς ἀνθρώπους νὰ μὴ ἐνεργῇ διὰ νὰ τὸν ἰδοῦν. Δι' αὐτὸ ὄχι τὴν πρᾶξιν ἀλλὰ τιμωρεῖ ἢ καὶ ἀμείβει τὴν διάθεσιν. Ἂν δὲν ὑπῆρχεν αὐτὴ ἡ λεπτὴ διάκρισις, πολλοὶ θὰ ἐγίνοντο διστακτικώτεροι διὰ τὴν ἐπιτέλεσιν τῆς ἐλεημοσύνης, ἀφοῦ δὲν θὰ ἦτο δυνατόν ὁπουδήποτε νὰ τὴν ἀσκοῦμεν κατὰ κάποιον τρόπον χωρὶς νὰ γίνωμεν ἀντιληπτοί. Διὰ τοῦτο σὲ ἐλευθερώνει ἀπὸ τὸν φόβον αὐτὸν καὶ ὁρίζει καὶ τὴν ζημίαν καὶ τὸν μισθόν, ὄχι ἀπὸ τὸ ἀποτέλεσμα τῆς πράξεως, ἀλλὰ ἀπὸ τὴν προαίρεσιν τοῦ πράττοντος.

Διὰ νὰ μὴ λέγῃς· Τί θὰ πάθω ἂν κάποιος μὲ ἰδῇ; Σοῦ ἀπαντᾷ· Δὲν σοῦ ζητῶ αὐτό, ἀλλὰ τὴν γνώμην σου καὶ τὸν τρόπον τῆς ἐνεργείας σου. Διότι θέλει νὰ διαπλάσῃ τὴν ψυχὴν καὶ νὰ τὴν ἐλευθερώσῃ ἀπὸ κάθε νόσημα. Ἀφοῦ λοιπὸν τοὺς ἀπηγόρευσε νὰ πράττουν πρὸς ἐπίδειξιν καὶ ἀφοῦ τοὺς διεσαφήνισε τὴν ζημίαν ποὺ αὐτὸ προξενεῖ, ὅτι δηλαδὴ πράττεται μάταια καὶ χωρὶς λόγον, δυναμώνει πάλιν τὸ φρόνημά των ὑπενθυμίζων τὸν Πατέρα καὶ τὸν οὐρανόν, διὰ νὰ μὴ τοὺς κλονίσῃ μὲ

ἀναμνήσας καὶ τοῦ οὐρανοῦ, ἵνα μὴ τῇ ζημίᾳ μόνῃ καθάψηται, ἀλλὰ καὶ τῇ μνήμῃ τοῦ γεγεννηκότος ἐντρέψῃ. «Οὐκ ἔχετε» γὰρ «μισθόν», φησί, «παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν οὐρανοῖς». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ περαιτέρω πρόεισι καὶ δι' ἑτέρων πολλὴν τὴν ἀποτροπὴν ἐργαζόμενος. Ὥσπερ γὰρ ἀνωτέρω τελώνας καὶ ἐθνικοὺς τέθεικε, τῇ ποιότητι τοῦ προσώπου καταισχύνων τοὺς μιμουμένους· οὕτω καὶ ἐνταῦθα τοὺς ὑποκριτάς. «Ὅταν οὖν ποιῇς», φησίν, «ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταί». Οὐχ ὅτι σάλπιγγας εἶχον ἐκεῖνοι, ἀλλὰ τὴν πολλὴν αὐτῶν ἐπιδεῖξαι βούλεται μανίαν τῇ λέξει τῆς μεταφορᾶς ταύτης, κωμῳδῶν ταύτῃ καὶ ἐκπομπεύων αὐτούς. Καὶ καλῶς ὑποκριτὰς εἶπε. Τὸ μὲν γὰρ προσωπεῖον, ἐλεημοσύνης ἦν, ἡ δὲ διάνοια, ὠμότητος καὶ ἀπανθρωπίας. Οὐ γὰρ διὰ τοὺς πλησίον ἐλεεῖν ποιοῦσιν, ἀλλὰ διὰ τὸ δόξης ἀπολαύειν αὐτούς· ὅπερ ἐσχάτης ἦν ὠμότητος, ἑτέρου λιμῷ διαφθειρομένου φιλοτιμίαν ζητεῖν καὶ μὴ λύειν τὴν συμφοράν. Οὐκ ἄρα τὸ δοῦναι ἐλεημοσύνην, ἀλλὰ τὸ ὡς χρὴ δοῦναί ἐστι τὸ ζητούμενον, καὶ διὰ τοῦτο δοῦναι.

2. Κωμῳδήσας τοίνυν ἐκείνους ἱκανῶς καὶ καθαψάμενος αὐτῶν, ὡς καὶ αἰσχυνθῆναι τὸν ἀκροατήν, διορθοῦται πάλιν τὴν τὰ τοιαῦτα νοσοῦσαν γνώμην· καὶ εἰπὼν πῶς δεῖ μὴ ποιεῖν, δείκνυσι πάλιν πῶς δεῖ ποιεῖν. Πῶς οὖν δεῖ ποιεῖν; «Μὴ γνώτω», φησίν, «ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου». Πάλιν ἐνταῦθα οὐ χεῖρας αἰνίττεται, ἀλλ' ὑπερβολικῶς αὐτὸ τέθεικεν. Εἰ γὰρ οἷόν τέ ἐστι, φησί, σεαυτὸν ἀγνοῆσαι, περισπούδαστον ἔστω σοι τοῦτο, κἂν αὐτὰς δυνατὸν ᾖ τὰς διακονουμένας χεῖρας λαθεῖν. Οὐχ ὥς τινές φασιν, ὅτι τοὺς σκαιοὺς δεῖ κρύπτειν ἀνθρώπους· πάντας γὰρ ἐνταῦθα λανθάνειν ἐκέλευσεν. Εἶτα καὶ ὁ μισθὸς ἐννόησον ὅσος. Ἐπειδὴ γὰρ εἶπε τὴν ἐκεῖθεν κόλασιν,

τὴν ζημίαν μόνον, ἀλλὰ νὰ τοὺς συνεφέρῃ καὶ μὲ τὴν θύμισιν τοῦ δημιουργοῦ των. «Δὲν θὰ λάβετε ἀμοιβήν», λέγει, «ἀπὸ τὸν Πατέρα σας τὸν οὐράνιον». Δὲν ἐσταμάτησεν ὅμως ἕως ἐδῶ, ἀλλὰ προχωρεῖ παραπέρα, προσπαθῶν νὰ ἐπιτύχῃ τὴν ἀποτροπὴν καὶ μὲ πολλὰ ἄλλα. Ὅπως παραπάνω ἔφερεν εἰς τὴν μέσην τοὺς τελώνας καὶ τοὺς ἐθνικοὺς ἐπιθυμῶν μὲ τὴν ἔκφρασιν τοῦ προσώπου νὰ προκαλέσῃ ἐντροπὴν εἰς τοὺς μιμητάς των, ἔτσι καὶ ἐδῶ ἀναφέρει τοὺς ὑποκριτάς. Λέγει· «Ὅταν κάνῃς ἐλεημοσύνην, μὴ τὸ κάνῃς βούκινον εἰς τοὺς γύρω σου, ὅπως οἱ ὑποκριταί». Δὲν ἐκρατοῦσαν βέβαια βούκινον, ἀλλὰ μὲ τὴν μεταφορὰν αὐτὴν θέλει νὰ παρουσιάσῃ τὴν ὑπερβολικὴν μανίαν των, διακωμωδῶν καὶ διαπομπεύων αὐτοὺς μὲ αὐτήν. Ὀρθῶς τοὺς ὠνόμασεν ὑποκριτάς. Ἡ ἐλεημοσύνη εἶναι δι' αὐτοὺς ἕνα προσωπεῖον μόνον, ἡ καρδία των ὅμως εἶναι γεμάτη σκληρότητα καὶ ἀπανθρωπιά. Δὲν τὸ κάνουν διὰ νὰ ἐλεήσουν τοὺς πλησίον των, ἀλλὰ διὰ νὰ κερδίσουν δόξαν. Καὶ τοῦτο εἶναι ἡ ἐσχάτη σκληρότης, ὁ ἄλλος νὰ χάνεται ἀπὸ τὴν πεῖναν καὶ σὺ νὰ ἐπιζητῇς δόξαν καὶ νὰ μὴ ἀνακουφίζῃς τὴν συμφοράν. Ὄχι λοιπὸν τὸ νὰ δίδωμεν ἐλεημοσύνην, ἀλλὰ τὸ θέμα εἶναι τὸ ὅτι πρέπει νὰ δίδωμεν καὶ δι' αὐτὸ νὰ δίδωμεν.

2. Ἀφοῦ τοὺς ἐγελοιοποίησεν ἐκείνους ἀρκετὰ καὶ τοὺς κατηγόρησεν ὥστε νὰ ἐντραπῇ ὁ ἀκροατής, διορθώνει πάλιν τὴν γνώμην ποὺ πάσχει ἀπὸ τὸ νόσημα αὐτό. Καὶ λέγων πῶς δὲν πρέπει νὰ ἐλεοῦμεν, δείχνει ταυτόχρονα πῶς πρέπει νὰ ἐλεοῦμεν. «Νὰ μὴ γνωρίζῃ», λέγει, «ἡ ἀριστερά σου τί κάνει ἡ δεξιά σου». Καὶ ἐδῶ βέβαια δὲν ἐννοεῖ τὰ χέρια, ἀλλὰ ἐχρησιμοποίησε δι' αὐτὸ μίαν ὑπερβολήν. Ἂν εἶναι δυνατόν, λέγει, νὰ ἀγνοήσῃς τὸν ἑαυτόν σου, φρόντισέ το αὐτὸ μὲ κάθε τρόπον ἀκόμη καὶ ἂν ἠμπορῇς νὰ ξεφύγῃς ἀπὸ τὰ χέρια ποὺ διακονοῦν. Ὄχι ὅπως λένε μερικοί, ὅτι πρέπει νὰ ξεφεύγουν τοὺς σκαιοὺς ἀνθρώπους. Διότι ἐδῶ προτρέπει νὰ θέλουν νὰ ξεφύγουν τὴν προσοχὴν ὅλων. Ἔπειτα σκέψου καὶ ὁ μισθὸς πόσος εἶναι. Ἀφοῦ ὡμίλησε διὰ τὴν κόλασιν ποὺ προέρχεται ἀπὸ ἐκεῖ, δείχνει

δείκνυσι καὶ τὴν ἐντεῦθεν τιμήν, ἑκατέρωθεν αὐτοὺς ὠθῶν καὶ εἰς ὑψηλὰ ἄγων διδάγματα. Καὶ γὰρ πείθει εἰδέναι, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός· καὶ ὅτι οὐ μέχρι τοῦ παρόντος βίου ἕστηκε τὰ ἡμέτερα, ἀλλὰ καὶ φοβερώτερον ἡμᾶς ἐντεῦθεν ἐκδέξεται δικαστήριον, καὶ αἱ τῶν πεπραγμένων εὐθῦναι ἁπάντων, καὶ τιμαὶ καὶ κολάσεις· καὶ ὅτι οὐδέν, οὐ μικρόν, οὐ μέγα τις ποιῶν λήσεται, κἂν δόξῃ τοὺς ἀνθρώπους λανθάνειν. Ταῦτα γὰρ ἅπαντα ᾐνίξατο εἰπών· «Ὁ Πατήρ σου, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ»· μέγα καὶ σεμνὸν αὐτῷ καθίζων θέατρον, καὶ ὅπερ ἐπιθυμεῖ, τοῦτο μετὰ πολλῆς αὐτῷ διδοὺς τῆς περιουσίας.

Τί γὰρ βούλει; φησίν· οὐχὶ θεατὰς ἔχειν τῶν γινομένων τινάς; Ἰδοὺ τοίνυν ἔχεις, οὐχὶ ἀγγέλους, οὐδὲ ἀρχαγγέλους, ἀλλὰ τὸν τῶν ὅλων Θεόν. Εἰ δὲ καὶ ἀνθρώπους ἐπιθυμεῖς ἔχειν θεωρούς, οὐδὲ ταύτης σε ἀποστερεῖ τῆς ἐπιθυμίας καιρῷ τῷ προσήκοντι, ἀλλὰ καὶ μετὰ πλείονός σοι αὐτὸ παρέχει τῆς ὑπερβολῆς. Νῦν μὲν γὰρ ἂν ἐπιδείξῃ, δέκα καὶ εἴκοσιν, ἢ καὶ ἑκατὸν ἀνθρώποις ἐπιδείξασθαι δυνήσῃ μόνοις· ἂν δὲ σπουδάζῃς νῦν λαθεῖν, τότε σοι αὐτὸς ὁ Θεὸς ἀνακηρύξει, τῆς οἰκουμένης παρούσης ἁπάσης. Ὥστε μάλιστα εἰ βούλει ἀνθρώπους ἰδεῖν σου τὰ κατορθώματα, κρύψον αὐτὰ νῦν, ἵνα μετὰ πλείονος τιμῆς τότε αὐτὰ πάντες θεάσωνται, τοῦ Θεοῦ φανερὰ ποιοῦντος καὶ ἐπαίροντος καὶ παρὰ πᾶσιν ἀνακηρύττοντος. Νῦν μὲν γάρ σου καὶ καταγνώσονται οἱ ὁρῶντες, ὡς κενοδόξου· στεφανούμενον δὲ ἰδόντες, οὐ μόνον οὐ καταγνώσονται, ἀλλὰ καὶ θαυμάσονται ἅπαντες. Ὅταν οὖν καὶ μισθὸν ᾖ λαβεῖν καὶ θαῦμα καρπώσασθαι μεῖζον, ὀλίγον ἀναμείναντα χρόνον, ἐννόησον ἡλίκης ἀνοίας ἐστὶν ἀμφοτέρων ἐκπεσεῖν τούτων, καὶ παρὰ τοῦ Θεοῦ τὸν μισθὸν αἰτοῦντα καὶ τοῦ Θεοῦ ὁρῶντος, τοὺς ἀνθρώπους καλεῖν πρὸς τὴν ἐπίδειξιν τῶν γινομένων. Εἰ γὰρ ἐπιδείκνυσθαι δεῖ, τῷ Πατρὶ πρὸ πάντων ἐπιδείκνυσθαι χρή· καὶ μάλιστα ὅταν

καὶ τὴν τιμὴν ποὺ προέρχεται ἀπὸ ἐδῶ, παροτρύνων αὐτοὺς καὶ ἀπὸ ἐδῶ καὶ ἀπὸ ἐκεῖ καὶ ὁδηγῶν αὐτοὺς εἰς νοήματα ὑψηλά. Διότι θέλει νὰ μᾶς κάνῃ νὰ γνωρίζωμεν ὅτι ὁ Θεὸς ὑπάρχει παντοῦ. Καὶ ὅτι ἡ πορεία μας δὲν τελειώνει εἰς τὴν παροῦσαν ζωήν, ἀλλὰ ἀπὸ ἐδῶ μᾶς περιμένει φοβερώτερον δικαστήριον, αἱ εὐθῦναι δι' ὅλας τὰς πράξεις μας, αἱ τιμαὶ καὶ αἱ τιμωρίαι. Καὶ ὁ,τιδήποτε κάνει κανεὶς εἴτε μικρὸν εἴτε μεγάλον δὲν θὰ ξεφύγῃ, ἀκόμη καὶ ἂν νομίσῃ ὅτι ἐξέφυγε τοὺς ἀνθρώπους. Ὅλα αὐτὰ τὰ ὑπαινίχθηκε μὲ τοὺς λόγους· «Ὁ Πατήρ σου ποὺ βλέπει εἰς τὰ κρυφά, θὰ σοῦ ἀποδώσῃ εἰς τὰ φανερά», ἑτοιμάζων εἰς αὐτὸν μεγάλο καὶ ἐπιβλητικὸν ἀκροατήριον καὶ δίδων εἰς αὐτὸν ἄφθονα ὅ,τι ἀκριβῶς ἐπιθυμεῖ.

Τί ἐπιθυμεῖς; λέγει. Δὲν θέλεις νὰ ἔχῃς μερικοὺς θεατὰς τῶν πράξεών σου; Ἔχεις λοιπὸν τώρα ὄχι ἀγγέλους οὔτε ἀρχαγγέλους ἀλλὰ τὸν ἴδιον τὸν Θεὸν τῶν ὅλων. Ἂν τώρα ἐπιθυμῇς νὰ ἔχῃς καὶ ἀνθρώπους θεατάς, δὲν θὰ λείψῃ νὰ ἐκπληρώσῃ καὶ αὐτὴν τὴν ἐπιθυμίαν σου, ὅταν πρέπει, ἀλλὰ καὶ αὐτὴν θὰ τὴν ἱκανοποιήσῃ μὲ κάθε γενναιοδωρίαν. Ἂν ἐπιδειχθῇς τώρα, θὰ ἠμπορέσῃς νὰ ἐπιδειχθῇς εἰς δέκα-εἴκοσι ἢ ἑκατὸν μόνον ἀνθρώπους. Ἂν ἐπιδιώξῃς νὰ ξεφύγῃς τώρα, θὰ σὲ ἀνακηρύξῃ τότε ὁ ἴδιος ὁ Θεός, παρουσίᾳ ὁλοκλήρου τῆς οἰκουμένης. Ὥστε ἂν ἐπιθυμῇς ἀκριβῶς νὰ παρακολουθήσουν οἱ ἄνθρωποι τὰ κατορθώματά σου, νὰ τὰ κρύψῃς τώρα, διὰ νὰ τὰ παρακολουθήσουν τότε ὅλοι μὲ μεγαλυτέραν τιμήν, καθὼς θὰ τὰ φανερώνῃ ὁ Θεὸς καὶ θὰ τὰ ἐξυψώνῃ καὶ θὰ τὰ διαλαλῇ εἰς ὅλους. Ὅσοι τὰ βλέπουν τώρα θὰ σὲ κατηγορήσουν ὡσὰν κενόδοξον. Ὅταν ὅμως σὲ ἰδοῦν νὰ στεφανώνεσαι ὄχι μόνον δὲν θὰ σὲ κατηγορήσουν, ἀλλὰ καὶ θὰ σὲ θαυμάσουν ὅλοι. Ὅταν λοιπὸν εἶναι καὶ μισθὸν νὰ λάβῃς καὶ νὰ ἀπολαύσῃς ἕνα μεγαλύτερον θαῦμα κάμνων ὀλίγην ὑπομονήν, σκέψου τί ἀνοησία εἶναι νὰ χάσῃς καὶ τὰ δύο αὐτὰ καὶ ἐνῷ ἠμπορεῖς νὰ ζητᾷς μισθὸν ἀπὸ τὸν Θεὸν καὶ νὰ ἔχῃς τὸν Θεὸν θεατήν, σὺ νὰ καλῇς τοὺς ἀνθρώπους διὰ νὰ κάνῃς ἐπίδειξιν τῶν πράξεών σου. Ἂν εἶναι ἀνάγκη νὰ κάνῃς ἐπίδειξιν, πρέπει νὰ ἐπιδεικνύεσαι εἰς τὸν Πατέρα, καὶ

καὶ τοῦ στεφανῶσαι καὶ τοῦ ζημιῶσαι κύριος ὁ Πατὴρ ᾖ. Καίτοι εἰ καὶ ζημία μὴ ἦν, οὐκ ἔδει τὸ θέατρον τοῦτο ἀφιέντα, ἀνταλλάξασθαι τὸ τῶν ἀνθρώπων, τὸν δόξης ἐπιθυμοῦντα. Τίς γὰρ οὕτως ἄθλιος, ὡς τοῦ βασιλέως σπεύδοντος ἐπὶ τὴν θεωρίαν τῶν αὐτοῦ κατορθωμάτων ἐλθεῖν, ἐκεῖνον μὲν ἀφιέναι, ἀπὸ δὲ τῶν πτωχῶν καὶ προσαιτῶν καθίζειν αὐτοῦ τὸ θέατρον; Διὰ δὴ τοῦτο οὐχὶ μόνον οὐκ ἐπιδείκνυσθαι κελεύει, ἀλλὰ καὶ σπουδάζειν λανθάνειν. Οὐδὲ γάρ ἐστιν ἴσον, μὴ σπουδάσαι φανῆναι, καὶ σπουδάσαι λαθεῖν· «Καὶ ὅταν προσεύχησθε», φησίν, «οὐκ ἔσεσθε ὥσπερ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ». Πάλιν καὶ τούτους ὑποκριτὰς καλεῖ καὶ μάλα εἰκότως· ὅτι Θεῷ προσποιούμενοι προσεύχεσθαι, ἀνθρώπους περισκοποῦσιν, οὐχ ἱκετῶν περικείμενοι σχῆμα, ἀλλ' ἀνθρώπων καταγελάστων. Ὁ γὰρ μέλλων ἱκετεύειν, ἅπαντας ἀφείς, πρὸς ἐκεῖνον μόνον ὁρᾷ τὸν κύριον ὄντα δοῦναι τὴν αἴτησιν. Ἂν δὲ τοῦτον ἀφείς, περιέρχῃ πλανώμενος καὶ πανταχοῦ περιφέρων τοὺς ὀφθαλμούς, κεναῖς ἀπελεύσῃ χερσί.

Τοῦτο γὰρ αὐτὸς ἐβουλήθης. Διὰ τοῦτο οὐκ εἶπεν, ὅτι οὐ λήψονται μισθὸν οἱ τοιοῦτοι, ἀλλ' ὅτι ἀπέχουσι, τουτέστιν, ὅτι λήψονται μέν, παρ' ὧν δὲ ἐπιθυμοῦσιν αὐτοί. Οὐ γὰρ ὁ Θεὸς βούλεται, ἀλλ' αὐτὸς μὲν τὴν παρ' ἑαυτοῦ παρέχειν ἤθελεν ἀμοιβήν· ἐκεῖνοι δὲ τὴν παρὰ τῶν ἀνθρώπων ζητοῦντες, οὐκέτ' ἂν εἶεν δίκαιοι λαβεῖν παρ' ἐκείνου, δι' ὃν οὐδὲν πεποιήκασι. Σὺ δέ μοι σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι καὶ ὑπὲρ ὧν αἰτεῖται παρ' ἡμῶν ἀγαθῶν, ἐπαγγέλλεται μισθὸν παρέξειν.

μάλιστα πολὺ περισσότερον ὅταν κύριος καὶ τοῦ στεφανώματος καὶ τῆς τιμωρίας εἶναι ὁ Πατήρ. Καὶ βέβαια, καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε θέμα τιμωρίας, δὲν θὰ ἔπρεπε νὰ στερήσῃς τὸν ἑαυτόν σου ἀπὸ αὐτὸ τὸ θέατρον καὶ νὰ τὸ ἀνταλλάξῃς μὲ θέατρον ἀνθρώπων, σὺ ποὺ ἐπιθυμεῖς τὴν δόξαν. Ποῖος εἶναι δὲ τόσον πολὺ ἀξιολύπητος, ὥστε ἐνῷ ὁ βασιλεὺς σπεύδει νὰ ἔλθῃ καὶ νὰ παρακολουθήσῃ τὰ κατορθώματά του, αὐτὸς ἀφήνει τὸν βασιλέα καὶ ἱκετεύει τοὺς πτωχοὺς νὰ ἀποτελέσουν τὸ θέατρόν του; Διὰ τοῦτο ἀκριβῶς προστάζει ὄχι μόνον νὰ μὴ ἐπιδεικνυώμεθα, ἀλλὰ καὶ νὰ προσπαθοῦμεν νὰ περάσωμεν ἀπαρατήρητοι, λέγων· «Ὅταν προσεύχεσθε, δὲν θὰ εἶσθε ὅπως οἱ ὑποκριταὶ ποὺ ἀγαποῦν νὰ στέκωνται εἰς τὰς συναγωγὰς καὶ εἰς τὰς γωνίας τῶν πλατειῶν καὶ νὰ προσεύχωνται. Σᾶς διαβεβαιώνω ὅτι ἀπέχουν πολὺ ἀπὸ τὸν μισθόν των. Σὺ ἴσως ὅταν προσεύχεσαι, νὰ εἰσέλθῃς εἰς τὸ προσευχητήριόν σου καὶ ἀφοῦ κλείσῃς τὴν θύραν, νὰ προσευχηθῇς εἰς τὸν Πατέρα σου ποὺ εἶναι παρὼν ἐκεῖ εἰς τὰ κρυφά». Διὰ μίαν φορὰν ἀκόμη καὶ αὐτοὺς τοὺς ἀποκαλεῖ ὑποκριτὰς καὶ πολὺ εὔλογα· προσποιοῦνται ὅτι προσεύχονται εἰς τὸν Θεόν, ἀλλὰ κοιτάζουν γύρω τοὺς ἀνθρώπους καὶ δὲν στέκονται ὅπως οἱ ἱκέται ἀλλὰ ὅπως ἄνθρωποι καταγέλαστοι. Αὐτὸς ποὺ πρόκειται νὰ ἱκετεύσῃ τοὺς ἀφήνει ὅλους καὶ βλέπει μόνον αὐτὸν ποὺ ἔχει τὴν δύναμιν νὰ ἐκπληρώσῃ τὴν αἴτησίν του. Ἂν τὸν ἀφήσῃς αὐτὸν καὶ περιπλανᾶσαι περιφέρων παντοῦ ὁλόγυρα τὰ μάτια σου, θὰ φύγῃς μὲ ἄδεια χέρια.

Σὺ τὸ ἠθέλησες αὐτό. Διὰ τοῦτο δὲν εἶπεν ὅτι δὲν θὰ λάβουν μισθὸν οἱ ἄνθρωποι αὐτοί, ἀλλὰ ὅτι ἀπέχουν, δηλαδὴ θὰ λάβουν, ἀλλὰ ἀπὸ αὐτοὺς ποὺ δὲν θέλουν. Δὲν εἶναι ὁ Θεὸς ποὺ δὲν θέλει· ἐκεῖνος ἤθελε νὰ παραχωρήσῃ τὴν ἰδικήν του ἀμοιβήν, ἐκεῖνοι ὅμως ἀφοῦ ζητοῦν τὴν ἀμοιβὴν τῶν ἀνθρώπων, δὲν ἔχουν δικαίωμα νὰ λάβουν τὴν ἀμοιβὴν τοῦ Θεοῦ, διὰ τὸν ὁποῖον δὲν ἔκαναν τίποτε. Σὺ ὅμως πρόσεχε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ· ὑπόσχεται ὅτι καὶ δι' ὅσα ἀγαθὰ τοῦ ζητοῦμεν θὰ μᾶς δώσῃ ἀμοιβήν. Ἀφοῦ λοιπὸν κατηγόρησεν αὐτοὺς ποὺ δὲν

Διαβαλὼν τοίνυν τοὺς οὐ προσηκόντως τῷ πράγματι χρωμένους, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τῆς διαθέσεως, καὶ δείξας σφόδρα καταγελάστους ὄντας, εἰσάγει τὸν ἄριστον τῆς προσευχῆς τρόπον, καὶ πάλιν τὸν μισθὸν δίδωσιν, εἰπών· «Εἴσελθε εἰς τὸ ταμιεῖόν σου».

3. Τί οὖν; ἐν ἐκκλησίᾳ, φησίν, οὐ δεῖ προσεύχεσθαι; Καὶ σφόδρα μέν, ἀλλὰ μετὰ γνώμης τοιαύτης. Πανταχοῦ γὰρ ὁ Θεὸς τὸν σκοπὸν ζητεῖ τῶν γινομένων. Ἐπεὶ κἂν εἰς τὸ ταμιεῖον εἰσέλθῃς καὶ ἀποκλείσας, πρὸς ἐπίδειξιν αὐτὸ ἐργάσῃ, οὐδέν σοι τῶν θυρῶν ὄφελος. Ὅρα γοῦν καὶ ἐνταῦθα πῶς ἀκριβῆ τὸν διορισμὸν τέθεικεν, εἰπών, «Ὅπως φανῶσι τοῖς ἀνθρώποις». Ὥστε κἂν τὰς θύρας ἀποκλείσῃς, τοῦτο πρὸ τῆς τῶν θυρῶν ἀποκλείσεως κατορθῶσαί σε βούλεται καὶ τὰς τῆς διανοίας ἀποκλείειν θύρας. Κενοδοξίας γὰρ πανταχοῦ μὲν ἀπηλλάχθαι καλόν, μάλιστα δὲ ἐν εὐχῇ. Εἰ γὰρ καὶ τούτου χωρὶς πλανώμεθα καὶ περιφερόμεθα, ἂν καὶ ταύτην εἰσερχώμεθα τὴν νόσον ἔχοντες, πότε ἀκουσόμεθα τῶν παρ' ἡμῶν λεγομένων; εἰ δὲ ἡμεῖς οἱ δεόμενοι καὶ παρακαλοῦντες οὐκ ἀκούομεν, πῶς τὸν Θεὸν ἀξιοῦμεν ἀκούειν;

Ἀλλ' ὅμως εἰσί τινες, οἱ μετὰ τοιαῦτα καὶ τοσαῦτα παραγγέλματα οὕτως ἀσχημονοῦντες ἐν εὐχῇ, ὡς καὶ τοῦ σώματος κρυπτομένου, διὰ τῆς φωνῆς πᾶσιν ἑαυτοὺς καταδήλους ποιεῖν, συρφετωδῶς βοῶντες καὶ τῷ σχήματι καὶ τῇ φωνῇ καταγελάστους ποιοῦντες ἑαυτούς. Οὐχ ὁρᾷς ὅτι καὶ ἐν ἀγορᾷ, ἂν μὲν τοιαῦτα προσέλθῃ τις ποιῶν καὶ μετὰ βοῆς ἱκετεύων, σοβήσει τὸν ἱκετευόμενον· ἂν δὲ ἡσυχῇ καὶ μετὰ τοῦ προσήκοντος σχήματος, τότε ἐπισπᾶται μᾶλλον τὸν δυνάμενον δοῦναι τὴν χάριν;

Μὴ τοίνυν τῷ σχήματι τοῦ σώματος, μηδὲ τῇ κραυγῇ τῆς

ἐφαρμόζουν ὅπως πρέπει τὴν προσευχὴν καὶ ὡς πρὸς τὸν τόπον καὶ ὡς πρὸς τὴν διάθεσιν καὶ ἀφοῦ ἀπέδειξεν ὅτι εἶναι ἐξ ὁλοκλήρου καταγέλαστοι, παρουσιάζει τέλος τὸν ἄριστον τρόπον τῆς προσευχῆς καὶ παραχωρεῖ πάλιν τὴν ἀμοιβὴν λέγων· «Νὰ εἰσέλθῃς εἰς τὸ προσευχητήριόν σου».

3. Μὰ τότε; θὰ ἐρωτήσῃ κάποιος Δὲν πρέπει νὰ προσευχώμεθα εἰς τὴν ἐκκλησίαν;

Καὶ πάρα πολὺ μάλιστα ἀλλὰ μὲ τὴν διάθεσιν αὐτήν. Παντοῦ ὁ Θεὸς ἀναζητεῖ τὸν σκοπὸν τῶν πράξεών μας. Διότι ἀκόμη καὶ ἂν εἰσέλθῃς εἰς τὸ προσευχητήριόν σου καὶ κλεισθῇς καλὰ μέσα καὶ τὸ κάνῃς αὐτὸ πρὸς ἐπίδειξιν, εἰς τίποτε δὲ θὰ σὲ ὠφελήσουν αἱ θύραι. Πρόσεξε λοιπὸν καὶ ἐδῶ μὲ πόσην ἀκρίβειαν καθορίζει τὰ πράγματα. «Διὰ νὰ ἐπιδειχθοῦν εἰς τοὺς ἀνθρώπους». Ὥστε πρὶν κλείσῃς καλὰ τὰς θύρας, θέλει νὰ σὲ κάνῃ νὰ κατορθώσῃς τοῦτο, νὰ ἀσφαλίσῃς δηλαδὴ καὶ τὰς θύρας τῆς διανοίας σου. Ἀπὸ τὴν κενοδοξίαν εἶναι καλὸν νὰ εἶσαι πάντοτε ἀπηλλαγμένος καὶ πολὺ περισσότερον κατὰ τὴν ὥραν τῆς προσευχῆς. Ἂν καὶ χωρὶς κενοδοξίαν περιπλανώμεθα καὶ περιφερώμεθα, πότε θὰ ἀκούσωμεν τοὺς λόγους τῆς προσευχῆς μας, ὅταν εἰσερχόμεθα εἰς τὸ προσευχητήριόν μας ἔχοντες τὴν νόσον αὐτήν; Καὶ ἂν δὲν ἀκοῦμεν ἡμεῖς ποὺ παρακαλοῦμεν καὶ ἱκετεύομεν, πῶς θὰ ἔχωμεν τὴν ἀξίωσιν νὰ μᾶς ἀκούσῃ ὁ Θεός;

Ὑπάρχουν ὡστόσον μερικοί, ποὺ ἔπειτα ἀπὸ τόσα καὶ τέτοια παραγγέλματα συμπεριφέρονται μὲ τόσην ἀσχημοσύνην εἰς τὴν προσευχήν, ὥστε καὶ ἂν κρύψουν τὸ σῶμα των, φανερώνουν τὸν ἑαυτόν των εἰς ὅλους μὲ τὰς φωνάς των, κραυγάζοντες ἀγοραῖα, καὶ γελοιοποιοῦντες τὸν ἑαυτόν των καὶ μὲ τὴν τάσιν καὶ μὲ τὴν φωνήν των. Δὲν βλέπεις ὅτι καὶ εἰς τὴν ἀγοράν, ἂν κάποιος πλησιάσῃ μὲ τέτοιον τρόπον καὶ παρακαλῇ μὲ φωνάς, θὰ κάνῃ αὐτὸν ποὺ παρακαλεῖται ν' ἀπομακρυνθῇ; Ἐνῷ ἂν πλησιάσῃ ἥσυχα καὶ μὲ τὸν τρόπον ποὺ πρέπει, τότε συγκινεῖ περισσότερον αὐτὸν ποὺ ἠμπορεῖ νὰ τοῦ κάνῃ τὴν χάριν.

Ὄχι λοιπὸν μὲ τὴν κλίσιν τοῦ σώματος, οὔτε μὲ τὴν ὀ-

φωνῆς, ἀλλὰ τῇ προθυμίᾳ τῆς γνώμης τὰς εὐχὰς ποιώμεθα· μηδὲ μετὰ ψόφου καὶ ἠχῆς καὶ πρὸς ἐπίδειξιν, ὡς καὶ τοὺς πλησίον ἐκκρούειν, ἀλλὰ μετὰ ἐπιεικείας πάσης καὶ τῆς κατὰ διάνοιαν συντριβῆς καὶ δακρύων τῶν ἔνδοθεν.

Ἀλλ' ἀλγεῖς τὴν ψυχήν, καὶ οὐκ ἂν δύναιο μὴ βοᾶν; Καὶ μὴν τοῦ σφόδρα ἀλγοῦντός ἐστι τὸ οὕτως εὔχεσθαι καὶ παρακαλεῖν, ὥσπερ εἶπον. Ἐπεὶ καὶ Μωϋσῆς ἤλγει καὶ οὕτως ηὔχετο, καὶ ἠκούετο· διὰ τοῦτο καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Θεός· «Τί βοᾷς πρός με;». Καὶ ἡ Ἄννα δὲ πάλιν, τῆς φωνῆς αὐτῆς οὐκ ἀκουομένης, πάντα ἤνυσεν ὅσα ἠθέλησεν, ἐπειδὴ ἡ καρδία αὐτῆς ἐβόα. Ὁ δὲ Ἄβελ οὐχὶ σιγῶν, ἀλλὰ καὶ τελευτῶν ηὔχετο καὶ τὸ αἷμα αὐτοῦ σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν.

Στέναξον τοίνυν καὶ σὺ οὕτως ὡς ὁ ἅγιος ἐκεῖνος· οὐ κωλύω. Διάρρηξον, ὡς ὁ Προφήτης ἐκέλευσε, τὴν καρδίαν σου, καὶ μὴ τὰ ἱμάτια. Ἐκ βαθέων κάλεσον τὸν Θεόν· «Ἐκ βαθέων» γάρ, φησίν, «ἐκέκραξά σοι, Κύριε». Κάτωθεν ἀπὸ τῆς καρδίας ἕλκυσον φωνήν· μυστήριον ποίησόν σου τὴν εὐχήν. Οὐχ ὁρᾷς ὅτι καὶ ἐν τοῖς βασιλείοις θόρυβος ἐκποδὼν ἅπας καὶ πολλὴ πανταχόθεν ἡ σιγή; Καὶ σὺ τοίνυν ὡς εἰς βασίλεια εἰσιών, οὐ τὰ ἐν τῇ γῇ, ἀλλὰ τὰ πολλῷ φρικωδέστερα τούτων, τὰ ἐν τοῖς οὐρανοῖς, πολλὴν ἐπιδείκνυσο τὴν εὐσχημοσύνην. Καὶ γὰρ ἀγγέλων εἶ συγχορευτὴς καὶ ἀρχαγγέλων κοινωνός, καὶ μετὰ τῶν Σεραφὶμ ᾄδεις. Πάντες δὲ οὗτοι οἱ δῆμοι πολλὴν ἐπιδείκνυνται τὴν εὐταξίαν, μετὰ πολλῆς τῆς φρίκης τὸ μυστικὸν ἐκεῖνο μέλος καὶ τοὺς ἱεροὺς ὕμνους ᾄδοντες τῷ βασιλεῖ τῶν ὅλων Θεῷ.

Τούτοις τοίνυν ἐγκατάμιξον σαυτὸν εὐχόμενος, καὶ τὸν μυστικὸν αὐτῶν ζήλωσον κόσμον. Οὐδὲ γὰρ ἀνθρώποις εὔχῃ, ἀλλὰ Θεῷ τῷ πανταχοῦ παρόντι, τῷ καὶ πρὸ τῆς φωνῆς ἀκούοντι, τῷ τὰ ἀπόρρητα τῆς διανοίας ἐπισταμένῳ. Ἂν οὕτως εὔχῃ,

---

1. Ἐξ. 14,15
2. Α' Βασ. Κεφ. 1
3. Ἰωὴλ 2,13
4. Ψαλμ. 129,1

ξύτητα τῆς φωνῆς, ἀλλὰ μὲ τὴν πρόθυμον διάθεσιν ἂς κάνωμεν τὴν προσευχήν μας. Οὔτε μὲ θόρυβον καὶ φασαρίαν καὶ πρὸς ἐπίδειξιν, ὥστε νὰ διώξωμεν τοὺς γύρω μας, ἀλλὰ μὲ τὸν τρόπον ἀκριβῶς ποὺ πρέπει, μὲ τὴν συντριβὴν τῆς ψυχῆς καὶ μὲ δάκρυα ἐκ βαθέων.

Ὑποφέρεις ψυχικὰ καὶ σοῦ εἶναι ἀδύνατον νὰ μὴ φωνάζῃς; Ἔτσι ὅμως ὅπως εἶπα ἀκριβῶς ψυχικὰ προσεύχεται καὶ παρακαλεῖ αὐτὸς ποὺ ὑποφέρει πάρα πολύ. Καὶ ὁ Μωϋσῆς ὑπέφερε καὶ προσηύχετο ἔτσι καὶ εἰσακούετο. Διὰ τοῦτο καὶ τοῦ ἔλεγεν ὁ Θεός: «Τί φωνάζεις πρὸς ἐμένα;»[1]. Ἀλλὰ καὶ ἡ Ἄννα πάλιν ποὺ δὲν ἠκούετο ἡ φωνή της, ἐπέτυχεν ὅλα ὅσα ἠθέλησεν, ἐπειδὴ ἐφώναζεν ἡ καρδία της [2]. Καὶ ὁ Ἄβελ πάλιν καὶ μὲ τὸν θάνατόν του δὲν ἐσώπαινεν, ἀλλὰ προσηύχετο καὶ τὸ αἷμα του ἔβγαζε φωνὰς δυνατωτέρας ἀπὸ σάλπιγγας.

Ὅπως λοιπὸν ὁ ἅγιος ἐκεῖνος, στέναζε καὶ σύ, δὲ σ' ἐμποδίζω. Σχίσε, ὅπως συμβουλεύει ὁ Προφήτης, τὴν καρδίαν σου καὶ ὄχι τὰ ροῦχα σου [3]. Κάλεσε ἀπὸ τὰ βάθη τῆς ψυχῆς σου τὸν Θεόν. «Ἐκ βαθέων», λέγει, «ἔχω φωνάξει πρὸς ἐσένα, Κύριε» [4]. Κάτω ἀπὸ τὴν καρδίαν σου ἀνάσυρε τὴν φωνήν σου, κάμε τὴν προσευχήν σου μυστήριον. Δὲν βλέπεις ὅτι καὶ μέσα εἰς τὰ ἀνάκτορα δὲν ἀκούεται κανεὶς θόρυβος καὶ ἐπικρατεῖ πολλὴ σιγή; Καὶ σὺ λοιπὸν εἰσερχόμενος εἰς ἀνάκτορα, ὄχι εἰς τὰ γήινα, ἀλλὰ εἰς τὰ πολὺ πιὸ φρικτὰ ἀπὸ αὐτά, τὰ οὐράνια, δεῖξε πολλὴν εὐκοσμίαν. Διότι λαμβάνεις μέρος εἰς τὸν χορὸν τῶν ἀγγέλων, κάνεις συντροφιὰν μὲ ἀρχαγγέλους, ψάλλεις μαζὶ μὲ τὰ Σεραφίμ. Ὅλα αὐτὰ τὰ τάγματα παρουσιάζουν πολλὴν τάξιν καὶ μὲ πολλὴν φρίκην ψάλλουν τὴν μυστικὴν ἐκείνην μελῳδίαν ὡσὰν ἱερὴν ὑμνῳδίαν εἰς τὸν βασιλέα τῶν ὅλων Θεόν.

Ἕνας λοιπὸν ἀπὸ αὐτοὺς γίνε καὶ σὺ ὅταν προσεύχεσαι καὶ ζήλεψε τὴν μυστικήν των τάξιν. Διότι βέβαια δὲν προσεύχεσαι εἰς ἀνθρώπους ἀλλὰ εἰς τὸν Θεὸν τὸν πανταχοῦ παρόντα, ποὺ ἀκούει καὶ προτοῦ τοῦ ὁμιλήσωμεν καὶ γνωρίζει τὰ ἀπόρρητα τῆς ψυχῆς μας. Ἂν προσεύχεσαι ἔτσι, θὰ λάβῃς πολὺν

πολὺν ἀπολήψῃ τὸν μισθόν. «Ὁ Πατὴρ γάρ σου», φησίν, «ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ». Οὐκ εἶπε, Χαριεῖταί σοι, ἀλλ', «Ἀποδώσει σοι». Καὶ γὰρ χρεώστην ἑαυτόν σοι κατέστησε καὶ μεγάλῃ σε καὶ ἐντεῦθεν ἐτίμησε τιμῇ. Ἐπειδὴ γὰρ αὐτός ἐστιν ἀόρατος καὶ τὴν εὐχήν σου τοιαύτην εἶναι βούλεται.

Εἶτα λέγει καὶ τὰ ῥήματα αὐτὰ τῆς εὐχῆς. «Προσευχόμενοι» γάρ, φησί, «μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοὶ ποιοῦσιν». Ὅτε μὲν γὰρ περὶ τῆς ἐλεημοσύνης διελέγετο, τὴν ἀπὸ τῆς κενοδοξίας λύμην ἀπέστησε μόνον καὶ οὐδὲν πλέον προσέθηκεν, οὐδὲ εἶπε πόθεν ἐλεημοσύνην δεῖ ποιεῖν· οἷον ἀπὸ δικαίων πόνων, ἀλλὰ μὴ ἐξ ἁρπαγῆς, μηδὲ πλεονεξίας· καὶ γὰρ σφόδρα ἦν ὡμολογημένον παρὰ πᾶσι. Καὶ ἀνωτέρω δὲ τοῦτο προδιεκάθαρεν, ὅτε τοὺς πεινῶντας τὴν δικαιοσύνην ἐμακάρισεν. Ἐπὶ δὲ τῆς εὐχῆς καὶ ἕτερόν τι προστίθησι πλέον, τὸ μὴ βαττολογεῖν. Καὶ ὥσπερ ἐκεῖ τοὺς ὑποκριτάς, οὕτως ἐνταῦθα τοὺς ἐθνικοὺς κωμῳδεῖ, πανταχοῦ τῇ τῶν προσώπων εὐτελείᾳ μάλιστα ἐντρέπων τὸν ἀκροώμενον. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ τοῦτο μάλιστα δάκνει καὶ καθάπτεται, τὸ δοκεῖν ἀπερριμμένοις ἀνθρώποις ἐξομοιοῦσθαι, ἐντεῦθεν αὐτοὺς ἀποτρέπει, βαττολογίαν ἐνταῦθα τὴν φλυαρίαν λέγων· οἷον ὅταν τὰ μὴ προσήκοντα αἰτῶμεν παρὰ τοῦ Θεοῦ, δυναστείας καὶ δόξας καὶ τὸ ἐχθρῶν περιγενέσθαι καὶ χρημάτων περιουσίας καὶ ἁπλῶς τὰ μηδὲν ἡμῖν διαφέροντα. «Οἶδε γάρ», φησίν, «ὧν χρείαν ἔχετε».

4. Μετὰ τούτων δοκεῖ μοι κελεύειν ἐνταῦθα μηδὲ μακρὰς ποιεῖσθαι τὰς εὐχάς· μακρὰς δὲ οὐχὶ τῷ χρόνῳ, ἀλλὰ τῷ πλήθει καὶ μήκει τῶν λεγομένων. Παραμένειν μὲν γὰρ χρὴ τὰ αὐτὰ αἰτοῦντας· «Τῇ γὰρ εὐχῇ», φησί, «προσκαρτεροῦντες». Καὶ αὐτὸς δὲ διὰ τοῦ παραδείγματος ἐκείνου τοῦ κατὰ τὴν χήραν, ἣ τὸν ἀνελεῆ καὶ ὠμὸν ἐπέκαμψεν ἄρχοντα τῇ συνεχείᾳ τῆς ἐντεύ-

---

1. Ρωμ. 12,12
2. Λουκᾶ 18,1 - 8

μισθόν. «Ὁ Πατήρ σου», λέγει, «πού βλέπει εἰς τὰ κρυφά, θὰ σὲ ἐξοφλήσῃ φανερά». Δὲν εἶπε θὰ σοῦ χαρίσῃ, ἀλλὰ θὰ σὲ ἐξοφλήσῃ. Ἔγινε χρεώστης σου καὶ μὲ αὐτὸ σοῦ ἔκαμε μεγάλην τιμήν. Ἐπειδὴ δὲ εἶναι ἐκεῖνος ἀόρατος ἐπιθυμεῖ νὰ εἶναι καὶ ἡ προσευχή σου.

Ἐν συνεχείᾳ μᾶς λέγει καὶ τοὺς λόγους τῆς προσευχῆς. «Ὅταν προσεύχεσθε», λέγει, «μὴ φλυαρήσετε, ὅπως κάνουν οἱ εἰδωλολάτραι». Ὅταν ὡμιλοῦσε περὶ τῆς ἐλεημοσύνης, ἀπεμάκρυνε μόνον τὴν νόσον τῆς ματαιοδοξίας· δὲν ἐπρόσθεσε τίποτε περισσότερον οὔτε εἶπεν ἀπὸ ποῦ πρέπει νὰ κάνωμεν τὴν ἐλεημοσύνην· π.χ. ὡς προϊὸν ἀπὸ τὸν δίκαιον μόχθον μας καὶ ὄχι ἀπὸ ἁρπαγὴν ἢ ὡς ἀποτέλεσμα τῆς πλεονεξίας μας, καθόσον ὁ τρόπος ἦτο εἰς ὅλους σαφής. Τοῦτο τὸ ἐξεκαθάρισε καὶ προηγουμένως ὅταν ἐμακάρισεν ἐκείνους πού πεινοῦν τὴν δικαιοσύνην. Εἰς τὴν προσευχὴν ὅμως προσθέτει καὶ κάτι ἀκόμη, τὴν ἀποφυγὴν τῆς φλυαρίας. Καὶ ὅπως ἐκεῖ γελοιοποιεῖ τοὺς ὑποκριτάς, ἐδῶ γελοιοποιεῖ τοὺς ἐθνικούς, προτρέπων εἰς κάθε περίπτωσιν τὸν ἀκροατὴν ἀπὸ τὴν μηδαμινότητα τῶν προσώπων. Ἐπειδὴ δηλαδὴ τοῦτο συνήθως πληγώνει καὶ προσβάλλει, νὰ νομίζωμεν ὅτι ἐξομοιωνόμεθα μέ ἀνθρώπους παραπεταμένους, μὲ αὐτὸν τὸν τρόπον τοὺς συγκρατεῖ, ἀποκαλῶν ἐδῶ τὴν βαττολογίαν φλυαρίαν. Ὅπως δηλαδὴ ὅταν ζητοῦμεν ἀπὸ τὸν Θεὸν ὅσα δὲν πρέπει, ἐξουσίας καὶ δόξας, νίκας κατὰ τῶν ἐχθρῶν μας, χρήματα πολλὰ καὶ γενικὰ ὅσα δὲν μᾶς ὠφελοῦν καθόλου. Διότι γνωρίζει, μᾶς λέγει, «γνωρίζει αὐτὰ πού χρειάζεσθε».

4. Μαζὶ μὲ αὐτά, νομίζω, ὅτι πρέπει νὰ σᾶς συμβουλεύσω τώρα νὰ μὴ κάνετε μακρὰς τὰς προσευχάς σας· μακράς, δὲν ἐννοῶ ὡς πρὸς τὸν χρόνον, ἀλλὰ ὡς πρὸς τὸ πλῆθος καὶ τὸ μῆκος τῶν λεγομένων. Πρέπει νὰ ζητῶμεν εἰς τὴν προσευχήν μας, τὰ ἴδια πάντοτε μὲ ἐπιμονήν. Μᾶς λέγει· «Νὰ ἐπιμένετε μὲ καρτερίαν εἰς τὴν προσευχήν σας» [1]. Καὶ ὁ ἴδιος μὲ τὸ παράδειγμα τῆς χήρας πού ἐλύγισεν εἰς τὸ αἴτημά της τὸν ἄσπλαχνον καὶ σκληρὸν ἄρχοντα μὲ τὸ ἀδιάκοπον τῆς προσευχῆς [2], καὶ μὲ τὸ

ξεως, καὶ τοῦ κατὰ τὸν φίλον, τὸν ἀωρὶ τῶν νυκτῶν παραγενόμενον καὶ τὸν καθεύδοντα ἀπὸ τῆς κλίνης ἀναστήσαντα, οὐ διὰ τὴν φιλίαν, ἀλλὰ διὰ τὴν προσεδρείαν, οὐδὲν ἕτερον ἢ τὸ συνεχῶς ἐντυγχάνειν αὐτῷ ἅπαντας ἐνομοθέτησεν, οὐ μὴν μυρίων στίχων εὐχὴν συντιθέντας αὐτῷ προσιέναι καὶ ἀπαγγέλλειν ἁπλῶς κελεύει. Τοῦτο γὰρ ᾐνίξατο εἰπών· «Δοκοῦσιν ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Οἶδε γάρ», φησίν, «ὧν χρείαν ἔχετε».

Καὶ εἰ οἶδε, φησίν, ὧν χρείαν ἔχομεν, τίνος ἕνεκεν εὔχεσθαι δεῖ;

Οὐχ ἵνα διδάξῃς, ἀλλ' ἵνα ἐπικάμψῃς· ἵνα οἰκειωθῇς τῇ συνεχείᾳ τῆς ἐντεύξεως, ἵνα ταπεινωθῇς, ἵνα ἀναμνησθῇς τῶν ἁμαρτημάτων τῶν σῶν.

«Οὕτως οὖν προσεύχεσθε ὑμεῖς», φησί· «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς». Ὅρα πῶς εὐθέως ἀνέστησε τὸν ἀκροατήν, καὶ πάσης ἀνέμνησε τῆς εὐεργεσίας ἐν προοιμίοις. Ὁ γὰρ Πατέρα εἰπὼν τὸν Θεὸν καὶ ἁμαρτημάτων ἄφεσιν καὶ κολάσεως ἀναίρεσιν καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν καὶ υἱοθεσίαν καὶ κληρονομίαν καὶ ἀδελφότητα τὴν πρὸς τὸν Μονογενῆ καὶ Πνεύματος χορηγίαν, διὰ τῆς μιᾶς ταύτης ὡμολόγησε προσηγορίας. Οὐδὲ γὰρ δυνατὸν καλέσαι Πατέρα τὸν Θεόν, μὴ πάντων ἐκείνων ἐπιτυχόντα τῶν ἀγαθῶν. Διπλῇ τοίνυν αὐτῶν διεγείρει τὸ φρόνημα, καὶ τῷ ἀξιώματι τοῦ καλουμένου καὶ τῷ μεγέθει τῶν εὐεργετημάτων ὧν ἀπέλαυσαν. Τὸ δέ, «Ἐν τοῖς οὐρανοῖς», ὅταν εἴπῃ, οὐκ ἐκεῖ τὸν Θεὸν συγκλείων τοῦτό φησιν, ἀλλὰ τῆς γῆς ἀπάγων τὸν εὐχόμενον καὶ τοῖς ὑψηλοῖς προσηλῶν χωρίοις καὶ ταῖς ἄνω διατριβαῖς. Παιδεύει δὲ καὶ κοινὴν ὑπὲρ τῶν ἀδελφῶν ποιεῖσθαι τὴν εὐχήν. Οὐ γὰρ λέγει, Ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς, ἀλλ', «Ὁ Πατὴρ ἡμῶν» ὑπὲρ

---

1. Λουκᾶ 11,5 ἑ.

παράδειγμα τοῦ φίλου, ποὺ ἐπῆγε τὴ νύκτα χωρὶς νὰ ὑπολογίση τὴν ὥραν καὶ ἐσήκωσε τὸν κοιμισμένον ἀπὸ τὸ κρεββάτι του [1], ὄχι ἐπειδὴ ἦσαν φίλοι, ἀλλὰ μὲ τὴν ἐπίμονον ἀπαίτησίν του, δὲν ἔκαμε τίποτε ἄλλο παρὰ ἐνομοθέτησε νὰ προσεύχωνται ἀδιάκοπα ὅλοι εἰς αὐτόν· δὲν συμβουλεύει ὅμως νὰ προσέλθωμεν εἰς αὐτὸν καὶ νὰ τοῦ ἀπαγγείλωμεν μόνον τὴν προσευχὴν ἀπὸ ἀμετρήτους στίχους ποὺ συνθέσαμεν. Αὐτὸ δηλώνει ὁ ὑπαινιγμός του· «Νομίζουν ὅτι μὲ τὴν πολυλογίαν των θὰ εἰσακουσθοῦν· Γνωρίζει», μᾶς λέγει, «τὰς ἀνάγκας ποὺ ἔχετε».

Καὶ ἄν, θὰ ἐρωτήση κάποιος, γνωρίζη τὰς ἀνάγκας μας, διὰ ποῖον λόγον τότε πρέπει νὰ προσευχώμεθα;

Ὄχι διὰ νὰ τὸν ἐνημερώσῃς ἀλλὰ διὰ νὰ τὸν λυγίσῃς, διὰ νὰ καρπωθῇς μὲ τὴν συνέχειαν τῆς προσευχῆς, διὰ νὰ ταπεινωθῇς, διὰ νὰ θυμηθῇς τὰ ἁμαρτήματά σου.

«Ἔτσι λοιπόν», μᾶς λέγει, «νὰ προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς». Κοίταξε πῶς ἀμέσως ὤρθωσε τὸν ἀκροατὴν καὶ πῶς ὑπενθύμισεν ἀπὸ τὸ προοίμιον ὅλην τὴν εὐεργεσίαν. Αὐτὸς ποὺ εἶπε Πατέρα τὸν Θεὸν μὲ τὸ ἕνα αὐτὸ ὄνομα ὡμολόγησε καὶ τὴν συγχώρησιν τῶν ἁμαρτημάτων καὶ τὴν ἐκμηδένισιν τῆς κολάσεως καὶ τὴ δικαιοσύνην καὶ τὸν ἁγιασμὸν καὶ τὴν ἀπολύτρωσιν καὶ τὴν υἱοθεσίαν καὶ τὴν κληρονομίαν καὶ τὴν ἀδελφικὴν σχέσιν μὲ τὸν Μονογενῆ καὶ τὴν χορηγίαν τοῦ Πνεύματος. Διότι δὲν εἶναι δυνατὸν νὰ ὀνομάσῃς τὸν Θεὸν Πατέρα, ἂν δὲν ἔχῃς ἐπιτύχει ὅλα ἐκεῖνα τὰ ἀγαθά. Μὲ δύο τρόπους λοιπὸν τονώνει τὸ φρόνημά των, καὶ μὲ τὴν ἀξίαν ποὺ ἀποδίδει εἰς τὸν καλούμενον καὶ μὲ τὸ μέγεθος τῶν εὐεργετημάτων ποὺ ἔχουν ἀπολαύσει. Καὶ ὅταν εἰπῇ τὸ «Ἐν τοῖς οὐρανοῖς», δὲν τὸ λέγει διὰ νὰ περικλείσῃ ἐκεῖ τὸν Θεόν, ἀλλὰ διὰ νὰ ἀπομακρύνῃ ἀπὸ τὴν γῆν αὐτὸν ποὺ προσεύχεται καὶ νὰ τὸν κάμῃ νὰ προσηλωθῇ εἰς τοὺς ὑψηλοὺς τόπους καὶ εἰς τὰς ἄνω κατοικίας. Μᾶς διδάσκει ἀκόμα νὰ κάνωμεν τὴν προσευχήν μας χάριν τῶν ἀδελφῶν μας. Δὲν λέγει ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς ἀλλὰ «ὁ Πατὴρ ἡμῶν», δηλώνων ἔτσι νὰ ἀναπέμπωνται αἱ δεήσεις πρὸς χάριν τοῦ κοινοῦ σώματος καὶ νὰ μὴ ἀποβλέπῃ

τοῦ κοινοῦ σώματος τὰς δεήσεις ἀναφέρων καὶ οὐδαμοῦ σκοπῶ τὸ ἑαυτοῦ, ἀλλὰ πανταχοῦ τὸ τοῦ πλησίον. Ἀπὸ δὲ τούτου κι ἔχθραν ἀναιρεῖ καὶ ἀπόνοιαν καταστέλλει καὶ βασκανίαν ἐκ βάλλει καὶ τὴν μητέρα τῶν ἀγαθῶν ἁπάντων ἀγάπην εἰσάγι καὶ τὴν ἀνωμαλίαν τῶν ἀνθρωπίνων ἐξορίζει πραγμάτων κα πολλὴν δείκνυσι τῷ βασιλεῖ πρὸς τὸν πτωχὸν τὴν ὁμοτιμίαι εἴγε ἐν τοῖς μεγίστοις καὶ ἀναγκαιοτάτοις κοινωνοῦμεν ἅπαντες Τί γὰρ βλάβος ἐκ τῆς κάτω συγγενείας, ὅταν κατὰ τὴν ἄνω ἅ παντες ὦμεν συνημμένοι, καὶ μηδεὶς ἑτέρου πλέον ἔχῃ μηδέν μήτε ὁ πλούσιος τοῦ πένητος, μήτε ὁ δεσπότης τοῦ δούλου μήτε ὁ ἄρχων τοῦ ἀρχομένου, μήτε ὁ βασιλεὺς τοῦ στρατιώτου μήτε ὁ φιλόσοφος τοῦ βαρβάρου, μήτε ὁ σοφὸς τοῦ ἰδιώτου; Πᾶσι γὰρ μίαν ἐχαρίσατο εὐγένειαν, πάντων ὁμοίως κληθῆναι καταξιώσας Πατήρ. Ἀναμνήσας τοίνυν τῆς εὐγενείας ταύτης, καὶ τῆς ἄνωθεν δωρεᾶς καὶ τῆς πρὸς τοὺς ἀδελφοὺς ὁμοτιμίας καὶ τῆς ἀγάπης καὶ τῆς γῆς ἀποστήσας καὶ τοῖς οὐρανοῖς προσηλώσας, ἴδωμεν τί κελεύει λοιπὸν αἰτεῖν.

Μάλιστα μὲν γὰρ καὶ αὐτὴ ἡ λέξις ἱκανὴ πάσης ἀρετῆς διδασκαλίαν ἐνθεῖναι. Ὁ γὰρ Πατέρα καλέσας τὸν Θεὸν καὶ Πατέρα κοινόν, δίκαιος ἂν εἴη τοιαύτην ἐπιδείκνυσθαι πολιτείαν, ὡς μὴ τῆς εὐγενείας ταύτης ἀνάξιος φανῆναι καὶ ἴσην τῇ δωρεᾷ παρέχεσθαι τὴν σπουδήν. Πλὴν ἀλλ᾽ οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ἑτέραν προστίθησιν, οὕτω λέγων· «Ἁγιασθήτω τὸ ὄνομά σου». Ἀξία τοῦ τὸν Θεὸν Πατέρα καλοῦντος ἡ εὐχή, τὸ μηδὲν αἰτεῖν πρὸ τῆς τοῦ Πατρὸς δόξης, ἀλλὰ πάντα δεύτερα ἡγεῖσθαι τῆς εἰς ἐκεῖνον εὐφημίας. Τὸ γάρ, «Ἁγιασθήτω», τοῦτό ἐστι. Δοξασθήτω. Τὴν μὲν γὰρ οἰκείαν ἔχει δόξαν πεπληρωμένην καὶ ὡσαύτως ἀεὶ μένουσαν· ἀξιοῦν δὲ κελεύει τὸν εὐχόμενον καὶ διὰ τῆς ἡμετέρας αὐτὸν δοξάζεσθαι ζωῆς. Ὅπερ καὶ

εἰς καμμίαν περίπτωσιν ὁ προσευχόμενος εἰς τὸ ἀτομικὸν ἀλλὰ εἰς τὸ συμφέρον τοῦ πλησίον. Μὲ τὴν διατύπωσιν αὐτὴν καὶ τὴν ἔχθραν ἐκμηδενίζει καὶ τὴν ἀπόγνωσιν συμπιέζει καὶ τὸν φθόνον ξερριζώνει καὶ φέρει εἰς τὴν θέσιν των τὴν μητέρα ὅλων τῶν ἀγαθῶν, τὴν ἀγάπην, ἐξορίζει τὴν ἀνισότητα ἀπὸ τὰ ἀνθρώπινα πράγματα καὶ δείχνει τὴν πλήρη ὁμοτιμίαν τοῦ βασιλέως μὲ τὸν πτωχόν, ἀφοῦ εἰς τὰ μέγιστα καὶ βασικώτατα μετέχομεν ὅλοι ἐξ ἴσου. Τί βλάβη ἠμπορεῖ νὰ προέλθῃ ἀπὸ τὴν γηίνην συγγένειάν μας, ὅταν μᾶς συνδέῃ ὅλους ἡ ἄνω συγγένεια καὶ κανεὶς δὲν ἔχει περισσότερον ἀπὸ τὸν ἄλλον, ὁ πλούσιος ἀπὸ τὸν πτωχόν, ὁ κύριος ἀπὸ τὸν δοῦλον, ὁ ἄρχων, ἀπὸ τὸν ὑπήκοον, ὁ βασιλεὺς ἀπὸ τὸν στρατιώτην, ὁ φιλόσοφος ἀπὸ τὸν βάρβαρον, καὶ ὁ σοφὸς ἀπὸ τὸν ἀγράμματον; Μίαν εὐγενικὴν καταγωγὴν ἐχάρισεν εἰς ὅλους, θεωρῶν ἄξιον νὰ κληθῇ ὁμοίως Πατὴρ ὅλων. Μὲ τὴν ὑπόμνησιν τῆς εὐγενείας αὐτῆς καὶ τῆς δωρεᾶς ἀπὸ τὰ ἄνω καὶ τῆς ὁμοτιμίας μὲ τοὺς ἀδελφούς μας καὶ τῆς ἀγάπης, μὲ τὴν ἀπομάκρυνσίν μας ἀπὸ τὴν γῆν καὶ τὴν σύνδεσίν μας μὲ τοὺς οὐρανούς, ἂς ἰδοῦμεν τώρα τί συμβουλεύει νὰ ζητοῦμεν.

Καὶ αὐτὴ ἡ λέξις εἶναι ἱκανὴ εἰς τὸν ἀνώτατον βαθμὸν νὰ προξενήσῃ τὴν διδασκαλίαν κάθε ἀρετῆς. Αὐτὸς δηλαδὴ ποὺ ἐκάλεσε Πατέρα τὸν Θεὸν καὶ μάλιστα Πατέρα ὅλων, εἶναι δίκαιον νὰ παρουσιάζῃ τέτοιαν ζωήν, ὥστε νὰ μὴ φανῇ ἀνάξιος διὰ τὴν εὐγένειαν αὐτήν, ἀλλὰ νὰ ἀντιπροσφέρῃ ἴσην πρὸς τὴν δωρεὰν τὴν προθυμίαν. Δὲν περιορίζεται ὅμως εἰς αὐτὸ ἀλλὰ προσθέτει καὶ ἄλλην εὐχήν, λέγων, «Ἁγιασθήτω τὸ ὄνομά σου». Εἶναι ἀξία ἡ προσευχὴ ἐκείνου ποὺ ἀποκαλεῖ Πατέρα τὸν Θεόν, ὅταν δὲν ζητῇ τίποτε ἄλλο ἀπὸ τὴν δόξαν τοῦ Πατρός, ἀλλὰ τοποθετῇ τὰ πάντα ἔπειτα ἀπὸ τὴν δοξολογίαν ἐκείνου. Διότι τὸ «ἁγιασθήτω» σημαίνει δοξασθήτω. Τὴν δόξαν του, καμμία ἀμφιβολία, τὴν ἔχει πλήρη καὶ ἀναλλοίωτον παντοτινά. Συμβουλεύει ὅμως τὸν προσευχόμενον νὰ θεωρῇ ἄξιον νὰ δοξάζεται ὁ Θεὸς καὶ ἀπὸ τὴν ἰδικήν μας ζωήν. Ἀκριβῶς τὸ ἴδιο ἔλε-

ἔμπροσθεν ἔλεγε· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Καὶ γὰρ τὰ Σεραφὶμ δοξάζοντα οὕτως ἔλεγον· «Ἅγιος, ἅγιος, ἅγιος». Ὥστε τό, «Ἁγιασθήτω», τοῦτό ἐστι, Δοξασθήτω. Καταξίωσον γάρ, φησίν, οὕτως ἡμᾶς βιοῦν καθαρῶς, ὡς δι' ἡμῶν ἅπαντάς σε δοξάζειν. Ὅπερ πάλιν ἀπηρτισμένης ἐστὶ φιλοσοφίας, τὸ οὕτω βίον ἄληπτον παρέχεσθαι πᾶσιν, ὡς ἕκαστον τῶν ὁρώντων τῷ Δεσπότῃ τὴν ὑπὲρ τούτων ἀναφέρειν εὐφημίαν.

«Ἐλθέτω ἡ βασιλεία σου». Καὶ τοῦτο πάλιν παιδὸς εὐγνώμονος τὸ ῥῆμα, τὸ μὴ προσηλῶσθαι τοῖς ὁρωμένοις, μηδὲ μέγα τι τὰ παρόντα ἡγεῖσθαι, ἀλλ' ἐπείγεσθαι πρὸς τὸν Πατέρα, καὶ τῶν μελλόντων ἐφίεσθαι· ὅπερ ἀπὸ συνειδότος ἀγαθοῦ γίνεται καὶ ψυχῆς ἀπηλλαγμένης τῶν ἐν τῇ γῇ πραγμάτων.

5. Τοῦτο γοῦν καὶ ὁ Παῦλος καθ' ἑκάστην ἐπεθύμει τὴν ἡμέραν· διὰ τοῦτο καὶ ἔλεγεν, ὅτι «Καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν». Ὁ γὰρ τοῦτον ἔχων τὸν ἔρωτα, οὔτε ὑπὸ τῶν χρηστῶν τοῦ βίου τούτου φυσηθῆναι δύναται, οὔτε ὑπὸ τῶν λυπηρῶν ταπεινωθῆναι· ἀλλ' ὡς ἐν αὐτοῖς διατρίβων τοῖς οὐρανοῖς, ἑκατέρας ἀπήλλακται τῆς ἀνωμαλίας.

«Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς».

Εἶδες ἀκολουθίαν ἀρίστην; Ἐπιθυμεῖν μὲν γὰρ ἐκέλευσε τῶν μελλόντων καὶ πρὸς ἐκείνην ἐπείγεσθαι τὴν ἀποδημίαν· ἕως δ' ἂν τοῦτο μὴ γίνηται καὶ ἐνταῦθα διατρίβοντας τέως σπουδάζειν τὴν αὐτὴν τοῖς ἄνω πολιτείαν ἐπιδείκνυσθαι. Ἐπιθυμεῖν μὲν γὰρ δεῖ τῶν οὐρανῶν, φησί, καὶ τῶν ἐν τοῖς οὐρανοῖς· πλὴν καὶ πρὸ τοῦ οὐρανοῦ τὴν γῆν οὐρανὸν ἐκέλευσε ποιῆσαι καὶ ἐν αὐτῇ διατρίβοντας ὡς ἐκεῖ πολιτευομένους, οὕτω πάντα ποιεῖν καὶ λέγειν, ὡς καὶ ὑπὲρ τούτων παρακαλεῖν τὸν Δεσπότην. Οὐ-

1. Ματθ. 5,16
2. Ἠσ. 6,3
3. Ρωμ. 8,23

γε καὶ πιὸ πρίν· «Ἂς λάμψῃ τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους διὰ νὰ ἰδοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας εἰς τὸν οὐρανόν» [1]. Καὶ τὰ Σεραφεὶμ ποὺ τὸν δοξολογοῦσαν ἔλεγαν τὰ ἑξῆς: «Ἅγιος, ἅγιος, ἅγιος» [2]. Ὥστε τὸ «Ἁγιασθήτω» σημαίνει δοξασθήτω. Καταξίωσέ μας, λέγει, νὰ ζήσωμεν ὅλοι τόσον καθαρά, ὥστε μέσῳ ἡμῶν νὰ σὲ δοξάζουν ὅλοι. Καὶ τοῦτο πάλιν εἶναι στοιχεῖον ὡλοκληρωμένης πνευματικῆς ζωῆς, νὰ παρέχωμεν τόσον ἀκηλίδωτον εἰς ὅλα βίον, ὥστε καθεὶς ποὺ μᾶς βλέπει νὰ ἀναπέμπῃ εἰς τὸν Δεσπότην τὴν δοξολογίαν δι' αὐτά.

«Ἐλθέτω ἡ βασιλεία σου». Καὶ αὐτὸ πάλιν εἶναι αἴτημα εὐγνώμονος παιδιοῦ· νὰ μὴ προσηλωνώμεθα δηλαδὴ εἰς τὰ ὁρατά, μήτε νὰ θεωροῦμεν ὡς κάτι σημαντικὸν τὰ παρόντα ἀλλὰ νὰ σπεύδωμεν πρὸς τὸν Πατέρα καὶ νὰ ἐπιθυμοῦμεν τὰ μελλοντικά. Τοῦτο εἶναι ἀπόρροια ἀγαθῆς συνειδήσεως καὶ ψυχῆς ποὺ ἔχει ἀπαλλαγῆ ἀπὸ τὰ πράγματα τῆς γῆς.

5. Αὐτὸ ἐπιθυμοῦσε καὶ ὁ Παῦλος καθ' ἑκάστην ἡμέραν τῆς ζωῆς του. Καὶ διὰ τοῦτο ἔλεγε· «Καὶ ἐμεῖς οἱ ἴδιοι, ἂν καὶ ἀπολαμβάνομεν τὰς πρώτας δωρεὰς τοῦ Πνεύματος, στενάζομεν περιμένοντες τὴν τελικὴν υἱοθεσίαν, τὴν ἀπελευθέρωσιν τοῦ σώματός μας» [3]. Ὅποιος ἔχει τὸν ἔρωτα αὐτόν, οὔτε τὰ καλὰ τῆς ζωῆς αὐτῆς τὸν κάνουν νὰ τὸ πάρῃ ἐπάνω του, οὔτε τὰ λυπηρὰ τὸν ἐξουθενώνουν. Ἀλλὰ σὰν νὰ εὑρίσκεται εἰς τοὺς οὐρανοὺς ἔχει ἀπαλλαγῆ ἀπὸ τὰ δύο αὐτὰ ἄκρα.

«Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς». Βλέπεις σπουδαίαν λογικὴν ἀκολουθίαν; Συμβούλευσε νὰ ἐπιθυμοῦμεν τὰ μελλοντικὰ καὶ νὰ σπεύδωμεν εἰς τὴν ἀποδημίαν πρὸς τὰ ἐκεῖ. Ὅσον ὅμως τοῦτο καθυστερεῖ, νὰ φροντίζωμεν νὰ παρουσιάζωμεν καὶ ἐδῶ τὴν ἰδίαν μὲ τὴν πολιτείαν εἰς τὸν οὐρανόν. Πρέπει, μᾶς λέγει, νὰ ἐπιθυμοῦμεν τὸν οὐρανὸν καὶ τὰ οὐράνια ἀλλὰ καὶ πρὶν ἀπὸ τὸν οὐρανόν, συμβουλεύει, νὰ κάνωμεν οὐρανὸν τὴν γῆν καὶ ζῶντες εἰς αὐτὴν νὰ πολιτευώμεθα ὅπως εἰς τὸν οὐρανόν, ἔτσι νὰ κάνωμεν καὶ νὰ λέγωμεν, ὅπως δι' αὐτὰ παρακαλοῦμεν τὸν Δεσπότην. Τίποτε δὲν ἐμποδίζει

δὲν γὰρ τὸ κωλύον φθάσαι τὴν τῶν ἄνω δυνάμεων ἀκρίβειαν διὰ τὸ τὴν γῆν οἰκεῖν· ἀλλ' ἔνι καὶ ἐνταῦθα διατρίβοντα, ὡς ἄνω γενόμενον ἤδη πάντα ποιεῖν. Ὃ λέγει τοίνυν, τοῦτό ἐστιν· Ὥσπερ ἐκεῖ πάντα ἀκωλύτως γίνεται καὶ οὐ τὰ μὲν ὑπακούουσιν οἱ ἄγγελοι, τὰ δὲ παρακούουσιν, ἀλλὰ πάντα εἴκουσι καὶ πείθονται· «Δυνατοὶ» γάρ, φησίν, «ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ»· οὕτω καὶ ἡμᾶς καταξίωσον τοὺς ἀνθρώπους μὴ ἐξ ἡμισείας τὸ θέλημά σου ποιεῖν, ἀλλὰ πάντα καθάπερ θέλεις πληροῦν. Εἶδες πῶς καὶ μετριάζειν ἐδίδαξε, δηλώσας ὅτι οὐ τῆς ἡμετέρας σπουδῆς ἡ ἀρετὴ μόνον, ἀλλὰ καὶ τῆς ἄνωθεν χάριτος; Καὶ πάλιν τὴν ὑπὲρ τῆς οἰκουμένης πρόνοιαν ἕκαστον ἡμῶν τῶν προσευχομένων ἀναδέχεσθαι ἐπέταξεν. Οὐδὲ γὰρ εἶπε, Γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί, ἢ ἐν ἡμῖν· ἀλλά, Πανταχοῦ τῆς γῆς, ὥστε λυθῆναι τὴν πλάνην καὶ φυτευθῆναι τὴν ἀλήθειαν καὶ ἐκβληθῆναι κακίαν ἅπασαν καὶ ἐπανελθεῖν ἀρετήν, καὶ μηδὲν ταύτῃ διαφέρειν λοιπὸν τὸν οὐρανὸν τῆς γῆς. Εἰ γὰρ τοῦτο γένοιτο, φησίν, οὐδὲν διοίσει τὰ κάτω τῶν ἄνω, εἰ καὶ τῇ φύσει διέστηκεν, ἀγγέλους ἑτέρους τῆς γῆς ἡμῖν ἐπιδεικνυμένης.

«Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον».

Τί ἐστι, «Τὸν ἄρτον τὸν ἐπιούσιον»; Τὸν ἐφήμερον. Ἐπειδὴ γὰρ εἶπεν οὕτω· «Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς»· ἀνθρώποις δὲ διελέγετο σάρκα περικειμένοις καὶ ἀνάγκῃ φύσεως ὑποκειμένης καὶ οὐ δυναμένοις τὴν αὐτὴν ἔχειν ἀπάθειαν τοῖς ἀγγέλοις· τὰ μὲν ἐπιτάγματα ὁμοίως κελεύει γίνεσθαι καὶ παρ' ἡμῶν, καθάπερ αὐτὰ κἀκεῖνοι πληροῦσι· συγκαταβαίνει δὲ καὶ τῇ τῆς φύσεως ἀσθενείᾳ λοιπόν. Ἀκρίβειαν μὲν γάρ, φησί, πολιτείας ἀπαιτῶ τοσαύτην, οὐ μὴν ἀπάθειαν· οὐδὲ γὰρ ἐπιτρέπει τῆς φύσεως ἡ τυραννίς· δεῖται γὰρ τροφῆς τῆς ἀναγκαίας. Σὺ δέ μοι σκόπει πῶς καὶ ἐν τοῖς σωματικοῖς πολὺ τὸ πνευματικόν. Οὐδὲ γὰρ ὑπὲρ χρημάτων, οὐδὲ ὑπὲρ τρυφῆς, οὐδὲ ὑπὲρ πολυτελείας ἱματίων, οὐδὲ

---

1. Ψαλμ. 102,20

νὰ φθάσωμεν τὴν τελειότητα τῶν ἄνω δυνάμεων διὰ τὸν λόγον ὅτι κατοικοῦμεν εἰς τὴν γῆν, ἀλλὰ εἶναι δυνατὸν καὶ ἐδῶ ζῶν νὰ πράττῃς τὰ πάντα σὰν νὰ ἔχῃς φθάσει πλέον ἐπάνω. Θέλει νὰ εἰπῇ τοῦτο. Ὅπως ἐκεῖ ὅλα γίνονται χωρὶς ἀντίρρησιν καὶ δὲν εἶναι εἰς ἄλλα νὰ ὑπακούουν οἱ ἄγγελοι καὶ εἰς ἄλλα νὰ παρακούουν ἀλλὰ εἰς ὅλα εἶναι ὑπάκουοι καὶ πειθαρχικοί, διότι, λέγει, «Τοὺς κάνει δυνατοὺς ἡ ἐκτέλεσις τοῦ λόγου του» [1], ἔτσι ἀξίωσε καὶ ἐμᾶς τοὺς ἀνθρώπους νὰ μὴ πράττωμεν κατὰ τὸ ἥμισυ τὸ θέλημά σου ἀλλὰ νὰ τὰ ἐπιτελοῦμεν ὅλα ὅπως τὰ θέλεις. Εἶδες καὶ πῶς διδάσκει νὰ εἴμεθα μετριόφρονες, δηλώνων ὅτι ἡ ἀρετὴ δὲν εἶναι μόνον ἐπίτευγμα τῆς ἰδικῆς μας φροντίδος, ἀλλὰ καὶ τῆς θείας χάριτος; Καὶ ἀκόμη ὥρισε, καθένας ἀπὸ ἐμᾶς ποὺ προσευχόμεθα νὰ λαμβάνῃ πρόνοιαν διὰ τὴν οἰκουμένην. Διότι δὲν εἶπε 'Γενηθήτω τὸ θέλημά σου εἰς ἐμένα ἢ εἰς ἐμᾶς', ἀλλὰ εἰς ὅλα τὰ μέρη τῆς γῆς, ὥστε νὰ διαλυθῇ ἡ πλάνη, νὰ φυτευθῇ ἡ ἀλήθεια, νὰ ξερριζωθῇ ὅλη ἡ κακία, νὰ ἐπανέλθῃ ἡ ἀρετὴ καὶ νὰ μὴ διαφέρῃ ὡς πρὸς αὐτὴν καθόλου ἀπὸ τὴν γῆν ὁ οὐρανός. Ἂν γίνῃ τοῦτο, μᾶς λέγει, εἰς τίποτε δὲν θὰ διαφέρουν τὰ κάτω ἀπὸ τὰ ἄνω, ἂν καὶ εἶναι διάφορα κατὰ τὴν φύσιν, καὶ ἡ γῆ θὰ μᾶς παρουσιάζῃ καὶ τοὺς ἰδικούς της ἀγγέλους.

«Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον».

Τί σημαίνει «τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον»; Τὸν ἄρτον τῆς μιᾶς ἡμέρας. Ἐπειδὴ εἶπε «Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς» καὶ ἀπηυθύνετο εἰς ἀνθρώπους μὲ σάρκα ποὺ ὑπόκεινται εἰς τοὺς νόμους τῆς φύσεώς των καὶ δὲν ἠμποροῦν νὰ ἔχουν τὴν ἰδίαν ἀπάθειαν μὲ τοὺς ἀγγέλους, τὰς ἐντολάς του μᾶς λέγει νὰ τὰς πράττωμεν καὶ ἐμεῖς τὸ ἴδιο ὅπως ἐκεῖνοι, κάνει ὅμως καὶ μίαν συγκατάβασιν εἰς τὴν ἀσθένειαν τῆς φύσεώς μας. Ἀκρίβειαν τῆς ζωῆς σας, μᾶς λέγει, ἀπαιτῶ τόσον μεγάλην, ὄχι ὅμως καὶ ἀπάθειαν. Ἡ κυριαρχία τῆς φύσεώς σας δὲν τὸ ἐπιτρέπει, ἐπειδὴ τῆς χρειάζεται ἡ ἀπαραίτητη τροφή. Σὺ ὅμως πρόσεξε πῶς καὶ εἰς τὰ σωματικὰ θέτει πολὺ πνευματικόν. Δὲν εἶπε διὰ χρήματα οὔτε διὰ τρυφηλὸν βίον, οὔτε διὰ πολυτελῆ φορέματα οὔτε διὰ κανένα ἄλλο ὅμοιον

ὑπὲρ ἄλλου οὐδενὸς τῶν τοιούτων, ἀλλ' ὑπὲρ ἄρτου μόνον ἐκέλευσε τὴν εὐχὴν ποιεῖσθαι καὶ ὑπὲρ ἄρτου τοῦ ἐφημέρου, ὥστε μὴ ὑπὲρ τῆς αὔριον μεριμνᾶν. Διὰ τοῦτο προσέθηκε, «Τὸν ἄρτον τὸν ἐπιούσιον», τουτέστι, τὸν ἐφήμερον. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη τῷ ῥήματι, ἀλλὰ καὶ ἕτερον μετὰ τοῦτο προσέθηκεν, εἰπών, «Δὸς ἡμῖν σήμερον»· ὥστε μὴ περαιτέρω συντρίβειν ἑαυτοὺς τῇ φροντίδι τῆς ἐπιούσης ἡμέρας. Ἧς γὰρ οὐκ οἶδας εἰ τὸ διάστημα ὄψει, τίνος ἕνεκεν ὑπομένεις τὴν μέριμναν; Τοῦτο καὶ προϊὼν διὰ πλειόνων ἐπέταξε, λέγων· «Μὴ μεριμνήσητε εἰς τὴν αὔριον». Καὶ βούλεται πάντοθεν ἡμᾶς εὐζώνους εἶναι καὶ ἐπτερωμένους, τοσοῦτον εἴκοντας τῇ φύσει, ὅσον ἡ τῆς χρείας ἀνάγκη παρ' ἡμῶν ἀπαιτεῖ.

Εἶτα ἐπειδὴ συμβαίνει καὶ μετὰ τὸ λουτρὸν τῆς παλιγγενεσίας ἁμαρτάνειν, πολλὴν καὶ ἐνταῦθα τὴν φιλανθρωπίαν αὐτοῦ ἐπιδεικνύμενος, κελεύει περὶ τῆς τῶν ἁμαρτημάτων ἀφέσεως προσιέναι τῷ φιλανθρώπῳ Θεῷ καὶ λέγειν οὕτως· «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν». Εἶδες φιλανθρωπίας ὑπερβολήν; Μετὰ τοσούτων κακῶν ἀναίρεσιν καὶ δωρεᾶς μέγεθος ἄφατον, πάλιν ἁμαρτάνοντας ἀξιοῖ συγγνώμης. Ὅτι γὰρ πιστοῖς αὕτη ἡ προσευχὴ προσήκει καὶ οἱ νόμοι τῆς Ἐκκλησίας διδάσκουσι καὶ τὸ προοίμιον τῆς εὐχῆς. Ὁ γὰρ ἀμύητος οὐκ ἂν δύναιτο Πατέρα καλεῖν τὸν Θεόν. Εἰ τοίνυν πιστοῖς προσήκει ἡ εὐχή, εὔχονται δὲ οὗτοι ἁμαρτήματα ἑαυτοῖς ἀφεθῆναι δεόμενοι, δῆλον ὅτι οὐδὲ μετὰ τὸ λουτρὸν ἀνῄρηται τῆς μετανοίας τὸ κέρδος. Εἰ γὰρ μὴ τοῦτο ἐβούλετο δεῖξαι, οὐδ' ἂν τοῦτο ἐνομοθέτησεν εὔχεσθαι. Ὁ δὲ καὶ ἁμαρτημάτων ἀναμιμνῄσκων καὶ κελεύων αἰτεῖν ἄφεσιν καὶ διδάσκων ὅπως ἂν ἐπιτύχωμεν τῆς ἀφέσεως καὶ εὔκολον ταύτῃ ποιῶν τὴν ὁδόν, εὔδηλον ὅτι εἰδὼς καὶ δεικνὺς ὅτι καὶ

---

1. Ματθ. 6,34

μὲ αὐτὰ νὰ προσευχώμεθα, ἀλλὰ μόνον διὰ τὸ ψωμὶ καὶ μάλιστα διὰ τὸ ψωμὶ αὐτῆς τῆς ἡμέρας, ὥστε νὰ ἀποφύγωμεν τὴν φροντίδα τῆς αὐριανῆς ἡμέρας. Διὰ τοῦτο ἐπρόσθεσε, «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον», δηλαδὴ τῆς ἡμέρας αὐτῆς. Δὲν ἠρκέσθη δὲ εἰς τὸν λόγον αὐτόν, ἀλλὰ προσθέτει καὶ τοῦτον· «Δὸς ἡμῖν σήμερον», ὥστε νὰ μὴ συντρίβωμεν τὸν ἑαυτόν μας μὲ τὴν φροντίδα τῆς ἡμέρας ποὺ ἔρχεται. Τῆς ἡμέρας ποὺ δὲν γνωρίζεις ἂν θὰ ἰδῇς τὴν διάρκειαν, διατί νὰ ὑπομένῃς τὴν φροντίδα της; Παρακάτω ἐπιβάλλει τὸ ἴδιο μὲ περισσότερα λέγων, «Μὴ μεριμνήσητε εἰς τὴν αὔριον» [1]. Καὶ θέλει πάντοτε νὰ εἴμεθα ἕτοιμοι καὶ νὰ ἔχωμεν πτερὰ (ὅπως οἱ ἄγγελοι)· νὰ ὑποχωροῦμεν εἰς τὴν φύσιν τόσον ὅσον αἱ ἀνάγκαι μας ἀπαιτοῦν ἀπὸ ἐμᾶς.

Ἀκολούθως ἐπειδὴ συμβαίνει νὰ ἁμαρτάνωμεν καὶ μετὰ τὸ λουτρὸν τοῦ ξαναγεννημοῦ μας, μὲ πολλὴν φιλανθρωπίαν καὶ εἰς τὸ σημεῖον αὐτό, ὁρίζει διὰ τὴν συγχώρησιν τῶν ἁμαρτημάτων μας νὰ προσερχώμεθα εἰς τὸν φιλάνθρωπον Θεὸν καὶ νὰ ἀπευθυνώμεθα εἰς αὐτὸν ἔτσι· «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν». Βλέπεις ὑπερβολὴν φιλανθρωπίας; Ἔπειτα ἀπὸ τὴν διαγραφὴν τόσων κακῶν καὶ ἔπειτα ἀπὸ ἀνέκφραστον μέγεθος τῆς δωρεᾶς του, μᾶς κρίνει ἀξίους συγγνώμης ὅταν ἁμαρτάνωμεν ἐκ νέου. Τὸ ὅτι ἁρμόζει ἡ προσευχὴ αὐτὴ εἰς τοὺς πιστοὺς καὶ οἱ νόμοι τῆς Ἐκκλησίας τὸ διδάσκουν καὶ τὸ προοίμιον τῆς προσευχῆς. Ὅποιος εἶναι ἔξω ἀπὸ τὴν ἐκκλησίαν δὲν θὰ ἠμποροῦσε νὰ ὀνομάσῃ Πατέρα τὸν Θεόν. Ἂν λοιπὸν ἡ προσευχὴ ἁρμόζῃ εἰς τοὺς πιστοὺς καὶ αὐτοὶ προσεύχωνται παρακαλοῦντες νὰ τοὺς συγχωρηθοῦν τὰ ἁμαρτήματά των, εἶναι φανερὸν ὅτι οὔτε μετὰ τὸ βάπτισμα δὲν ἀχρηστεύεται τὸ κέρδος τῆς μετανοίας. Ἂν δὲν ἤθελε νὰ μᾶς εἴπῃ αὐτό, δὲν θὰ ἐνομοθετοῦσεν αὐτὸ νὰ ζητοῦμεν εἰς τὴν προσευχήν μας. Αὐτὸς ποὺ καὶ τὰ ἁμαρτήματά μας μᾶς ὑπενθυμίζει καὶ συμβουλεύει νὰ ζητοῦμεν τὴν συγχώρησιν καὶ ποὺ διδάσκει ταυτόχρονα πῶς νὰ ἐπιτύχωμεν τὴν συγχώρησιν κάμνων εὔκολον τὴν προσπέλασιν πρὸς αὐτήν, εἶναι προφανὲς ὅτι γνωρίζει καὶ θέλει νὰ μᾶς διδάξῃ πὼς καὶ μετὰ τὸ βάπτισμα ἠμπο-

μετὰ τὸ λουτρὸν ἔστιν ἀπονίψασθαι τὰ πεπλημμελημένα, τοῦτον τῆς ἱκετηρίας τὸν νόμον εἰσήνεγκε· τῷ μὲν ὑπομνῆσαι τῶν ἁμαρτημάτων, μετριάζειν πείθων· τῷ δὲ ἑτέροις ἀφεῖναι κελεῦσαι, μνησικακίας ἁπάσης ἀπαλλάττων ἡμᾶς· τῷ δὲ ἀντὶ τούτων καὶ ἡμῖν ἐπαγγέλλεσθαι συγχωρεῖν, χρηστὰς ὑποτείνων ἐλπίδας καὶ περὶ τῆς ἀφάτου τοῦ Θεοῦ φιλανθρωπίας φιλοσοφεῖν ἡμᾶς παιδεύων.

6. Ὃ δὲ μάλιστα χρὴ παρατηρῆσαι, τοῦτό ἐστιν· ὅτι καθ' ἕκαστον τῶν εἰρημένων ὁλοκλήρου μνημονεύσας τῆς ἀρετῆς καὶ ταύτῃ καὶ τὸ μὴ μνησικακεῖν περιλαβὼν (καὶ γὰρ τὸ ἁγιασθῆναι τὸ ὄνομα αὐτοῦ ἀπηρτισμένης ἐστὶ πολιτείας ἀκρίβεια· καὶ τὸ γενηθῆναι τὸ θέλημα αὐτοῦ τὸ αὐτὸ τοῦτο πάλιν δηλοῖ· καὶ τὸ Πατέρα δύνασθαι καλεῖν τὸν Θεόν, ἀμώμου πολιτείας ἐπίδειξίς ἐστιν· ἐν οἷς ἅπασι συνείληπτο καὶ τὸ δεῖν ἀφεῖναι τοῖς πεπλημμεληκόσι τὴν ὀργήν)· ἀλλ' ὅμως οὐκ ἠρκέσθη τούτοις, ἀλλὰ δεῖξαι βουλόμενος ὅσην ὑπὲρ τοῦ πράγματος ποιεῖται τὴν σπουδὴν καὶ ἰδικῶς αὐτὸ τίθησι καὶ μετὰ τὴν εὐχὴν οὐδεμιᾶς ἄλλης ἐντολῆς μέμνηται ἢ ταύτης, οὕτω λέγων· «Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει ὑμῖν καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος».[1] Ὥστε παρ' ἡμῶν ἡ ἀρχή, καὶ κύριοι τῆς κρίσεως τῆς περὶ ἡμῶν ἡμεῖς. Ἵνα γὰρ μηδὲ τῶν ἀναισθήτων μηδεὶς ἐγκαλεῖν ἔχῃ δικαζόμενος μὴ μικρόν, μὴ μέγα, σὲ τὸν ὑπεύθυνον κύριον ποιεῖ τῆς ψήφου· καί, Ὡς ἂν αὐτὸς ἐδίκασας σαυτῷ, φησίν, οὕτω σοι δικάζω κἀγώ. Κἂν ἀφῇς τῷ συνδούλῳ καὶ παρ' ἐμοῦ τῆς αὐτῆς τεύξῃ χάριτος· καίτοιγε οὐκ ἴσον τοῦτο ἐκείνῳ. Σὺ μὲν γὰρ δεόμενος ἀφίῃς, ὁ δὲ Θεὸς μηδενὸς χρείαν ἔχων· σὺ τῷ ὁμοδούλῳ, ὁ δὲ Θεὸς τῷ δούλῳ· σὺ ὑπεύθυνος ὢν μυρίοις κακοῖς, ὁ δὲ Θεὸς ἀναμάρτητος ὤν.

Ἀλλ' ὅμως καὶ οὕτω τὴν αὐτοῦ φιλανθρωπίαν ἐπιδείκνυ-

---

1. Ματθ. 6,14

ροῦμεν νὰ καθαρισθοῦμεν ἀπὸ τὰ λάθη μας καὶ διὰ τοῦτο ἔχει θέσει τοῦτον τὸν νόμον τῆς παρακλήσεως ἀπὸ τὸ ἕνα μέρος, μὲ τὴν ὑπόμνησιν τῶν ἁμαρτημάτων νὰ μᾶς ὑπενθυμίσῃ τὴν μετριοφροσύνην· ἀπὸ τὸ ἄλλο, μὲ τὴ συγχώρησιν τῶν ἄλλων νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ κάθε μνησικακίαν, καὶ ἀπὸ τὸ ἄλλο, μὲ τὴν ὑπόσχεσιν ὅτι δι' ὅλα αὐτὰ θὰ συγχωρήσῃ καὶ ἐμᾶς, μᾶς δημιουργεῖ ἀγαθὰς ἐλπίδας καὶ μᾶς διδάσκει νὰ φιλοσοφοῦμεν διὰ τὴν ἄφατον φιλανθρωπίαν τοῦ Θεοῦ.

6. Τὸ πιὸ ἀξιοπρόσεκτον εἶναι τοῦτο· εἰς κάθε ἰδιαιτέραν ἀρετὴν ποὺ ἀνεφέραμεν ἐμνημόνευσε τὸ σύνολον τῆς ἀρετῆς καὶ εἰς αὐτὴν ἀκόμη περιέλαβε καὶ τὴν ἀμνησικακίαν. (Διότι ὁ ἁγιασμὸς τοῦ ὀνόματός του εἶναι ἡ τελειότης μιᾶς ὡλοκληρωμένης πολιτείας· καὶ τὸ νὰ γίνῃ τὸ θέλημά του, τὸ ἴδιο πάλι σημαίνει, ἀλλὰ καὶ τὸ ὅτι ἠμποροῦμεν νὰ τὸν ἀποκαλοῦμεν Πατέρα ἀποτελεῖ καὶ τοῦτο δεῖγμα ἀσπίλου πολιτείας· εἰς ὅλα αὐτὰ ἔχει περιληφθῆ καὶ τὸ καθῆκον νὰ καταπαύωμεν τὴν ὀργήν μας πρὸς ὅσους ἔπταισαν). Δὲν ἠρκέσθη ὅμως εἰς αὐτὰ ἀλλὰ θέλων νὰ δείξῃ τὴν σημασίαν ποὺ ἀποδίδει εἰς τὸ πρᾶγμα τὸ θέτει καὶ ἰδιαίτερα καὶ μετὰ τὴν προσευχὴν δὲν ἐνθυμεῖται καμμίαν ἄλλην ἐντολὴν παρὰ αὐτήν. Μᾶς λέγει· «Ἂν συγχωρήσετε τοὺς ἀνθρώπους διὰ τὰ παραπτώματά των, θὰ σᾶς συγχωρήσῃ καὶ ὁ Πατήρ σας ὁ οὐράνιος» [1]. Ὥστε τὸ πρᾶγμα ξεκινᾷ ἀπὸ ἐμᾶς, καὶ ἀπὸ ἐμᾶς ἐξαρτᾶται ἡ κρίσις ποὺ θὰ μᾶς γίνῃ. Διὰ νὰ μὴ ἠμπορῇ δηλαδὴ κανεὶς ἀκόμη καὶ ἀπὸ τοὺς ἀναισθήτους νὰ σὲ κατηγορήσῃ εἰς τὸ δικαστήριον διὰ κάτι μικρὸν ἢ μεγάλον, κάνει νὰ ἐξαρτᾶται ἡ ἀπόφασις ἀπὸ ἐσένα τὸν ὑπεύθυνον. Καὶ ὅπως ἐδίκασες διὰ τὸν ἑαυτόν σου, λέγει, ἔτσι δικάζω καὶ ἐγὼ διὰ ἐσένα. Ἂν συγχωρήσῃς τὸν ὁμόδουλόν σου, θὰ ἐπιτύχῃς καὶ ἀπὸ ἐμένα τὴν χάριν αὐτήν, μολονότι αὐτὴ δὲν εἶναι βέβαια ἴση μὲ ἐκεῖνο. Διότι ἔχεις ἀνάγκην καὶ συγχωρεῖς, ὁ Θεὸς ὅμως δὲν ἔχει ἀνάγκην κανενός. Σὺ συγχωρεῖς τὸν ὁμόδουλόν σου, ἐνῷ ὁ Θεὸς τὸν δοῦλον. Σὺ εἶσαι ὑπόλογος δι' ἄπειρα σφάλματα, ἐνῷ ὁ Θεὸς εἶναι ἀναμάρτητος.

Ἀλλ' ὅμως καὶ ἔτσι ἐκδηλώνει τὴν φιλανθρωπίαν του.

ται. Ἠδύνατο μὲν γὰρ καὶ χωρὶς τούτου πάντα σοι ἀφιέναι τὰ πεπλημμελημένα, ἀλλὰ βούλεταί σε καὶ ἐντεῦθεν εὐεργετεῖσθαι, μυρίας σοι πανταχόθεν παρέχων ἡμερότητος καὶ φιλανθρωπίας ἀφορμὰς καὶ τὸ ἐν σοὶ θηριῶδες ἐκβάλλων καὶ τὸν θυμὸν σβεννὺς καὶ πανταχόθεν σε συγκολλῶν τῷ μέλει τῷ σῷ.

Τί γὰρ ἂν ἔχοις εἰπεῖν; ὅτι ἀδίκως ἔπαθές τι κακὸν παρὰ τοῦ πλησίον; Ταῦτα γάρ ἐστι τὰ ἁμαρτήματα· ὡς εἰ δικαίως, οὐδὲ ἁμάρτημα τὸ πρᾶγμά ἐστιν. Ἀλλὰ καὶ σὺ τοιούτων προσέρχῃ ληψόμενος ἄφεσιν καὶ πολλῷ μειζόνων. Καὶ πρὸ τῆς ἀφέσεως δὲ οὐ μικρᾶς ἀπέλαυσας δωρεᾶς, διδασκόμενος ἀνθρωπίνην ἔχειν ψυχὴν καὶ πᾶσαν παιδευόμενος ἡμερότητα. Καὶ μετὰ τούτων καὶ μισθός σοι μέγας κείσεται ἐκεῖ, τὸ μηδενὸς ἀπαιτηθῆναι λόγον τῶν πεπλημμελημένων. Ποίας οὖν οὐκ ἂν εἴημεν κολάσεως ἄξιοι, ὅταν τὴν ἐξουσίαν λαβόντες, προδῶμεν ἡμῶν τὴν σωτηρίαν; πῶς δὲ ἐν τοῖς ἄλλοις πράγμασιν ἀξιώσομεν ἀκούεσθαι, αὐτοὶ μὴ θέλοντες, ἐν οἷς ἐσμεν κύριοι, φείδεσθαι ἑαυτῶν;

«Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν».

Ἐνταῦθα ἡμᾶς τὴν ἡμετέραν παιδεύει σαφῶς εὐτέλειαν, καὶ καταστέλλει τὸ φύσημα, διδάσκων παραιτεῖσθαι τοὺς ἀγῶνας, ἀλλὰ μὴ ἐπιπηδᾶν. Οὕτω γὰρ καὶ ἡμῖν ἡ νίκη λαμπροτέρα ἔσται καὶ ἡ ἧττα τῷ διαβόλῳ καταγελαστοτέρα. Ἑλκυσθέντας μὲν γὰρ δεῖ γενναίως ἑστάναι· μὴ καλουμένους δέ, ἡσυχάζειν καὶ τὸν καιρὸν ἀναμένειν τῶν ἀγώνων, ἵνα καὶ τὸ ἀκενόδοξον καὶ τὸ γενναῖον ἐπιδειξώμεθα. Πονηρὸν δὲ ἐνταῦθα τὸν διάβολον καλεῖ, κελεύων ἡμᾶς ἄσπονδον πρὸς αὐτὸν ἔχειν πόλεμον καὶ

Ἠμποροῦσε καὶ χωρὶς νὰ συγχωρήσῃς ἐσύ, νὰ σοῦ συγχωρήσῃ ἐκεῖνος ὅλα τὰ σφάλματά σου, ἀλλὰ θέλει καὶ ἀπὸ αὐτὸ νὰ σὲ εὐεργετήσῃ καὶ σοῦ παρέχει πλῆθος εὐκαιριῶν ἀπὸ παντοῦ διὰ ἡμερότητα καὶ φιλανθρωπίαν. Διὰ τοῦτο θέλει νὰ σοῦ ξερριζώσει καὶ ὅ,τι θηριῶδες ἔχεις μέσα σου καὶ νὰ σοῦ σβήσῃ τὴν φλόγα τοῦ θυμοῦ καὶ νὰ σὲ συνδέσῃ ἀπὸ παντοῦ μὲ τὸν ἀδελφόν σου.

Τί θὰ ἠμποροῦσες νὰ εἰπῇς; Ὅτι σὲ ἠδίκησε ὁ διπλανός σου; Αὐτὰ εἶναι τὰ ἁμαρτήματα. Ἂν σοῦ ἔκαμε κάτι δίκαιον, τὸ πρᾶγμα δὲν θὰ ἦτο κἂν ἁμάρτημα. Καὶ σὺ διὰ τέτοια ἀδικήματα προσέρχὲσαι νὰ λάβῃς συγχώρησιν καὶ μάλιστα διὰ πολὺ μεγαλύτερα. Ἀκόμη, καὶ πρὶν ἀπὸ τὴν συγχώρησιν δὲν ἀπήλαυσες μικρὰν χάριν, διδασκόμενος νὰ ἔχῃς ἀνθρωπίνην ψυχὴν καὶ ἀσκούμενος εἰς κάθε καλωσύνην. Μαζὶ μὲ αὐτά, σὲ περιμένει ἐκεῖ καὶ μεγάλος μισθός, τὸ ὅτι δὲ θὰ σοῦ ζητηθῇ λόγος διὰ κανένα ἀπὸ τὰ σφάλματά σου. Ποίας τιμωρίας λοιπὸν ἄξιοι δὲν θὰ εἴμεθα, ὅταν, ἐνῷ μᾶς ἐδόθη ἡ ἐξουσία, ἐμεῖς ἐπροδώσαμεν τὴν σωτηρίαν μας; Πῶς θὰ ἀξιώσωμεν νὰ εἰσακουσθοῦμεν εἰς τὰ ἄλλα αἰτήματά μας, ἐνῷ δὲν θέλομεν οἱ ἴδιοι νὰ ἐνδιαφερθῶμεν διὰ τὸν ἑαυτόν μας διὰ πράγματα ποὺ εἶναι εἰς τὸ χέρι μας;

«Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν».

Ἐδῶ μᾶς δείχνει ὁλοφάνερα τὴν ἀσημαντότητά μας, περιορίζει τὴν ἔπαρσίν μας, διδάσκων ν' ἀποφεύγωμεν τοὺς ἀγῶνας καὶ νὰ μὴ ὁρμοῦμεν εἰς αὐτούς. Ἔτσι καὶ ἡ νίκη μας θὰ εἶναι λαμπροτέρα καὶ ἡ ἧττα τοῦ διαβόλου πιὸ καταγέλαστη. Ὅταν μᾶς σύρουν πρέπει νὰ σταθοῦμεν μὲ γενναιότητα· ὅταν ὅμως δὲν καλούμεθα, νὰ μένωμεν ἥσυχοι καὶ νὰ περιμένωμεν τὸν καιρὸν τῶν ἀγώνων καὶ ἔτσι θὰ δείξωμεν πόσον μᾶς λείπει ἡ κενοδοξία ἐνῷ ἔχομεν τὴν πραγματικὴν γενναιότητα. Ἐδῶ ἀποκαλεῖ πονηρὸν τὸν διάβολον, ὁρίζων νὰ κρατοῦμεν ἐναντίον του ἀνειρήνευτον πόλεμον καὶ δείχνει ὅτι δὲν εἶναι συστατικὸν

δεικνὺς ὅτι οὐ φύσει τοιοῦτός ἐστιν. Οὐ γὰρ τῶν ἐκ φύσεω ἀλλὰ τῶν ἐκ προαιρέσεως ἐπιγινομένων ἐστὶν ἡ πονηρία. Κα ἐξοχὴν δὲ οὕτως ἐκεῖνος καλεῖται, διὰ τὴν ὑπερβολὴν τῆς κι κίας καὶ ἐπειδὴ μηδὲν παρ' ἡμῶν ἀδικηθεὶς ἄσπονδον πρὸς ἡ μᾶς ἔχει τὸν πόλεμον. Διὰ τοῦτο οὐδὲ εἶπε, "Ῥῦσαι ἡμᾶς ἀπ τῶν πονηρῶν, ἀλλ', «Ἀπὸ τοῦ Πονηροῦ»· παιδεύων ἡμᾶς μη δαμοῦ πρὸς τοὺς πλησίον ἀηδῶς ἔχειν, ἐν οἷς ἂν πάθωμεν παρ αὐτῶν κακῶς, ἀλλ' ἀπὸ τούτων πρὸς ἐκεῖνον μεταθεῖναι τὴ ἔχθραν, ὡς πάντων αὐτὸν αἴτιον τῶν κακῶν ὄντα.

Ἐναγωνίους τοίνυν ποιήσας τῇ μνήμῃ τοῦ Ἐχθροῦ κα τὴν ῥᾳθυμίαν ἡμῶν ἅπασαν ἐκκόψας, πάλιν θαῤῥύνει καὶ ἀνίστησι τὰ φρονήματα, τοῦ Βασιλέως ἀναμνήσας, ὑφ' ᾧ ταττόμεθα, καὶ δείξας πάντων αὐτὸν ὄντα δυνατώτερον. «Σοῦ γάρ ἐστι» φησίν, «ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα». Οὐκοῦν εἰ αὐτοῦ ἐστιν ἡ βασιλεία, οὐδένα δεδοικέναι χρή, ἅτε οὐδενὸς ὄντος τοῦ ἀνθισταμένου καὶ πρὸς αὐτὸν τὴν ἀρχὴν διανεμομένου. Ὅταν γὰρ εἴπῃ, «Σοῦ ἐστιν ἡ βασιλεία», δείκνυσι καὶ ἐκεῖνον τὸν πολεμοῦντα ἡμῖν ὑποτεταγμένον, κἂν ἐναντιοῦσθαι δοκῇ, τοῦ Θεοῦ συγχωροῦντος τέως. Καὶ γὰρ καὶ αὐτὸς τῶν δούλων ἐστίν, εἰ καὶ τῶν ἠτιμωμένων καὶ προσκεκρουκότων· καὶ οὐκ ἂν τολμήσειεν οὐδενὶ τῶν ὁμοδούλων ἐπιθέσθαι, μὴ πρότερον ἄνωθεν τὴν ἐξουσίαν λαβών. Καὶ τί λέγω τῶν ὁμοδούλων; Οὐδὲ χοίρων κατατολμῆσαι ὑπέμεινεν, ἕως ὅτε αὐτὸς ἐπέτρεψεν· οὔτε ποιμνίων, οὔτε βουκολίων, ἕως ὅτε τὴν ἐξουσίαν ἄνωθεν ἔλαβε. «Καὶ ἡ δύναμις», φησί. Οὐκοῦν κἂν μυριάκις ἀσθενὴς ᾖς, δίκαιος ἂν εἴης θαῤῥεῖν τοιοῦτον ἔχων τὸν βασιλεύοντα, πάντα εὐκόλως καὶ διὰ σοῦ κατορθοῦν δυνάμενον. «Καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν».

7. Οὐδὲ γὰρ ἀπαλλάττει σε τῶν ἐπιόντων δεινῶν μόνον, ἀλλὰ καὶ ἔνδοξον δύναται ποιεῖν καὶ λαμπρόν. Ὥσπερ γὰρ ἡ δύναμις αὐτοῦ πολλή, οὕτω καὶ ἡ δόξα ἄφατος καὶ τὰ πάντα ἀπέ-

τῆς φύσεώς μας. Ἡ πονηρία δὲν εἶναι συστατικὸν τῆς φύσεώς μας ἀλλὰ ἀποτέλεσμα τῆς προαιρέσεώς μας. Κατ' ἐξοχὴν ἐκεῖνος ἀποκαλεῖται ἔτσι, λόγῳ τῆς ὑπερβολικῆς κακίας του καὶ ἐπειδὴ χωρὶς νὰ τὸν ἔχωμεν ἀδικήσει εἰς τίποτε μᾶς κρατεῖ ἀνειρήνευτον πόλεμον. Διὰ τοῦτο καὶ δὲν εἶπε 'Ρῦσαι ἡμᾶς ἀπὸ τῶν πονηρῶν', ἀλλὰ «ἀπὸ τοῦ πονηροῦ». Μᾶς διδάσκει νὰ μὴ δυσαρεστούμεθα καθόλου μὲ τοὺς συνανθρώπους μας διὰ ὅ,τι κακὸν μᾶς κάνουν, ἀλλὰ νὰ μεταθέτωμεν τὴν ἔχθραν μας ἀπὸ αὐτοὺς πρὸς ἐκεῖνον, ἐπειδὴ αὐτὸς εἶναι αἴτιος ὅλων τῶν κακῶν.

Ἀφοῦ λοιπὸν μᾶς ἔφερεν εἰς κατάστασιν ἀγωνίας μὲ τὴν ἀνάμνησιν τοῦ ἐχθροῦ καὶ ἀφοῦ ἔκοψεν ἀπὸ τὴν ρίζαν τὴν ἀμεριμνησίαν μας, μᾶς ἐγκαρδιώνει πάλιν καὶ ἀνυψώνει τὸ φρόνημά μας, ὑπενθυμίζων τὸν Βασιλέα, ποὺ εἴμαστε ὑπήκοοί του, καὶ μᾶς δείχνει ὅτι αὐτὸς εἶναι πιὸ δυνατὸς ἀπὸ ὅλους. «Σοῦ γάρ ἐστι ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα», μᾶς λέγει. Ἑπομένως, ἂν ἡ βασιλεία εἶναι ἰδική του, κανεὶς δὲν πρέπει νὰ φοβᾶται, ἐπειδὴ κανεὶς δὲν ὑπάρχει ποὺ νὰ τοῦ ἀντιστέκεται καὶ νὰ μοιράζεται τὴν ἐξουσίαν μαζί του. Ὅταν λέγῃ «Σοῦ ἐστιν ἡ βασιλεία», δείχνει ὅτι εἶναι ὑποτεταγμένος εἰς αὐτὸν καὶ ὁ πολέμιός μας καὶ ὅταν φαίνεται ὅτι μᾶς πολεμᾷ, τὸ κάνει μὲ τὴν παραχώρησιν τοῦ Θεοῦ. Διότι καὶ αὐτὸς εἶναι ἀπὸ τοὺς δούλους του, ἂν καὶ εἶναι ἀπὸ ἐκείνους ποὺ ἔχουν ἀτιμασθῆ καὶ τοῦ ἔχουν ἀντισταθῆ. Καὶ δὲν θὰ ἐτολμοῦσε νὰ ἐπιτεθῇ ἐναντίον κανενὸς ἀπὸ τοὺς ὁμοδούλους του, ἂν δὲν ἔπαιρνε τὴν ἄδειαν ἀπὸ ἄνωθεν. Καὶ τί λέγω ἀπὸ τοὺς ὁμοδούλους; Οὔτε μὲ χοίρους δὲν θὰ ἐτολμοῦσε νὰ τὰ βάλῃ, ἐὰν δὲν τοῦ τὸ ἐπέτρεπεν· οὔτε μὲ πρόβατα, οὔτε μὲ μόσχους, ἐὰν δὲν ἐλάμβανε τὴν ἄδειαν ἀπὸ τὸν οὐρανόν. «Καὶ ἡ δύναμις», λέγει. Λοιπὸν καὶ ἂν εἶσαι ἀπείρως ἀδύνατος, θὰ εἶχες δίκαιον νὰ ἔχῃς θάρρος ἔχων ἕνα τέτοιο βασιλέα, ποὺ ἠμπορεῖ εὔκολα νὰ τὰ ἐπιτυγχάνῃ ὅλα ἀκόμα καὶ διὰ μέσου σοῦ. «Καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν».

7. Καὶ δὲν σὲ ἀπαλλάσσει μόνον ἀπὸ τὰ δεινὰ ποὺ ἐπέρχονται, ἀλλὰ ἠμπορεῖ νὰ σὲ κάνῃ ἔνδοξον καὶ λαμπρόν. Ὅπως ἡ δύναμίς του εἶναι μεγάλη, ἔτσι καὶ ἡ δόξα του εἶναι ἀνέκφρα-

ραντα καὶ τέλος αὐτῶν οὐδέν. Εἶδες πῶς πανταχόθεν ἤλειψε τὸν ἀθλητὴν καὶ θαῤῥεῖν παρεσκεύασεν; Εἶτα, ὅπερ ἔφθην εἰπών, δεῖξαι βουλόμενος, ὅτι πάντων μάλιστα μνησικακίαν ἀποστρέφεται καὶ μισεῖ καὶ μάλιστα πάντων τὴν ἐναντίαν τῇ κακίᾳ ταύτῃ ἀποδέχεται ἀρετὴν καὶ μετὰ τὴν εὐχὴν πάλιν αὐτοῦ τοῦ κατορθώματος ὑπέμνησε καὶ ἀπὸ τῆς κειμένης κολάσεως καὶ ἀπὸ τῆς ὡρισμένης τιμῆς τὸν ἀκροατὴν ἐνάγων εἰς τὴν τῆς ἐντολῆς ταύτης ὑπακοήν. «Ἐὰν γὰρ ἀφῆτε», φησί, «τοῖς ἀνθρώποις καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν· ἐὰν δὲ μὴ ἀφῆτε, οὐδὲ αὐτὸς ὑμῖν ἀφήσει». Διὰ τοῦτο τῶν οὐρανῶν πάλιν καὶ τοῦ Πατρὸς ἐμνημόνευσεν, ὥστε καὶ τούτῳ τὸν ἀκροατὴν ἐντρέψαι, εἴγε τοιούτου πατρὸς ὤν, ἐκθηριοῦσθαι μέλλοι καὶ πρὸς τὸν οὐρανὸν κληθείς, γήϊνόν τι καὶ βιωτικὸν ἔχοι φρόνημα. Οὐ γὰρ δὴ χάριτι δεῖ γενέσθαι παῖδας μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις. Οὐδὲν δὲ οὕτως ὁμοιοῖ τῷ Θεῷ, ὡς τὸ τοῖς πονηροῖς καὶ τοῖς ἀδικοῦσιν εἶναι συγγνωμονικόν· ὥσπερ οὖν καὶ ἔφθη διδάξας, ἡνίκα ἔλεγε τὸ τὸν ἥλιον ἀνατέλλειν ἐπὶ πονηροὺς καὶ ἀγαθούς. Διὰ δὴ τοῦτο καὶ καθ᾽ ἕκαστον τῶν ῥημάτων κοινὰς κελεύει ποιεῖν τὰς εὐχάς, «Πάτερ ἡμῶν», λέγων· καί, «Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς»· καί, «Δὸς ἡμῖν τὸν ἄρτον»· καί, «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν»· καί, «Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν»· καί, «Ῥῦσαι ἡμᾶς»· πανταχοῦ τῷ πληθυντικῷ ῥήματι τούτῳ κελεύων κεχρῆσθαι, ἵνα μηδὲ ἴχνος ὀργῆς πρὸς τὸν πλησίον ἔχωμεν. Πόσης οὖν ἂν εἶεν κολάσεως ἄξιοι οἱ μετὰ ταῦτα πάντα μὴ μόνον αὐτοὶ μὴ ἀφιέντες, ἀλλὰ καὶ τὸν Θεὸν ἐπὶ τὴν ἄμυναν τῶν ἐχθρῶν παρακαλοῦντες καὶ ὥσπερ ἐκ διαμέτρου τινὸς τὸν νόμον τοῦτον παραβαίνοντες καὶ ταῦτα αὐτοῦ πάντα ποιοῦντος καὶ πραγματευομένου, ὥστε μὴ διαστασιάζειν ἡμᾶς πρὸς ἀλλήλους;

στος καὶ ὅλα αὐτὰ εἶναι ἀπέραντα καὶ τέλος δὲν ἔχουν. Εἶδες πῶς προετοίμασεν εἰς ὅλα τὸν ἀθλητὴν καὶ τὸν ἔκανε θαρραλέον; Καὶ ἔπειτα, θέλων νὰ δείξῃ αὐτὸ ποὺ μόλις εἶπα, ὅτι δηλαδὴ περισσότερον ἀπὸ ὅλα ἀποστρέφεται καὶ μισεῖ τὴν μνησικακίαν καὶ πιὸ πολὺ ἀπὸ ὅλα ἐπιδοκιμάζει τὴν ἀρετὴν τὴν ἀντίθετον εἰς τὴν κακίαν αὐτήν, καὶ μετὰ τὴν προσευχὴν ὑπενθύμισε πάλιν τὸ κατόρθωμα αὐτὸ καὶ ἀπὸ τὴν τιμωρίαν ποὺ περιμένει καὶ ἀπὸ τὴν καθωρισμένην τιμὴν ὡδηγοῦσε τὸν ἀκροατὴν εἰς τὴν ὑπακοὴν τῆς ἐντολῆς αὐτῆς. «Ἐὰν λοιπὸν συγχωρῆτε» λέγει, «τοὺς ἀνθρώπους καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος θὰ σᾶς συγχωρήσῃ· ἐὰν δὲ δὲν τοὺς συγχωρῆτε οὔτε αὐτὸς θὰ σᾶς συγχωρήσῃ». Διὰ τοῦτο πάλιν ἀνέφερε τοὺς οὐρανοὺς καὶ τὸν Πατέρα, ὥστε καὶ μὲ αὐτὰ νὰ παρακινήσῃ τὸν ἀκροατήν, ἂν πρόκειται μὲ τέτοιον πατέρα νὰ γίνῃ θηρίον καὶ παρὰ τὴν κλῆσιν του εἰς τὸν οὐρανὸν νὰ ἔχῃ φρόνημα γήινον καὶ βιοτικόν. Διότι δὲν πρέπει νὰ γίνωμεν μόνον παιδιά του μὲ τὴν χάριν, ἀλλὰ καὶ μὲ τὰς πράξεις μας. Καὶ τίποτε δὲν μᾶς ἐξομοιώνει τόσον μὲ τὸν Θεόν, ὅσον τὸ νὰ παρέχωμεν τὴν συγγνώμην μας εἰς τοὺς κακοὺς καὶ εἰς ὅσους μᾶς ἀδικοῦν. Ὅπως ἀκριβῶς ὀλίγον πρωτύτερα εἶχε διδάξει, ὅταν ἔλεγεν ὅτι ὁ ἥλιος ἀνατέλλει διὰ τοὺς κακοὺς καὶ τοὺς ἀγαθούς. Διὰ τοῦτο καὶ μὲ κάθε ρῆμα ὁρίζει νὰ κάνωμεν κοινὴν τὴν προσευχὴν λέγων· «Πάτερ ἡμῶν», καὶ «Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς», καί, «Δὸς ἡμῖν τὸν ἄρτον»· καί, «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν»· καί, «Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν»· καί, «Ρῦσαι ἡμᾶς». Ὁρίζει νὰ χρησιμοποιοῦμεν πάντοτε τὸ ρῆμα εἰς τὸν πληθυντικόν, διὰ νὰ μὴ ἔχωμεν ἐναντίον τοῦ ἀδελφοῦ μας οὔτε ἴχνος ὀργῆς. Διὰ πόσην λοιπὸν τιμωρίαν θὰ εἶναι ἄξιοι, ὅσοι ἔπειτ' ἀπὸ ὅλα αὐτὰ ὄχι μόνον δὲν συγχωροῦν οἱ ἴδιοι, ἀλλὰ ἐπικαλοῦνται καὶ τὸν Θεὸν διὰ τὴν ἐκδίκησιν τῶν ἐχθρῶν των καὶ ἐκτελοῦν διαμετρικὰ ἀντίθετα τὸν νόμον τοῦτον καὶ μάλιστα τὴν στιγμὴν ποὺ αὐτὸς κάνει τὸ πᾶν καὶ μηχανεύεται, ὥστε νὰ μὴ δημιουργοῦμεν διαστάσεις μεταξύ μας;

Ἐπειδὴ γὰρ ῥίζα πάντων τῶν ἀγαθῶν ἐστιν ἡ ἀγάπη, τὰ λυμαινόμενα αὐτὴν ἀναιρῶν, πάντοθεν ἡμᾶς πρὸς ἀλλήλους συνάγει συγκολλῶν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδείς, κἂν πατὴρ κἂν μήτηρ κἂν φίλος κἂν ὁστισοῦν, ὃς οὕτως ἡμᾶς ἠγάπησεν, ὡς ὁ ποιήσας ἡμᾶς Θεός. Καὶ τοῦτο μάλιστα καὶ ἐξ ὧν εὐεργετεῖ καθ' ἑκάστην ἡμέραν καὶ ἐξ ὧν ἐπιτάττει δῆλον. Εἰ δὲ τὰς λύπας μοι λέγεις καὶ τὰς ὀδύνας καὶ τὰ τοῦ βίου κακά, ἐννόησον ὅσα αὐτῷ προσκρούεις καθ' ἑκάστην ἡμέραν καὶ οὐκέτι θαυμάσῃ, κἂν πλείονα τούτων ἐπέλθῃ κακά· ἀλλ' ἂν ἀγαθοῦ τινος ἀπολαύσῃς, τότε καὶ θαυμάσῃ καὶ ἐκπλαγήσῃ. Νῦν δὲ εἰς μὲν τὰς συμφορὰς ὁρῶμεν τὰς ἐπιούσας, τὰ δὲ προσκρούσματα, ἃ καθ' ἑκάστην προσκρούομεν τὴν ἡμέραν, οὐκ ἐννοοῦμεν· διὰ τοῦτο ἀλύομεν. Ὡς εἴγε μιᾶς ἡμέρας μόνον μετὰ ἀκριβείας τὰ ἁμαρτήματα ἡμῶν ἐλογισάμεθα, τότε ἂν ἔγνωμεν καλῶς, πόσων ἂν εἴημεν ὑπεύθυνοι κακῶν.

Καὶ ἵνα τὰ ἄλλα ἀφεὶς τὰ ἰδίᾳ πεπλημμελημένα ἑκάστῳ, τὰ σήμερον εἴπω γινόμενα· καίτοιγε οὐκ οἶδα τί ποτε ἕκαστος ἡμῶν ἥμαρτεν· ἀλλ' ὅμως τοσαύτη ἡ περιουσία τῶν πλημμελημάτων, ὡς μηδὲ τὸν ἀκριβῶς ἅπαντα εἰδότα δύνασθαι καὶ ἐκ τούτων ἑλεῖν. Τίς οὖν ἡμῶν οὐκ ἐρρᾳθύμησεν εὐχόμενος; τίς οὐκ ἀπενοήθη; τίς οὐκ ἐκενοδόξησε; τίς οὐ κακῶς εἶπε τὸν ἀδελφόν, οὐδὲ ἐδέξατο πονηρὰν ἐπιθυμίαν; οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς; οὐκ ἐμνήσθη μετὰ πάθους ἐχθροῦ καὶ οἰδαίνειν τὴν καρδίαν ἐποίησεν; Εἰ δὲ ἐν ἐκκλησίᾳ ὄντες καὶ ἐν καιρῷ βραχεῖ, τοσούτοις ὑπεύθυνοι γεγόναμεν κακοῖς, τίνες ἐσόμεθα ἐξελθόντες ἐντεῦθεν; εἰ ἐν τῷ λιμένι τοσαῦτα τὰ κύματα, ὅταν ἐξέλθωμεν εἰς τὸν εὔριπον τῶν κακῶν, τὴν ἀγορὰν λέγω καὶ τὰ πολιτικὰ πράγματα καὶ τὰς ἐν οἰκίᾳ φροντίδας, ἆρα ἑαυτοὺς

Ἐπειδὴ ρίζα ὅλων τῶν ἀγαθῶν εἶναι ἡ ἀγάπη, ἐκμηδενίζων ὅλα ὅσα τὴν φθείρουν ἀπὸ παντοῦ μᾶς συγκολλᾷ καὶ μᾶς συνδέει τὸν ἕνα μὲ τοὺς ἄλλους. Δὲν ὑπάρχει κανείς, μὰ κανείς, οὔτε πατέρας, οὔτε μητέρα οὔτε φίλος οὔτε ὁποιοσδήποτε νὰ μᾶς ἔχῃ ἀγαπήσει τόσον, ὅσον ὁ Θεὸς ποὺ μᾶς ἐδημιούργησε. Τοῦτο καὶ ἀπὸ τὰς καθημερινὰς εὐεργεσίας του ἀλλὰ καὶ ἀπὸ τὰ ἐπιτεύγματά του εἶναι ὁλοφάνερον. Ἂν τώρα μοῦ ἀναφέρῃς τὰς λύπας καὶ τὰς ὀδύνας καὶ τὰ δεινὰ τῆς ζωῆς, σκέψου εἰς πόσα εἶσαι ἀντίθετος εἰς τὸ θέλημά του καθημερινῶς καὶ δὲν θὰ ἀπορήσῃς πλέον ἂν σὲ εὕρουν περισσότερα ἀπὸ αὐτὰ δεινά· πιὸ πολὺ θὰ ἀπορήσῃς καὶ θὰ καταπλαγῇς ἂν δοκιμάσῃς καὶ κάποιο καλόν. Τώρα ὅμως εἰς τὴν περίπτωσιν τῶν συμφορῶν βλέπομεν αὐτὰς ποὺ θὰ μᾶς εὕρουν μελλοντικά, δὲν ἀντιλαμβανόμεθα ὅμως τὰς καθημερινὰς παραβάσεις καὶ διὰ τοῦτο ἀγωνιοῦμεν. Μιᾶς ἡμέρας τὰ ἁμαρτήματα ἂν τὰ ὑπελογίζαμεν λεπτομερῶς, τότε θὰ ἐννοούσαμεν πόσα δεινὰ θὰ εἴμεθα ἄξιοι νὰ ὑπομείνωμεν.

Καὶ διὰ νὰ ἀφήσω τὰς ἄλλας παραβάσεις ποὺ ἔχει κάμει ὁ καθένας ἰδιαιτέρως, ἂς ἀναφέρω αὐτὰ ποὺ γίνονται σήμερα, ἂν καὶ βέβαια δὲν γνωρίζω ποῖα τὰ ἁμαρτήματα τοῦ καθενός. Εἶναι ὅμως τόση ἡ ἀφθονία τῶν σφαλμάτων, ὥστε καὶ αὐτὸς ποὺ τὰ γνωρίζει ὅλα μὲ λεπτομέρειαν νὰ μὴ ἠμπορῇ μήτε καὶ νὰ ἐπιλέξῃ ἀπὸ αὐτά. Ποῖος λοιπὸν ἀπὸ σᾶς δὲν ἔδειξε ραθυμίαν κατὰ τὴν προσευχήν; Ποῖος δὲν ἀπεγοητεύθη; ποῖος δὲν ἔδειξε κενοδοξίαν, ποῖος δὲν ἐκακομίλησεν εἰς τὸν ἀδελφόν του καὶ δὲν τοῦ ἐδημιουργήθη πονηρὰ ἐπιθυμία; ποῖος δὲν ἀπηύθυνεν ἀκόλαστα βλέμματα, δὲν ἐνεθυμήθη μὲ πάθος τὸν ἐχθρόν του καὶ δὲν ἔκανε τὴν καρδίαν του νὰ φουσκώσῃ. Ἂν λοιπὸν τώρα ποὺ εὑρισκόμεθα συγκεντρωμένοι εἰς τὴν ἐκκλησίαν, καὶ ἐντὸς ὀλίγου διαστήματος ἐγίναμεν ὑπεύθυνοι διὰ τόσα σφάλματα, τί θὰ γίνωμεν ὅταν βγοῦμεν ἀπὸ ἐδῶ; ἂν μέσα εἰς τὸν λιμένα μᾶς ἐκτύπησαν τόσα κύματα, ὅταν ἀνοιχθοῦμεν εἰς τὸ πέλαγος τῶν δεινῶν, ἐννοῶ τὴν ἀγοράν, τὰς δημοσίας φροντίδας καὶ τὰς οἰκογενειακὰς μερίμνας, θὰ ἠμπορέσωμεν τάχα νὰ ἀναγνωρίσω-

γοῦν ἐπιγνῶναι δυνησόμεθα; Ἀλλ' ὅμως τῆς τῶν τοσούτων καὶ τηλικούτων ἁμαρτημάτων ἀπαλλαγῆς ἔδωκεν ἡμῖν σύντομον καὶ ῥᾳδίαν ὁδὸν καὶ παντὸς ἀπηλλαγμένην πόνου ὁ Θεός. Ποῖος γὰρ πόνος ἀφεῖναι τῷ λελυπηκότι; Πόνος μὲν οὖν τὸ μὴ ἀφεῖναι, ἀλλὰ κατέχειν τὴν ἔχθραν· ὡς τό γε ἀπαλλαγῆναι τοῦ θυμοῦ καὶ ἄνεσιν πολλὴν ἐμποιεῖ καὶ σφόδρα εὔκολον τῷ βουλομένῳ.

8. Οὐδὲ γὰρ πέλαγος διαβῆναι δεῖ, οὐδὲν ὁδὸν ἀποδημῆσαι μακράν, οὐδὲ ὀρῶν ὑπερβῆναι κορυφάς, οὐδὲ χρήματα δαπανῆσαι, οὐδὲ κατατεῖναι τὸ σῶμα, ἀλλ' ἀρκεῖ θελῆσαι μόνον καὶ πάντα λέλυται τὰ ἁμαρτήματα. Ἂν δὲ μὴ μόνον αὐτὸς μὴ ἀφῇς, ἀλλὰ καὶ τῷ Θεῷ κατ' αὐτοῦ ἐντυγχάνῃς, τίνα λοιπὸν ἕξεις σωτηρίας ἐλπίδα, ὅταν ἡνίκα ἐξιλεοῦσαι αὐτὸν καὶ δέῃ καὶ τότε αὐτὸν παροξύνῃς, ἱκέτου μὲν σχῆμα περικείμενος, θηρίου δὲ φωνὰς ἀφιεὶς καὶ καθ' ἑαυτοῦ τὰ βέλη τοῦ Πονηροῦ ἐξακοντίζων ἐκεῖνα; Διὰ τοῦτο καὶ ὁ Παῦλος εὐχῆς μεμνημένος, οὐδὲν οὕτως ἐξεζήτησεν ὡς τῆς ἐντολῆς ταύτης τὴν φυλακήν· «Ἐπαίροντας γὰρ ὁσίους χεῖρας», φησί, «χωρὶς ὀργῆς καὶ διαλογισμοῦ».

Εἰ γὰρ ὅτε ἐλέους χρείαν ἔχεις, οὐδὲ τότε ἀφίης τὴν ὀργήν, ἀλλὰ καὶ σφόδρα αὐτῆς μέμνησαι, καὶ ταῦτα εἰδὼς ὅτι κατὰ σεαυτοῦ τὸ ξίφος ὠθεῖς, πότε δυνήσῃ γενέσθαι φιλάνθρωπος καὶ τὸν πονηρὸν ἀποβλῦσαι τῆς πονηρίας ταύτης ἰόν; Εἰ δὲ οὐδέπω τῆς ἀτοπίας ταύτης εἶδες τὸ μέγεθος, ἐπ' ἀνθρώπων αὐτὸ λογίζου γινόμενον καὶ τότε ὄψει τῆς ὕβρεως τὴν ὑπερβολήν. Εἰ γὰρ ἀνθρώπῳ σοι ὄντι προσῆλθέ τις ἀξιῶν ἐλεηθῆναι, εἶτα μεταξὺ κείμενος ἐπὶ τῆς γῆς εἶδεν ἐχθρὸν καὶ ἀφεὶς σε ἱκετεῦσαι ἐκεῖνον ἔτυπτεν, ἆρα οὐκ ἂν μείζονα ἐποιήσω τὴν ὀργήν;

Τοῦτο λογίζου καὶ ἐπὶ τοῦ Θεοῦ συμβαίνειν. Καὶ γὰρ καὶ σὺ τὸν Θεὸν ἱκετεύων, μεταξὺ τὴν ἱκετηρίαν ἀφείς, τὸν ἐχθρὸν τοῖς ῥήμασι τύπτεις καὶ τοὺς τοῦ Θεοῦ νόμους ὑβρίζεις, τὸν νο-

1. Α' Τιμ. 2,8

μεν τοὺς ἑαυτούς μας; Ἀλλ' ὅμως διὰ τὴν ἀπαλλαγὴν ἀπὸ τόσον πολλὰ καὶ μεγάλα ἁμαρτήματα μᾶς ἔδωσεν ὁ Θεὸς σύντομον καὶ εὔκολον δρόμον ποὺ δὲν προκαλεῖ κανένα κόπον. Τί κόπος ἀπαιτεῖται νὰ συγχωρήσῃς αὐτὸν ποὺ σ' ἐλύπησεν; Ἀποτελεῖ κόπον τὸ νὰ μὴ συγχωρήσῃς, ἀλλὰ νὰ διατηρῇς τὴν ἔχθραν σου, ἐνῷ τὸ νὰ ἀπαλλαγῇς ἀπὸ τὸν θυμὸν καὶ πολλὴν ἄνεσιν σοῦ προξενεῖ καὶ διὰ ὅποιον θέλει εἶναι πολὺ εὔκολον.

8. Δὲν χρειάζεται νὰ περάσῃς πέλαγος, οὔτε νὰ κάνῃς μακρινὸν ταξίδι, οὔτε νὰ διαβῇς κορυφὰς βουνῶν, νὰ δαπανήσῃς χρήματα ἢ νὰ ταλαιπωρήσῃς τὸ σῶμα σου· φθάνει νὰ θελήσῃς καὶ ὅλα τὰ ἁμαρτήματά σου ἔχουν διαγραφῆ. Ἂν ὅμως ὄχι μόνον δὲν συγχωρῇς ὁ ἴδιος ἀλλὰ καὶ εἰς τὸν Θεὸν προσεύχεσαι ἐναντίον τοῦ ἐχθροῦ σου, τί ἐλπίδα σωτηρίας ἔχεις, ὅταν τὴν ὥραν ποὺ προσπαθεῖς νὰ τὸν ἐξευμενίσῃς καὶ τὸν παρακαλεῖς τὸν ἐρεθίζῃς καὶ τότε ἀκόμη, καὶ παρουσιάζεις μὲν τὴν ὄψιν ἱκέτου, ἀλλὰ βγάζεις φωνὰς θηρίου ἢ στρέφεις ἐναντίον σου τὰ τοξεύματα τοῦ Πονηροῦ; Διὰ τοῦτο καὶ ὁ Παῦλος, ἀναφερόμενος εἰς τὴν προσευχήν, τίποτε δὲν ἐζήτησε μὲ τόσην ἐπιμονὴν ὅσον τὴν φύλαξιν τῆς ἐντολῆς αὐτῆς. «Ὑψώνοντες», λέγει, «εὐλαβικὰ χέρια χωρὶς ὀργὴν καὶ ἐχθρικὰς σκέψεις» [1].

Ἂν λοιπὸν ὅταν χρειάζεται τὸ ἔλεος, μήτε τότε δὲν ἀφήνῃς τὴν ὀργήν, ἀλλὰ τὴν κρατῇς περισσότερον, ἂν καὶ γνωρίζεις ὅτι σπρώχνεις τὸ ξίφος εἰς τὸν ἑαυτόν σου, πότε θὰ κατορθώσῃς νὰ γίνῃς φιλάνθρωπος καὶ νὰ διώξῃς τὸ κακὸν δηλητήριον τῆς κακίας αὐτῆς; Ἂν δὲν ἔχῃς ἀκόμη ἀντιληφθῆ τὸ μέγεθος αὐτοῦ τοῦ ἀτοπήματος, ἐξέτασέ το εἰς τὰς σχέσεις τῶν ἀνθρώπων καὶ τότε θὰ διαπιστώσῃς τὴν δίχως ὅριον προσβολήν. Εἶσαι ἄνθρωπος καὶ ἂν σοῦ ἐρχόταν κάποιος ζητῶν τὸ ἔλεός σου καὶ ἐνῷ ἔχει πέσει εἰς τὴν γῆν, βλέπει τὸν ἐχθρόν του, ὁπότε ἀφήνων τὴν παράκλησίν του πρὸς ἐσένα ἀρχίζει νὰ κτυπᾷ ἐκεῖνον, δὲ θὰ ὠργίζεσο ἄραγε περισσότερον ἐναντίον του;

Τὸ ἴδιο σκέψου ὅτι συμβαίνει καὶ μὲ τὸν Θεόν. Καὶ σὺ ἐνῷ ἱκετεύεις τὸν Θεόν, ἀφήνων εἰς τὸ μεταξὺ τὴν ἱκεσίαν σου, κτυπᾷς μὲ τοὺς λόγους σου τὸν ἐχθρόν σου, ὑβρίζεις τοὺς νόμους

μοθετήσαντα πᾶσαν ὀργὴν ἀφιέναι κατὰ τῶν λελυπηκότων καλῶν καὶ ἀξιῶν ἐναντία τοῖς ἑαυτοῦ προστάγμασι ποιεῖν. Οὐκ ἀρκεῖ εἰς τιμωρίας σοι λόγον, ὅτι σὺ παραβαίνεις τὸν νόμον τὸν τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτὸν τοῦτο παρακαλεῖς ποιεῖν; Μὴ γὰρ ἐπελάθετο ὧν ἐπέταξε, μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ ταῦτα εἰπών; Θεός ἐστιν, ὁ τὰ πάντα εἰδὼς καὶ μετὰ ἀκριβείας ἁπάσης τοὺς ἑαυτοῦ φυλάττεσθαι βουλόμενος νόμους, καὶ τοσοῦτον ἀπέχων τοῦ ποιῆσαι ταῦτα ἅπερ ἀξιοῖς, ὅτι καὶ σὲ τὸν ταῦτα λέγοντα καὶ ὑπὲρ τοῦ λέγειν μόνον ἀποστρέφεται καὶ μισεῖ καὶ δίκην ἀπαιτεῖ τὴν ἐσχάτην. Πῶς οὖν ἀξιοῖς παρ' αὐτοῦ τυχεῖν, ὧν αὐτὸς μετὰ πολλῆς ἀπέχεσθαί σε κελεύει σπουδῆς;

'Αλλὰ γάρ εἰσί τινες, οἳ καὶ εἰς τοσοῦτον ἀλογίας ἥκασιν, ὡς μὴ μόνον τῶν ἐχθρῶν κατεύχεσθαι, ἀλλὰ καὶ τέκνοις ἐπαρᾶσθαι τοῖς ἐκείνων καὶ αὐτῶν, εἴγε ἐνῆν, ἀπογεύσασθαι τῶν σαρκῶν· μᾶλλον δὲ καὶ ἀπογευόμενοι. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι τοὺς ὀδόντας οὐκ ἐνέπηξας τῷ σώματι τοῦ λελυπηκότος· πολὺ γὰρ χαλεπώτερον ἐποίησας, τό γε εἰς σὲ ἧκον, ἀξιῶν ἄνωθεν ὀργὴν ἐπενεχθῆναι κατ' αὐτοῦ καὶ ἀθανάτῳ παραδοθῆναι κολάσει καὶ μετὰ τῆς οἰκίας ἀνατραπῆναι ἁπάσης. Ποίων γὰρ ταῦτα οὐ χαλεπώτερα δηγμάτων; ποίων βελῶν οὐ πικρότερα; Οὐ ταῦτά σε ἐπαίδευσεν ὁ Χριστός· οὐχ οὕτω τὸ στόμα αἱμάττειν ἐκέλευσε. Καὶ γὰρ ᾑμαγμένων στομάτων ἀπὸ σαρκῶν ἀνθρωπίνων χαλεπώτεραι αἱ τοιαῦται γλῶτται. Πῶς οὖν ἀσπάσῃ τὸν ἀδελφόν; πῶς ἅψῃ τῆς θυσίας; πῶς ἀπογεύσῃ τοῦ αἵματος τοῦ Δεσποτικοῦ, τοσοῦτον ἔχων ἐπὶ τῆς διανοίας ἰόν; Ὅταν γὰρ εἴπῃς, κατάῤῥαξον αὐτὸν καὶ τὴν οἰκίαν ἀνάτρεψον καὶ πάντα ἀπόλεσον καὶ μυρίους αὐτῷ ὀλέθρους κατεύχῃ, οὐδὲν ἀνθρωποκτόνου διενήνοχας, μᾶλλον δὲ ἀνθρωποφάγου θηρίου.

τοῦ Θεοῦ, ἐπικαλούμενος αὐτὸν πού ἐνομοθέτησε νὰ ἀφήνωμεν κάθε ὀργὴν ἐναντίον ἐκείνων ποὺ μᾶς ἐλύπησαν καὶ ἀξιώνων νὰ πράττῃς ἀντίθετα πρὸς τὰ προστάγματά του. Δὲν εἶναι ἐπαρκὴς λόγος διὰ νὰ τιμωρηθῇς, ποὺ ἐσὺ παραβαίνεις τὸν νόμον τοῦ Θεοῦ, ἀλλὰ παρακαλεῖς καὶ αὐτὸν νὰ κάνῃ τὸ ἴδιο; Ἐξέχασες τάχα ὅσα μᾶς παρήγγειλε; Εἶναι τάχα ἄνθρωπος αὐτὸς ποὺ μᾶς τὰ εἶπε αὐτά; Εἶναι ὁ Θεός, ποὺ γνωρίζει τὰ πάντα καὶ θέλει νὰ φυλάγωνται οἱ νόμοι του μὲ κάθε ἀκρίβειαν, καὶ ἀπέχει τόσον ἀπὸ τὸ νὰ κάνῃ αὐτὰ ποὺ ἀξιώνεις, ὥστε καὶ ἐσένα ποὺ τὰ λέγεις αὐτὰ σὲ ἀποστρέφεται καὶ μισεῖ μόνον διότι τὰ λέγεις καὶ ἀπαιτεῖ τὴν ἐσχάτην τῶν ποινῶν. Πῶς λοιπὸν ἔχεις τὴν ἀξίωσιν νὰ λάβῃς ἀπὸ αὐτὸν ὅ,τι αὐτὸς πολὺ ἔντονα σὲ προστάζει νὰ μὴ ἀγγίζῃς;

Ἀλλ' ὅμως ὑπάρχουν μερικοὶ ποὺ παραλογίζονται εἰς τέτοιον βαθμόν, ὥστε καταρῶνται ὄχι μόνον τοὺς ἐχθρούς των ἀλλὰ καὶ διὰ τὰ παιδιὰ τῶν ἐχθρῶν των εὔχονται ἂν ἦτο δυνατὸν νὰ φάγουν τὰς σάρκας των ἢ μᾶλλον τὰς τρώγουν κιόλας. Μὴ μοῦ τὸ εἴπῃς τοῦτο, ὅτι δὲν ἔχωσες τὰ δόντιά σου εἰς τὸ σῶμα ἐκείνου ποὺ σ' ἐλύπησεν. Ἔκαμες κάτι πολὺ χειρότερον ἀπὸ ὅ,τι ἠμποροῦσες, διατυπώνων τὴν ἀξίωσιν νὰ πέσῃ ἐπάνω του ἡ ὀργὴ ἀπὸ τὸν οὐρανόν, νὰ παραδοθῇ εἰς αἰώνιον τιμωρίαν καὶ νὰ καταστραφῇ μὲ ὅλην τὴν οἰκογένειάν του. Δὲν εἶναι αὐτὰ λοιπὸν χειρότερα ἀπὸ ὅλα τὰ δαγκώματα; Δὲν εἶναι ὀδυνηρότερα ἀπὸ ὅλα τὰ βέλη. Δὲν σοῦ ἐδίδαξεν αὐτὰ ὁ Χριστός. Δὲν σοῦ ὥρισε νὰ αἱματώσῃς τὸ στόμα σου μὲ αὐτὸν τὸν τρόπον. Αἱ γλῶσσαι αὐταὶ εἶναι χειρότεραι ἀπὸ στόματα αἱματωμένα ἀπὸ ἀνθρωπίνας σάρκας. Πῶς θὰ χαιρετήσῃς τὸν ἀδελφόν σου; πῶς θὰ προσέλθῃς εἰς τὴν θυσίαν; πῶς θὰ γευθῇς τὸ Δεσποτικὸν αἷμα, ἔχων τόσον δηλητήριον εἰς τὴν ψυχήν σου; Ὅταν προσεύχεσαι καὶ λέγῃς 'σύντριψέ τον καὶ τὸ σπίτι του γκρέμισέ το, κατάστρεψέ του τὰ πάντα', καὶ εὔχεσαι νὰ τὸν εὕρῃ κάθε εἶδος καταστροφῆς, δὲν διαφέρεις σὲ τίποτε ἀπὸ ἕνα φονέα ἢ μᾶλλον ἀπὸ ἕνα σαρκοφάγον θηρίον.

9. Παυσώμεθα τοίνυν τῆς νόσου ταύτης καὶ τῆς μανίας καὶ τὴν φιλοφροσύνην, ἣν ἐκέλευσεν, ἐπιδειξώμεθα περὶ τοὺς λελυπηκότας, ἵνα γενώμεθα ὅμοιοι τοῦ Πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. Παυσόμεθα δέ, ἂν τῶν οἰκείων ἀναμνησθῶμεν ἁμαρτημάτων· ἂν μετὰ ἀκριβείας ἅπαντα ἐξετάσωμεν τὰ πεπλημμελημένα, τὰ ἔνδον, τὰ ἔξω, τὰ ἐν ἀγορᾷ, τὰ ἐν ἐκκλησίᾳ. Εἰ γὰρ μηδενὸς ἑτέρου, τῆς γοῦν ἐνταῦθα ὀλιγωρίας τὴν ἐσχάτην ἄξιοί ἐσμεν δίκην ὑποσχεῖν. Καὶ γὰρ προφητῶν ψαλλόντων καὶ ἀποστόλων ὑμνούντων καὶ Θεοῦ διαλεγομένου, ἔξω πλανώμεθα καὶ βιωτικῶν πραγμάτων ἐπεισάγομεν θόρυβον· καὶ οὐδὲ τοσαύτην ἀπονέμομεν τοῖς τοῦ Θεοῦ νόμοις τὴν ἡσυχίαν, ὅσην τοῖς τοῦ βασιλέως γράμμασιν ἐν τοῖς θεάτροις οἱ θεαταὶ παρέχουσι τὴν σιγήν. Ἐκεῖ μὲν γὰρ τῶν γραμμάτων τούτων ἀναγινωσκομένων καὶ ὕπατοι καὶ ὕπαρχοι καὶ βουλὴ καὶ δῆμος ὀρθοὶ πάντες ἑστήκασι, μεθ' ἡσυχίας ἀκούοντες τῶν λεγομένων· κἂν μεταξὺ τῆς ἡσυχίας τῆς βαθυτάτης ἐκείνης ἀθρόον ἄν τις πηδήσας καταβοήσῃ, ἅτε εἰς τὸν βασιλέα ὑβρικώς, τὴν ἐσχάτην δίδωσι δίκην· ἐνταῦθα δὲ τῶν ἐκ τοῦ οὐρανοῦ γραμμάτων ἀναγινωσκομένων, πολὺς πανταχόθεν ὁ θόρυβος γίνεται. Καίτοι καὶ ὁ πέμψας τὰ γράμματα πολὺ τοῦ βασιλέως τούτου μείζων ἐστὶ καὶ τὸ θέατρον σεμνότερον· οὐ γὰρ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἀγγέλων ἐστί· καὶ τὰ ἐπινίκια ταῦτα, ἃ τὰ γράμματα εὐαγγελίζεται, πολλῷ τῶν ἐν τῇ γῇ φρικωδέστερα. Διόπερ οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἄγγελοι καὶ ἀρχάγγελοι καὶ οἱ τῶν οὐρανῶν δῆμοι καὶ οἱ ἐν τῇ γῇ πάντες εὐφημεῖν κελευόμεθα. «Εὐλογεῖτε» γάρ, φησί, «τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ».

Καὶ γὰρ οὐ μικρὰ τὰ κατορθούμενα, ἀλλὰ πάντα ὑπερβαίνει λόγον καὶ νοῦν καὶ διάνοιαν ἀνθρωπίνην. Καὶ ταῦτα καθ' ἑκάστην ἡμέραν ἀνακηρύττουσιν οἱ προφῆται, διαφόρως ἕκαστος τὸ λαμπρὸν τοῦτο τρόπαιον ἀναγορεύων. Ὁ μὲν γάρ, «Ἀνέβης εἰς ὕψος», φησί, «ᾐχμαλώτευσας αἰχμαλωσίαν καὶ ἔλαβες δό-

1. Ψαλμ. 102,22

9. Ἂς σταματήσωμεν λοιπὸν τὴν νόσον καὶ τὴν μανίαν αὐτὴν καὶ ἂς δείξωμεν εἰς ὅσους μᾶς ἐλύπησαν τὴν ἀγάπην ποὺ ὥρισε, διὰ νὰ γίνωμεν ὅμοιοι μὲ τὸν Πατέρα μας τὸν οὐράνιον. Καὶ θὰ σταματήσωμεν ἂν φέρωμεν εἰς τὸν νοῦν μας τὰ ἰδικά μας ἁμαρτήματα, ἂν ἐξετάσωμεν μὲ ἀκρίβειαν ὅλα τὰ παραπτώματα ποὺ διεπράξαμεν μέσα μας, ἔξω μας, εἰς τὴν ἀγοράν, εἰς τὴν ἐκκλησίαν. Ἂν διὰ τίποτε ἄλλο, τοὐλάχιστον διὰ τὴν ἐδῶ ἀδιαφορίαν, μᾶς ἀξίζει νὰ ὑποστοῦμεν τὴν βαρυτέραν τιμωρίαν. Ἐνῷ ψάλλουν οἱ προφῆται, ὑμνοῦν οἱ ἀπόστολοι, ὁμιλεῖ ὁ Θεός, ἐμεῖς περιπλανώμεθα ἔξω καὶ φέρομεν μέσα τὸν θόρυβον τὸν βιοτικῶν φροντίδων. Καὶ δὲν προσφέρομεν εἰς τοὺς νόμους τοῦ Θεοῦ οὔτε τόσην ἡσυχίαν ὅσην σιγὴν κρατοῦν εἰς τὰς βασιλικὰς ἀνακοινώσεις οἱ θεαταὶ μέσα εἰς τὸ θέατρον. Διότι ἐκεῖ ὅταν διαβάζωνται τὰ διατάγματα αὐτά, καὶ οἱ ὕπατοι καὶ οἱ διοικηταὶ καὶ ἡ βουλὴ καὶ ὁ δῆμος στέκονται ὅλοι ὀρθοὶ καὶ ἀκούουν μὲ ἡσυχίαν ὅσα λέγονται. Καὶ ἂν εἰς τὴν μέσην τῆς βαθυτάτης ἡσυχίας αὐτῆς ὁρμήσῃ κάποιος καὶ βάλῃ τὰς φωνάς, διότι φέρεται προσβλητικὰ εἰς τὸν βασιλέα, δέχεται τὴν βαρυτέραν τιμωρίαν. Ἐνῷ ἐδῶ ποὺ διαβάζονται τὰ γράμματα ἀπὸ τὸν οὐρανὸν γίνεται τόση φασαρία ἀπὸ παντοῦ. Μολονότι καὶ ὁ ἀποστολεὺς τῶν ἐπιστολῶν εἶναι πολὺ μεγαλύτερος ἀπὸ τοῦτον τὸν βασιλέα καὶ τὸ θέατρον εἶναι πολὺ σοβαρώτερον· διότι δὲν ἀποτελεῖται μόνον ἀπὸ ἀνθρώπους ἀλλὰ καὶ ἀπὸ ἀγγέλους. Καὶ αὐτὰ τὰ ἐπινίκια ποὺ μᾶς εὐαγγελίζονται τὰ γράμματα τοῦ Θεοῦ, εἶναι ἀπὸ τῆς γῆς πολὺ πιὸ φρικτά. Διὰ τοῦτο δὲν προτρεπόμεθα νὰ ἐπευφημοῦμεν οἱ ἄνθρωποι μόνον, ἀλλὰ καὶ οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι καὶ τὰ τάγματα τοῦ οὐρανοῦ καὶ ὅλοι οἱ κάτοικοι τῆς γῆς. «Ἐπευφημεῖτε», μᾶς λέγει, «τὸν Κύριον ὅλα τὰ ἔργα του» [1].

Δὲν εἶναι μικρὰ ὅσα ἐπιτυγχάνονται, ἀλλὰ ξεπερνοῦν κάθε λογικὴν καὶ νοῦν καὶ ἀνθρωπίνην σκέψιν. Αὐτὰ ἀναγγέλλουν καθημερινὰ οἱ προφῆται, ἀνακηρύττοντες διαφορετικὰ ὁ καθένας τὴν λαμπρὰν αὐτὴν νίκην. Ὁ ἕνας λέγει· «Ἀνέβης ὑψηλά, συνέλαβες αἰχμαλώτους καὶ ἐδέχθης προσφορὰς ἀπὸ τοὺς ἀνθρώ-

ματα ἐν ἀνθρώποις»· καί, «Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ». Ὁ δέ φησι, «Τῶν ἰσχυρῶν μεριεῖται τὰ σκῦλα». Καὶ γὰρ διὰ τοῦτο ἦλθεν, ὥστε κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν. Καὶ κατὰ τοῦ θανάτου τὴν ἐπινίκιον ἀλαλάζων φωνὴν ἔλεγε· «Ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον;» Ἕτερος δὲ αὖ πάλιν τὴν βαθυτάτην εἰρήνην εὐαγγελιζόμενος ἔλεγε· «Συντρίψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα». Καὶ ὁ μὲν τὴν Ἰερουσαλὴμ καλεῖ λέγων· «Χαῖρε σφόδρα, θύγατερ Σιών, ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον». Ὁ δὲ καὶ τὴν δευτέραν αὐτοῦ ἀνακηρύττει παρουσίαν, οὕτω λέγων· «Ἥξει Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; Σκιρτήσατε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα». Καὶ ἕτερος πάλιν τοιαῦτα ἐκπληττόμενος ἔλεγεν· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν».

Ἀλλ' ὅμως καὶ τούτων καὶ πολλῷ πλειόνων λεγομένων, δέον φρίττειν καὶ μηδὲ ἐπὶ γῆς νομίζειν εἶναι· ἀλλ' ὡς ἐν ἀγορᾷ μέσῃ θορυβοῦμεν, ταράττομεν, τὰ μηδὲν πρὸς ἡμᾶς ὄντα διαλεγόμενοι ἅπαντα ἀναλίσκομεν τῆς συνάξεως τὸν καιρόν. Ὅταν οὖν καὶ ἐν μικροῖς καὶ ἐν μεγάλοις καὶ ἐν ἀκροάσει καὶ ἐν πράξει καὶ ἔξω καὶ ἔνδον ἐν ἐκκλησίᾳ οὕτως ὦμεν ῥᾴθυμοι καὶ μετὰ τούτων ἁπάντων καὶ κατ' ἐχθρῶν εὐχώμεθα, πόθεν ἕξομεν σωτηρίας ἐλπίδα, τοῖς τοσούτοις ἁμαρτήμασι προσθήκην ἑτέραν χαλεπὴν καὶ τούτων ἀντίρροπον, τὴν παράνομον ταύτην προστιθέντες εὐχήν; Ἔτι οὖν θαυμάζειν δίκαιον, ἂν συμβῇ τι τῶν ἀδοκήτων ἡμῖν καὶ λυπηρῶν, δέον ὅταν μὴ συμβῇ θαυμάζειν;

---

1. Ψαλμ. 67,19
2. Ψαλμ. 23,8
3. Ἠσ. 53,12
4. Α' Κορ. 15,55
5. Ἠσ. 2,4. Ἰωὴλ 3,10

πους» [1]· καί, «Ὁ Κύριος εἶναι κραταιὸς καὶ δυνατὸς εἰς τὸν πόλεμον» [2]. Ὁ ἄλλος λέγει· «Θὰ πάρῃ τὰ λάφυρα ἀπὸ τοὺς δυνατούς» [3]. Διότι διὰ τοῦτο ἦλθε, νὰ κηρύξῃ εἰς τοὺς αἰχμαλώτους τὴν ἀπελευθέρωσιν καὶ εἰς τοὺς τυφλοὺς τὴν ἀνάβλεψιν. Καὶ ψάλλων θριαμβευτικὰ τὸν ἐπινίκιον ὕμνον κατὰ τοῦ θανάτου ἔλεγε· «Ποῦ εἶναι, θάνατε, ἡ νίκη σου; ποῦ εἶναι, ᾍδη, τὸ κεντρί σου;» [4]. Καὶ ἄλλος πάλιν εὐαγγελιζόμενος τὴν ἀπόλυτον εἰρήνην ἔλεγε· «Θὰ ξαναχύσουν τὰ μαχαίρια των εἰς ἄροτρα καὶ τὰ κοντάρια των εἰς δρέπανα» [5]. Καὶ ὁ μὲν καλεῖ τὴν Ἱερουσαλὴμ λέγων· «Χαῖρε ἀπείρως, κόρη Σιών, ἐπειδὴ ὁ βασιλεύς σου ἔρχεται πρὸς σὲ πρᾶος, καθισμένος εἰς ὑποζύγιον καὶ νέον πουλάρι» [6]. Ὁ ἄλλος δὲ ἐξαγγέλλει καὶ τὴν δευτέραν παρουσίαν του λέγων τὰ ἑξῆς· «Θὰ ἔλθῃ ὁ Κύριος, ποὺ σεῖς ζητεῖτε, καὶ ποῖος θὰ ἀνθέξῃ τὴν ἡμέραν τῆς εἰσόδου του; Σκιρτήσατε ὡσὰν τὰ μοσχάρια ποὺ ἠλευθερώθησαν ἀπὸ τὰ δεσμά των» [7]. Καὶ ἄλλος πάλιν ἔλεγε κατάπληκτος· «Αὐτὸς εἶναι ὁ Θεός μας· δὲν θὰ ὑπάρξῃ ἄλλος ἐκτὸς ἀπὸ αὐτόν» [8].

Ὅταν ὅμως λέγωνται αὐτὰ καὶ πολὺ περισσότερα, πρέπει νὰ δοκιμάζωμεν φρίκην καὶ νὰ μὴ νομίζωμεν ὅτι εὑρισκόμεθα εἰς τὴν γῆν· ἀλλὰ ἐμεῖς θορυβοῦμεν ὅπως εἰς τὸ μέσον τῆς ἀγορᾶς καὶ προκαλοῦμεν ταραχὴν καὶ ὁμιλοῦντες διὰ ἀδιάφορα δι' ἡμᾶς πράγματα ἐξοδεύομεν ὅλον τὸν χρόνον τῆς συνάξεώς μας. Ὅταν λοιπὸν καὶ εἰς τὰ μικρὰ καὶ εἰς τὰ μεγάλα καὶ ἀκούοντες καὶ πράττοντες καὶ ἔξω καὶ μέσα εἰς τὴν ἐκκλησίαν εἴμεθα ἔτσι ἀδιάφοροι καὶ μαζὶ μὲ ὅλα αὐτὰ ἐκτοξεύωμεν καὶ κατάρες κατὰ τῶν ἐχθρῶν μας, ἀπὸ ποῦ θὰ λάβωμεν ἐλπίδα σωτηρίας, εἰς τὰ τόσα ἁμαρτήματά μας κάνοντες καὶ ἄλλην βαρεῖαν προσθήκην ἴσην μὲ αὐτά, προσθέτοντες τὴν παράλογον προσευχήν; Ἀκόμη λοιπὸν εἶναι δίκαιον νὰ θαυμάζωμεν, ἂν μᾶς συμβῇ κάτι ἀπροσδόκητον καὶ λυπηρόν, ἐνῷ πρέπει νὰ θαυμάζωμεν ὅταν

---

6. Ζαχ. 9,9
7. Μαλαχ. 3,1 - 2 καὶ 4,2
8. Βαροὺχ 3,36

Ἐκεῖνο μὲν γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας· τοῦτο δὲ ὑπὲρ λόγον πάντα καὶ προσδοκίαν. Καὶ γὰρ ὑπὲρ λόγον, ἐχθροὺς τοῦ Θεοῦ γενομένους καὶ παροργίζοντας αὐτόν, ἀπολαύειν ἡλίου καὶ ὑετῶν καὶ τῶν ἄλλων ἁπάντων, ἀνθρώπους θηρίων ὠμότητα νικῶντας καὶ κατ' ἀλλήλων ἱσταμένους καὶ τοῖς τῶν πλησίον δήγμασι τὴν γλῶτταν αἱμάττοντας, μετὰ τὴν τράπεζαν τὴν πνευματικὴν καὶ τὰς τοσαύτας εὐεργεσίας καὶ τὰ μυρία παραγγέλματα.

Ταῦτ' οὖν ἐννοοῦντες, ἐμέσωμεν τὸν ἰόν, καταλύσωμεν τὰς ἔχθρας καὶ τὰς ἡμῖν πρεπούσας εὐχὰς ποιώμεθα· ἀντὶ δαιμόνων θηριωδίας, ἀγγέλων λάβωμεν ἡμερότητα· καὶ ὅσα ἂν ὦμεν ἠδικημένοι, τὰ ἡμέτερα αὐτῶν ἐννοήσαντες καὶ τὸν ὑπὲρ ταύτης τῆς ἐντολῆς κείμενον ἡμῖν μισθόν, μαλάξωμεν τὴν ὀργήν, καταστείλωμεν τὰ κύματα, ἵνα καὶ τὸν παρόντα βίον ἀταράχως διέλθωμεν καὶ ἀπελθόντες ἐκεῖ τοιούτου τύχωμεν τοῦ Δεσπότου, οἷοι περὶ τοὺς συνδούλους γεγόναμεν. Εἰ δὲ βαρὺ τοῦτο καὶ φοβερόν, ποιήσωμεν αὐτὸ κοῦφον καὶ ποθεινὸν καὶ τὰς τῆς παῤῥησίας τῆς πρὸς αὐτὸν λαμπρὰς ἀνοίξωμεν θύρας· καὶ ὅπερ οὐκ ἰσχύσαμεν ἀνύσαι διὰ τοῦ τῶν ἁμαρτημάτων ἀπέχεσθαι, τοῦτο ἀνύσωμεν διὰ τοῦ γεγενῆσθαι τοῖς ἡμαρτηκόσιν εἰς ἡμᾶς ἥμεροι (οὐδὲ γὰρ βαρὺ τοῦτο, οὐδὲ ἐπαχθές)· καὶ τοὺς ἐχθροὺς εὐεργετοῦντες τοὺς ἡμετέρους, πολὺν ἑαυτοῖς προαποθώμεθα ἔλεον. Οὕτω γὰρ καὶ κατὰ τὸν παρόντα βίον ἅπαντες ἡμᾶς ἀγαπήσουσι καὶ πρὸ τῶν ἄλλων ἁπάντων ὁ Θεὸς καὶ φιλήσει καὶ στεφανώσει καὶ τῶν μελλόντων ἡμᾶς ἀγαθῶν ἀξιώσει πάντων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δὲν μᾶς συμβῇ; Ἐκεῖνο εἶναι συνέπεια τῆς ἀκολουθίας τῶν πραγμάτων, ἐνῷ τοῦτο εἶναι πέρα ἀπὸ κάθε λογικὴν καὶ προσδοκίαν. Διότι πέρα ἀπὸ τὴν λογικήν, ἀφοῦ ἐγίναμεν ἐχθροὶ τοῦ Θεοῦ καὶ τὸν παροργίζομεν, νὰ ἀπολαμβάνωμεν τὸν ἥλιον καὶ τὴν βροχὴν καὶ ὅλα τὰ ἄλλα ἐμεῖς, ἄνθρωποι ποὺ νικοῦμεν τὴν σκληρότητα τῶν θηρίων, ποὺ ὀρθωνόμεθα ἐναντίον τῶν ἄλλων, ποὺ ματώνομεν τὴν γλῶσσαν μας, δαγκώνοντες τοὺς ἄλλους, ἔπειτα ἀπὸ τὸ πνευματικὸν τραπέζι καὶ τὰς τόσας εὐεργεσίας καὶ τὰ ἄπειρα παραγγέλματα.

Ἔχοντες αὐτὰ εἰς τὸν νοῦν μας, ἂς ἀποβάλωμεν τὸ δηλητήριον, ἂς διαλύσωμεν τὰς ἐχθρότητας καὶ ἂς κάνωμεν τὰς προσευχὰς ποὺ μᾶς ἁρμόζουν. Ἀντὶ τῆς θηριωδίας τῶν δαιμόνων, ἄς λάβωμεν τὴν ἡμερότητα τῶν ἀγγέλων· καὶ ὅσαι ἀδικίαι καὶ ἂν μᾶς ἔχουν γίνει, ἀφοῦ φέρωμεν εἰς τὸν νοῦν μας τὰ ἰδικά μας καὶ τὸν μισθὸν ποὺ μᾶς περιμένει μετὰ τὴν ἐκτέλεσιν τῆς ἐντολῆς, ἂς μετριάσωμεν τὴν ὀργήν μας, ἂς καταστείλωμεν τὴν θαλασσοταραχήν, διὰ νὰ περάσωμεν καὶ τὴν παροῦσαν ζωὴν ἀτάραχον καὶ φθάνοντες ἐκεῖ νὰ εὕρωμεν τὸν Δεσπότην, ὅπως ἐφάνημεν εἰς τοὺς συνδούλους μας. Ἂν εἶναι τοῦτο βαρὺ καὶ φοβερόν, ἂς τὸ κάνωμεν ἐλαφρὺ καὶ ἐπιθυμητὸν καὶ ἂς ἀνοίξωμεν τὰς λαμπρὰς πύλας τῆς παρρησίας πρὸς αὐτόν. Καὶ αὐτὸ ποὺ δὲν ἐπετύχαμεν μὲ τὴν ἀποχὴν ἀπὸ τὰ ἁμαρτήματα, θὰ τὸ ἐπιτύχωμεν μὲ τὸ νὰ γίνωμεν ἥμεροι πρὸς αὐτοὺς ποὺ μᾶς ἔπταισαν. (Τοῦτο δὲν εἶναι οὔτε βαρὺ οὔτε δύσκολον). Εὐεργετοῦντες τοὺς ἐχθρούς μας ἂς σοδειάσωμεν πολὺ ἔλεος δι' ἡμᾶς. Διότι ἔτσι καὶ εἰς τὴν ζωὴν αὐτὴν θὰ μᾶς ἀγαπήσουν ὅλοι καὶ περισσότερον ἀπὸ ὅλους ὁ Θεὸς καὶ θὰ μᾶς ἀγαπήσῃ καὶ θὰ μᾶς στεφανώσῃ καὶ θὰ μᾶς ἀξιώσῃ τῶν μελλοντικῶν ἀγαθῶν, τὰ ὁποῖα μακάρι ὅλοι νὰ τὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Κ'.

Ματθ. 6, 16 - 23

«Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί. Ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες».

1. Καλὸν ἐνταῦθα στενάξαι μέγα καὶ ἀνοιμῶξαι πικρόν. Οὐ γὰρ μόνον τοὺς ὑποκριτὰς μιμούμεθα, ἀλλὰ καὶ ἐκείνους παρεληλύθαμεν. Οἶδα γάρ, οἶδα πολλούς, οὐχὶ νηστεύοντας καὶ ἐπιδεικνυμένους μόνον, ἀλλὰ καὶ μὴ νηστεύοντας καὶ τὰ τῶν νηστευόντων προσωπεῖα περικειμένους καὶ ἀπολογίαν χείρονα τῆς ἁμαρτίας προβαλλομένους. Ἵνα γὰρ μὴ σκανδαλίσω, φησί, τοὺς πολλούς, τοῦτο ποιῶ. Τί λέγεις; Νόμος ἐστὶ θεῖος ὁ ταῦτα κελεύων καὶ σκανδάλου μέμνησαι; καὶ φυλάττων μὲν αὐτόν, σκανδαλίζειν νομίζεις, παραβαίνων δέ, ἀπαλλάττειν σκανδάλου; καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν; Οὐ παύσῃ καὶ τῶν ὑποκριτῶν χείρων γινόμενος καὶ διπλῆν τὴν ὑπόκρισιν ἐργαζόμενος; καὶ πολλὴν τῆς κακίας ταύτης τὴν ὑπερβολὴν ἐννοῶν, οὐκ αἰσχυνθήσῃ τῆς λέξεως ταύτης τὴν ἔμφασιν; Οὐδὲ γὰρ εἶπεν, ὅτι ὑποκρίνονται ἁπλῶς, ἀλλὰ καὶ καθάψασθαι μειζόνως βουλόμενος, φησίν· «Ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν», τουτέστι, διαφθείρουσιν, ἀπολλύουσιν. Εἰ δὲ τοῦτο ἀφανισμὸς προσώπου, τὸ πρὸς κενοδοξίαν ὠχρὸν φαίνεσθαι, τί ἂν εἴποιμεν περὶ τῶν ἐπιτρίμμασι καὶ ὑπογραφαῖς διαφθειρουσῶν τὰ πρόσωπα γυναικῶν, ἐπὶ λύμῃ τῶν ἀκολάστων νέων; Ἐκεῖνοι μὲν γὰρ ἑαυτοὺς βλάπτουσι μόνον· αὗται δὲ καὶ ἑαυτὰς καὶ τοὺς

ΟΜΙΛΙΑ Κ'
Ματθ. 6, 16 - 23

«Ὅταν δὲ νηστεύετε μὴ γίνεσθε σκυθρωποί, ὅπως ἀκριβῶς οἱ ὑποκριταί. Διότι αὐτοὶ παραμορφώνουν τὰ πρόσωπά των, διὰ νὰ φανοῦν εἰς τοὺς ἀνθρώπους ὅτι νηστεύουν».

1. Ἁρμόζει νὰ στενάξωμεν ἐδῶ πολὺ καὶ νὰ θρηνήσωμεν πικρά. Δὲν μιμούμεθα μόνον τοὺς ὑποκριτὰς ἀλλὰ καὶ τοὺς ἔχομεν ξεπεράσει. Διότι γνωρίζω, γνωρίζω πολλοὺς ποὺ ὄχι μόνον νηστεύουν καὶ κάνουν ἐπίδειξιν, ἀλλὰ καὶ πολλοὺς ἄλλους ποὺ δὲν νηστεύουν καὶ λαμβάνουν ἐν τούτοις τὸ ὕφος ἀνθρώπων ποὺ νηστεύουν καὶ κάνουν ἔτσι ἀπολογίαν χειροτέραν ἀπὸ τὴν ἁμαρτίαν. Διὰ νὰ μὴ σκανδαλίσω, λέγει, τοὺς πολλοὺς τὸ κάνω αὐτό. Μὰ τί εἶναι αὐτὸ ποὺ λέγεις; Εἶναι ὁ νόμος τοῦ Θεοῦ ποὺ τὰ ὁρίζει αὐτὰ καὶ ἐνεθυμήθης τὸ σκάνδαλον; Καὶ νομίζεις ὅτι σκανδαλίζεις, ὅταν τὸν τηρῇς καὶ ἀποσοβεῖς τὸ σκάνδαλον, ὅταν τὸν παραβαίνῃς; Ἠμπορεῖ νὰ ὑπάρξῃ χειροτέρα ἀνοησία ἀπὸ αὐτήν; Δὲν θὰ σταματήσῃς νὰ γίνεσαι χειρότερος καὶ ἀπὸ τοὺς ὑποκριτὰς καὶ νὰ διπλασιάζῃς τὴν ὑποκρισίαν κατανοῶν τὴν μεγάλην ὑπερβολὴν τῆς κακίας αὐτῆς, δὲν θὰ ἐντραπῇς τὴν ἔμφασιν τῆς διατυπώσεως; Δὲν εἶπε μόνον ὅτι ὑποκρίνονται, ἀλλὰ ἐπειδὴ ἤθελε νὰ τοὺς θίξῃ περισσότερον λέγει· «Ἀφανίζουν τὰ πρόσωπά των», τὰ χαλοῦν δηλαδή, τὰ καταστρέφουν. Καὶ ἂν τοῦτο λέγεται ἀφανισμὸς τοῦ προσώπου, τὸ νὰ φαίνεται ὠχρὸν διὰ λόγους κενοδοξίας, τί θὰ ἠμπορούσαμεν νὰ εἴπουμεν διὰ τὰς γυναῖκας ἐκείνας ποὺ παραμορφώνουν μὲ σκόνες καὶ βαφὲς τὰ πρόσωπά των πρὸς καταστροφὴν τῶν ἀκολάστων νέων; Διότι ἐκεῖνοι τὸν ἑαυτόν των μόνον βλάπτουν, ἐνῷ αὐταὶ καὶ τὸν ἑαυτόν των καὶ ὅσους τὰς

ὁρῶντας. Διὸ χρὴ καὶ ταύτην κἀκείνην φεύγειν τὴν λύμην ἐκ πολλοῦ τοῦ περιόντος.

Οὐδὲ γὰρ μόνον μὴ ἐπιδείκνυσθαι, ἀλλὰ καὶ σπουδάζειν λανθάνειν ἐκέλευσεν· ὅπερ καὶ ἔμπροσθεν ἐποίησε. Καὶ ἐπὶ μὲν τῆς ἐλεημοσύνης οὐχ ἁπλῶς αὐτὸ τέθεικεν, ἀλλ' εἰπών, «Προσέχετε μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων», προσέθηκε, «πρὸς τὸ θεαθῆναι αὐτοῖς»· ἐπὶ δὲ τῆς νηστείας καὶ τῆς εὐχῆς οὐδὲν τοιοῦτον διώρισε. Τί δήποτε; Ὅτι ἐλεημοσύνην μὲν ἀδύνατον πάντῃ λαθεῖν· εὐχὴν δὲ καὶ νηστείαν, δυνατόν. Ὥσπερ οὖν εἰπών, «Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου», οὐ περὶ χειρῶν ἔλεγεν, ἀλλὰ περὶ τοῦ δεῖν μετὰ ἀκριβείας ἅπαντας λανθάνειν· καὶ κελεύσας εἰς τὸ ταμιεῖον εἰσιέναι, οὐ πάντως, οὐδὲ προηγουμένως ἐκεῖ μόνον ἐπέταξεν εὔχεσθαι, ἀλλὰ τὸ αὐτὸ πάλιν ᾐνίξατο· οὕτω καὶ ἐνταῦθα ἀλείφεσθαι κελεύσας, οὐχ ἵνα ἀλειφώμεθα πάντως ἐνομοθέτησεν· ἐπεὶ πάντες εὑρεθησόμεθα τὸν νόμον παραβαίνοντες τοῦτον καὶ πρό γε πάντων οἱ μάλιστα αὐτὸν φυλάττειν ἐσπουδακότες, οἱ τῶν μοναχῶν δῆμοι, οἱ τὰ ὄρη κατειληφότες.

Οὐ τοίνυν τοῦτο ἐπέταξεν· ἀλλ' ἐπειδὴ τοῖς παλαιοῖς ἔθος ἀλείφεσθαι συνεχῶς ἦν εὐφραινομένοις καὶ χαίρουσι—καὶ τοῦτο ἀπὸ τοῦ Δαυῒδ καὶ ἀπὸ τοῦ Δανιὴλ ἄν τις κατίδοι σαφῶς—, εἶπεν ἀλείφεσθαι, οὐχ ἵνα πάντως τοῦτο ποιῶμεν, ἀλλ' ἵνα διὰ πάντων σπουδάζωμεν μετὰ ἀκριβείας πολλῆς κρύπτειν τὸ κτῆμα τοῦτο. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, αὐτὸς τοῦτο, ὅπερ διὰ τῶν λόγων ἐπέταξε, διὰ τῶν ἔργων ἐπιδειξάμενος καὶ νηστεύσας τεσσαράκοντα ἡμέρας καὶ μετὰ τοῦ λαθεῖν νηστεύσας, οὔτε ἠλείψατο, οὔτε ἐνίψατο· ἀλλ' ὅμως καὶ ταῦτα μὴ ποιήσας, μάλιστα πάντων χωρὶς κενοδοξίας τὸ πᾶν ἤνυσεν. Ὃ δὴ καὶ ἡμῖν ἐπιτάττει καὶ τοὺς ὑποκριτὰς εἰς μέσον ἀγαγὼν καὶ διπλῇ

βλέπουν. Πρέπει καὶ τὴν μίαν καὶ τὴν ἄλλην βλάβην ν' ἀποφεύγωμεν μὲ ὅλην τὴν δύναμίν μας.

Μᾶς ἔχει δώσει ἐντολὴν ὄχι μόνον νὰ μὴ ἐπιδεικνυώμεθα ἀλλὰ καὶ νὰ προσπαθοῦμεν νὰ παραμένωμεν ἀπαρατήρητοι, πρᾶγμα ποὺ ἔκαμε καὶ προηγουμένως. Καὶ εἰς μὲν τὴν περίπτωσιν τῆς ἐλεημοσύνης δὲν τὸ ἔθεσεν ἁπλᾶ, ἀλλὰ ὅταν εἶπε· «Προσέχετε νὰ μὴ τὴν πράττετε μπροστὰ εἰς τοὺς ἀνθρώπους», ἐπρόσθεσε, «διὰ νὰ σᾶς ἰδοῦν». Εἰς τὴν περίπτωσιν δὲ τῆς νηστείας καὶ τῆς προσευχῆς δὲν ὥρισε τίποτα τέτοιο. Διατί τάχα; Ἐπειδὴ ἡ ἐλεημοσύνη εἶναι ἀδύνατον νὰ κρυφθῇ ὁλότελα, εἶναι ὅμως δυνατὸν νὰ κρυφθῇ ἡ προσευχὴ καὶ ἡ νηστεία. Ὅπως λοιπὸν ὅταν εἶπε· «Νὰ μὴ γνωρίζῃ τὸ ἀριστερὸν χέρι τί πράττει τὸ δεξιόν», δὲν ἐννοοῦσε τὰ χέρια, ἀλλὰ ὅτι πρέπει μὲ προσοχὴν νὰ περνᾷς ἀπαρατήρητος ἀπὸ ὅλους. Καὶ ὅταν συνεβούλευσε νὰ ἀποσυρώμεθα εἰς τὴν ἀποθήκην μας, δὲν ὥρισεν ἐξάπαντος ἢ κυρίως ἐκεῖ μόνον νὰ προσευχώμεθα, ἀλλὰ ὑπονοοῦσε πάλιν τὸ ἴδιο. Ἔτσι καὶ ἐδῶ, ἡ διαταγή του νὰ ἀλειφώμεθα δὲν ἔχει τὸ νόημα ν' ἀλειφώμεθα ὁπωσδήποτε. Διότι τότε θὰ εὑρεθοῦμεν ὅλοι ὅτι παραβαίνομεν αὐτὸν τὸν νόμον καὶ περισσότερον ἀπὸ ὅλους αὐτοὶ ποὺ ἔκαμαν κύριον ἔργον των τὴν φύλαξίν του, αἱ κοινότητες τῶν μοναχῶν ποὺ ἔπιασαν τὰ βουνά.

Δὲν ὥρισε λοιπὸν τοῦτο. Ἀλλ' ἐπειδὴ οἱ παλαιοὶ συνήθιζαν νὰ ἀλείφωνται εἰς κάθε εὐχάριστον καὶ χαρούμενον γεγονὸς - καὶ τοῦτο ἠμπορεῖ νὰ τὸ διαπιστώσῃ κανεὶς καὶ εἰς τὴν ἐποχὴν τοῦ Δαυὶδ καὶ τοῦ Δανιὴλ - εἶπε νὰ ἀλειφώμεθα καὶ ἐμεῖς ὄχι διὰ νὰ τὸ κάνωμεν τοῦτο ἐξάπαντος, ἀλλὰ νὰ φροντίζωμεν μὲ κάθε τρόπον καὶ πολλὴν προσοχὴν νὰ κρύπτωμεν τὸ πρᾶγμα αὐτό. Καὶ διὰ νὰ μάθῃς ὅτι ἔτσι εἶναι ὅταν ἐκεῖνος παρουσίασεν εἰς τὴν πρᾶξιν, αὐτὸ ποὺ ὥρισε μὲ τὸν λόγον, καὶ ἐνήστευσεν ἐπὶ σαράντα ἡμέρας, παραμένων ἀπαρατήρητος, οὔτε ἠλείφθη οὔτε ἐπλύθη. Ὡστόσο καὶ χωρὶς νὰ τὰ κάμῃ αὐτὰ ἔφερεν εἰς τέλος τὴν ἄσκησίν του περισσότερον ἀκενόδοξα ἀπὸ κάθε ἄλλον. Αὐτὸ ἀκριβῶς ὁρίζει καὶ εἰς ἐμᾶς καὶ μὲ τὸ νὰ φέρῃ τοὺς ὑποκριτὰς εἰς τὴν μέσην καὶ μὲ τὸ ἀποτρέψῃ μὲ διπλοῦν παράγ-

παραγγελίᾳ τοὺς ἀκούοντας ἀποτρέψας. Καὶ ἕτερόν τι διὰ τῆς προσηγορίας ταύτης ᾐνίξατο, τῆς τῶν ὑποκριτῶν λέγω. Οὐ γὰρ μόνον τῷ τὸ πρᾶγμα εἶναι καταγέλαστον, οὐδὲ τῷ ζημίαν ἔχειν ἐσχάτην, ἀλλὰ καὶ τῷ πρόσκαιρον δεῖξαι τὴν τοιαύτην ἀπάτην, ἀπάγει τῆς πονηρᾶς ἐπιθυμίας. Ὁ γὰρ ὑποκριτὴς μέχρι τότε φαίνεται λαμπρός, ἕως ἂν τὸ θέατρον κάθηται· μᾶλλον δὲ οὐδὲ τότε παρὰ πᾶσιν. Ἴσασι γὰρ οἱ πλείους τῶν θεωμένων, τίς ὢν τίνα ὑποκρίνεται. Πλὴν ἀλλὰ τοῦ θεάτρου λυθέντος, σαφέστερον ἅπασιν ἐκκαλύπτεται. Τοῦτο τοίνυν καὶ τοὺς κενοδόξους ὑπομένειν ἀνάγκη πᾶσα. Καὶ ἐνταῦθα μὲν γὰρ τοῖς πλείοσίν εἰσι κατάδηλοι, ὅτι οὐκ εἰσὶ τοῦτο ὅπερ φαίνονται, ἀλλὰ προσωπεῖον περίκεινται μόνον· πολλῷ δὲ πλέον μετὰ ταῦτα ἁλώσονται, ὅτε πάντα γυμνὰ καὶ τετραχηλισμένα φαίνεται.

Καὶ ἑτέρωθεν δὲ πάλιν αὐτοὺς ἀπάγει τῶν ὑποκριτῶν, τῷ δεῖξαι κοῦφον τὸ ἐπίταγμα ὄν. Οὐ γὰρ τὴν νηστείαν ἐπιτείνει, οὐδὲ μείζονα ἐπιδείξασθαι κελεύει, ἀλλὰ μὴ τὸν ἐξ αὐτῆς ἀπολέσαι στέφανον. Ὥστε ὃ μὲν δοκεῖ φορτικὸν εἶναι, κοινὸν ἡμῖν καὶ τοῖς ὑποκριταῖς· νηστεύουσι γὰρ κἀκεῖνοι· ὃ δέ ἐστι κουφότατον, τὸ καμόντας μὴ ἀπολέσαι τὸν μισθόν, τοῦτό ἐστιν ὃ κελεύω, φησί· τοῖς μὲν πόνοις οὐδὲν προστιθείς, τοὺς δὲ μισθοὺς ἡμῖν συνάγων μετὰ ἀσφαλείας ἁπάσης καὶ οὐκ ἀφιεὶς ἀστεφανώτους ἀπελθεῖν, καθάπερ ἐκείνους. Καὶ οὐδὲ τοὺς ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι παλαίοντας μιμεῖσθαι ἐθέλουσιν, οἵ, τοσούτου καθημένου δήμου καὶ ἀρχόντων τοσούτων, ἑνὶ βούλονται ἀρέσαι τῷ βραβεύοντι τὴν νίκην αὐτοῖς, καίτοι πολλῷ ὄντι καταδεεστέρῳ· σὺ δὲ διπλῆν ἔχων τὴν ἀφορμὴν τοῦ τὴν νίκην ἐπιδείκνυσθαι ἐκείνῳ, τῷ καὶ αὐτὸν εἶναι τὸν βραβεύοντα καὶ τῷ πάντων ἀσυγκρίτως ὑπερέχειν τῶν ἐν τῷ θεάτρῳ καθημένων, ἑτέροις

γελμα τοὺς ἀκροατάς του. Καὶ κάτι ἄλλο μᾶς ἀφήνει νὰ ἐννοήσωμεν μὲ τὸ ὄνομα 'ὑποκριταί'. Ὄχι δηλαδὴ μόνον μὲ τὸ ὅτι τὸ πρᾶγμα εἶναι καταγέλαστον καὶ προκαλεῖ ζημίαν ἐξαιρετικήν, ἀλλὰ καὶ μὲ τὸ νὰ παρουσιάσῃ ὡς ἐφήμερον τὴν ἀπάτην αὐτήν, μᾶς ἐμποδίζει ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν. Διότι ὁ ὑποκριτὴς ἕως τότε φαίνεται λαμπρός, ἕως ὅτου τὸν παρακολουθοῦν οἱ θεαταί· μᾶλλον οὔτε καὶ τότε δὲν ἔχουν ὅλοι τὴν ἰδίαν γνώμην, ἐπειδὴ γνωρίζουν οἱ περισσότεροι ποῖος εἶναι καὶ ποῖον ὑποκρίνεται. Ὅταν ὅμως τελειώσῃ ἡ παράστασις, φανερώνεται εἰς ὅλους ὁλοκάθαρα. Τοῦτο λοιπὸν ἀνάγκη πᾶσα νὰ τὸ ὑπομείνουν καὶ οἱ κενόδοξοι. Καὶ εἶναι ἐδῶ φανερὸν εἰς τοὺς περισσοτέρους ὅτι αὐτοὶ δὲν εἶναι ὅ,τι φαίνονται ἀλλὰ φοροῦν ἕνα προσωπεῖον μόνον. Θὰ συλληφθοῦν πολὺ περισσότερον μετὰ τὴν ζωὴν αὐτήν, ὁπότε παρουσιάζονται ὅλα γυμνὰ καὶ ξεσκέπαστα.

Καὶ μὲ ἄλλον τρόπον πάλιν τοὺς ἀπομακρύνει ἀπὸ τοὺς ὑποκριτάς, παρουσιάζων τὴν ἐντολήν του ὅτι εἶναι ἐλαφρά. Δὲν κάνει αὐστηροτέραν τὴν νηστείαν, οὔτε διατάζει νὰ τὴν παρουσιάσωμεν μεγαλυτέραν, ἀλλὰ νὰ μὴ χάσωμεν τὸν στέφανον ἀπὸ αὐτήν. Ὥστε αὐτὸ ποὺ φαίνεται βαρὺ εἶναι κοινὸν καὶ δι' ἡμᾶς καὶ διὰ τοὺς ὑποκριτάς, ἐπειδὴ νηστεύουν καὶ αὐτοί. Ἐκεῖνο ὅμως ποὺ εἶναι ἐλαφρότερον, τὸ νὰ μὴ χάσωμεν τὸν μισθὸν ἐπειδὴ ἐκουράσθημεν, αὐτὸ εἶναι, μᾶς λέγει, ποὺ ὁρίζω. Δὲν προσθέτει τίποτε εἰς τὸν κόπον μας, ἐξασφαλίζει ὅμως πρὸς χάριν μας τοὺς μισθούς μας καὶ δὲν ἀφήνει νὰ φύγωμεν ἀστεφάνωτοι ὅπως ἐκεῖνοι. Οὔτε θέλουν νὰ μιμηθοῦν αὐτοὺς ποὺ ἀγωνίζονται εἰς τοὺς Ὀλυμπιακοὺς ἀγῶνας, οἱ ὁποῖοι, παρόλον ὅτι τοὺς παρακολουθεῖ τόσον πλῆθος καὶ τόσοι ἄρχοντες, ἕνα μόνον ἐπιδιώκουν νὰ ἱκανοποιήσουν, αὐτὸν ποὺ θὰ βραβεύσῃ τὴν νίκην των, καὶ ἂς εἶναι πολὺ κατώτερος. Καὶ σὺ ποὺ ἔχεις διπλῆν αἰτίαν νὰ παρουσιάσῃς εἰς ἐκεῖνον τὴν νίκην σου, διότι καὶ ὁ βραβευτὴς εἶναι αὐτὸς καὶ ἀσύγκριτα ὑπερέχει ἀπὸ ὅλους ὅσοι κάθονται εἰς τὸ θέατρον, κάνεις ἐπίδειξιν τῆς ἀρετῆς σου εἰς

ἐπιδείκνυσαι τοῖς οὐ μόνον οὐδὲν ὠφελοῦσιν, ἀλλὰ καὶ τὰ μέγιστά σε παραβλάπτουσι.

2. Πλὴν οὐδὲ τοῦτο κωλύω, φησίν. Εἰ δὲ καὶ ἀνθρώποις ἐπιδείξασθαι βούλει, ἀνάμεινον, καὶ ἐγώ σοι καὶ τοῦτο μετὰ πλείονος παρέξομαι τῆς περιουσίας καὶ πολλοῦ τοῦ κέρδους. Νῦν μὲν γάρ σε ἀποῤῥήγνυσι τῆς πρός με δόξης τοῦτο, ὥσπερ οὖν συγκολλᾷ τὸ τούτων ὑπερορᾶν· τότε δὲ πάντων ἀπολαύσῃ μετὰ ἀδείας ἁπάσης, οὐ μικρὸν καὶ πρὸ ἐκείνων καὶ ἐνταῦθα καρπωσόμενος, τὸ πᾶσαν καταπατῆσαι τὴν ἀνθρωπίνην δόξαν καὶ τῆς χαλεπῆς τῶν ἀνθρώπων ἐλευθερωθῆναι δουλείας καὶ γνήσιον γενέσθαι τῆς ἀρετῆς ἐργάτην. Ὡς νῦν γε οὕτω διακείμενος, ἂν ἐν ἐρημίᾳ γένῃ, πάσης ἔρημος ἔσῃ τῆς ἀρετῆς, οὐκ ἔχων τοὺς θεωροῦντας. Ὃ καὶ αὐτὴν ὑβρίζοντός ἐστι τὴν ἀρετήν, εἴγε μὴ δι' αὐτήν, ἀλλὰ διὰ τὸν σχοινοστρόφον καὶ τὸν χαλκοτύπον καὶ τὸν πολὺν τῶν ἀγοραίων δῆμον μέλλοις αὐτὴν μετιέναι, ἵνα καὶ οἱ κακοὶ καὶ οἱ πόῤῥω ταύτης ὄντες σε θαυμάσωσι· καὶ τοὺς ἐχθροὺς αὐτῆς καλεῖς ἐπὶ τὴν ἐπίδειξιν αὐτῆς καὶ τὴν θεωρίαν· ὥσπερ ἂν εἴ τις σωφρονεῖν ἕλοιτο, μὴ διὰ τὸ τῆς σωφροσύνης καλόν, ἀλλ' ἵνα ἐπιδείξηται τοῖς ἡταιρηκόσι. Καὶ σὺ τοίνυν οὐκ ἂν εἵλου τὴν ἀρετήν, εἰ μὴ διὰ τοὺς ἐχθροὺς τῆς ἀρετῆς· δέον αὐτὴν καὶ ἐντεῦθεν θαυμάσαι, ὅτι καὶ τοὺς ἐχθροὺς ἐπαινέτας ἔχει· θαυμάσαι δέ, ὡς χρή, μὴ δι' ἑτέρους, ἀλλὰ δι' αὐτήν. Ἐπεὶ καὶ ἡμεῖς, ὅταν μὴ δι' ἑαυτούς, ἀλλὰ δι' ἑτέρους φιλώμεθα, ὕβριν τὸ πρᾶγμα νομίζομεν.

Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἀρετῆς λογίζου· καὶ μήτε δι' ἑτέρους αὐτὴν δίωκε, μήτε δι' ἀνθρώπους ὑπάκουε τῷ Θεῷ, ἀλλὰ διὰ τὸν Θεὸν ἀνθρώποις· ὡς ἂν τὸ ἐναντίον ποιῇς, κἂν μετιέναι δοκῇς ἀρετήν, ὁμοίως τῷ μὴ μετιόντι παρώξυνας. Ὥσπερ γὰρ ἐκεῖνος τῷ μὴ ποιῆσαι παρήκουσεν, οὕτω καὶ σὺ τῷ παρανόμως ποιῆσαι.

ἄλλους ποὺ ὄχι μόνον δὲν σὲ ὠφελοῦν ἀλλὰ καὶ σοῦ προξενοῦν ὑπερβολικὴν ζημίαν.

2. Ἀλλά, λέγει, καὶ τοῦτο δὲν σοῦ τὸ ἀποκλείω. Ἂν θέλῃς νὰ ἐπιδειχθῇς καὶ εἰς τοὺς ἀνθρώπους, περίμενε, καὶ ἐγὼ θὰ σοῦ τὸ παραχωρήσω καὶ τοῦτο πιὸ ἁπλόχερα καὶ μὲ περισσότερον κέρδος. Σὲ ἀποσπᾷ τώρα αὐτὸ ἀπὸ τὴν δόξαν μου, ὅπως σὲ συνδέει ἡ περιφρόνησις τούτων. Τότε θὰ τὰ ἀπολαύσῃς ὅλα μὲ κάθε ἐλευθερίαν. Ἀλλὰ καὶ πρὶν ἀπὸ αὐτὰ δὲν θὰ εἶναι μικρὴ ἡ ὠφέλειά σου καὶ ἐδῶ νὰ καταπατήσῃς ὅλην τὴν δόξαν τῶν ἀνθρώπων, νὰ ἐλευθερωθῇς ἀπὸ τὴν βαρεῖαν ἀνθρωπίνην δουλείαν καὶ νὰ γίνῃς γνήσιος ἐργάτης τῆς ἀρετῆς. Ἐπειδὴ μὲ τέτοιου εἴδους ἀντιλήψεις, ἂν εὑρεθῇς εἰς τὴν ἔρημον, θὰ γίνῃς ἔρημος ἀπὸ κάθε ἀρετήν, ἀφοῦ δὲν θὰ ἔχῃς θεατάς. Τοῦτο ὅμως τὸ κάνει ἕνας ποὺ ὑβρίζει τὴν ἰδίαν τὴν ἀρετήν, ἂν ὄχι δι' αὐτήν, ἀλλὰ πρόκειται νὰ τὴν ἀσκήσῃς διὰ τὸν σχοινοπλέχτην καὶ τὸν σιδηρουργὸν καὶ τὸ πλῆθος τῶν ἀνθρώπων τῆς ἀγορᾶς, διὰ νὰ σὲ θαυμάσουν οἱ κακοὶ καὶ οἱ ἀπομακρυσμένοι ἀπὸ αὐτήν. Καὶ καλεῖς τοὺς ἐχθρούς της νὰ σὲ ἰδοῦν καὶ νὰ σὲ θαυμάσουν. Εἶναι τὸ ἴδιο νὰ προτιμᾷ κανεὶς τὴν σωφροσύνην ὄχι διὰ τὴν ἀξίαν τῆς σωφροσύνης ἀλλὰ διὰ νὰ τὴν ἐπιδείξῃ εἰς ὅσου ζοῦν διὰ ἑταίρας. Καὶ σὺ λοιπὸν δὲν θὰ ἐπροτιμοῦσες τὴν ἀρετήν, παρὰ μόνον διὰ τοὺς ἐχθρούς της. Ἀξίζει καὶ ἀπὸ τοῦτο νὰ τὴν θαυμάσῃ κανείς, ἐπειδὴ τὴν ἐπαινοῦν καὶ οἱ ἐχθροί της. Πρέπει ὅμως νὰ τὴ θαυμάζωμεν ὄχι διὰ τοὺς ἄλλους, ἀλλὰ δι' αὐτὴν τὴν ἰδίαν. Ἐπειδὴ καὶ ἐμεῖς θεωροῦμεν προσβολὴν νὰ μὴ μᾶς ἀγαποῦν διὰ τὸν ἑαυτόν μας ἀλλὰ χάρις εἰς τοὺς ἄλλους.

Νὰ σκέπτεσαι τὸ ἴδιο καὶ διὰ τὴν ἀρετήν. Μὴ τὴν ἐπιδιώκῃς πρὸς χάριν τῶν ἄλλων μήτε νὰ ὑπακούῃς εἰς τὸν Θεὸν χάριν τῶν ἀνθρώπων, ἀλλὰ εἰς τοὺς ἀνθρώπους χάριν τοῦ Θεοῦ. Ἂν κάνῃς τὸ ἀντίθετον, ἀκόμη καὶ ἂν νομίζῃς ὅτι ἐπιδιώκεις τὴν ἀρετήν, τὸν ἐρεθίζεις ὅμοια μ' ἐκεῖνον ποὺ δὲν τὴν ἐπιδιώκει. Διότι ὅπως ἐκεῖνος παρήκουσε μὲ τὸ νὰ μὴ πράξῃ, ἔτσι καὶ σὺ μὲ τὸ νὰ πράξῃς παρανόμως.

«Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς».

Ἐπειδὴ γὰρ τὸ τῆς κενοδοξίας ἐξέβαλε νόσημα, εὐκαίρως λοιπὸν καὶ τὸν περὶ ἀκτημοσύνης εἰσάγει λόγον. Οὐδὲν γὰρ οὕτω χρημάτων ἐρᾶν παρασκευάζει, ὡς ὁ τῆς δόξης ἔρως. Διὰ γοῦν τοῦτο καὶ τὰς τῶν ἀνδραπόδων ἀγέλας καὶ τὸν ἐσμὸν τῶν εὐνούχων καὶ τοὺς χρυσοφοροῦντας ἵππους καὶ τὰς ἀργυρᾶς τραπέζας καὶ τὰ ἄλλα τὰ καταγελαστότερα ἐπινοοῦσιν ἄνθρωποι· οὐχ ἵνα χρείαν πληρώσωσιν, οὐδ' ἵνα ἡδονῆς ἀπολαύσωσιν, ἀλλ' ἵνα τοῖς πολλοῖς ἐπιδείξωνται.

Ἀνωτέρω μὲν οὖν, ὅτι ἐλεεῖν δεῖ μόνον ἔλεγεν· ἐνταῦθα δὲ καὶ πόσον ἐλεεῖν χρὴ δείκνυσιν, εἰπών, «Μὴ θησαυρίζετε». Ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἐξ ἀρχῆς ἀθρόον τὸν περὶ τῆς ὑπεροψίας τῶν χρημάτων εἰσαγαγεῖν λόγον διὰ τὴν τυραννίδα τοῦ πάθους, κατὰ μικρὸν αὐτὸν διατεμὼν καὶ ἐλευθερώσας, ἐνίησιν ἐν τῇ τῶν ἀκροατῶν διανοίᾳ, ὥστε εὐπαράδεκτον γενέσθαι. Διὰ δὴ τοῦτο πρῶτον μὲν ἔλεγε, «Μακάριοι οἱ ἐλεήμονες»· μετὰ δὲ τοῦτο, «Ἴσθι εὐνοῶν τῷν ἀντιδίκῳ σου»· καὶ μετ' ἐκεῖνο πάλιν, «Ἐάν τίς σοι θέλῃ κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, δὸς αὐτῷ καὶ τὸ ἱμάτιον»· ἐνταῦθα δὲ τὸ πολλῷ μεῖζον πάντων ἐκείνων. Ἐκεῖ μὲν γὰρ εἶπεν, ὅτι Ἂν δίκην ἐπικειμένην ἴδῃς, τοῦτο ποίησον· τοῦ γὰρ μάχεσθαι ἔχοντα βέλτιον τὸ μὴ ἔχοντα ἀπηλλάχθαι μάχης. Ἐνταῦθα δὲ οὔτε ἀντίδικον, οὔτε τὸν κρινόμενον θείς, οὔτε ἄλλου οὐδενὸς τοιούτου μνημονεύσας, αὐτὴν καθ' ἑαυτὴν διδάσκει τὴν τῶν χρημάτων ὑπεροψίαν, δεικνὺς ὅτι οὐ διὰ τοὺς ἐλεουμένους τοσοῦτον, ὅσον διὰ τὸν διδόντα ταῦτα νομοθετεῖ· ἵνα κἂν μηδεὶς ᾖ ὁ ἀδικῶν καὶ ἕλκων εἰς δικαστή-

1. Ματθ. 5,7
2. Ματθ. 5,25
3. Ματθ. 5,40

«Μὴ θησαυρίζετε διὰ τὸν ἑαυτόν σας θησαυροὺς ἐπάνω εἰς τὴν γῆν».

Ἀφοῦ ἔβγαλεν ἀπὸ τὴν ψυχήν μας τὸ νόσημα τῆς κενοδοξίας, ἀρχίζει εἰς τὴν κατάλληλην ὥραν καὶ τὸν λόγον περὶ ἀκτημοσύνης. Τίποτε δὲν προετοιμάζει τόσον τὸν ἄνθρωπον εἰς τὴν ἀγάπην τῶν χρημάτων, ὅσον ὁ ἔρως τῆς δόξης. Διὰ τὴν δόξαν οἱ ἄνθρωποι ἐφευρίσκουν τὰ κοπάδια τῶν δούλων, τὸ πλῆθος τῶν εὐνούχων, τὰ χρυσοστόλιστα ἄλογα καὶ τὰς ἀργυρὰς τραπέζας καὶ τὰ ἄλλα ποὺ εἶναι περισσότερον καταγέλαστα. Ὄχι βέβαια διὰ νὰ ἱκανοποιήσουν κάποιαν ἀνάγκην, οὔτε διὰ νὰ ἀπολαύσουν κάποιαν ἡδονήν, ἀλλὰ διὰ νὰ ἐπιδειχθοῦν εἰς τοὺς πολλούς.

Πιὸ ἐπάνω βέβαια περιωρίζετο νὰ ὁρίσῃ ὅτι πρέπει νὰ ἐλεοῦμεν. Ἐδῶ μᾶς ὑποδεικνύει καὶ πόσον πρέπει νὰ ἐλεοῦμεν λέγων· «Μὴ θησαυρίζετε». Ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ παρουσιάσῃ ἀπὸ τὴν ἀρχὴν ὅλον μαζὶ τὸν λόγον διὰ τὴν περιφρόνησιν τῶν χρημάτων, καθόσον εἶναι τυραννικὴ ἡ κυριαρχία τοῦ πάθους, ἀφοῦ τὸν ἐχώρισεν εἰς μέρη καὶ τὸν ἠλευθέρωσεν ἀπὸ αὐτήν, τὸν σταλάζει εἰς τὴν ψυχὴν τῶν ἀκροατῶν του, ὥστε νὰ γίνῃ εὔκολα παραδεκτός. Διὰ τοῦτο ἔλεγε πρῶτα, «Μακάριοι οἱ ἐλεήμονες» [1], καὶ ἔπειτα, «Δεῖξε συμπάθειαν εἰς τὸν ἀντίδικόν σου» [2]. Καὶ εἰς τὴν συνέχειαν· «Ἂν θέλῃ κάποιος νὰ ὑπάγετε εἰς τὸ δικαστήριον καὶ νὰ σοῦ πάρῃ τὸν χιτῶνα, νὰ τοῦ δώσῃς καὶ τὸ ἱμάτιον» [3]. Ἐδῶ ὅμως εἶπε τὸ μεγαλύτερον ἀπὸ ὅλα. Ἐκεῖ εἶχεν εἰπεῖ· «Ἂν ἰδῇς νὰ πλησιάζῃ δικαστικὸς ἀγών, νὰ κάνῃς τοῦτο· ἀντὶ νὰ τὸ κρατήσῃς μὲ φιλονεικίαν καλύτερα νὰ ἀποφύγῃς τὴν διαμάχην καὶ ἂς μὴ τὸ ἔχῃς. Ἀλλὰ ἐδῶ χωρὶς νὰ παρουσιάζῃ οὔτε ἀντίδικον οὔτε κατηγορούμενον οὔτε νὰ μνημονεύῃ κάποιον ἄλλον σχετικόν, μᾶς συμβουλεύει τὴν ἰδίαν τὴν περιφρόνησιν τῶν χρημάτων, καὶ μᾶς δείχνει ὅτι θέτει αὐτὸν τὸν νόμον ὄχι τόσον δι' αὐτοὺς ποὺ εὐεργετοῦνται, ὅσον δι' αὐτὸν ποὺ εὐεργετεῖ. Ὥστε καὶ ἂν δὲν ὑπάρχῃ κανεὶς νὰ μᾶς ἀδικῇ ἢ νὰ μᾶς σέρνῃ εἰς τὸ δικαστήριον,

ριον καὶ οὕτω καταφρονῶμεν τῶν ὄντων, παρέχοντες αὐτὰ τοῖς δεομένοις.

Καὶ οὐδὲ ἐνταῦθα τὸ ὅλον τέθεικεν, ἀλλὰ καὶ ἐνταῦθα ἠρέμα, καίτοιγε τοὺς ἀγῶνας τοὺς περὶ τούτων μετὰ πολλῆς ἐν τῇ ἐρήμῳ τῆς ὑπερβολῆς ἐπιδειξάμενος. Ἀλλ' ὅμως οὐ τίθησι τοῦτο, οὐδὲ εἰς μέσον ἄγει· οὐδέπω γὰρ ἐκκαλύψαι καιρὸς ἦν· ἀλλὰ λογισμοὺς ἐξετάζει τέως, συμβούλου μᾶλλον ἢ νομοθέτου τάξιν ἐν τοῖς περὶ τούτων φυλάττων λόγοις. Εἰπὼν γάρ, «Μὴ θησαυρίζετε ἐπὶ τῆς γῆς», ἐπήγαγεν· «Ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύττουσι καὶ κλέπτουσι». Τέως δείκνυσι τοῦ ἐνταῦθα θησαυροῦ τὴν βλάβην καὶ τοῦ ἐκεῖ τὴν ὠφέλειαν καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τῶν λυμαινομένων. Καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ ἕτερον ἐπάγει λογισμόν. Καὶ πρῶτον, ἀφ' ὧν μάλιστα δεδοίκασιν, ἀπὸ τούτων αὐτοὺς προτρέπει. Τί γὰρ δέδοικας; φησί· μὴ ἀναλωθῇ τὰ χρήματα, ἐὰν ἐλεημοσύνην δῷς; Οὐκοῦν δὸς ἐλεημοσύνην καὶ τότε οὐκ ἀναλωθήσεται· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐ μόνον οὐκ ἀναλωθήσεται, ἀλλ' ὅτι καὶ προσθήκην λήψεται πλείονα· καὶ γὰρ τὰ ἐν τοῖς οὐρανοῖς προστίθεται. Ἀλλὰ τέως αὐτὸ οὐ λέγει, ἀλλ' ὕστερον αὐτὸ τίθησι.

3. Τέως δὲ ὃ μάλιστα αὐτοὺς προτρέψαι ἠδύνατο, τοῦτο εἰς μέσον ἄγει, τὸ μένειν ἀνάλωτον αὐτοῖς τὸν θησαυρὸν καὶ ἑκατέρωθεν αὐτοὺς ἐφέλκεται. Οὐδὲ γὰρ εἶπεν, ὅτι Ἐὰν δῷς ἐλεημοσύνην, τηρεῖται μόνον, ἀλλὰ καὶ τὸ ἐναντίον ἠπείλησεν, ὅτι καὶ Ἐὰν μὴ δῷς, ἀπόλλυται. Καὶ ὅρα τὴν ἄφατον σύνεσιν. Οὐδὲ γὰρ εἶπεν, ὅτι 'Καὶ ἑτέροις αὐτὰ καταλιμπάνεις'· ἐπεὶ καὶ τοῦτο ἡδὺ τοῖς ἀνθρώποις· ἀλλ' ὅμως ἑτέρωθεν αὐτοὺς φοβεῖ, δεικνὺς ὅτι οὐδὲ τούτου τυγχάνουσι· κἂν γὰρ ἄνθρωποι μὴ ἀδικήσωσιν, εἰσὶν οἱ ἀδικοῦντες πάντως, ὁ σὴς καὶ ἡ βρῶσις. Εἰ γὰρ καὶ σφόδρα εὐάλωτος εἶναι δοκεῖ αὕτη ἡ λύμη, ἀλλ'

ἀκόμη καὶ ἔτσι νὰ περιφρονοῦμεν τὰ ὑπάρχοντά μας καὶ νὰ τὰ μοιράζομεν εἰς ὅσους ἔχουν ἀνάγκην.

Καὶ ἐδῶ ὅμως δὲν ἔθεσε τὸ ὅλον· προχωρεῖ καὶ ἐδῶ μὲ μέτρον, μολονότι παρουσίασε τοὺς ἀγῶνας του δι' αὐτὰ εἰς τὴν ἔρημον μὲ πολλὴν ὑπερβολήν. Οὔτε ὅμως τὸ θέτει, οὔτε τὸ φέρει εἰς τὸ μέσον· δὲν ἦτο ἀκόμη καιρὸς νὰ τὸ φανερώσῃ. Μέχρι τώρα ἐξετάζει σκέψεις, καὶ λαμβάνει περισσότερον τὴν θέσιν συμβούλου εἰς τοὺς λόγους αὐτοὺς καὶ ὄχι νομοθέτου. Ἀφοῦ λοιπὸν εἶπε, «Μὴ θησαυρίζετε ἐπάνω εἰς τὴν γῆν», ἐπρόσθεσεν, «Ὅπου τὸ σαράκι καὶ τὸ σκουλήκι ἀφανίζουν καὶ ὅπου οἱ κλέπται ἀνοίγουν καὶ κλέπτουν». Παρουσίασε καὶ τοῦ ἐδῶ θησαυροῦ τὴν βλάβην καὶ τοῦ ἐκεῖ τὴν ὠφέλειαν καὶ ἀπὸ τὸν τόπον καὶ ἀπὸ τοὺς καταστροφεῖς του. Δὲν σταματᾷ ὅμως μέχρις ἐδῶ, ἀλλὰ προσθέτει καὶ ἄλλην σκέψιν. Πρῶτα, στηρίζει τὴν προτροπήν του εἰς ἐκεῖνα ποὺ φοβοῦνται. Τί φοβᾶσαι; λέγει. Μήπως ἐξοδευθοῦν τὰ χρήματά σου, ὅταν δώσῃς ἐλεημοσύνην; Δῶσε λοιπὸν ἐλεημοσύνην, καὶ τότε ἀκριβῶς δὲν θὰ ἐξοδευθοῦν. Καὶ τὸ μεγαλύτερον βέβαια εἶναι ὅτι ὄχι μόνον δὲν θὰ ἐξοδευθοῦν, ἀλλὰ καὶ προσθήκην μεγαλυτέραν θὰ λάβουν καθόσον προστίθενται εἰς αὐτὰ καὶ τὰ οὐράνια ἀγαθά. Δὲν τὸ λέγει ὅμως αὐτὸ ἀπὸ τὴν ἀρχὴν τὸ προσθέτει ἔπειτα.

3. Μέχρι τώρα ὅ,τι ἠμποροῦσε ν' ἀποτελέσῃ δι' αὐτοὺς τὴν μεγαλυτέραν προτροπὴν αὐτὸ φέρει εἰς τὸ κέντρον, τὸ ὅτι ὁ θησαυρός των παραμένει ἄθικτος καὶ τοὺς σύρει καὶ ἀπὸ τὰ δύο μέρη. Δὲν εἶπε δηλαδὴ μόνον ὅτι διατηρεῖται ἂν δώσῃ ἐλεημοσύνην, ἀλλὰ διετύπωσε καὶ τὴν ἀντίθετον ἀπειλήν. Ἂν δὲν δώσῃς χάνεται. Πρόσεξε τὴν ἄφατον σοφίαν. Διότι δὲν εἶπε, 'Τὰ ἐγκαταλείπεις εἰς ἄλλους', ἐπειδὴ καὶ τοῦτο εὐχαριστεῖ τοὺς ἀνθρώπους. Τοὺς φοβίζει καὶ ἀπὸ ἄλλην ἄποψιν, δεικνύων ὅτι δὲν τὸ ἐπιτυγχάνουν μήτε αὐτό· διότι καὶ ἂν δὲν ἀδικήσουν ἄνθρωπον, ὑπάρχουν ὁπωσδήποτε αὐτοὶ ποὺ ἀδικοῦν, τὸ σαράκι καὶ τὸ σκουλήκι. Διότι καὶ ἂν οἱ καταστροφεῖς φαίνωνται πολὺ εὔκολοι, εἰς τὴν πραγματικότητα εἶναι ἀκαταμάχητοι

«Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς».

Ἐπειδὴ γὰρ τὸ τῆς κενοδοξίας ἐξέβαλε νόσημα, εὐκαίρως λοιπὸν καὶ τὸν περὶ ἀκτημοσύνης εἰσάγει λόγον. Οὐδὲν γὰρ οὕτω χρημάτων ἐρᾶν παρασκευάζει, ὡς ὁ τῆς δόξης ἔρως. Διὰ γοῦν τοῦτο καὶ τὰς τῶν ἀνδραπόδων ἀγέλας καὶ τὸν ἑσμὸν τῶν εὐνούχων καὶ τοὺς χρυσοφοροῦντας ἵππους καὶ τὰς ἀργυρᾶς τραπέζας καὶ τὰ ἄλλα τὰ καταγελαστότερα ἐπινοοῦσιν ἄνθρωποι· οὐχ ἵνα χρείαν πληρώσωσιν, οὐδ' ἵνα ἡδονῆς ἀπολαύσωσιν, ἀλλ' ἵνα τοῖς πολλοῖς ἐπιδείξωνται.

Ἀνωτέρω μὲν οὖν, ὅτι ἐλεεῖν δεῖ μόνον ἔλεγεν· ἐνταῦθα δὲ καὶ πόσον ἐλεεῖν χρὴ δείκνυσιν, εἰπών, «Μὴ θησαυρίζετε». Ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἐξ ἀρχῆς ἀθρόον τὸν περὶ τῆς ὑπεροψίας τῶν χρημάτων εἰσαγαγεῖν λόγον διὰ τὴν τυραννίδα τοῦ πάθους, κατὰ μικρὸν αὐτὸν διατεμὼν καὶ ἐλευθερώσας, ἐνίησιν ἐν τῇ τῶν ἀκροατῶν διανοίᾳ, ὥστε εὐπαράδεκτον γενέσθαι. Διὰ δὴ τοῦτο πρῶτον μὲν ἔλεγε, «Μακάριοι οἱ ἐλεήμονες»· μετὰ δὲ τοῦτο, «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου»· καὶ μετ' ἐκεῖνο πάλιν, «Ἐάν τίς σοι θέλῃ κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, δὸς αὐτῷ καὶ τὸ ἱμάτιον»· ἐνταῦθα δὲ τὸ πολλῷ μεῖζον πάντων ἐκείνων. Ἐκεῖ μὲν γὰρ εἶπεν, ὅτι Ἂν δίκην ἐπικειμένην ἴδῃς, τοῦτο ποίησον· τοῦ γὰρ μάχεσθαι ἔχοντα βέλτιον τὸ μὴ ἔχοντα ἀπηλλάχθαι μάχης. Ἐνταῦθα δὲ οὔτε ἀντίδικον, οὔτε τὸν κρινόμενον θείς, οὔτε ἄλλου οὐδενὸς τοιούτου μνημονεύσας, αὐτὴν καθ' ἑαυτὴν διδάσκει τὴν τῶν χρημάτων ὑπεροψίαν, δεικνὺς ὅτι οὐ διὰ τοὺς ἐλεουμένους τοσοῦτον, ὅσον διὰ τὸν διδόντα ταῦτα νομοθετεῖ· ἵνα κἂν μηδεὶς ᾖ ὁ ἀδικῶν καὶ ἕλκων εἰς δικαστή-

---

1. Ματθ. 5,7
2. Ματθ. 5,25
3. Ματθ. 5,40

«Μὴ θησαυρίζετε διὰ τὸν ἑαυτόν σας θησαυροὺς ἐπάνω εἰς τὴν γῆν».

Ἀφοῦ ἔβγαλεν ἀπὸ τὴν ψυχήν μας τὸ νόσημα τῆς κενοδοξίας, ἀρχίζει εἰς τὴν κατάλληλην ὥραν καὶ τὸν λόγον περὶ ἀκτημοσύνης. Τίποτε δὲν προετοιμάζει τόσον τὸν ἄνθρωπον εἰς τὴν ἀγάπην τῶν χρημάτων, ὅσον ὁ ἔρως τῆς δόξης. Διὰ τὴν δόξαν οἱ ἄνθρωποι ἐφευρίσκουν τὰ κοπάδια τῶν δούλων, τὸ πλῆθος τῶν εὐνούχων, τὰ χρυσοστόλιστα ἄλογα καὶ τὰς ἀργυρὰς τραπέζας καὶ τὰ ἄλλα ποὺ εἶναι περισσότερον καταγέλαστα. Ὄχι βέβαια διὰ νὰ ἱκανοποιήσουν κάποιαν ἀνάγκην, οὔτε διὰ νὰ ἀπολαύσουν κάποιαν ἡδονήν, ἀλλὰ διὰ νὰ ἐπιδειχθοῦν εἰς τοὺς πολλούς.

Πιὸ ἐπάνω βέβαια περιωρίζετο νὰ ὁρίσῃ ὅτι πρέπει νὰ ἐλεοῦμεν. Ἐδῶ μᾶς ὑποδεικνύει καὶ πόσον πρέπει νὰ ἐλεοῦμεν λέγων· «Μὴ θησαυρίζετε». Ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ παρουσιάσῃ ἀπὸ τὴν ἀρχὴν ὅλον μαζὶ τὸν λόγον διὰ τὴν περιφρόνησιν τῶν χρημάτων, καθόσον εἶναι τυραννικὴ ἡ κυριαρχία τοῦ πάθους, ἀφοῦ τὸν ἐχώρισεν εἰς μέρη καὶ τὸν ἠλευθέρωσεν ἀπὸ αὐτήν, τὸν σταλάζει εἰς τὴν ψυχὴν τῶν ἀκροατῶν του, ὥστε νὰ γίνῃ εὔκολα παραδεκτός. Διὰ τοῦτο ἔλεγε πρῶτα, «Μακάριοι οἱ ἐλεήμονες» [1], καὶ ἔπειτα, «Δεῖξε συμπάθειαν εἰς τὸν ἀντίδικόν σου» [2]. Καὶ εἰς τὴν συνέχειαν· «Ἂν θέλῃ κάποιος νὰ ὑπάγετε εἰς τὸ δικαστήριον καὶ νὰ σοῦ πάρῃ τὸν χιτῶνα, νὰ τοῦ δώσῃς καὶ τὸ ἱμάτιον» [3]. Ἐδῶ ὅμως εἶπε τὸ μεγαλύτερον ἀπὸ ὅλα. Ἐκεῖ εἶχεν εἰπεῖ· «Ἂν ἰδῇς νὰ πλησιάζῃ δικαστικὸς ἀγών, νὰ κάνῃς τοῦτο· ἀντὶ νὰ τὸ κρατήσῃς μὲ φιλονεικίαν καλύτερα νὰ ἀποφύγῃς τὴν διαμάχην καὶ ἂς μὴ τὸ ἔχῃς. Ἀλλὰ ἐδῶ χωρὶς νὰ παρουσιάζῃ οὔτε ἀντίδικον οὔτε κατηγορούμενον οὔτε νὰ μνημονεύῃ κάποιον ἄλλον σχετικόν, μᾶς συμβουλεύει τὴν ἰδίαν τὴν περιφρόνησιν τῶν χρημάτων, καὶ μᾶς δείχνει ὅτι θέτει αὐτὸν τὸν νόμον ὄχι τόσον δι' αὐτοὺς ποὺ εὐεργετοῦνται, ὅσον δι' αὐτὸν ποὺ εὐεργετεῖ. Ὥστε καὶ ἂν δὲν ὑπάρχῃ κανεὶς νὰ μᾶς ἀδικῇ ἢ νὰ μᾶς σέρνῃ εἰς τὸ δικαστήριον,

ριον καὶ οὕτω καταφρονῶμεν τῶν ὄντων, παρέχοντες αὐτὰ τοῖς δεομένοις.

Καὶ οὐδὲ ἐνταῦθα τὸ ὅλον τέθεικεν, ἀλλὰ καὶ ἐνταῦθα ἠρέμα, καίτοιγε τοὺς ἀγῶνας τοὺς περὶ τούτων μετὰ πολλῆς ἐν τῇ ἐρήμῳ τῆς ὑπερβολῆς ἐπιδειξάμενος. Ἀλλ' ὅμως οὐ τίθησι τοῦτο, οὐδὲ εἰς μέσον ἄγει· οὐδέπω γὰρ ἐκκαλύψαι καιρὸς ἦν· ἀλλὰ λογισμοὺς ἐξετάζει τέως, συμβούλου μᾶλλον ἢ νομοθέτου τάξιν ἐν τοῖς περὶ τούτων φυλάττων λόγοις. Εἰπὼν γάρ, «Μὴ θησαυρίζετε ἐπὶ τῆς γῆς», ἐπήγαγεν· «Ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύττουσι καὶ κλέπτουσι». Τέως δείκνυσι τοῦ ἐνταῦθα θησαυροῦ τὴν βλάβην καὶ τοῦ ἐκεῖ τὴν ὠφέλειαν καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τῶν λυμαινομένων. Καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ ἕτερον ἐπάγει λογισμόν. Καὶ πρῶτον, ἀφ' ὧν μάλιστα δεδοίκασιν, ἀπὸ τούτων αὐτοὺς προτρέπει. Τί γὰρ δέδοικας; φησί· μὴ ἀναλωθῇ τὰ χρήματα, ἐὰν ἐλεημοσύνην δῷς; Οὐκοῦν δὸς ἐλεημοσύνην καὶ τότε οὐκ ἀναλωθήσεται· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐ μόνον οὐκ ἀναλωθήσεται, ἀλλ' ὅτι καὶ προσθήκην λήψεται πλείονα· καὶ γὰρ τὰ ἐν τοῖς οὐρανοῖς προστίθεται. Ἀλλὰ τέως αὐτὸ οὐ λέγει, ἀλλ' ὕστερον αὐτὸ τίθησι.

3. Τέως δὲ ὃ μάλιστα αὐτοὺς προτρέψαι ἠδύνατο, τοῦτο εἰς μέσον ἄγει, τὸ μένειν ἀνάλωτον αὐτοῖς τὸν θησαυρὸν καὶ ἑκατέρωθεν αὐτοὺς ἐφέλκεται. Οὐδὲ γὰρ εἶπεν, ὅτι Ἐὰν δῷς ἐλεημοσύνην, τηρεῖται μόνον, ἀλλὰ καὶ τὸ ἐναντίον ἠπείλησεν, ὅτι καὶ Ἐὰν μὴ δῷς, ἀπόλλυται. Καὶ ὅρα τὴν ἄφατον σύνεσιν. Οὐδὲ γὰρ εἶπεν, ὅτι 'Καὶ ἑτέροις αὐτὰ καταλιμπάνεις'· ἐπεὶ καὶ τοῦτο ἡδὺ τοῖς ἀνθρώποις· ἀλλ' ὅμως ἑτέρωθεν αὐτοὺς φοβεῖ, δεικνὺς ὅτι οὐδὲ τούτου τυγχάνουσι· κἂν γὰρ ἄνθρωποι μὴ ἀδικήσωσιν, εἰσὶν οἱ ἀδικοῦντες πάντως, ὁ σὴς καὶ ἡ βρῶσις. Εἰ γὰρ καὶ σφόδρα εὐάλωτος εἶναι δοκεῖ αὕτη ἡ λύμη, ἀλλ'

ἀκόμη καὶ ἔτσι νὰ περιφρονοῦμεν τὰ ὑπάρχοντά μας καὶ νὰ τὰ μοιράζομεν εἰς ὅσους ἔχουν ἀνάγκην.

Καὶ ἐδῶ ὅμως δὲν ἔθεσε τὸ ὅλον· προχωρεῖ καὶ ἐδῶ μὲ μέτρον, μολονότι παρουσίασε τοὺς ἀγῶνας του δι' αὐτὰ εἰς τὴν ἔρημον μὲ πολλὴν ὑπερβολήν. Οὔτε ὅμως τὸ θέτει, οὔτε τὸ φέρει εἰς τὸ μέσον· δὲν ἦτο ἀκόμη καιρὸς νὰ τὸ φανερώσῃ. Μέχρι τώρα ἐξετάζει σκέψεις, καὶ λαμβάνει περισσότερον τὴν θέσιν συμβούλου εἰς τοὺς λόγους αὐτοὺς καὶ ὄχι νομοθέτου. Ἀφοῦ λοιπὸν εἶπε, «Μὴ θησαυρίζετε ἐπάνω εἰς τὴν γῆν», ἐπρόσθεσεν, «Ὅπου τὸ σαράκι καὶ τὸ σκουλήκι ἀφανίζουν καὶ ὅπου οἱ κλέπται ἀνοίγουν καὶ κλέπτουν». Παρουσίασε καὶ τοῦ ἐδῶ θησαυροῦ τὴν βλάβην καὶ τοῦ ἐκεῖ τὴν ὠφέλειαν καὶ ἀπὸ τὸν τόπον καὶ ἀπὸ τοὺς καταστροφεῖς του. Δὲν σταματᾷ ὅμως μέχρις ἐδῶ, ἀλλὰ προσθέτει καὶ ἄλλην σκέψιν. Πρῶτα, στηρίζει τὴν προτροπήν του εἰς ἐκεῖνα ποὺ φοβοῦνται. Τί φοβᾶσαι; λέγει. Μήπως ἐξοδευθοῦν τὰ χρήματά σου, ὅταν δώσῃς ἐλεημοσύνην; Δῶσε λοιπὸν ἐλεημοσύνην, καὶ τότε ἀκριβῶς δὲν θὰ ἐξοδευθοῦν. Καὶ τὸ μεγαλύτερον βέβαια εἶναι ὅτι ὄχι μόνον δὲν θὰ ἐξοδευθοῦν, ἀλλὰ καὶ προσθήκην μεγαλυτέραν θὰ λάβουν καθόσον προστίθενται εἰς αὐτὰ καὶ τὰ οὐράνια ἀγαθά. Δὲν τὸ λέγει ὅμως αὐτὸ ἀπὸ τὴν ἀρχήν τὸ προσθέτει ἔπειτα.

3. Μέχρι τώρα ὅ,τι ἠμποροῦσε ν' ἀποτελέσῃ δι' αὐτοὺς τὴν μεγαλυτέραν προτροπὴν αὐτὸ φέρει εἰς τὸ κέντρον, τὸ ὅτι ὁ θησαυρός των παραμένει ἄθικτος καὶ τοὺς σύρει καὶ ἀπὸ τὰ δύο μέρη. Δὲν εἶπε δηλαδὴ μόνον ὅτι διατηρεῖται ἂν δώσῃ ἐλεημοσύνην, ἀλλὰ διετύπωσε καὶ τὴν ἀντίθετον ἀπειλήν. Ἂν δὲν δώσῃς χάνεται. Πρόσεξε τὴν ἄφατον σοφίαν. Διότι δὲν εἶπε, 'Τὰ ἐγκαταλείπεις εἰς ἄλλους', ἐπειδὴ καὶ τοῦτο εὐχαριστεῖ τοὺς ἀνθρώπους. Τοὺς φοβίζει καὶ ἀπὸ ἄλλην ἄποψιν, δεικνύων ὅτι δὲν τὸ ἐπιτυγχάνουν μήτε αὐτό· διότι καὶ ἂν δὲν ἀδικήσουν ἄνθρωπον, ὑπάρχουν ὁπωσδήποτε αὐτοὶ ποὺ ἀδικοῦν, τὸ σαράκι καὶ τὸ σκουλήκι. Διότι καὶ ἂν οἱ καταστροφεῖς φαίνωνται πολὺ εὔκολοι, εἰς τὴν πραγματικότητα εἶναι ἀκαταμάχητοι

ὅμως ἄμαχός ἐστι καὶ ἀκάθεκτος· κἂν ὁτιοῦν ἐπινοήσῃς, οὐ δυνήσῃ ταύτην ἐπισχεῖν τὴν βλάβην.

Τί οὖν; τὸ χρυσίον σῆς ἀφανίζει; Εἰ καὶ μὴ σής, ἀλλὰ κλέπται. Τί οὖν; ἅπαντες ἐσυλήθησαν; Εἰ καὶ μὴ πάντες, ἀλλ' οἱ πλείους. Διὰ δὴ τοῦτο καὶ ἕτερον, ὅπερ ἔφθην εἰπών, ἐπάγει λογισμόν, λέγων· «Ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ». Κἂν γὰρ μηδὲν τούτων γένηται, φησίν, οὐ μικρὰν ὑποστήσῃ βλάβην, τοῖς κάτω προσηλωμένος καὶ δοῦλος ἀντ' ἀλευθέρου γινόμενος καὶ τῶν οὐρανίων ἐκπίπτων καὶ μηδὲν τῶν ὑψηλῶν ἐννοῆσαι δυνάμενος, ἀλλὰ πάντα χρήματα καὶ τόκους καὶ δανείσματα καὶ κέρδη καὶ καπηλείας ἀνελευθέρους· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; Καὶ γὰρ ἀνδραπόδου παντὸς ὁ τοιοῦτος διακείσεται χεῖρον, τυραννίδα χαλεπωτάτην ἐπισπώμενος καὶ τὸ πάντων καιριώτατον προδούς, τὴν εὐγένειαν τοῦ ἀνθρώπου καὶ τὴν ἐλευθερίαν. Ὅσα γὰρ ἄν τίς σοι διαλέγηται, τῆς διανοίας προσηλωμένης τοῖς χρήμασιν, οὐδὲν ἀκοῦσαι δυνήσῃ τῶν σοι προσηκόντων· ἀλλ' ὥσπερ κύων τάφῳ προσδεδεμένος ἁπάσης ἁλύσεως χαλεπώτερον τῇ τῶν χρημάτων τυραννίδι, κατὰ τῶν προσιόντων ἁπάντων ὑλακτῶν, ἓν ἔργον τοῦτο ἔχεις διηνεκές, τὸ τηρεῖν ἑτέροις τὰ κείμενα· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον;

'Αλλ' ὅμως ἐπειδὴ τοῦτο ὑψηλότερον ἦν τῆς τῶν ἀκροωμένων διανοίας· καὶ οὔτε ἡ βλάβη αὐτοῦ τοῖς πολλοῖς εὐσύνοπτος, οὔτε τὸ κέρδος φανερόν, ἀλλὰ φιλοσοφωτέρας ἐδεῖτο γνώμης, ὥστε ἑκάτερα ταῦτα συνιδεῖν· τέθεικε μὲν αὐτὸ μετ' ἐκεῖνα τὰ δῆλα, εἰπών· «Ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ»· ποιεῖ δὲ αὐτὸ σαφέστερον πάλιν, ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ ἐξάγων τὸν λόγον καὶ λέγων· «Ὁ λύχνος τοῦ

καὶ ἀσυγκράτητοι. Καὶ ὁ,τιδήποτε μηχανευθῇς δὲν θὰ ἐπιτύχῃς νὰ ἀναχαιτίσῃς τὴν ζημίαν ποὺ προκαλοῦν.

Τί λοιπόν; Τὸ σαράκι ἀφανίζει τὸ χρυσάφι; Ὄχι βέβαια τὸ σαράκι, ὁπωσδήποτε ὅμως οἱ κλέπται. Καὶ ἔγιναν ὅλοι θύματα κλοπῆς; Ἂν ὄχι ὅλοι, ὁπωσδήποτε ἔγιναν οἱ περισσότεροι. Διὰ τοῦτο προσθέτει, ὅπως εἶπα πρὸ ὀλίγου, καὶ ἄλλην σκέψιν· «Ὅπου βρίσκεται ὁ θησαυρὸς τοῦ ἀνθρώπου ἐκεῖ εἶναι καὶ ἡ καρδία του». Ἀκόμη καὶ τίποτε ἀπὸ αὐτὰ νὰ μὴ γίνῃ, δὲν θὰ ὑποστῇς μικρὰν βλάβην νὰ εἶσαι προσηλωμένος εἰς τὰ κάτω, νὰ γίνῃς δοῦλος ἀπὸ ἐλεύθερος ποὺ εἶσαι, νὰ χάσῃς τὰ οὐράνια, τίποτε ἀπὸ τὰ ὑψηλὰ νὰ μὴ ἠμπορῇς νὰ ἐννοήσῃς, ἀλλὰ νὰ τὰ βλέπῃς ὅλα σὰν χρήματα καὶ τόκους καὶ δάνεια καὶ κέρδη καὶ ἀνελευθέρας συναλλαγάς. Ὑπάρχει μεγαλυτέρα ἀθλιότης ἀπ' αὐτήν; Διότι ὁ ἄνθρωπος αὐτὸς εἶναι χειρότερος ἀπὸ κάθε ἀνδράποδον, εἶναι δοῦλος εἰς τὴν χειροτέραν τυραννίαν καὶ ἔχει προδώσει τὸ σημαντικώτερον ἀπὸ ὅλα, τὴν εὐγένειαν τοῦ ἀνθρώπου καὶ τὴν ἐλευθερίαν. Ὅσα καὶ νὰ σοῦ λέγῃ κανείς, ὅταν ὁ νοῦς σου εἶναι προσηλωμένος εἰς τὰ χρήματα τίποτε δὲν θὰ ἠμπορέσῃς ν' ἀκούσῃς ἀπὸ ὅσα σοῦ ἁρμόζουν. Ἀλλὰ σὰν τὸ σκυλὶ δεμένος εἰς τάφον μὲ τὴν βαρυτέραν ἁλυσίδα, τὴν τυραννίαν τῶν χρημάτων, θὰ γαυγίζῃς ὅλους ὅσους πλησιάζουν καὶ θὰ ἔχῃς τοῦτο μόνον τὸ ἀδιάκοπον ἔργον, νὰ φυλάγῃς διὰ ἄλλους τὸν θησαυρόν. Ὑπάρχει μεγαλυτέρα ἀθλιότης ἀπὸ αὐτό;

Ἐπειδὴ ὅμως τοῦτο ἦταν ἀνώτερον ἀπὸ τὸ διανοητικὸν ἐπίπεδον τῶν ἀκροατῶν του καὶ δὲν ἦτο εὔκολον εἰς τοὺς πολλοὺς νὰ ἰδοῦν μὲ μίαν ματιὰν τὴν βλάβην καὶ δὲν ἦτο καὶ τὸ κέρδος φανερόν, ἀλλὰ ἐχρειάζετο μία πιὸ πνευματικὴ διάθεσις διὰ νὰ διακρίνουν τὸ ἕνα ἀπὸ τὸ ἄλλο, τὸ ἔθεσε τοῦτο ἔπειτα ἀπὸ τὰ φανερὰ ἐκεῖνα λέγων· «Ὅπου εὑρίσκεται ὁ θησαυρὸς τοῦ ἀνθρώπου ἐκεῖ εἶναι καὶ ἡ καρδία του». Καὶ τοῦτο πάλιν τὸ ἀποσαφηνίζει, ὁδηγῶν τὸν λόγον ἀπὸ τὰ νοητὰ εἰς τὰ αἰσθητὰ καὶ λέγων· «Ὁ λύχνος τοῦ σώματος εἶναι τὸ μάτι». Ἡ σημασία δὲ αὐτοῦ ποὺ λέγει εἶναι ἡ ἑξῆς· Μὴ κρύψῃς τὸν χρυσὸν μέσα εἰς τὴν γῆν, οὔτε κάτι ἄλλο ἀπὸ τὰ παρόμοια, διότι τὰ

σώματός ἐστιν ὁ ὀφθαλμός». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Μὴ κατορύξῃς χρυσίον ἐν τῇ γῇ, μηδὲ ἄλλο τι τῶν τοιούτων μηδέν. Ἐὰν δὲ καὶ ταύτας διαφύγῃς τὰς βλάβας, τὸ δουλωθῆναί σου τὴν καρδίαν καὶ προσηλωθῆναι τοῖς κάτω πᾶσιν, οὐ διαφεύξῃ· «Ὅπου γὰρ ἂν ᾖ ὁ θησαυρός, ἐκεῖ καὶ ἡ καρδία σου». Ὥσπερ οὖν εἰς τὸν οὐρανὸν ἀποτιθέμενος, οὐ τοῦτο καρποῦσαι μόνον, τὸ τυχεῖν τῶν ἐπὶ τούτοις ἐπάθλων, ἀλλ' ἐντεῦθεν ἤδη τὸν μισθὸν λαμβάνεις, ἐκεῖ μεθορμιζόμενος καὶ τὰ ἐκεῖ φρονῶν καὶ ὑπὲρ τῶν ἐκεῖ μεριμνῶν· ὅπου γὰρ ἀπέθου τὸν θησαυρόν, εὔδηλον ὅτι καὶ τὴν διάνοιαν μετατίθης. Οὕτως ἂν ἐπὶ τῆς γῆς τοῦτο ποιήσῃς, τἀναντία πείσῃ. Εἰ δὲ ἀσαφές σοι τὸ εἰρημένον, ἄκουσον τῶν ἑξῆς· «Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. Ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ δὲ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ σκότος πόσον;». Ἐπὶ τὰ αἰσθητότερα ἐξάγει τὸν λόγον. Ἐπειδὴ γὰρ ἐμνημόνευσε τοῦ νοῦ, ὡς καταδουλουμένου καὶ αἰχμαλωτιζομένου, τοῦτο δὲ οὐ πολλοῖς εὐσύνοπτον ἦν, ἐπὶ τὰ ἔξω καὶ πρὸ τῶν ὀφθαλμῶν κείμενα τὴν διδασκαλίαν μετατίθησιν, ἵνα ἀπὸ τούτων καὶ περὶ ἐκείνων νοήσωσιν. Εἰ γὰρ μὴ οἶσθα, φησί, τί ποτέ ἐστι 'βλάβη νοῦ', ἀπὸ τῶν σωματικῶν τοῦτο καταμάνθανε· ὅπερ γάρ ἐστιν ὁ ὀφθαλμὸς τῷ σώματι, τοῦτο ὁ νοῦς τῇ ψυχῇ. Ὥσπερ οὖν οὐκ ἂν ἕλοιο χρυσοφορεῖν καὶ σηρικὰ περιβεβλῆσθαι ἱμάτια καὶ πεπηρῶσθαί σου τοὺς ὀφθαλμούς, ἀλλὰ τὴν ὑγείαν τὴν τούτων ἁπάσης τῆς τοιαύτης περιουσίας ποθεινοτέραν εἶναι νομίζεις (ἂν γὰρ αὐτὴν ἀπολέσῃς καὶ διαφθείρῃς, οὐδέν σοι τῆς λοιπῆς ὄφελος ζωῆς· ὥσπερ γὰρ τῶν ὀφθαλμῶν τυφλωθέντων, τὸ πολὺ τῆς τῶν λοιπῶν μελῶν ἐνεργείας οἴχεται, τοῦ φωτὸς αὐτοῖς σβεσθέντος, οὕτω καὶ τῆς διανοίας διαφθαρείσης, μυ-

συγκεντρώνεις αὐτὰ διὰ τὸ σαράκι καὶ τὸ σκουλήκι καὶ διὰ τοὺς κλέπτας. Ἐὰν δὲ καὶ αὐτὰς τὰς βλάβας τὰς ἀποφύγῃς δὲν θὰ διαφύγῃς τὴν ὑποδούλωσιν τῆς καρδίας σου καὶ τὴν προσήλωσίν σου εἰς ὅλα τὰ ἐπίγεια. «Διότι ὅπου εὑρίσκεται ὁ θησαυρός, ἐκεῖ εὑρίσκεται καὶ ἡ καρδία σου». Ἔτσι λοιπὸν ἐὰν τὸν ἀποθέσῃς εἰς τὸν οὐρανόν, δὲν καρποῦσαι μόνον αὐτό, τὸ νὰ λάβῃς δηλαδὴ τὰ ἔπαθλα δι' αὐτά, ἀλλὰ λαμβάνεις ἤδη καὶ ἐδῶ τὸν μισθόν, ποὺ τὸν μεταφέρεις ἐκεῖ, μελετᾷς τὰ ἔχοντα σχέσιν μὲ ἐκεῖ καὶ φροντίζεις διὰ τὰ ἐκεῖ· διότι ὅπου ἀπέθεσες τὸν θησαυρόν, εἶναι φανερὸν ὅτι ἐκεῖ ἔχεις καὶ τὴν σκέψιν σου. Ὥστε ἐὰν αὐτὸ τὸ κάνῃς εἰς τὴν γῆν θὰ πάθῃς τὰ ἀντίθετα. Ἐὰν δὲ τὸ λεχθὲν σοῦ εἶναι ἀσαφὲς ἄκουσε τὰ ἑξῆς· «Ὁ λύχνος τοῦ σώματος εἶναι τὸ μάτι. Ἂν τὸ μάτι σου εἶναι καθαρόν, εἶναι φωτεινὸν ὅλο τὸ σῶμα σου. Ἂν τὸ μάτι σου εἶναι πονηρόν, θὰ εἶναι σκοτεινὸν ὅλο τὸ σῶμα σου. Καὶ ἂν τὸ φῶς τὸ ἰδικόν σου εἶναι σκοτάδι, τὸ σκοτάδι πόσον θὰ εἶναι;». Στρέφει τὸν λόγον εἰς τὰ περισσότερον αἰσθητά. Ἐπειδή, δηλαδὴ ἀνέφερε τὴν διάνοιαν, ὅτι καταδουλώνεται καὶ αἰχμαλωτίζεται καὶ αὐτὸ δὲν ἠμποροῦν νὰ τὸ ἰδοῦν πολλοὶ ἀμέσως, μεταθέτει τὴν διδασκαλίαν του εἰς τὰ ἐξωτερικὰ ποὺ εὑρίσκονται ἐμπρὸς εἰς τὰ μάτια των, ὥστε ἀπὸ αὐτὰ νὰ κατανοήσουν καὶ ἐκεῖνα. Ἂν ὅμως δὲν γνωρίζῃς, λέγει, τί τέλος πάντων εἶναι 'βλάβη τοῦ νοῦ', κατανόησέ το αὐτὸ ἀπὸ τὰ σωματικά. Ὅ,τι δηλαδὴ εἶναι διὰ τὸ σῶμα τὸ μάτι, αὐτὸ εἶναι ὁ νοῦς διὰ τὴν ψυχήν. Ἀσφαλῶς λοιπὸν δὲν θὰ ἐπροτιμοῦσες νὰ φορῇς χρυσᾶ καὶ νὰ εἶσαι ἐνδεδυμένος μὲ ροῦχα μεταξωτά, καὶ νὰ εἶναι χαλασμένα τὰ μάτια σου, ἀλλὰ θεωρεῖς τὴν ὑγείαν τῶν ματιῶν σου πιὸ ποθητὴν ἀπὸ ὅλα αὐτά. Διότι ἂν τὴν καταστρέψῃς καὶ τὴ χαλάσῃς, δὲν σὲ ὠφελεῖ πλέον νὰ ζῇς, διότι ὅπως μὲ τὴν τύφλωσιν τῶν ματιῶν χάνεται τὸ μεγαλύτερον ποσοστὸν τῆς ἐνεργητικότητος τῶν ἄλλων μελῶν, ὅταν σβήσῃ δι' αὐτὰ τὸ φῶς, ἔτσι καὶ ὅταν καταστραφῇ ὁ νοῦς σου, ἡ ζωή σου θὰ γεμίσῃ ἀπὸ μύρια δεινά. Ὅπως λοι-

ρίων ἡ ζωή σου κακῶν ἐμπλησθήσεται)· καθάπερ οὖν ἐν σώματι τοῦτο σκοποῦμεν, ὥστε τὸν ὀφθαλμὸν ἔχειν ὑγιῆ, οὕτω καὶ ἐν τῇ ψυχῇ τὸν νοῦν. Ἂν δὲ τοῦτον πηρώσωμεν, τὸν καὶ τοῖς ἄλλοις ὀφείλοντα παρέχειν τὸ φῶς, πόθεν διαβλέψωμεν λοιπόν; Ὥσπερ γὰρ ὁ τὴν πηγὴν ἀνελὼν καὶ τὸν ποταμὸν ἐξήρανεν, οὕτως ὁ τὸν νοῦν ἀφανίσας, πᾶσαν αὐτοῦ τὴν ἐν τῇ ζωῇ ταύτῃ πρᾶξιν ἐθόλωσε. Διό φησιν, «Εἰ τὸ φῶς τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον;». Ὅταν γὰρ ὁ κυβερνήτης ὑποβρύχιος γένηται καὶ ὁ λύχνος σβεσθῇ καὶ ὁ ἡγεμὼν αἰχμάλωτος γένηται, ποία λοιπὸν ἔσται τοῖς ὑπηκόοις ἐλπίς;

4. Διὰ δὴ τοῦτο ἀφεὶς εἰπεῖν νῦν τὰς ἐπιβουλὰς τὰς διὰ τὸν πλοῦτον, τὰς μάχας, τὰς δίκας· (ᾐνίξατο μὲν γὰρ αὐτὰς ἀνωτέρω εἰπών· «Παραδώσει σε ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ»)· τὰ πάντων χαλεπώτερα τούτων συμβαίνοντα πάντως θείς, οὕτως ἀπάγει τῆς πονηρᾶς ἐπιθυμίας. Τοῦ γὰρ τὸ δεσμωτήριον οἰκῆσαι πολλῷ χαλεπώτερον τὸ δεδουλῶσθαι τὸν νοῦν τῷ νοσήματι τούτῳ· καὶ τὸ μὲν οὐ πάντως συμβαίνει, τὸ δὲ ἐφεξῆς συγκεκλήρωται τῇ τῶν χρημάτων ἐπιθυμίᾳ. Διόπερ αὐτὸ μετ' ἐκεῖνο τίθησιν, ἅτε χαλεπώτερον ὂν καὶ πάντως συμβαῖνον. Ὁ γὰρ Θεός, φησίν, ἔδωκεν ἡμῖν νοῦν, ἵνα τὴν ἄγνοιαν διασκεδάσωμεν καὶ τὴν τῶν πραγμάτων κρίσιν ὀρθὴν ἔχωμεν καὶ πρὸς τὰ λυποῦντα πάντα καὶ ἐπιβλαβῆ τούτῳ ὥσπερ ὅπλῳ τινὶ καὶ φωτὶ χρώμενοι, μένωμεν ἐν ἀσφαλείᾳ. Ἡμεῖς δὲ προδίδομεν τὴν δωρεὰν διὰ τὰ περιττὰ καὶ ἀνόνητα. Τί γὰρ ὄφελος στρατιωτῶν χρυσοφορούντων, ὅταν ὁ στρατηγὸς αἰχμάλωτος ἕλκηται; τί κέρδος νηὸς καλλωπιζομένης, ὅταν ὁ κυβερνήτης ὑποβρύχιος γένηται; τί δὲ σώματος εὖ συγκειμένου πλέον, ὅταν οἱ ὀφθαλμοὶ τῆς ὄψεως ὦσιν ἐκκεκομμένοι; Ὥσπερ οὖν τὸν ἰατρὸν τὸν ὀφείλοντα ὑγιαίνειν, ἵνα λύῃ τὰς νόσους, ἄν τις

---

4. Ματθ.5,25

πὸν εἰς τὴν φροντίδα τοῦ σώματος θέτομεν αὐτὸν τὸν σκοπόν, νὰ ἔχωμεν τὰ μάτια μας γερά, ἔτσι καὶ εἰς τὴν ψυχὴν σκοποῦμεν νὰ ἔχομεν ὑγιῆ τὸν νοῦν. Ἂν τραυματίσωμεν αὐτὸ ποὺ ὀφείλει καὶ εἰς τὰ ἄλλα νὰ παρέχῃ τὸ φῶς, πῶς θὰ ἠμπορέσωμεν νὰ ἰδοῦμεν; Ὅπως αὐτὸς ποὺ φράζει τὴν πηγήν, ξηραίνει τὸν ποταμόν, ἔτσι καὶ ὅποιος ἀφανίζει τὸν νοῦν του, θολώνει ὅλην τὴν δραστηριότητά του εἰς τὴν ζωὴν αὐτήν. Διὰ τοῦτο λέγει «Ἂν τὸ ἰδικόν σου φῶς εἶναι σκοτάδι, τὸ σκοτάδι πόσον εἶναι;», Ὅταν ὁ κυβερνήτης βουλιάξῃ καὶ σβήσῃ τὸ λυχνάρι καὶ ὁ ἀρχηγὸς αἰχμαλωτισθῇ ποία ἐλπίδα ἀπομένει εἰς τοὺς ὑπηκόους;

Διὰ τοῦτο ἀκριβῶς ἄφησε νὰ εἰπῇ τώρα τοὺς φθόνους ποὺ προκαλεῖ ὁ πλοῦτος, τὰς φιλονεικίας, τὰς δίκας. (Καὶ βέβαια ἔκαμεν ὑπαινιγμὸν ἀνωτέρω ὅταν εἶπε· «Θὰ σὲ παραδώσῃ ὁ ἀντίδικος εἰς τὸν κριτὴν καὶ ὁ κριτὴς εἰς τὸν ὑπηρέτην» [1]). Ἀφοῦ ὅπως καὶ νὰ εἶναι ἀνέφερε τὰ βαρύτερα περιστατικά, ἀπομακρύνει ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν. Εἶναι πολὺ φοβερώτερον νὰ δουλωθῇ ὁ νοῦς σου εἰς αὐτὸ τὸ πάθος παρὰ νὰ κλεισθῇς εἰς τὴν φυλακήν. Καὶ τὸ μὲν τελευταῖον δὲν συμβαίνει συχνά, τὸ πρῶτον ὅμως ἔχει συνδεθῆ μὲ τὴν ἐπιθυμίαν τῶν χρημάτων. Δι' αὐτὸ θέτει τὴν ὑποδούλωσιν τοῦ νοῦ, ἐπειδὴ εἶναι βαρύτερον κακόν, μετὰ τὴν φυλάκισιν, ποὺ ὁπωσδήποτε βέβαια συμβαίνει. Ὁ Θεός, λέγει, μᾶς ἔδωσε νοῦν, διὰ νὰ διαλύσωμεν τὴν ἄγνοιάν μας καὶ νὰ σχηματίσωμεν ὀρθὴν κρίσιν διὰ τὰ πράγματα καὶ ἀκόμη νὰ μείνωμεν ἀσφαλισμένοι ἔναντι ὅσων μᾶς λυποῦν καὶ μᾶς βλάπτουν χρησιμοποιοῦντες αὐτὸν ὡς κάποιον ὅπλον καὶ φῶς. Ἐμεῖς σπαταλοῦμεν τὸ χάρισμα εἰς περιττὰ καὶ ἀνώφελα. Τί ὠφελοῦν οἱ χρυσοντυμένοι στρατιῶται, ὅταν ὁ στρατηγὸς σύρεται εἰς τὴν αἰχμαλωσίαν; ποῖον τὸ κέρδος ἀπὸ τὸ στολισμένον πλοῖον, ὅταν ὁ κυβερνήτης καταποντισθῇ; Καὶ τί ἀξίαν ἔχει τὸ τέλειον σῶμα, ὅταν ἀπὸ τὰ μάτια ἀποκοπῇ ἡ ὅρασις; Ὅπως λοιπόν, ἂν κάποιος τὸν ἰατρὸν ποὺ πρέπει νὰ εἶναι ὑγιὴς διὰ νὰ θεραπεύῃ τὰς ἀσθενείας, τὸν κάμῃ

ἐμβαλὼν εἰς νόσον, εἰς ἀργυρᾶν κελεύσῃ κεῖσθαι κλίνην καὶ χρυσοῦν θάλαμον, οὐδὲν ὄφελος ἔσται τοῖς κάμνουσιν· οὕτως ἂν τὸν νοῦν διαφθείρας τὸν δυνάμενον λύειν τὰ πάθη θησαυρῷ παρακαθίσῃς, οὐ μόνον οὐδὲν ὤνησας, ἀλλὰ καὶ τὰ μέγιστα ἐζημίωσας καὶ πᾶσαν ἔβλαψας τὴν ψυχήν.

Εἶδες πῶς δι' ὧν μάλιστα ἐπιθυμοῦσιν ἄνθρωποι τῆς πονηρίας πανταχοῦ, διὰ τούτων αὐτοὺς μάλιστα ἐκείνης ἀπάγει καὶ πρὸς ἀρετὴν ἐπανάγει; Τίνος γὰρ ἕνεκεν ἐπιθυμεῖς χρημάτων; φησίν· οὐχ ἵνα ἡδονῆς ἀπολαύῃς καὶ τρυφῆς; Τοῦτο μὲν οὖν μάλιστα οὐκ ἔσται σοι ἐντεῦθεν, ἀλλὰ τοὐναντίον ἅπαν. Εἰ γὰρ ὀφθαλμῶν ἐκκοπέντων οὐδενὸς αἰσθανόμεθα τῶν ἡδέων διὰ τὴν συμφορὰν τὴν ἐκεῖθεν, πολλῷ μᾶλλον ἐν τῇ τοῦ νοῦ διαστροφῇ καὶ πηρώσει τοῦτο πεισόμεθα.

Τίνος δὲ ἕνεκεν κατορύττεις ἐν τῇ γῇ; ἵνα φυλάττηται μετὰ ἀσφαλείας; Ἀλλὰ κἀνταῦθα πάλιν τοὐναντίον, φησίν. Ὥσπερ οὖν τὸν νηστεύοντα καὶ ἐλεοῦντα καὶ προσευχόμενον πρὸς κενοδοξίαν, ἀφ' ὧν ἐπιθυμεῖ μάλιστα, ἀπὸ τούτων αὐτὸν ἐπεσπάσατο εἰς τὸ μὴ κενοδοξεῖν· (Τίνος γὰρ ἕνεκεν οὕτως εὔχῃ καὶ ἐλεεῖς; φησίν· τῆς παρὰ τῶν ἀνθρώπων δόξης ἐρῶν; οὐκοῦν μὴ οὕτως εὔχου, φησί, καὶ τότε αὐτῆς τεύξῃ κατὰ τὴν ἡμέραν τὴν μέλλουσαν)· οὕτω καὶ τὸν φιλάργυρον, ἀφ' ὧν μάλιστα ἐσπούδακεν, ἀπὸ τούτων εἷλε. Τί γὰρ βούλει; φησί· τὰ χρήματά σου φυλάττεσθαι καὶ ἡδονῆς ἀπολαύειν; Ταῦτά σοι ἀμφότερα παρέξομαι μετὰ πολλῆς τῆς περιουσίας, ἐὰν ἐκεῖ καταθῇ τὸ χρυσίον, ὅπου κελεύω.

Σαφέστερον μὲν οὖν ἐν τοῖς μετὰ ταῦτα τὴν τοῦ νοῦ βλάβην τὴν ἐντεῦθεν γινομένην ἐπέδειξεν, ὅτε τῶν ἀκανθῶν ἐμνημόνευσε· τέως δὲ καὶ ἐνταῦθα οὐχ ὡς ἔτυχε τοῦτο ᾐνίξατο, δείξας ἐσκοτωμένον τὸν περὶ ταῦτα μαινόμενον. Καὶ καθάπερ οἱ ἐν σκότῳ ὄντες οὐδὲν ὁρῶσι σαφές, ἀλλὰ ἄν τε σχοῖνον ἴδωσιν, ὄφιν εἶναι νομίζουσιν, ἄν τε ὄρη καὶ φάραγγας, ἀποτεθνήκασι τῷ δέει· οὕτω καὶ αὐτοὶ τὰ μὴ φοβερὰ τοῖς ὁρῶσι, ταῦτα δι'

νὰ ἀσθενήσῃ καὶ ὁρίσῃ ἔπειτα νὰ ξαπλωθῇ εἰς ἀσημένιο κρεββάτι καὶ χρυσὸν θάλαμον, δὲν ὠφελεῖ εἰς τίποτε τοὺς ἀρρώστους, ἔτσι καὶ ἀφοῦ καταστρέψῃς τὸν νοῦν ποὺ ἔχει τὴν δύναμιν νὰ θεραπεύῃ τὰ πάθη, ἂν καθίσῃς δίπλα εἰς τὸν θησαυρόν σου, ὄχι μόνον δὲν ὠφελεῖς εἰς τίποτε ἀλλὰ προκαλεῖς μεγίστην ζημίαν καὶ καταστρέφεις ὁλόκληρον τὴν ψυχήν σου.

Εἶδες πῶς μὲ τὰ ἴδια, διὰ τὰ ὁποῖα οἱ ἄνθρωποι ἐπιθυμοῦν τὴν κακίαν, μὲ αὐτὰ τοὺς ἀπομακρύνει ἀπὸ αὐτὴν καὶ τοὺς ἐπαναφέρει εἰς τὴν ἀρετήν; Διὰ ποῖον λόγον, ἐρωτᾷ, ἐπιθυμεῖς τὰ χρήματα; Ὄχι διὰ νὰ χαρῇς τὴν ἡδονὴν καὶ τὴν ἀπόλαυσιν; Αὐτὸ ἀκριβῶς δὲν θὰ τὸ δοκιμάσῃς μὲ τὸν τρόπον αὐτόν, ἀλλὰ μὲ τὸν ἐντελῶς ἀντίθετον. Ἂν μὲ τὴν στέρησιν τῶν ματιῶν δὲν αἰσθανώμεθα κανένα ἀπὸ τὰ εὐχάριστα ἐξ αἰτίας αὐτῆς τῆς συμφορᾶς μας, παθαίνομεν τὸ ἴδιο εἰς μεγαλύτερον βαθμὸν ἐξ αἰτίας τῆς διαστροφῆς καὶ τῆς ἀναπηρίας τοῦ νοῦ.

Καὶ διὰ ποῖον λόγον τὰ κρύβεις εἰς τὴν γῆν; Διὰ νὰ φυλάγωνται μὲ ἀσφάλειαν; Καὶ ἐδῶ, λέγει, συμβαίνει τὸ ἀντίθετον. (Διὰ ποῖον λόγον, λέγει, προσεύχεσαι καὶ ἐλεεῖς; Ἐπιθυμεῖς τὴν δόξαν τῶν ἀνθρώπων; Μὴ προσεύχεσαι λοιπὸν δι' αὐτὴν καὶ θὰ τὴν ἔχῃς κατὰ τὴν ἡμέραν τῆς κρίσεως). Ὅπως λοιπὸν ἐκεῖνον ποὺ νηστεύει καὶ ἐλεεῖ καὶ προσεύχεται διὰ λόγους κενοδοξίας τὸν ὁδηγεῖ εἰς τὴν ἔλλειψιν κενοδοξίας χρησιμοποιῶν τὴν ἰδίαν τὴν ἐπιθυμίαν του, ὁμοίως καὶ τὸν φιλάργυρον τὸν ἀποσπᾷ μὲ ὅσα ἀκριβῶς ἐτράβηξαν τὴν ἐπιθυμίαν του. Τί θέλεις; τοῦ λέγει. Νὰ φυλάσσωνται τὰ χρήματά σου καὶ νὰ ἀπολαύσῃς τὴν ἡδονήν; θὰ σοῦ τὰ δώσω καὶ τὰ δύο μὲ μεγάλην ἀφθονίαν, ἂν καταθέσῃς τὸ χρυσάφι σου ὅπου σοῦ ὁρίζω.

Εἰς τὰ ἑπόμενα ἔδειξε σαφέστερα τὴν βλάβην τοῦ νοῦ ποὺ προέρχεται ἀπὸ αὐτά, ὅταν ἐμνημόνευσε τὰ ἀγκάθια. Πρὸ ὀλίγου καὶ ἐδῶ δὲν ἔκαμεν αὐτὸν τὸν ὑπαινιγμὸν τυχαῖα, παρουσιάζων ὅτι εἶναι σκοτισμένος ὅποιος ἔχει αὐτὴν τὴν μανίαν. Καὶ ὅπως ὅσοι βαδίζουν εἰς τὰ σκοτεινὰ δὲν βλέπουν τίποτε μὲ σαφήνειαν, ἀλλὰ τὸ σχοινὶ τὸ νομίζουν φίδι καὶ ἂν ἰδοῦν βουνὰ καὶ φαράγγια πεθαίνουν ἀπὸ τὸν φόβον, ἔτσι καὶ αὐτοὶ ὑπο-

ὑποψίας ἔχουσι· καὶ γὰρ πενίαν τρέμουσι· μᾶλλον δὲ οὐχὶ πενίαν μόνον, ἀλλὰ καὶ τὴν τυχοῦσαν ζημίαν. Καὶ γὰρ ἂν μικρόν τι παραπολέσωσι, τῶν τῆς ἀναγκαίας ἀπορούντων τροφῆς μᾶλλον ἀλγοῦσι καὶ διακόπτονται. Πολλοὶ γοῦν τῶν πλουτούντων καὶ ἐπὶ βρόχον ἦλθον, τὴν τοιαύτην οὐκ ἐνεγκόντες δυσημερίαν. Καὶ τὸ ὑβρίζεσθαι δεῖ καὶ τὸ ἐπηρεάζεσθαι οὕτως ἀφόρητον αὐτοῖς εἶναι δοκεῖ, ὡς καὶ διὰ τοῦτο πάλιν τῆς παρούσης πολλοὺς ἀποῤῥαγῆναι ζωῆς. Πρὸς γὰρ πάντα μαλακοὺς αὐτοὺς ὁ πλοῦτος ἐποίησε, πλὴν τῆς αὐτοῦ διακονίας. Ὅταν γὰρ αὐτῷ δουλεύειν κελεύῃ καὶ φόνων κατατολμῶσι καὶ μαστίγων καὶ ὀνειδῶν καὶ αἰσχύνης ἁπάσης. Ὅπερ τῆς ἐσχάτης ἐστὶν ἀθλιότητος, ἐν μὲν οἷς δεῖ φιλοσοφεῖν, πάντων εἶναι μαλακωτέρους· ἐν δὲ οἷς εὐλαβεστέρους εἶναι ἐχρῆν, ἀναισχυντοτέρους πάλιν καὶ ἰταμωτέρους γίνεσθαι. Καὶ γὰρ τὸ αὐτὸ συμβαίνει τούτοις, οἷον ἂν εἴ τις πάθοι τὰ ὄντα πάντα ἀναλώσας εἰς τὰ μὴ δέοντα. Ὁ γὰρ τοιοῦτος, τοῦ καιροῦ τῆς ἀναγκαίας δαπάνης ἐπιστάντος, οὐδὲν ἔχων ἐπιδοῦναι, τὰ ἀνήκεστα πάσχει δεινά, πάντων τῶν αὐτοῦ προαναλωθέντων κακῶς.

5. Καὶ καθάπερ οἱ ἐπὶ τῆς σκηνῆς τὰς πονηρὰς τέχνας εἰδότες ἐκείνας, ἐν μὲν ταύταις πολλὰ τῶν παραδόξων καὶ ἐπικινδύνων ὑπομένουσιν, ἐν δὲ ἑτέροις χρησίμοις καὶ ἀναγκαίοις πράγμασι πάντων εἰσὶ καταγελαστότεροι· οὕτω καὶ οὗτοι. Καὶ γὰρ οἱ ἐπὶ σχοίνου τεταμένης βαδίζοντες, τοσαύτην ἀνδρείαν ἐπιδεικνύμενοι, ἡνίκα ἄν τι τῶν ἀναγκαίων τόλμαν ἀπαιτῇ καὶ ἀνδρείαν, οὐδὲ ἐννοῆσαί τι δύνανται ἢ ἀνέχονται τοιοῦτον. Οὕτω δὴ καὶ οἱ πλουτοῦντες, πάντα ὑπὲρ χρημάτων τολμῶντες, ὑπὲρ τοῦ φιλοσοφεῖν οὐ μικρόν, οὐ μέγα τι τοιοῦτον ὑπομεῖναι ἀνέχονται. Καὶ καθάπερ ἐκεῖνοι καὶ σφαλερὸν καὶ ἀκερδὲς πρᾶγμα μεταχειρίζουσιν· οὕτω καὶ οὗτοι κινδύνους μὲν ὑπομένουσι πολλοὺς καὶ κρημνούς, εἰς οὐδὲν δὲ χρήσιμον ἀπαντῶσι τέλος καὶ διπλοῦν ὑπομένουσι σκότος, ἀπό τε τῆς νοῦ διαστροφῆς πεπη-

ψιάζονται τὰ μὴ φοβερὰ δι' ὅσους βλέπουν. Τρέμουν τὴν πτωχείαν καὶ ὄχι μόνον αὐτὴν ἀλλὰ καὶ τὴν ζημίαν ποὺ θὰ ἐτύχαινε νὰ τοὺς συμβῇ. Ἂν στερηθοῦν κάτι ἀσήμαντον θρηνοῦν καὶ ὑποφέρουν περισσότερον ἀπὸ ὅσους στεροῦνται τὴν ἀπαραίτητον τροφήν. Πολλοὶ ἀπὸ τοὺς πλουσίους ἔφθασαν εἰς τὴν ἀγχόνην, ἐπειδὴ δὲν ἠμπόρεσαν νὰ ἀνθέξουν τὰς κακὰς αὐτὰς ἡμέρας. Ἀλλὰ καὶ τὴν προσβολὴν καὶ τὴν κακομεταχείρισιν τόσον ἀνυπόφορα τὰ θεωροῦν, ὥστε πολλοὶ καὶ δι' αὐτὴν τὴν αἰτίαν ἀπεσπάσθησαν ἀπὸ τὴν ζωήν. Εἰς ὅλα, ἐκτὸς ἀπὸ τὴν διακονίαν του, τοὺς ἔκαμεν ὁ πλοῦτος μαλακούς. Ὅταν διατάζῃ νὰ τοῦ δουλεύουν, δὲν δειλιάζουν οὔτε ἐμπρὸς εἰς τὸν φόνον, οὔτε εἰς τὰ μαστίγια, οὔτε εἰς τὰς κατηγορίας, οὔτε εἰς κάθε ἐξευτελισμόν. Τοῦτο ἀποτελεῖ ἐσχάτην ἀθλιότητα, νὰ δειλιάζῃς περισσότερον ἀπὸ ὅλους ὅπου πρέπει νὰ δείχνῃς γενναιότητα. Καὶ ἐκεῖ ποὺ πρέπει νὰ εἶσαι πιὸ προσεκτικός, νὰ γίνεσαι ἀναιδέστερος καὶ θρασύτερος. Αὐτοὶ ἐδῶ παθαίνουν ὅ,τι καὶ αὐτὸς ποὺ σπαταλᾷ τὴν περιουσίαν του ἐκεῖ ποὺ δὲν πρέπει. Αὐτὸς ὅταν φθάσῃ ὁ καιρὸς διὰ τὴν δαπάνην ποὺ πρέπει νὰ γίνῃ, ἐπειδὴ δὲν ἔχει τί νὰ δώσῃ, ὑποφέρει ἀθεράπευτα δεινά, ἀφοῦ ἔχει ἐξοδέψει κακῶς πρὶν τῆς ὥρας των τὰ ἴδικά του.

5. Καὶ ὅπως αὐτοὶ ποὺ ἀσχολοῦνται μὲ τὰς πονηρὰς ἐκείνας τέχνας ἐπάνω εἰς τὴν σκηνήν, ὑπομένουν ἕνα πλῆθος ἀπὸ ἐπικινδύνους καὶ περιέργους ἀσκήσεις, ἐνῷ εἰς ἐργασίας χρησίμους καὶ ἀπαραιτήτους εἶναι ἀπὸ ὅλους πιὸ καταγέλαστοι, ἔτσι καὶ αὐτοὶ ἐδῶ. Διότι αὐτοὶ ποὺ βαδίζουν ἐπάνω εἰς τὸ τεντωμένον σχοινὶ ἐπιδεικνύοντες τόσον θάρρος, ἂν κάτι ἀπὸ τὰ ἀναπόφευκτα τῆς ζωῆς ἀπαιτήσῃ τόλμην καὶ θάρρος, οὔτε νὰ τὸ ἐννοήσουν κάτι τέτοιο ἠμποροῦν οὔτε νὰ τὸ ἀνεχθοῦν. Ἔτσι καὶ ἐκεῖνοι ποὺ πλουτοῦν, ἐνῷ τολμοῦν τὰ πάντα διὰ τὰ χρήματα, διὰ τὴν πνευματικὴν ζωὴν οὔτε μικρὸν οὔτε μεγάλον δὲν θέλουν νὰ ὑπομείνουν. Καὶ ὅπως ἐκεῖνοι ἀσκοῦν κάτι καὶ ἐπικίνδυνον καὶ ἀνώφελον, ἔτσι καὶ αὐτοὶ ὑπομένουν πολλοὺς κινδύνους καὶ πολλὰς κακοτοπίας, δὲν καταλήγουν ὅμως εἰς τέλος καλὸν καὶ ὑπομένουν διπλοῦν σκότος καὶ ἀπὸ τὴν δια-

ρωμένοι, ἀπό τε τῆς τῶν φροντίδων ἀπάτης πολλὴν τὴν ἀχλὺν ὑπομένοντες. Διόπερ οὐδὲ διαβλέψαι ῥᾳδίως δύνανται. Ὁ μὲν γὰρ ἐν σκότῳ ὤν, μόνον ἡλίου φανέντος ἀπαλλάττεται τοῦ σκότους· ὁ δὲ τὰς ὄψεις πεπηρωμένος, οὐδὲ ἡλίου φανέντος· ὃ δὴ καὶ οὗτοι πεπόνθασι. Οὐδὲ γὰρ τοῦ Ἡλίου τῆς Δικαιοσύνης λάμψαντος καὶ παραινοῦντος ἀκούουσιν, ἀποκλείσαντος αὐτοῖς τοὺς ὀφθαλμοὺς τοῦ πλούτου. Διὸ καὶ διπλοῦν σκότος ὑπομένουσι· τὸ μὲν ἐξ ἑαυτῶν, τὸ δὲ ἐκ τοῦ μὴ προσέχειν τῷ διδασκάλῳ. Προσέχωμεν τοίνυν αὐτῷ μετὰ ἀκριβείας, ἵνα ὀψὲ γοῦν ποτε ἀναβλέψωμεν.

Καὶ πῶς ἀναβλέψαι δυνατόν; Ἐὰν μάθῃς πῶς ἐτυφλώθης. Πῶς οὖν ἐτυφλώθης; Ἀπὸ τῆς πονηρᾶς ἐπιθυμίας. Καθάπερ γὰρ κόρῃ καθαρᾷ χυμὸς ἐπιρρεύσας πονηρὸς ὁ τῶν χρημάτων ἔρως, πυκνὴν τὴν νεφέλην ἐποίησεν. Ἀλλὰ καὶ διασκεδασθῆναι καὶ ῥαγῆναι τὴν νεφέλην ταύτην ῥᾴδιον, ἐὰν τὴν ἀκτῖνα τῆς τοῦ Χριστοῦ δεξώμεθα διδασκαλίας· ἂν ἀκούσωμεν αὐτοῦ παραινοῦντος καὶ λέγοντος· «Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς».

Καὶ τί μοι, φησί, πλέον ἀπὸ τῆς ἀκροάσεως, ὅταν ὑπὸ τῆς ἐπιθυμίας κατέχωμαι;

Μάλιστα μὲν οὖν καὶ τὴν ἐπιθυμίαν ἡ συνεχὴς ἀκρόασις καταλῦσαι δυνήσεται. Ἂν δ' ἄρα ἐπιμένῃς κατεχόμενος, ἐννόησον ὅτι οὐδὲ ἐπιθυμία τὸ πρᾶγμά ἐστι. Ποία γὰρ ἐπιθυμία, δουλεύειν χαλεπῶς καὶ ὑποκεῖσθαι τυραννίδι καὶ δεδέσθαι πανταχόθεν καὶ ἐν σκότῳ διατρίβειν καὶ θορύβου γέμειν καὶ πόνους ὑπομένειν ἀκερδεῖς καὶ ἑτέροις φυλάττειν τὰ χρήματα, πολλάκις δὲ καὶ ἐχθροῖς; Ποίας ταῦτα ἐπιθυμίας ἄξια; ποίας δὲ οὐ φυγῆς καὶ δρόμων; Ποία ἐπιθυμία, θησαυρὸν ἀποτίθεσθαι μεταξὺ κλεπτῶν; Εἰ γὰρ ὅλως ἐπιθυμεῖς χρημάτων, μετάθες ἔνθα δύ-

στροφὴν τοῦ νοῦ τυφλωμένοι καὶ ἀπὸ τὴν ἀπατηλὴν θολούραν τῶν φροντίδων τυλιγμένοι. Διὰ τοῦτο οὔτε νὰ διακρίνουν εὔκολα κάτι δὲν ἠμποροῦν. Διότι ὅποιος εὑρίσκεται εἰς τὰ σκοτεινά, μόνον ὅταν φανῇ ὁ ἥλιος ἐλευθερώνεται ἀπὸ τὸ σκότος. Ὅποιος ὅμως ἔχει χαλασμένα μάτια, δὲν βλέπει οὔτε ὅταν φανῇ ὁ ἥλιος. Αὐτὸ ἀκριβῶς ἔπαθαν καὶ αὐτοὶ ἐδῶ. Δὲν ἀντιλαμβάνονται μήτε τὸν Ἥλιον τῆς Δικαιοσύνης ποὺ ἔλαμψε καὶ τοὺς καλεῖ, ἐπειδὴ ὁ πλοῦτος τοὺς ἔκλεισε τὰ μάτια. Διὰ τοῦτο καὶ ὑπομένουν διπλοῦν σκότος· τὸ ἕνα ἀπὸ τὸν ἑαυτόν των, τὸ ἄλλο ἐπειδὴ δὲν προσέχουν τὸν διδάσκαλον. Ἂς τὸν παρακολουθοῦμεν λοιπὸν μὲ προσοχήν, διὰ νὰ ξαναεύρωμεν τέλος κάποτε τὸ φῶς μας.

Καὶ πῶς εἶναι δυνατὸν νὰ ξαναδῇς; Ἂν μάθῃς πῶς ἐτυφλώθης. Καὶ πῶς λοιπὸν ἐτυφλώθης; Ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν βεβαίως. Διότι, ὅπως εἰς μάτι καθαρόν, ἔρχεται, ὡς ὑγρὸν ἐρεθιστικόν, ἡ ἐπιθυμία τῶν χρημάτων καὶ δημιουργεῖ πυκνὸν νέφος. Ἀλλὰ εἶναι εὔκολον καὶ νὰ σπάσῃ καὶ νὰ διαλυθῇ τὸ νέφος τοῦτο, ἂν δεχθῶμεν τὴν ἀκτῖνα ἀπὸ τὴν διδασκαλίαν τοῦ Χριστοῦ. Ἂν ἀκούσωμεν τὰς συμβουλὰς καὶ τοὺς λόγους του· «Μὴ θησαυρίζετε διὰ τὸν ἑαυτόν σας θησαυροὺς ἐπάνω εἰς τὴν γῆν».

Καὶ τί θὰ κερδίσω ἀπὸ τὴν ἀκρόασιν, θὰ ἐρωτήσῃ κάποιος, ὅταν μὲ κατέχῃ ἡ ἐπιθυμία;

Ἀλλὰ ἀκριβῶς ἡ συνεχὴς ἀκρόασις ἠμπορεῖ νὰ ἐξαλείψῃ καὶ τὴν ἐπιθυμίαν. Καὶ ἂν ἐπιμένῃς νὰ κυριαρχῆσαι ἀπὸ αὐτήν, κατανόησε ὅτι τὸ πρᾶγμα δὲν εἶναι ἐπιθυμία. Τί εἴδους ἐπιθυμία εἶναι νὰ εὑρίσκεσαι εἰς βαρεῖαν δουλείαν, νὰ εἶσαι κάτω ἀπὸ τυραννικὸν ζυγόν, κλεισμένος ἀπὸ τοὺς τοίχους φυλακῆς, νὰ ζῇς εἰς τὸ σκότος, νὰ εἶσαι γεμᾶτος ἀπὸ ταραχήν, νὰ ὑπομένῃς ἀνώφελους κόπους, νὰ φυλάττῃς τὰ χρήματα δι' ἄλλους καὶ συχνὰ καὶ διὰ τοὺς ἐχθρούς; Εἰς ποίου εἴδους ἐπιθυμίαν ταιριάζουν αὐτά; Δὲν ταιριάζουν νὰ τ' ἀποφύγωμεν καὶ νὰ πάρωμεν δρόμον ἀπὸ αὐτά; Τί εἴδους ἐπιθυμία εἶναι αὐτή, νὰ ἀφήνῃς τὸν θησαυρόν σου μεταξὺ τῶν κλεπτῶν; Ἂν ἐπιθυμῇς τὰ

ναται μένειν ἀσφαλῆ καὶ ἀνεπηρέαστα. Ὡς ἅ γε νῦν ποιεῖς, οὐ χρημάτων ἐπιθυμοῦντές ἐστιν, ἀλλὰ δουλείας καὶ ἐπηρείας καὶ ζημίας καὶ ὀδύνης διηνεκοῦς.

Σὺ δέ, ἂν μέν τις ἀνθρώπων ἐπὶ τῆς γῆς τόπον ἀνεπηρέαστον δείξῃ, κἂν εἰς αὐτὴν ἐξαγάγῃ τὴν ἔρημον, ὑποσχόμενος ἀσφάλειαν τῇ φυλακῇ τῶν χρημάτων, οὐ κατοκνεῖς, οὐδὲ ἀναδύῃ, ἀλλὰ καὶ ἐμπιστεύεις καὶ ἐκβάλλεις ἐκεῖ τὰ χρήματα· τοῦ Θεοῦ δὲ ἀντὶ ἀνθρώπων ὑπισχνουμένου σοι τοῦτο καὶ οὐχὶ τὴν ἔρημον, ἀλλὰ τὸν οὐρανὸν προτιθέντος, τὰ ἐναντία καταδέχῃ. Καίτοιγε κἂν μυριάκις ἐν ἀσφαλείᾳ γένηται κάτω, τῆς φροντίδος οὐδέποτε ἐλεύθερος γενέσθαι δυνήσῃ. Κἂν γὰρ μὴ ἀπολέσῃς, τοῦ φροντίζειν μὴ ἀπολέσῃς οὐδέποτε ἀπαλλαγήσῃ. Ἐκεῖ δὲ οὐδὲν ὑποστήσῃ τούτων· καὶ τὸ δὴ πλέον, ὅτι οὐ κατορύττεις τὸ χρυσίον μόνον, ἀλλὰ καὶ φυτεύεις. Τὸ γὰρ αὐτὸ καὶ θησαυρός ἐστι καὶ σπόρος· μᾶλλον δὲ ἑκατέρων τούτων πλέον. Ὁ μὲν γὰρ σπόρος οὐ μένει διαπαντός, τοῦτο δὲ μένει διηνεκῶς. Πάλιν ὁ θησαυρὸς οὐ βλαστάνει, οὗτος δὲ ἀθανάτους σοι φέρει καρπούς. Εἰ δὲ τὸν χρόνον μοι λέγεις καὶ τὴν ἀναβολὴν τῆς ἀποδόσεως, ἔχω μὲν καὶ ἐγὼ δεῖξαι καὶ εἰπεῖν ὅσα καὶ ἐνταῦθα ἀπολαμβάνεις· χωρὶς δὲ τούτων καὶ ἀπ' αὐτῶν τῶν βιωτικῶν σε ἐλέγξαι πειράσομαι μάτην ταῦτα προφασιζόμενον.

6. Πολλὰ γὰρ καὶ ἐν τῷ παρόντι βίῳ κατασκευάζεις, ὧν οὐ μέλλεις αὐτὸς ἀπολαύειν· κἂν ἐγκαλῇ τις, τοὺς παῖδας καὶ τοὺς ἐκείνων παῖδας προβαλλόμενος, ἱκανὴν δοκεῖς παραμυθίαν τῶν περιττῶν εὑρηκέναι πόνων. Ὅταν γὰρ ἐν ἐσχάτῳ γήρᾳ γενόμενος οἰκοδομῇς οἰκίας λαμπράς, ὧν πρὸ τοῦ τέλους ἀπελεύσῃ πολλάκις, καὶ δένδρα φυτεύῃς, ἃ μετὰ πολλὰ ἔτη τὸν καρπὸν οἴσει· ὅταν φυτεύῃς ἐν χωρίῳ δένδρα, ὧν μετὰ μυρία ἔτη ὁ καρπὸς ἥξει καὶ οὐσίας ἀγοράζῃς καὶ κλήρους, ὧν μετὰ

χρήματά σου εἰς τὸ σύνολόν των, τοποθέτησέ τα ὅπου ἠμποροῦν νὰ μείνουν ἀσφαλισμένα καὶ ἀνεπιβούλευτα. Διότι αὐτὰ ποὺ κάνεις τώρα δὲν δείχνουν ἄνθρωπον ποὺ ἐπιθυμεῖ χρήματα, ἀλλὰ μαρτυροῦν δουλείαν, ἐπιβουλήν, ζημίαν, ἀγωνίαν ἀδιάκοπον.

Σὺ ὅμως ἂν κάποιος σοῦ δείξῃ ἕνα μέρος ἀπαραβίαστον ἐπάνω εἰς τὴν γῆν, καὶ ἂν σὲ φέρῃ εἰς τὴν ἰδίαν τὴν ἔρημον ὑποσχόμενος τὴν ἀσφαλισμένην φύλαξιν τῶν χρημάτων σου, οὔτε διστάζεις οὔτε ἐπιφυλάσσεσαι, ἀλλὰ δείχνεις ἐμπιστοσύνην καὶ μεταφέρεις ἐκεῖ τὰ χρήματά σου. Ὅταν σοῦ ὑπόσχεται τὸ ἴδιο ὁ Θεὸς καὶ ὄχι κάποιος ἄνθρωπος καὶ σοῦ προτείνῃ ὄχι τὴν ἔρημον ἀλλὰ τὸν οὐρανόν, πράττεις τὰ ἀντίθετα. Καὶ ὅμως, ἂν χίλιες φορὲς αὐτὰ εἶναι ἀσφαλισμένα ἐδῶ κάτω, ποτὲ δὲν θὰ ἠμπορέσῃς νὰ ἐλευθερωθῇς ἀπὸ τὴν φροντίδα. Καὶ ἂν ἀκόμα δὲν τὰ χάσῃς, δὲν θὰ ἐλευθερωθῇς ποτὲ ἀπὸ τὴν ἀγωνίαν μήπως τὰ χάσῃς. Ἐκεῖ ὅμως δὲν θὰ ὑποφέρῃς τίποτε ἀπὸ αὐτά. Καὶ ἐπὶ πλέον θὰ ὠφεληθῇς, διότι δὲν κρύβεις μόνον τὸ χρυσάφι σου ἀλλὰ καὶ τὸ σπείρεις. Τὸ ἴδιο γίνεται θησαυρὸς καὶ σπόρος καὶ κάτι περισσότερον ἀπὸ τὰ δύο. Διότι ὁ σπόρος δὲν κρατεῖ διὰ πάντοτε, ἐνῷ τοῦτο μένει παντοτινά. Καὶ ὁ θησαυρὸς δὲν βλαστάνει ἐνῷ αὐτὸ σοῦ δίδει καρποὺς ἀθανάτους. Καὶ ἂν μοῦ προβάλλῃς τὸν χρόνον καὶ τὴν ἀναβολὴν τῆς ἀνταποδόσεως, ἠμπορῶ καὶ ἐγὼ νὰ σοῦ δείξω καὶ νὰ σοῦ εἰπῶ, πόσα καὶ ἐδῶ κερδίζεις. Χωριστὰ ὅμως ἀπὸ αὐτὰ θὰ προσπαθήσω νὰ σοῦ ἀποδείξω καὶ ἀπὸ αὐτὰς τὰς βιοτικὰς φροντίδας ὅτι αὐτὰ ἀποτελοῦν προφάσεις μάταιες.

6. Πολλὰ εἰς τὴν ζωὴν αὐτὴν δημιουργεῖς, ποὺ δὲν πρόκειται νὰ τὰ χαρῇς ὁ ἴδιος. Καὶ ἂν σὲ κατηγορήσῃ κανείς, προβάλλεις τὰ παιδιά σου καὶ τὰ παιδιὰ τῶν παιδιῶν σου καὶ νομίζεις ὅτι ἀνεκάλυψες ἱκανοποιητικὴν δικαιολογίαν διὰ περιττοὺς κόπους. Ὅταν εἰς τὰ ἔσχατα γηρατειά σου κτίζῃς σπίτια μεγαλόπρεπα, ποὺ προτοῦ τελειώσουν, θὰ ἔχῃς σὺ πολλὲς φορὲς ἀναχωρήσει, καὶ ὅταν φυτεύῃς δένδρα, ποὺ μετὰ χρόνον πολὺν θὰ σοῦ δώσουν καρπόν, καὶ ὅταν ἀγοράζῃς περιουσίας καὶ

πολὺν δέξῃ χρόνον τὴν δεσποτείαν καὶ ἕτερα πολλὰ τοιαῦτα φιλοπονῇς, ὧν οὐ καρπώσῃ τὴν ἀπόλαυσιν· ἆρα διὰ σεαυτὸν ἢ διὰ τοὺς μετὰ ταῦτα ποιεῖς; Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας, ἐνταῦθα μὲν μηδὲν ἀλύειν πρὸς τὴν τοῦ χρόνου μέλλησιν καὶ ταῦτα μέλλοντα ἐκ τῆς μελλήσεως ταύτης ἁπάσης τῶν πόνων ἐκπίπτειν τῆς ἀμοιβῆς· ἐκεῖ δὲ διὰ τὴν ἀναβολὴν ναρκᾶν καὶ ταῦτα πλέον σοι φερούσης τὸ κέρδος καὶ οὐκ εἰς ἑτέρους παραπεμπτούσης τὰ ἀγαθά, ἀλλὰ σοὶ κομιζούσης τὰς δωρεάς; Χωρὶς δὲ τούτων οὐδὲ ἡ ἀναβολὴ πολλή. Καὶ γὰρ ἐπὶ θύραις τὰ πράγματα καὶ οὐκ ἴσμεν μή ποτε καὶ ἐν τῇ ἡμετέρᾳ γενεᾷ τέλος ἕξει τὰ καθ' ἡμᾶς ἅπαντα καὶ ἡ φοβερὰ παραγένηται ἡμέρα ἐκείνη, τὸ φρικῶδες ἡμῖν ἐνδεικνυμένη καὶ ἀδέκαστον δικαστήριον. Καὶ γὰρ τὰ πλείονα τῶν σημείων ἀπήρτισται καὶ τὸ Εὐαγγέλιον λοιπὸν πανταχοῦ τῆς οἰκουμένης κεκήρυκται καὶ τὰ τῶν πολέμων καὶ τὰ τῶν σεισμῶν καὶ τὰ τῶν λιμῶν ἐξέβη καὶ οὐ πολὺ τὸ μέσον. Ἀλλ' οὐχ ὁρᾷς σημεῖα; Καὶ τοῦτο αὐτὸ μέγιστον σημεῖον. Οὐδὲ γὰρ οἱ ἐπὶ Νῶε εἶδον προοίμια τῆς πανωλεθρίας ἐκείνης, ἀλλὰ μεταξὺ παίζοντες, ἐσθίοντες, γαμοῦντες, τὰ συνήθη πράττοντες ἅπαντα, οὕτω κατελήφθησαν ὑπὸ τῆς φοβερᾶς δίκης ἐκείνης. Καὶ οἱ ἐν Σοδόμοις δὲ ὁμοίως, τρυφῶντες καὶ οὐδὲν ὑφορώμενοι τῶν γεγενημένων, ὑπὸ τῶν κεραυνῶν κατεφλέχθησαν τῶν τότε κατενεχθέντων.

Ἅπερ οὖν ἅπαντα ἐννοοῦντες, ἐπιστρέψωμεν ἑαυτοὺς πρὸς τὴν τῆς ἐντεῦθεν ἀποδημίας παρασκευήν. Κἂν γὰρ ἡ κοινὴ τῆς συντελείας ἡμέρα μηδέποτε ἐπιστῇ, τὸ ἑκάστου τέλος ἐπὶ θύραις, κἂν γεγηρακώς τις ᾖ, κἂν νέος· καὶ οὐκ ἔστιν ἐντεῦθεν ἀπελθόντας οὔτε ἔλαιον πρίασθαι λοιπόν, οὔτε δεηθέντες ἐπιτυχεῖν συγγνώμης κἂν Ἀβραὰμ ὁ παρακαλῶν ᾖ κἂν Νῶε κἂν Ἰὼβ κἂν Δανιήλ. Ἕως οὖν καιρὸν ἔχομεν, προαποθώμεθα ἑαυ-

κτήματα, πού θὰ ἀποκτήσῃς τὴν κυριότητά των ἔπειτα ἀπὸ πολὺ διάστημα, καὶ ὅταν πολλὰ ἄλλα παρόμοια δημιουργῇς, πού δὲν θὰ δοκιμάσῃς σὺ τὴν χαράν των, τὰ ἑτοιμάζεις τάχα διὰ τὸν ἑαυτόν σου ἢ διὰ τοὺς ἄλλους; Δὲν εἶναι λοιπὸν ἐσχάτη ἀνοησία νὰ μὴ στενοχωρῆσαι καθόλου ἐδῶ διὰ τὴν ἀργοπορίαν τοῦ χρόνου, τὴν στιγμὴν μάλιστα πού ἀπὸ τὴν ἀργοπορίαν αὐτὴν θὰ χάσῃς ὅλην τὴν ἀμοιβήν σου, διὰ τὴν ἐκεῖ ὅμως καθυστέρησιν νὰ ἀδρανῇς τὴν στιγμὴν πού αὐτὴ σοῦ δίδει μεγαλύτερον κέρδος καὶ δὲν προορίζει εἰς ἄλλους τὰ ἀγαθά, ἀλλὰ φέρει τὰς ἀπολαβὰς εἰς ἐσένα; Ἐκτὸς ἀπὸ αὐτὰ καὶ ἡ ἀναβολὴ δὲν εἶναι καὶ πολλή. Τὰ πράγματα ἔχουν πλησιάσει πολὺ καὶ δὲν γνωρίζομεν μήπως καὶ εἰς τὴν ἰδικήν μας γενεὰν πάρῃ τέλος ἡ ζωὴ αὐτὴ καὶ φθάσῃ ἡ φοβερὴ ἐκείνη ἡμέρα, πού θὰ μᾶς παρουσιάσῃ· τὸ φρικτὸν καὶ ἀδέκαστον δικαστήριον. Τὰ περισσότερα σημεῖα ἔχουν πραγματοποιηθῆ· καὶ τὸ Εὐαγγέλιον ἔχει κηρυχθῆ εἰς ὅλα τὰ μέρη τοῦ κόσμου καὶ οἱ πόλεμοι καὶ οἱ σεισμοὶ καὶ οἱ λιμοὶ ἔχουν γίνει καὶ ἡ ἀπόστασις πιὰ δὲν εἶναι μεγάλη. Δὲν βλέπεις τὰ σημεῖα; Αὐτὸ ἀκριβῶς εἶναι τὸ μεγαλύτερον σημεῖον. Οὔτε οἱ ἐπὶ Νῶε δὲν εἶχαν διακρίνει τὰ προμηνύματα τῆς καταστροφῆς ἐκείνης, ἀλλὰ ἐνῷ ἔπαιζαν καὶ ἔτρωγαν καὶ ἐνυμφεύοντο καὶ ἔπρατταν ὅλα τὰ συνηθισμένα τῆς ζωῆς, τοὺς εὑρῆκεν ἡ φοβερὴ ἐκείνη τιμωρία. Τὰ ἴδια καὶ εἰς τὰ Σόδομα. Ἐνῷ διεσκέδαζαν καὶ δὲν ὑποψιάζοντο τίποτε, ἐκεραυνοβολήθησαν ἀπὸ τοὺς κεραυνοὺς πού ἔπεσαν.

Αὐτὰ ἂς ἔχωμεν εἰς τὸν νοῦν μας καὶ ἂς κατευθύνωμεν τὸν ἑαυτόν μας εἰς τὴν προετοιμασίαν τῆς ἀποδημίας μας ἀπὸ ἐδῶ. Διότι καὶ ἂν ἀκόμη δὲν φθάσῃ ποτὲ ἡ κοινὴ ἡμέρα τῆς συντελείας, τὸ τέλος τοῦ καθενός μας εἶναι πλησίον, εἴτε γέρων εἶναι εἴτε νέος. Καὶ δὲν ἠμποροῦμεν, ὅταν φύγωμεν ἀπὸ ἐδῶ, οὔτε λάδι πιὰ νὰ ἀγοράσωμεν οὔτε νὰ παρακαλέσωμεν καὶ νὰ λάβωμεν συγγνώμην, εἴτε ὁ Ἀβραὰμ μεσολαβήσῃ, εἴτε ὁ Νῶε, ὁ Ἰὼβ ἢ ὁ Δανιήλ. Ἕως ὅτου λοιπὸν ἔχωμεν καιρόν, ἂς ἑτοιμά-

τοῖς πολλὴν τὴν παῤῥησίαν, συναγάγωμεν ἔλαιον δαψιλές, μεταθῶμεν ἅπαντα εἰς τὸν οὐρανόν, ἵνα ἐν καιρῷ τῷ προσήκοντι καὶ ᾧ μάλιστα αὐτῶν δεόμεθα, πάντων ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σωμεν διὰ τὸν ἑαυτόν μας ἀπὸ τώρα διὰ τότε τὴν παρρησίαν μας πολλήν, ἂς συγκεντρώσωμεν ἄφθονον λάδι, ἂς τοποθετήσωμεν τὰ πάντα εἰς τὸν οὐρανόν, διὰ νὰ τὰ ἀπολαύσωμεν τὴν κατάλληλον ὥραν καὶ ὅταν τὰ χρειαζώμεθα, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δύναμις καὶ ἡ δόξα καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

— Διὰ τὰ χωρία καὶ ὀνόματα τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας, διὰ δὲ τὰ ὀνόματα τῆς εἰσαγωγῆς καὶ τῶν σχολίων οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας, εὑρίσκονται δὲ ἐντὸς παρενθέσεων.

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

Μᾶρκος

Λουκᾶς

Β

Γ

Δ

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ι

Κ

Λ

Μ

Ν

Ρ

Σ

Τ

Υ

Χ

Ψ

Ω

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Τύποις: Ν. & Κ. Σουρνόπουλος, Τηλ. 535-246, Θεσσαλονίκη

Βιβλιοδεσία: Ἀδελφοὶ Βαρουσιάδη, Τηλ. 839.414, Θεσσαλονίκη

Κεντρικὴ πώλησις: Βιβλιοπωλεῖον ΒΥΖΑΝΤΙΟΝ
Ἐλευθερίου Μερετάκη
Ἀρμενοπούλου 19 Θεσσαλονίκη - Τηλ. 205-965